NONNUS

THE DIONYSIACA

HOMERIC GREEK TEXT

OF LUDWICH'S 1909

TEUBNER EDITION.

SKIP PREVIEWS

EPIC POEM .ORG

DIGITAL CLASSICS

INTERLEAVABLE

🇺🇸 3.0

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

	with	without
	1.1-24	**1**.1-24
˅1k	**2**.442	**2**.466
˅2k	**4**.286	**4**.310
˅3k	**6**.202	**6**.226
˅4k	**9**.28	**9**.52
˅5k	**11**.277	**11**.301
˅6k	**13**.359	**13**.383
˅7k	**15**.354	**15**.378
˅8k	**18**.130	**18**.154
˅9k	**21**.11	**21**.35
˅10k	**23**.265	**23**.289
˅11k	**26**.25	**26**.49
˅12k	**28**.306	**28**.330
˅13k	**31**.269	**32**.11
˅14k	**34**.301	**34**.325
˅15k	**37**.72	**37**.96
˅16k	**38**.294	**38**.318
˅17k	**40**.453	**40**.477
˅18k	**42**.446	**42**.470
˅19k	**45**.137	**45**.161
˅20k	**47**.410	**47**.434
˅21k	**48**.669	**48**.693

without	with	
1.1-24	**1**.1-24	
1.286	**1**.310	^21k
same	**3**.40	**^20k**
	5.133	^19k
	7.124	^18k
	10.17	^17k
	12.66	^16k
	14.101	^15k
	16.242	^14k
	19.72	^13k
	21.321	^12k
	24.255	^11k
	26.335	**^10k**
	29.286	^9k
	32.297	^8k
	35.253	^7k
	37.382	^6k
	39.170	^5k
	41.183	^4k
	43.214	^3k
	46.89	^2k
	47.720	^1k

	with	without
	1.1-24	**1**.1-24
TOTAL LINES	21,309	21,285
MIDPOINT	**25**.252	**25**.264
	(line 10,655)	(line 10,643)

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

The **RESTRICTED INTERLEAVED LAYOUT** of this PUBLIC DOMAIN TEXT requires a license available only at SEAHANDPRESS.COM (LINK).

🐌 1 🐇

Download free dictionary here.

Excluded from Book 1

1a καὶ παλάμαις Τυφῶνος ἀρασσόμενον πόλον ἄστρων.
2a καὶ στεροπὴν καὶ ἄεθλα Διὸς καὶ κῶμον Ὀλύμπου.
3a Ἠλέκτρης τε μέλαθρα φιλοξενίην τε τραπέζης.
4a Ἁρμονίην πλώουσαν ὁμόστολον ἥλικι Κάδμωι.
5a τὸν κεμὰς οὐκ ὤδινε, κυνοσπάδα νεβρὸν ἀλήτην.
6a γαίης ἕδρανα πάντα κατέκλυσεν ὑέτιος Ζεύς.
7a καὶ Σεμέλην καὶ ἔρωτα Διὸς καὶ φώριον εὐνήν.
8a καὶ Σεμέλης πυρόεντα γάμον καὶ Ζῆνα φονῆα.
9a θυγατέρας τε Λάμου καὶ Μύστιδα καὶ δρόμον Ἰνοῦς.
10a πῶς φύγεν εἰς ἁλὸς οἶδμα σὺν ἀρτιτόκωι Μελικέρτηι.
11a Ἄμπελον ἀνδροφόνωι πεφορημένον ἅρπαγι ταύρωι.
12a Ἄμπελος εἶδος ἀνῆκεν ἐς ἀμπελόεσσαν ὀπώρην.
13a καὶ προμάχους ἥρωας ἀγειρομένους Διονύσωι.
14a δαιμονίην στίχα πᾶσαν ἐς Ἰνδικὸν Ἄρεα Ῥείη.
15a θηροφόνον ῥοδόπηχυν ἀπειλήτειραν Ἐρώτων.
16a εὐνέτιν ὑπνώουσαν ἀκοιμήτου Διονύσου.
17a καὶ ῥόον οἰνωθέντα μελισταγέος ποταμοῖο.
18a εἰς θαλίην καλέοντες ὀρίδρομον υἷα Θυώνης.
19a Βάκχος ἐπὶ κρητῆρι θυώδεϊ τερπνὸν ἀγῶνα.
20a εἰς βυθὸν ἰχθυόεντα διωκομένου Διονύσου.
21a καὶ μόθον Ἀμβροσίης ῥηξήνορα καὶ λόχον Ἰνδῶν.
22a Αἰακὸς ὅσσα τέλεσσε καὶ ἐν πεδίωι καὶ Ὑδάσπηι.
23a καὶ κλόνον ὑδατόεντα καὶ αἰθαλόεντα λιγαίνω.
24a κερκίδα θ᾽ ἱστοπόνοιο καὶ ἠλακάτην Ἀφροδίτης.

A Note on the Previews

Around 1280 CE, a member of the circle of Maximus Planudes wrote and annotated the only extant authority for the text of the Dionysiaca of Nonnus, Laurentuianus 32.16.

On November 26, 1444, the antiquarian Cyriacus of Ancona reviewed another now lost manuscript of the Dionysiaca in the Grand Lavra library on Mount Athos. As reported in Memoirs of the American Philosophical Society, vol 112, 1976, page 55, Cyrianus copied the following incipit that skips twelve even lines:

1.1 ἰπέ, θεά, Κρονίδαο διάκτορον αἴθοπος αὐγῆς,

1.3 καὶ στεροπὴν Σεμέλης θαλαμηπόλον· εἰπὲ δὲ φύτλην

1.5 Ζεὺς βρέφος ἡμιτέλεστον ἀμαιεύτοιο τεκούσης,

1.7 ἄρσενι γαστρὶ λόχευσε, πατὴρ καὶ πότνια μήτηρ,

1.9 ἄσπορον ὄγκον ἄπιστον ἔχων ἐγκύμονι κόρσηι,

1.11 ἄξατέ μοι νάρθηκα, τινάξατε κύμβαλα, Μοῦσαι,

1.13 ἀλλὰ χοροῦ ψαύοντα, Φάρωι παρὰ γείτονι νήσωι,

1.15 ποικίλον εἶδος ἔχων, ὅτι ποικίλον ὕμνον ἀράσσω·

1.17 μέλψω θεῖον ἄεθλον, ὅπως κισσώδει θύρσωι

1.19 εἰ δὲ λέων φρίξειεν ἐπαυχενίην τρίχα σείων,

1.21 μαζὸν ὑποκλέπτοντα λεοντοβότοιο θεαίνης·

1.23 πόρδαλις ἀίξηι πολυδαίδαλον εἶδος ἀμείβων,

source (link).

This skipping of even lines suggests the opening page of the lost Grand Lavra edition had two columns with odd lines in the left column and even in the right. *Or it may hint that an edition should complete columns at the end of each odd book with a preview of the next odd book, and at the end of each even book with a preview of the next even book.* Such odd-to-odd and even-to-even previews are interesting in this layout. Enjoy!

καὶ βυθίηι δελφῖνες ἐνεκρύπτοντο θαλάσσηι·
Nonnus καὶ σκολιαῖς ἑλίκεσσι περίπλοκον ὁλκὸν ὑφαίνων
πούλυπος αἰολόμητις ἐθήμονι πήγνυτο πέτρηι,
καὶ μελέων ἴνδαλμα χαραδραίη πέλε μορφή.
οὐδέ τις ἄτρομος ἔσκε· μετερχομένη δὲ καὶ αὐτὴ
οἰστρομανὴς μύραινα δρακοντείης πόθον εὐνῆς
ποντοπόρων ἔφριξε θεημάχον ἄσθμα δρακόντων.
◆ πυργώθη δὲ θάλασσα καὶ ὡμίλησεν Ὀλύμπωι
ἠλιβάτοις πελάγεσσιν· ἀερσιπόρωι δὲ ῥεέθρωι
ἠέρος ἄβροχος ὄρνις ἐλούσατο γείτονι πόντωι.
καὶ βυθίου τριόδοντος ἔχων μίμημα Τυφωεὺς
χειρὸς ἀμετρήτοιο ταμὼν ἐνοσίχθονι παλμῶι
νῆσον ἁλικρήπιδος ἀποσπάδα πέζαν ἀρούρης
ῥῖψε παλινδίνητον ὅλην σφαιρηδὸν ἑλίξας·
μαρναμένου δὲ Γίγαντος ἐν ἠέρι γείτονες ἄστρων
ἠέλιον σκιόωντες ἐθωρήχθησαν Ὀλύμπωι
ἠλιβάτου πρηῶνος ἀκοντιστῆρες ἀγοστοί.
καὶ βύθιον μετὰ τέρμα, μετὰ χθονὸς εὔλοχον ἕδρην
Ζεὺς νόθος ὥπλισε χεῖρα πυριγλώχινι κεραυνῶι·
ἔντεα δὲ Κρονίωνος ἀμαιμακέτῃσιν ἀείρων
χερσὶ διηκοσίηισι πέλωρ ἐμόγησε Τυφωεὺς
βριθοσύνηι· παλάμηι δὲ μιῆι κούφιζε Κρονίων.
ἀννεφέλου δὲ Γίγαντος ἐπὶ ξηροῖσιν ἀγοστοῖς
βροντὴ κωφὸν ἔπεμπεν ἀδουπήτου μέλος ἠχοῦς
ἠρέμα βομβήσασα, μόγις δέ οἱ ἤερυς αὐχμῶι
L1[O] ἀσταγέος νιφετοῖο κατείβετο διψὰς ἐέρση·
𝔸 ἀστεροπὴ δ' ἤχλυσε, καὶ εἴκελον αἴθοπι καπνῶι
μαρμαρυγῆι σελάγιζε κατηφέι λεπταλέον πῦρ·
καὶ παλάμας νοέοντες ἀπειρήτοιο φορῆος,
ἄρσενα πυρσὸν ἔχοντες, ἐθηλύνοντο κεραυνοί,
πυκνὸν ὀλισθήσαντες ἀμετρήτων ἀπὸ χειρῶν
ἅλμασιν αὐτοπόροισιν· ἀπεπλάζοντο δὲ πυρσοὶ
οὐρανίου ποθέοντες ἐθήμονα χεῖρα φορῆος.
ὡς δ' ὅτε τις πλήξιππος ἀποπτυστῆρα χαλινοῦ
ξεῖνος ἀνὴρ ἀδίδακτος ἀπειθέα πῶλον ἱμάσσων
πυκνὰ μάτην μογέεσκεν, ὁ δὲ θρασὺς ἔμφρονι θυμῶι
χεῖρα νόθην γίνωσκεν ἀήθεος ἡνιοχῆος,
οἰστρηθεὶς δ' ἀνέπαλτο, καὶ ὄρθιος ὑψόσε βαίνων,
στηρίξας ἀτίνακτον ὀπισθιδίου ποδὸς ὁπλήν,
προσθιδίους προβλῆτας ἐκούφισε γούνατα πάλλων,
καὶ λόφον ἠιώρησεν, ἐπ' ἀμφοτέρων δέ οἱ ὤμων
ἀμφιλαφὴς δεδόνητο παρήορος αὐχένι χαίτη·
ὣς ὅ γε χερσὶν ἔκαμνεν ἀμοιβαίῃσιν ἀείρων
μαρμαρυγὴν φύξηλιν ἀλωομένοιο κεραυνοῦ.
ὄφρα μὲν εἰν Ἀρίμοις ἐπεφοίτεε Κάδμος ἀλήτης,
τόφρα δὲ Δικταίης ὑπὲρ ἠιόνος ὑγροπόρος βοῦς
ἐκ λοφιῆς ἀδίαντον ἑῆς ἀπεθήκατο κούρην.
καὶ Κρονίδην ὁρόωσα πόθωι δεδονημένον Ἥρη
ζηλομανὴς γελόωντι χόλωι ξυνώσατο φωνήν·
"Φοῖβε, τεῶι γενετῆρι παρίστασο, μή τις ἀροτρεὺς

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered or bracketed.

Argument

The first contains Cronion, light-bearing ravisher of the nymph, and the starry heaven battered by Typhon's hands.

NONNUS
DIONYSIACA
BOOK 1

PREVIEW BOOK 3

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 🇺🇸 558 lines 3.0
𝔸 2L 1 - 350
𝔹 2L 351 - 558

PRINT 2-SIDED: **3 to 10**

Πρῶτον ἔχει Κρονίωνα, φαεσφόρον ἅρπαγα νύμφης,
δεύτερον ἀστερόφοιτον ἔχει Τυφῶνος Ἐνυὼ
ἐν τριτάτωι μάστευε πολύπλανον ὁλκάδα Κάδμου
ἰχνεύων δὲ τέταρτον ὑπὲρ πόντοιο νοήσεις
πέμπτον ἔτι σκοπίαζε καὶ Ἀκταίωνα νοήσεις,
δίζεο θέσκελον ἕκτον, ὅπηι Ζαγρῆα γεραίρων
ἕβδομον ἱκεσίην πολιὴν Αἰῶνος ἀείδει
ὄγδοον αἰολόμυθον ἔχει φθόνον ἄγριον Ἥρης
εἰς ἔνατον σκοπίαζε καὶ ὄψεαι υἱέα Μαίης
καὶ δεκάτωι μανίην Ἀθαμαντίδα καὶ δρόμον Ἰνοῦς,
ἑνδέκατον δὲ δόκευε καὶ ἱμερόεντα νοήσεις
δωδεκάτωι φρένα τέρψον, ὅπηι νέον ἄνθος Ἐρώτων
ἐν τρισκαιδεκάτωι στρατιὴν νήριθμον ἐνίψω
εἰς δέκατον δὲ τέταρτον ἔχε φρένα· κεῖθι κορύσσει
πέμπτωι καὶ δεκάτωι βριαρὴν Νίκαιαν ἀείδω,
ἕκτωι καὶ δεκάτωι γαμίην Νίκαιαν ἀείδω,
ἑβδομάτωι δεκάτωι πρωτάγριον Ἄρεα μέλπω
ὀκτωκαιδεκάτωι Στάφυλος καὶ Βότρυς ἱκάνει,
ἐννεακαιδεκάτωι Σταφύλου περὶ τύμβον ἐγείρει
εἰκοστὸν μεθέπει φονίου βουπλῆγα Λυκούργου,
εἰκοστὸν πρώτιστον ἔχει χόλον ἐννοσιγαίου
δεύτερον εἰκοστὸν Βρομίου μόθον ἔργά τε μέλπει,
εἰκοστῶι τριτάτωι πεπερημένον Ἰνδὸν Ὑδάσπην
εἰκοστὸν δὲ τέταρτον ἔχει γόον ἄσπετον Ἰνδῶν

Εἰπέ, θεά, Κρονίδαο διάκτορον αἴθοπος αὐγῆς,
νυμφιδίωι σπινθῆρι μογοστόκον ἄσθμα κεραυνοῦ,
καὶ στεροπὴν Σεμέλης θαλαμηπόλον· εἰπὲ δὲ φύτλην
Βάκχου δισσοτόκοιο, τὸν ἐκ πυρὸς ὑγρὸν ἀείρας
Ζεὺς βρέφος ἡμιτέλεστον ἀμαιεύτοιο τεκούσης,
φειδομέναις παλάμηισι τομὴν μηροῖο χαράξας,
ἄρσενι γαστρὶ λόχευσε, πατὴρ καὶ πότνια μήτηρ,
εὖ εἰδὼς τόκον ἄλλον, ἐπεὶ γονόεντι καρήνωι,
ἄσπορον ὄγκον ἄπιστον ἔχων ἐγκύμονι κόρσηι,
τεύχεσιν ἀστράπτουσαν ἀνηκόντιζεν Ἀθήνην.
ἄξατέ μοι νάρθηκα, τινάξατε κύμβαλα, Μοῦσαι,
καὶ παλάμηι δότε θύρσον ἀειδομένου Διονύσου·
ἀλλὰ χοροῦ ψαύοντα, Φάρωι παρὰ γείτονι νήσωι,
στήσατέ μοι Πρωτῆα πολύτροπον, ὄφρα φανείη
ποικίλον εἶδος ἔχων, ὅτι ποικίλον ὕμνον ἀράσσω·
εἰ γὰρ ἐφερπύσσειε δράκων κυκλούμενος ὁλκῶι,
μέλψω θεῖον ἄεθλον, ὅπως κισσώδει θύρσωι
φρικτὰ δρακοντοκόμων ἐδαΐζετο φῦλα Γιγάντων·
εἰ δὲ λέων φρίξειεν ἐπαυχενίην τρίχα σείων,
Βάκχον ἀνευάξω βλοσυρῆς ἐπὶ πήχεϊ Ῥείης
μαζὸν ὑποκλέπτοντα λεοντοβότοιο θεαίνης·
εἰ δὲ θυελλήεντι μετάρσιος ἅλματι ταρσῶν
πόρδαλις αἴξηι πολυδαίδαλον εἶδος ἀμείβων,
ὑμνήσω Διὸς υἷα, πόθεν γένος ἔκτανεν Ἰνδῶν
πορδαλίων ὀχέεσσι καθιππεύσας ἐλεφάντων·
εἰ δέμας ἰσάζοιτο τύπωι συός, υἷα Θυώνης

αἰθέρα βακχεύων στρατὸς αἰόλος, οἵ τὸ Βορῆα,
καὶ Λιβὸς ἕσπερα νῶτα, καὶ οἳ λάχον ἄντυγας Εὔρου,
καὶ Νοτίους ἀγκῶνας· ὁμοζήλωι δὲ κυδοιμῶι
ἀπλανέων ἀτίνακτος ἀπεπλάγχθη χορὸς ἄστρων,
ἀντιπόρους δ' ἐκίχησαν ἀλήμονας· ἔβρεμε δ' ἠχῆι
οὐρανίωι κενεῶνι πεπαρμένος ὄρθιος ἄξων
μεσσοπαγής· ὀρόων δὲ κυνοσσόος ἔθνεα θηρῶν
Ὠρίων ξίφος εἷλκε, κορυσσομένου δὲ φορῆος
φαιδρὰ Ταναγραίης ἀμαρύσσετο νῶτα μαχαίρης·
καὶ σέλας αἰθύσσων πυριθαλπέος ἀνθερεῶνος
δίψιος ἀστερόεντι κύων ἐπεπάφλασε λαιμῶι
πέμπων θερμὸν ὕλαγμα, καὶ ἠθάδος ἀντὶ λαγωοῦ
θηρσὶ Τυφαονίηισιν ἀνήρυγεν ἀτμὸν ὀδόντων.
καὶ πόλος ἐσμαράγησεν. ἀμειβομένη δὲ καὶ αὐτὴ
οὐρανὸν ἑπτάζωνον ἰσηρίθμων ἀπὸ λαιμῶν
Πληιάδων ἀλάλαζε βοὴν ἑπτάστομος ἠχώ,
καὶ καναχὴν ἰσόμετρον ἐπεγδούπησαν ἀλῆται.
σμερδαλέην δὲ Γίγαντος ἰδὼν ὀφιώδεα μορφὴν
αἰγλήεις Ὀφιοῦχος ἀλεξικάκων ἀπὸ χειρῶν
γλαυκὰ πυριτρεφέων ἀπεσείσατο νῶτα δρακόντων,
στικτὸν ἀκοντίζων σκολιὸν βέλος, ἀμφὶ δὲ πυρσῶι
λαίλαπες ἐρροίζησαν, ἐτοξεύοντο δὲ λοξοὶ
ἠέρα βακχεύοντες ἐχιδνήεντες ὀιστοί·
καὶ θρασὺς ἰχθυόεντος ὁμόδρομος Αἰγοκερῆος
Τοξευτὴρ βέλος ἧκεν· ἀμαξαίωι δ' ἐνὶ κύκλωι
μεσσοφανὴς διδύμηισι Δράκων μεμερισμένος Ἄρκτοις
αἰθερίης ἐλέλιξε σελασφόρον ὁλκὸν ἀκάνθης·
γείτων δ' Ἠριγόνης ἐλατὴρ ὁμόφοιτος Ἀμάξης
πήχεϊ μαρμαίροντι καλαύροπα πάλλε Βοώτης·
γούνατι δ' εἰδώλοιο καὶ ἀγχιπόρωι παρὰ Κύκνωι
Φόρμιγξ ἀστερόεσσα Διὸς μαντεύσατο νίκην.
Κωρυκίου δὲ κάρηνα λαβὼν ἐτίναξε Τυφωεύς,
καὶ Κίλικος ποταμοῖο ῥόον ναετῆρα πιέζων
Ταρσὸν ὁμοῦ καὶ Κύδνον ἐνὶ ξύνωσεν ἀγοστῶι·
καὶ κραναοῖς βελέεσσιν ὀιστεύων στίχας ἅλμης
εἰς σκοπέλους μετένασσε, μετ' αἰθέρα πόντον ἱμάσσων·
νισσομένου δὲ Γίγαντος ἀλιβρέκτου ποδὸς ὁλκῶι
φαίνετο γυμνωθεῖσα δι' ὕδατος ἄβροχος ὀσφύς,
καὶ μεσάτωι βαρύδουπον ὕδωρ ἐπεβόμβεε μηρῶι·
νηχόμενοι δὲ δράκοντες, ἁλιγδούπων ἀπὸ λαιμῶν
Ἄρεα συρίζοντες, ἐπεστρατόωντο θαλάσσηι
ἰὸν ἀποπτύοντες· ἐν ἰχθυόεντι δὲ πόντωι
ἱσταμένου Τυφῶνος ἔσω βρυόεντος ἐναύλου
βένθεϊ ταρσὰ πέπηκτο, καὶ ἠέρι μίγνυτο γαστὴρ
θλιβομένη νεφέεσσι· Γιγαντείου δὲ καρήνου
φρικτὸν ἀερσιλόφων αἴων βρύχημα λεόντων
πόντιος ἰλυόεντι λέων ἐκαλύπτετο κόλπωι·
πᾶσα δὲ κητώεσσα φάλαγξ ἐστείνετο πόντωι,
Γηγενέος πλήσαντος ὅλην ἅλα μείζονα γαίης
ἀκλύστοις λαγόνεσσιν· ἐμυκήσαντο δὲ φῶκαι,

εἰς Νότον ἐκ Βορέαο, λιπὼν πόλον εἰς πόλον ἔστη·
καὶ δολιχῇ παλάμῃ δεδραγμένος Ἡνιοχῆος
νῶτα χαλαζήεντος ἐμάστιεν Αἰγοκερῆος,
καὶ διδύμους ἐπὶ πόντον ἀπ' αἰθέρος Ἰχθύας ἕλκων
Κριὸν ἀνεστυφέλιξε, μεσόμφαλον ἄστρον Ὀλύμπου,
γείτονος εἰαρινοῖο πυραυγέος ὑψόθι κύκλου
ἀμφιταλαντεύοντος ἰσόζυγον ἦμαρ ὁμίχλῃ.
ὁλκαίοις δὲ πόδεσσιν ἀνῃώρητο Τυφωεὺς
ἀγχινεφής· πετάσας δὲ πολυσπερὲς ἔθνος ἀγοστῶν
αἰθέρος ἀννεφέλοιο κατέσκεπεν ἄργυφον αἴγλην
αἰθύσσων ὀφίων σκολιὸν στρατόν· ὧν ὁ μὲν αὐτῶν
ὄρθιος ἀξονίοιο διέτρεχεν ἄντυγα κύκλου,
οὐρανίου δὲ Δράκοντος ἐπεσκίρτησεν ἀκάνθῃ
Ἄρεα συρίζων· ὁ δὲ Κηφέος ἐγγύθι κούρης
ἀστραίαις παλάμῃσιν ἰσόζυγα κύκλον ἑλίξας
δέσμιον Ἀνδρομέδην ἑτέρῳ σφηκώσατο δεσμῷ
λοξὸς ὑπὸ σπείρῃσιν· ὁ δὲ γλωχῖνι κεραίης
ἰσοτύπου ταύροιο δράκων κυκλοῦτο κεράστης,
οἰστρήσας ἑλικηδὸν ὑπὲρ βοέοιο μετώπου
ἀντιτύπους Ὑάδας, κεραῆς ἴνδαλμα Σελήνης,
οἰγομέναις γενύεσσιν· ὁμοπλεκέων δὲ δρακόντων
ἰοβόλοι τελαμῶνες ἐμιτρώσαντο Βοώτην·
καὶ θρασὺς ἄλλος ὄρουσεν, ἰδὼν Ὄφιν ἄλλον Ὀλύμπου,
πῆχυν ἐχιδνήεντα περισκαίρων Ὀφιούχου,
καὶ στεφάνῳ στέφος ἄλλο περιπλέξας Ἀριάδνης,
αὐχένα κυρτώσας, ἐλελίζετο γαστέρος ὁλκῷ.
καὶ Ζεφύρου ζωστῆρα καὶ ἀντιπόρου πτερὸν Εὔρου
αἰθύσσων πολύπηχυς ἐπεστρωφᾶτο Τυφωεὺς
νύσσαν ἐς ἀμφοτέρην, μετὰ Φωσφόρον Ἕσπερον ἕλκων
καὶ λόφον Ἀτλάντειον. ἐνὶ βρυόεντι δὲ κόλπῳ
πολλάκι συμμάρψας Ποδιδήιον ἅρμα θαλάσσης
εἰς χθόνα βυσσόθεν εἷλκεν· ἀλιβρέκτων δὲ κομάων
αὖ ἐρύσας στατὸν ἵππον ὑποβρυχίης παρὰ φάτνης
οὐρανίην ἔρριψεν ἐς ἄντυγα πῶλον ἀλήτην
αἰχμάζων ἐς Ὄλυμπον· ἱμασσομένοιο δὲ δίφρου
Ἠελίου χρεμέτιζον ὑπὸ ζυγὰ κυκλάδες ἵπποι·
πολλάκι δ' ἀγραύλοιο πεπαυμένον ἱστοβοῆος
ταῦρον ἀπειλητῆρι μεμυχότα πήχεϊ σείων
ἰσοφυὲς μίμημα κατηκόντιζε Σελήνης,
καὶ δρόμον ἐστήριξεν· ἀνακρούσας δὲ χαλινῷ
ταύρων λευκὰ λέπαδνα κατερροίζησε θεαίνης,
λοίγιον ἰοβόλοιο χέων συριγμὸν ἐχίδνης.
  οὐδὲ κορυσσομένῳ Τιτηνιὰς εἴκαθε Μήνη·
μαρναμένη δὲ Γίγαντος ὁμοκραίροισι καρήνοις
ταυρείης ἐχάραξε φαεσφόρα κύκλα κεραίης·
καὶ βόες αἰγλήεντες ἐμυκήσαντο Σελήνης
χάσμα Τυφαονίοιο τεθηπότες ἀνθερεῶνος.
ἀστραίας δὲ φάλαγγας ἀταρβέες ὥπλισαν Ὧραι,
καὶ στίχες οὐρανίων Ἑλίκων νωμήτορι κύκλῳ
εἰς ἐνοπὴν σελάγιζον· ἐπερροίζησε δὲ πυρσῷ

ἀείσω ποθέοντα συοκτόνον εὔγαμον Αὔρην,
ὀψιγόνου τριτάτοιο Κυβηλίδα μητέρα Βάκχου·
εἰ δὲ πέλοι μιμηλὸν ὕδωρ, Διόνυσον ἀείσω
κόλπον ἁλὸς δύνοντα κορυσσομένοιο Λυκούργου·
εἰ φυτὸν αἰθύσσοιτο νόθον ψιθύρισμα τιταίνων,
μνήσομαι Ἰκαρίοιο, πόθεν παρὰ θυιάδι ληνῷ
βότρυς ἁμιλλητῆρι ποδῶν ἐθλίβετο ταρσῷ.
ἄξατέ μοι νάρθηκα, Μιμαλλόνες, ὠμαδίην δὲ
νεβρίδα ποικιλόνωτον ἐθήμονος ἀντὶ χιτῶνος
σφίγξατέ μοι στέρνοισι, Μαρωνίδος ἔμπλεον ὀδμῆς
νεκταρέης, βυθίῃ δὲ παρ' Εἰδοθέῃ καὶ Ὁμήρῳ
φωκάων βαρὺ δέρμα φυλασσέσθω Μενελάῳ.
εὔιά μοι δότε ῥόπτρα καὶ αἰγίδας, ἡδυμελῆ δὲ
ἄλλῳ δίθροον αὐλὸν ὀπάσσατε, μὴ καὶ ὀρίνω
Φοῖβον ἐμόν· δονάκων γὰρ ἀναίνεται ἔμπνοον ἠχώ,
ἐξ ὅτε Μαρσύαο θεημάχον αὐλὸν ἐλέγξας
δέρμα παρῃώρησε φυτῷ κολπούμενον αὔραις,
γυμνώσας ὅλα γυῖα λιπορρένοιο νομῆος.
  ἀλλά, θεά, μαστῆρος ἀλήμονος ἄρχεο Κάδμου.
  Σιδονίης ποτὲ ταῦρος ἐπ' ἠιόνος ὑψίκερως Ζεὺς
ἱμερόεν μύκημα νόθῳ μιμήσατο λαιμῷ
καὶ γλυκὺν εἶχε μύωπα· μετοχμάζων δὲ γυναῖκα,
κυκλώσας παλάμας περὶ γαστέρα δίζυγι δεσμῷ,
βαιὸς Ἔρως κούφιζε, καὶ ἐγγύθεν ὑγροπόρος βοῦς
κυρτὸν ὑποστορέσας λοφίην ἐπιβήτορι κούρῃ,
δόχμιος ὀκλάζων, κεχαλασμένα νῶτα τιταίνων,
Εὐρώπην ἀνάειρε· διεσσυμένοιο δὲ ταύρου
πλωτὸς ὄνυξ ἐχάραξε βατῆς ἁλὸς ἄψοφον ὕδωρ
ἴχνεσι φειδομένοισιν· ὑπὲρ πόντοιο δὲ κούρη
δείματι παλλομένη βοέῳ ναυτίλλετο νώτῳ
ἀστεμφὴς ἀδίαντος· ἰδὼν δέ μεν ἦ τάχα φαίης
ἢ Θέτιν ἢ Γαλάτειαν ἢ εὐνέτιν ἐννοσιγαίου
ἢ λοφίῃ Τρίτωνος ἐφεζομένην Ἀφροδίτην·
καὶ πλόον εἰλιπόδην ἐπεθάμβεε κυανοχαίτης,
Τρίτων δ' ἠπεροπῆα Διὸς μυκηθμὸν ἀκούων
ἀντίτυπον Κρονίωνι μέλος μυκήσατο κόχλῳ
ἀείδων ὑμέναιον· ἀειρομένην δὲ γυναῖκα
θαῦμα φόβῳ κεράσας ἐπεδείκνυε Δωρίδι Νηρεύς,
ξεῖνον ἰδὼν πλωτῆρα κερασφόρον· ἀκροβαφῆ δὲ
ὁλκάδα ταῦρον ἔχουσα βοοστόλος ἔπλεε νύμφη,
καὶ διερῆς τρομέουσα μετάρσιον ἅλμα πορείης
πηδάλιον κέρας ἔσχε, καὶ Ἵμερος ἔπλετο ναύτης.
καὶ δολόεις Βορέης γαμίῃ δεδονημένον αὔρῃ
φᾶρος ὅλον κόλπωσε δυσίμερος, ἀμφοτέρῳ δὲ
ζῆλον ὑποκλέπτων ἐπεσύρισεν ὄμφακι μαζῷ.
ὡς δ' ὅτε Νηρεΐδων τις, ὑπερκύψασα θαλάσσης,
ἑζομένη δελφῖνι χυτὴν ἀνέκοπτε γαλήνην,
καί οἱ ἀειρομένης ἐλελίζετο μυδαλέη χεὶρ
νηχομένης μίμημα, φέρων δέ μιν ἄβροχον ἅλμης
ἡμιφανὴς πεφόρητο δι' ὕδατος ὑγρὸς ὁδίτης,

κυρτώσας ἑὰ νῶτα, διερπύζουσα δὲ πόντου
δίπτυχος ἄκρα κέλευθα κατέγραφεν ἰχθύος οὐρή·
ὣς ὅ γε νῶτον ἄειρε· τιταινομένοιο δὲ ταύρου
βουκόλος αὐχένα δοῦλον Ἔρως ἐπεμάστιε κεστῷ,
καὶ νομίην ἅτε ῥάβδον ἐπωμίδι τόξον ἀείρων
Κυπριδίῃ ποίμαινε καλαύροπι νυμφίον Ἥρης
εἰς νομὸν ὑγρὸν ἄγων Ποσιδήιον· αἰδομένη δὲ
παρθενίην πόρφυρε παρηίδα Παλλὰς ἀμήτωρ
ἡνίοχον Κρονίωνος ὀπιπεύουσα γυναῖκα.
καὶ Διὸς ὑδατόεντι διεσσυμένου πόρον ὁλκῷ
οὐ πόθον ἔσβεσε πόντος, ὅτι βρυχίην Ἀφροδίτην
οὐρανίης ὤδινεν ἀπ' αὔλακος ἔγκυον ὕδωρ·
καὶ βοὸς ἀφλοίσβοιο κυβερνήτειρα πορείης
κούρη φόρτος ἔην καὶ ναυτίλος. εἰσορόων δὲ
μιμηλὴν ταχύγουνον ἐχέφρονα νῆα θαλάσσης
τοῖον ἔπος περίφοιτος Ἀχαιικὸς ἴαχε ναύτης·
"ὀφθαλμοί, τί τὸ θαῦμα; πόθεν ποσὶ κύματα τέμνων
νήχεται ἀτρυγέτοιο δι' ὕδατος ἀγρονόμος βοῦς;
μὴ πλωτὴν Κρονίδης τελέει χθόνα; μὴ διὰ πόντου
ὑγρὸς ἁλιβρέκτοιο χαράσσεται ὁλκὸς ἀμάξης;
παπταίνω κατὰ κῦμα νόθον πλόον· ἦ ῥα Σελήνη
ἄζυγα ταῦρον ἔχουσα μετ' αἰθέρα πόντον ὁδεύει,
ἀλλὰ Θέτις βυθίη διερὸν δρόμον ἡνιοχεύει;
οὐ βοῒ χερσαίῳ τύπον εἴκελον εἰνάλιος βοῦς
ἔλλαχεν — ἰχθυόεν γὰρ ἔχει δέμας —, ἀντὶ δὲ γυμνῆς
L2[I] ἀλλοφανὴς ἀχάλινον ἐν ὕδασι πεζὸν ὁδίτην
𝔸 Νηρεΐς ἑλκεσίπεπλος ἀήθεα ταῦρον ἐλαύνει.
εἰ πέλε Δημήτηρ σταχυηκόμος, ὑγροπόρῳ δὲ
γλαυκὰ διασχίζει βοέῳ ποδὶ νῶτα θαλάσσης,
καὶ σὺ βυθοῦ μετὰ κῦμα, Ποσειδάων, μετανάστης
γαίης δίψια νῶτα μετέρχεο πεζὸς ἀροτρεύς,
νηὶ θαλασσαίῃ Δημήτερος αὔλακα τέμνων,
χερσαίοις ἀνέμοισι βατὸν πλόον ἐν χθονὶ τεύχων.
ταῦρε, παρεπλάγχθης μετανάστιος· οὐ πέλε Νηρεὺς
βουκόλος, οὐ Πρωτεὺς ἀρότης, οὐ Γλαῦκος ἀλωεύς,
οὐχ ἕλος, οὐ λειμῶνες ἐν οἴδμασιν, ἀλλὰ θαλάσσῃ
ἀτρυγέτῳ πλώοντες ἀνήροτα ναύλοχον ὕδωρ
πηδαλίῳ τέμνουσι καὶ οὐ σχίζουσι σιδήρῳ·
αὔλακας οὐ σπείρουσιν ὀπάονες ἐννοσιγαίου,
ἀλλὰ φυτὸν πόντοιο πέλει βρύα καὶ σπόρος ὕδωρ,
ναυτίλος ἀγρονόμος, πλόος αὔλακες, ὁλκὰς ἐχέτλη.
ἀλλὰ πόθεν μεθέπεις τινὰ παρθένον; ἦ ῥα καὶ αὐτοὶ
ταῦροι ἐρωμανέοντες ἀφαρπάζουσι γυναῖκας;
ἦ ῥα Ποσειδάων ἀπατήλιος ἥρπασε κούρην
ταυρείην κερόεσσαν ἔχων ποταμηίδα μορφήν;
μὴ δόλον ἄλλον ὕφηνε πάλιν μετὰ δέμνια Τυροῦς,
ὡς καὶ χθιζὰ τέλεσσεν, ὅθ' ὑδατόεις παρακοίτης
Nonnus χεύμασι μιμηλοῖσι νόθος κελάρυζεν Ἐνιπεύς;"
τοῖον ἔπος περόων Ἑλλήνιος ἔννεπε ναύτης
θαμβαλέος. βοέους δὲ γάμους μαντεύσατο κούρη,
καὶ πλοκάμους τίλλουσα γοήμονα ῥῆξεν ἰωήν·
"κωφὸν ὕδωρ, ῥηγμῖνες ἀναυδέες, εἴπατε ταύρῳ,
εἰ βόες εἰσαΐουσιν· 'ἀμείλιχε, φείδεο κούρης.'
εἴπατέ μοι, ῥηγμῖνες, ἐμῷ φιλόπαιδι τοκῆι
Εὐρώπην λιπόπατριν ἐφεζομένην τινὶ ταύρῳ
ἅρπαγι καὶ πλωτῆρι καί, ὡς δοκέω, παρακοίτῃ.
μητέρι βόστρυχα ταῦτα κομίσσατε, κυκλάδες αὖραι.
ναί, λίτομαι, Βορέης, ὡς ἥρπασας Ἀτθίδα νύμφην,
δέξό με σαῖς πτερύγεσσι μετάρσιον· ἴσχεο, φωνή,
μὴ Βορέην μετὰ ταῦρον ἐρωμανέοντα νοήσω."
ὣς φαμένη ῥαχίῃσι βοὸς πορθμεύετο κούρη·
Κάδμος ὅθεν περίφοιτος ἀπὸ χθονὸς εἰς χθόνα βαίνων
ἄστατα νυμφοκόμοιο μετήιεν ἴχνια ταύρου.
ἦλθε καὶ εἰς Ἀρίμων φόνιον σπέος, εὖτε κολῶναι
φοιτάδες ἀρρήκτοιο πύλας ἤρασσον Ὀλύμπου,
εὖτε θεοὶ πτερόεντες ἀχείμονος ὑψόθι Νείλου
ὀρνίθων ἀκίχητον ἐμιμήσαντο πορείην
ἠερίῳ ξένον ἴχνος ἐρετμώσαντες ἀήτῃ,
καὶ πόλος ἑπτάζωνος ἱμάσσετο· καὶ γὰρ ἐς εὐνὴν
Πλουτοῦς Ζεὺς Κρονίδης πεφορημένος, ὄφρα φυτεύσῃ
Τάνταλον οὐρανίων ἀεσίφρονα φῶρα κυπέλλων,
αἰθέρος ἔντεα θῆκε μυχῷ κεκαλυμμένα πέτρης
καὶ στεροπὴν ἔκρυψεν· ὑπωροφίων δὲ κεραυνῶν
καπνὸν ἐρευγομένων ἐμελαίνετο λευκὰς ἐρίπνη,
καὶ κρυφίῳ σπινθῆρι πυριγλώχινος ὀιστοῦ
πηγαὶ ἐθερμαίνοντο, χαραδραίων δὲ ῥεέθρων L2[I]
Μυγδονὶς ἀφριόωσα φάραγξ ἐπεβόμβεεν ἀτμῷ. 𝔸
καὶ παλάμας τανύσας ὑπὸ νεύματι μητρὸς ἀρούρης
ὅπλα Διὸς νιφόεντα Κίλιξ ἔκλεψε Τυφωεύς,
ὅπλα πυρός· πετάσας δὲ βαρυσμαράγων στίχα λαιμῶν
παντοίην ἀλάλαζεν ὁμοφθόγγων ὄπα θηρῶν·
συμφυέες δὲ δράκοντες ἐπερρώοντο προσώπῳ
πορδαλίων, βλοσυρὰς δὲ κόμας λιχμῶντο λεόντων,
καὶ βόεας σπειρηδὸν ἐμιτρώσαντο κεραίας
οὐραίαις ἑλίκεσσι, τανυγλώσσων δὲ γενείων
ἰὸν ἀκοντιστῆρα συῶν ἐπεμίγνυον ἀφρῷ.
ἔντεα δὲ Κρονίδαο τιθεὶς ὑπὸ φωλάδα πέτρην
ἠλιβάτων ἐτίταινεν ἐς αἰθέρα λήια χειρῶν·
εὐπαλάμῳ δὲ φάλαγγι περὶ σφυρὸν ἄκρον Ὀλύμπου
τῇ μὲν ἐπισφίγγων Κυνοσουρίδα, τῇ δὲ πιέζων
ἄξονι κεκλιμένης λοφίην ἀνεσείρασεν Ἄρκτου
Παρρασίης, ἑτέρῃ δὲ λαβὼν ἀνέκοψε Βοώτην,
ἄλλῃ Φωσφόρον εἷλκε, μάτην δ' ὑπὸ κυκλάδι νύσσῃ
πρώιος αἰθερίης ἐπεσύρισεν ἦχος ἱμάσθλης·
εἴρυσεν ἠριγένειαν, ἐρυκομένοιο δὲ Ταύρου
ἄχρονος ἡμιτέλεστος ἐλώφεεν ἱππότις Ὥρη·
καὶ σκιεροῖς πλοκάμοισιν ἐχιδνοκόμων κεφαλάων
ἀχλύι φέγγος ἔην κεκερασμένον, ἠματίη δὲ Nonnus
Ἠελίῳ σελάγιζε συναντέλλουσα Σελήνη.
οὐδὲ Γίγας ἀπέληγε· παλιννόστῳ δὲ πορείῃ

θηλυτέρωι φοίνικι πόθον πιστώσατο φοῖνιξ·
ὄγχνη τ' ἀγλαόκαρπος ὁμήλικι σύμφυτος ὄγχνηι
ὄρθριον ἐψιθύριζεν, ἑλισσομένη δὲ κορύμβοις
γείτονα πιαλέης ἐπεμάστιε θάμνον ἐλαίης·
εἰαρινοῖς ἀνέμοισιν ἀναινομένηι παρὰ δάφνηι
σείετο μύρσινα φύλλα, καὶ εὐπετάλου κυπαρίσσου
ὄρθριον ἐρρίπιζε κόμην εὔοδμος ἀήτης·
συκῆς θ' ἡδυτόκοιο καὶ ἰκμαλέης ἀπὸ ῥοιῆς
καρπὸς ἐρευθιόων ἐπεθήλεεν οἴνοπι καρπῶι
ἀγχιφύτωι, καὶ μῆλον ἐπήνθεε γείτονι μήλωι·
πολλὰ δὲ Φοιβείοισι σοφοῖς ποικίλλετο φύλλοις
γράμματα δενδρήεντα φιλοκλαύτων ὑακίνθων·
καὶ Ζεφύρου πνείοντος ἀεξιφύτου διὰ κήπου
ἄστατον ὄμμα τίταινε πόθων ἀκόρητος Ἀπόλλων,
καί, φυτὸν ἡβητῆρος ἰδὼν δεδονημένον αὔραις,
δίσκου μνῆστιν ἔχων ἐλελίζετο, μή ποτε κούρωι
ζηλήμων φθονέσειε καὶ ἐν πετάλοισιν ἀήτης,
εἰ ἐτεόν ποτε κεῖνον ἐπισπαίροντα κονίηι
ὄμμασιν ἀκλαύτοισιν ἰδὼν δάκρυσεν Ἀπόλλων,
καὶ τύπος ἀνθεμόεις μορφώσατο δάκρυα Φοίβου
αἴλινον αὐτοκέλευστον ἐπιγράψας ὑακίνθωι.
ὄρχατος ἔπλετο τοῖος ἐύσκιος· ἄγχι δὲ πηγὴ
δίστομος, ἔνθεν ἔην ναέταις ποτόν, ἔνθεν ἀλωεὺς
ἐξ ἀμάρης ὀχέτευε πολυσχιδὲς ἀγκύλον ὕδωρ
εἰς φυτὸν ἄλλο μετ' ἄλλο· ῥόος δέ τις ὡς ἀπὸ Φοίβου
ἁβρὰ μελιζομένης ἐπεβόμβεε πυθμένι δάφνης.
καὶ πολὺς εὐποίητος ἐρεισάμενος πόδα πέτρωι
χρύσεος ἵστατο κοῦρος, ἐναντία δαιτυμονήων
λαμπάδος ἑσπερίης τανύων ἐπιδόρπιον αἴγλην·
πολλαὶ δ' ἰσοτύπων μελέων τεχνήμονι σιγῆι
χάσμασι ποιητοῖσι σεσηρότος ἀνθερεῶνος
ψευδαλέων σκυλάκων στίχες ἔμφρονες ἄγχι θυράων
ἔστασαν ἔνθα καὶ ἔνθα, καὶ ἀργυρέωι κυνὶ γείτων
χρύσεος οἰδαίνοντι κύων συνυλάκτεε λαιμῶι
σαίνων ἠνθάδα φῶτα· παραστείχοντι δὲ Κάδμωι
μιμηλῆς ἀπέπεμπε βοῆς ξεινοσσόον Ἠχώ,
ποιητῆς δ' ἐλέλιζε φιλοστόργου τύπον οὐρῆς.
ὄφρα μὲν εἰσέτι Κάδμος ἐυστρέπτοιο προσώπου
ὄμματα δινεύων διεμέτρεε κῆπον ἀνάκτων
καὶ γλυφίδας καὶ κάλλος ὅλον γραπτοῖο μελάθρου,
λαϊνέων ὀρόων ἀμαρύγματα φαιδρὰ μετάλλων,
τόφρα δὲ καλλείψας ἀγορὴν καὶ νείκεα λαῶν,
φαιδρὸς ἀερσιλόφοιο περὶ ῥάχιν ἥμενος ἵππου,
Ἠμαθίων Θρήισσαν ἔχων Σάμον, Ἄρεος ἕδρην,
μητέρος Ἠλέκτρης βασιλήιον εἰς δόμον ἔστη,
ὃς τότε μοῦνος ἄνασσε κασιγνήτοιο νομεύων
ἡνία κοιρανέης, ὅτι πάτριον οὖδας ἐάσας
Δάρδανος ἀντικέλευθον ἐνάσσατο πέζαν ἀρούρης,
Δαρδανίην εὔπυργον ἐπώνυμον ἄστυ χαράξας,
Ἰδαίην ἀροτῆρι διαγράψας κόνιν ὁλκῶι·
καὶ ῥόον Ἑπταπόροιο πιὼν καὶ χεύματα Ῥήσου

Ζῆνα λαβὼν ἐρύσειεν ἐς ἐννοσίγαιον ἐχέτλην.
αἴθε λαβὼν ἐρύσειεν, ὅπως Διὶ τοῦτο βοήσω·
'τέτλαθι διπλόα κέντρα καὶ ἀγρονόμων καὶ Ἐρώτων.'
ὡς νόμιος, κλυτότοξε, τεὸν ποίμαινε τοκῆα,
μὴ Κρονίδην ζεύξειε βοῶν ἐλάτειρα Σελήνη,
μὴ λέχος Ἐνδυμίωνος ἰδεῖν σπεύδουσα νομῆος
Ζηνὸς ὑποστίξειεν ἀφειδέι νῶτον ἱμάσθληι.
Ζεῦ ἄνα, πόρτις ἐοῦσα κερασφόρος ἤμβροτεν Ἰώ,
ὅττί σε μή ποτε τοῖον ἴδεν πόσιν, ὄφρα λοχεύσηι
ἰσοφυῆ τινα ταῦρον ὁμοκραίρωι παρακοίτηι.
Ἑρμείαν πεφύλαξο βοοκλόπον ἠθάδι τέχνηι,
μή σε λαβὼν ἅτε ταῦρον ἐὸν κλέψειε τοκῆα,
καὶ κιθάρην ὀπάσειε τεῶι πάλιν υἱέι Φοίβωι
ἅρπαγος ἁρπαμένου κειμήλιον. ἀλλὰ τί ῥέξω;
ὤφελεν ἀγρούπνοισιν ὅλον δέμας ὄμμασι λάμπων
Ἄργος ἔτι ζώειν, ἵνα δύσβατον εἰς νομὸν ἕλκων
πλευρὰ Διὸς πλήξειε καλαύροπι βουκόλος Ἥρης."
ἡ μὲν ἔφη· Κρονίδης δὲ λιπὼν ταυρώπιδα μορφὴν
εἴκελος ἠιθέωι περιδέδρομεν ἄζυγα κούρην·
καὶ μελέων ἔψαυσεν, ἀπὸ στέρνοιο δὲ νύμφης
μίτρην πρῶτον ἔλυσε περίτροχον, ὡς ἀέκων δὲ
οἰδαλέην ἔθλιψεν ἀκαμπέος ἄντυγα μαζοῦ,
καὶ κύσε χείλεος ἄκρον, ἀναπτύξας δὲ σιωπῆι
ἁγνὸν ἀνυμφεύτου πεφυλαγμένον ἅμμα κορείης
ὄμφακα Κυπριδίων ἐδρέψατο καρπὸν Ἐρώτων.
καὶ διδύμηι σφριγόωσα γονῆι κυμαίνετο γαστήρ·
καὶ ζαθέης ὠδῖνος ἑὴν ἐγκύμονα νύμφην
κάλλιπεν Ἀστερίωνι, βαθυπλούτωι παρακοίτηι,
Ζεὺς πόσις· ἀντέλλων δὲ παρὰ σφυρὸν Ἡνιοχῆος
νυμφίος ἀστερόεις ἀμαρύσσετο Ταῦρος Ὀλύμπου,
εἰαρινῶι Φαέθοντι φιλόδροσα νῶτα φυλάσσων,
ὀκλαδὸν ἀντέλλων ἐπικάρσιος· ἡμιβαφὴς δὲ
δεξιὸν Ὠρίωνι πόδα προβλῆτα τιταίνων
φαίνεται, ἑσπερίην δὲ θοώτερος ἄντυγα βαίνων
σύνδρομον ἀντέλλοντα παρέρχεται Ἡνιοχῆα.
ὣς ὁ μὲν ἐστήρικτο κατ' οὐρανόν. οὐ δὲ Τυφωεὺς
μέλλεν ἔτι κρατέειν Διὸς ἔντεα· τοξοφόρωι γὰρ
Ζεὺς Κρονίδης σὺν Ἔρωτι πόλον δινωτὸν ἐάσας
φοιταλέωι μαστῆρι δι' οὔρεος ἤντετο Κάδμωι
πλαζομένωι, ξυνὴν δὲ πολύτροπον ἤρτυε βουλὴν
ῥαψάμενος Τυφῶνι δυσηλακάτου λίνα Μοίρης.
καὶ Διὶ παμμεδέοντι συνέμπορος αἰγίβοτος Πὰν
δῶκε βόας καὶ μῆλα καὶ εὐκεράων στίχας αἰγῶν·
πλέξας δ' ἐκ καλάμων καλύβην ἑλικώδεϊ δεσμῶι
πῆξεν ὑπὲρ δαπέδοιο, καὶ ἀγνώστωι τινὶ μορφῆι
ποιμενίην ἐσθῆτα καθαψάμενος χροῒ Κάδμου
εἵμασι μιμηλοῖσι νόθον χλαίνωσε νομῆα·
καὶ δολίην σύριγγα φέρων εἰδήμονι Κάδμωι
δῶκε Τυφαονίοιο κυβερνήτειραν ὀλέθρου.
ψευδαλέον δὲ βοτῆρα καὶ ἡνιοχῆα γενέθλης

Ζεὺς καλέσας πτερόεντα μίαν ξυνώσατο βουλήν·
"Κάδμε πέπον, σύριζε, καὶ οὐρανὸς εὔδιος ἔσται·
δηθύνεις, καὶ Ὄλυμπος ἱμάσσεται· ἡμετέροις γὰρ
τεύχεσιν οὐρανίοις κεκορυθμένος ἐστὶ Τυφωεύς.
αἰγὶς ἐμοὶ μούνη περιλείπεται· ἀλλὰ τί ῥέξει
αἰγὶς ἐμὴ Τυφῶνος ἐριδμαίνουσα κεραυνῶι;
δείδια, μὴ γελάσειε γέρων Κρόνος, ἀντιβίου δὲ
ἅζομαι αὐχένα γαῦρον ἀγήνορος Ἰαπετοῖο·
δείδια μυθοτόκον πλέον Ἑλλάδα, μή τις Ἀχαιῶν
ὑέτιον Τυφῶνα καὶ ὑψιμέδοντα καλέσσηι
ἢ ὕπατον, χραίνων ἐμὸν οὔνομα. γίνεο βούτης
εἰς μίαν ἠριγένειαν, ἀμερσινόωι δὲ λιγαίνων
ῥύεο ποιμενίηι σέο πηκτίδι ποιμένα κόσμου,
μὴ νεφεληγερέταο Τυφωέος ἦχον ἀκούσω,
μὴ βροντὴν ἑτέροιο νόθου Διός, ἀλλά ἑ παύσω
μαρνάμενον στεροπῆισι καὶ αἰχμάζοντα κεραυνῶι.
εἰ δὲ Διὸς λάχες αἷμα καὶ Ἰναχίης γένος Ἰοῦς,
κερδαλέης σύριγγος ἀλεξικάκωι σέο μολπῆι
θέλγε νόον Τυφῶνος. ἐγὼ δέ σοι ἄξια μόχθων
δώσω διπλόα δῶρα· σὲ γὰρ ῥυτῆρα τελέσσω
ἁρμονίης κόσμοιο καὶ Ἁρμονίης παρακοίτην.
καὶ σύ, τελεσσιγόνοιο γάμου πρωτόσπορος ἀρχή,
τεῖνον, Ἔρως, σέο τόξα, καὶ οὐκέτι κόσμος ἀλήτης.
εἰ πέλεν ἐκ σέο πάντα, βίου φιλοτήσιε ποιμήν,
ἓν βέλος ἄλλο τάνυσσον, ἵνα ξύμπαντα σαώσηις·
ὡς πυρόεις, Τυφῶνι κορύσσεο, πυρσοφόροι δὲ
ἐκ σέο νοστήσωσιν ἐμὴν ἐπὶ χεῖρα κεραυνοί.
πανδαμάτωρ, ἕνα βάλλε τεῶι πυρί, θελγόμενον δὲ
σὸν βέλος ἀγρεύσειε, τὸν οὐ νίκησε Κρονίων·
Καδμείης δ' ἐχέτω φρενοθελγέος οἶστρον ἀοιδῆς,
ὅσσον ἐγὼ πόθον ἔσχον ἐς Εὐρώπης ὑμεναίους."
ὣς εἰπὼν κερόεντι πανείκελος ἔσσυτο ταύρωι,
ἔνθεν ὄρος πέλε Ταῦρος ἐπώνυμον. ὀξὺ δὲ τείνων
Κάδμος ὁμοφθόγγων δονάκων ἀπατήλιον ἠχώ,
κλίνας γείτονι νῶτον ὑπὸ δρυῒ φορβάδος ὕλης·
καὶ φορέων ἄγραυλον ἀληθέος εἷμα νομῆος,
πέμπε Τυφαονίηισι δολοπλόκον ὕμνον ἀκουαῖς
οἰδαλέηι φύσημα παρηίδι λεπτὸν ἰάλλων.
ἔνθα Γίγας φιλάοιδος ἐχιδναίωι ποδὸς ὁλκῶι
ἄνθορεν εἰσαΐων δόλιον μέλος· ἔνδοθι δ' ἄντρου
ὅπλα Διὸς φλογόεντα λιπὼν παρὰ μητέρι Γαίηι
τερψινόου σύριγγος ἐδίζετο γείτονα μολπὴν
ἑσπόμενος μελέεσσιν· ἰδὼν δέ μιν ἐγγύθι λόχμης
Κάδμος, ἅτε τρομέων, ὑπὸ ῥωγάδι κεύθετο πέτρηι.
ἀλλά μιν ὑψικάρηνος ἀλυσκάζοντα νοήσας
νεύμασιν ἀφθόγγοισι πέλωρ ἐκάλεσσε Τυφωεύς,
καὶ δόλον οὐ γίνωσκε λιγύθροον· ἀντιτύπωι δὲ
ποιμένι δεξιτερὴν μίαν ὤρεγεν, ἄρκυν ὀλέθρου
ἀγνώσσων· μεσάτωι δὲ δαφοινήεντι προσώπωι
ἀνδρομέωι γελόων κενεαυχέα ῥήξατο φωνήν·

ποσσὶν ὁμοζήλοισι. καὶ ἀκροτάτων ἀπὸ ταρσῶν
κυανέηι νεφέληι κεκαλυμμένον ἄχρι καρήνου
Κάδμον ἀσημάντοιο δι' ἄστεος ἤγαγε Πειθὼ
ξεινοδόκου βασιλῆος ἐρευνητῆρα μελάθρου,
πομπὸς ὁδοῦ Παφίης ὑπὸ νεύμασιν· ἔνθά τις ὄρνις,
ἑζομένη γλαυκῶπον ὑπὸ σκέπας ἁβρὸν ἐλαίης,
ὀμφαίη στόμα λάβρον ἀναπτύξασα κορώνη
ἠιθέωι νεμέσιζεν, ἐς Ἁρμονίην ὅτι νύμφην
ἤιε φειδομένωι γαμίωι ποδὶ νωθρὸς ὁδίτης,
καὶ πτερὰ σεισαμένη φιλοκέρτομον ἴαχε φωνήν·
"νήπιος ἔπλετο Κάδμος, ἢ ἔπλετο νῆις Ἐρώτων·
νυμφίον οὐ βραδὺν οἶδεν Ἔρως ταχύς· ἵλαθι, Πειθώ,
δηθύνει σέο Κάδμος ἐπειγομένης Ἀφροδίτης.
θερμὸς Ἔρως καλέειν σε· τί, νυμφίε, νωθρὸς ὁδεύεις;
ἡδύς, ὃς ἱμερόεντος Ἀδώνιδος ἔπλεο γείτων,
ἡδὺς ὁ Βυβλιάδεσσιν ὁμώλακα πατρίδα ναίων.
ἤλιτον, οὐ ῥόον εἶδες Ἀδώνιδος, οὐ χθόνα Βύβλου
ἔδρακες, ἧχι πέλει Χαρίτων δόμος, ἧχι χορεύει
Ἀσσυρίη Κυθέρεια καὶ οὐ φυγόδεμνος Ἀθήνη.
τερπομένην δὲ γάμοισι τιθηνήτειραν Ἐρώτων
Πειθὼ πομπὸν ἔχεις, οὐκ Ἄρτεμιν· ἴσχεο μόχθων,
Ἁρμονίης ἀπόναιο καὶ Εὐρώπην λίπε ταύρωι·
σπεῦδε, καὶ Ἠλέκτρη σε δεδέξεται, ἧς ἀπὸ χειρῶν
ναὶ δὴ καὶ γαμίων ἐμβάλλεο φόρτον Ἐρώτων
ἐμπορίην φιλότητος ἐπιτρέψας Ἀφροδίτηι,
Κυπριδίην δὲ θύγατρα φυλασσομένην σέο παστῶι
ἄλλην δέχνυσο Κύπριν· ἐπαινήσεις δὲ κορώνην,
καὶ γαμίην καλέσεις με θεοπρόπον ὄρνιν Ἐρώτων.
ἤλιτον· ἀλλά με Κύπρις ἐπέπνεεν· ἐκ Παφίης γὰρ
θεσπίζω σέο λέκτρα, καὶ εἰ πέλον ὄρνις Ἀθήνης."
ὣς φαμένη σφρήγισσε λάλον στόμα μάρτυρι σιγῆι.
ἀλλ' ὅτε οἱ στείχοντι λεωφόρα κύκλα κελεύθου
τηλεφανὴς βασιλῆος ἐφαίνετο πανδόκος αὐλὴ
κίοσιν ὑψωθεῖσα, τανυσσαμένη τότε Κάδμωι
δάκτυλον ἀντιτύποιο νοήμονα μάρτυρα φωνῆς
σιγαλέωι κήρυκι δόμον σημήνατο Πειθὼ
ποικίλον ἀστράπτοντα· καὶ αἰθέρα δύσατο δαίμων
ἀλλοφανὴς πτερόεντι διαιθύσσουσα πεδίλωι.
καὶ δόμον ἐσκοπίζεν ἀλήμονι Κάδμος ὀπωπῆι,
Ἡφαίστου σοφὸν ἔργον, ὃν Ἠλέκτρηι ποτὲ νύμφηι
ἐργοπόνος Λήμνοιο Μυριναίηι κάμε τέχνηι,
δαίδαλα πολλὰ φέροντα. νεοσταθέος δὲ μελάθρου
χάλκεος οὐδὸς ἔην εὐήλατος· ἀμφίθυροι δὲ
σταθμοὶ ἐμηκύνοντο πολυγλυφέων πυλεώνων,
καὶ λόφος ὀμφαλόεντι διεσφαίρωτο καρήνωι
μεσσοφανὴς ὀρόφοιο· λιθοστρώτοιο δὲ τοίχου
νῶτα κατεστήρικτο πεπηγότα λευκάδι γύψωι
εἰς μυχὸν ἐξ οὐδοῖο. πέλας δέ τις ὄρχατος αὐλῆς
ἀμφιλαφὴς δροσόεντι φυτῶν ἐβαρύνετο καρπῶι
τετράγυος πρὸ δόμοιο· καὶ ἄρσενα φύλλα πετάσσας

καὶ Σαμίης ὁρόωντες ἀκοιμήτου φλόγα πεύκης
ἀγχίγυοι στείλαντο γεγηθότες ἱστία ναῦται·
νῆα δὲ πορθμεύσαντες ἀκυμάντου σχεδὸν ὅρμου
νήνεμον ἀκροτάτοισιν ὕδωρ ἐχάρασσον ἐρετμοῖς,
καὶ λιμένος προσέκελσαν ὑπὸ σκέπας· ἀκλινέων δὲ
τρητὸς ὄνυξ πετραῖος ἐδέξατο πείσματα νηῶν,
καὶ διερῆς ψαμάθοιο βαθυνομένου διὰ κόλπου
ὁλκάδος ἀγκυλόδοντες ἐπεσφήκωντο χαλινοὶ
δυομένου Φαέθοντος· ἐπ' αἰγιαλοῖο δὲ ναῦται
ἀστορέας ψαμάθοισιν ἐπεστορέσαντο χαμεύνας
ἑσπερίην μετὰ δαῖτα· βαρυνομένοισι δὲ φωτῶν
ὄμμασιν ἄψοφον ἴχνος ἐπήγαγεν Ὕπνος ἀλήτης.
ἀλλ' ὅτε πορφυρέοιο παρὰ πτερὸν αἴθοπος Εὔρου
ἄκρα χαρασσομένην ὑπὸ ῥωγάδα Τευκρίδος Ἴδης
ὄρθρον ἀποπτύουσα φάνη λιμενοσκόπος Ἠώς,
ἀντιπόρου μέλαν οἶδμα καταυγάζουσα θαλάσσης,
Ἁρμονίην τότε Κύπρις ἵνα ζεύξειεν ἀκοίτηι,
ἄπλοα σιγαλέης ἐτανύσσετο νῶτα γαλήνης.
ἤδη δ' ἔκλαγεν ὄρνις ἑώιος ἠέρα τέμνων,
καὶ στίχες εὐπήληκες ἐρημονόμων Κορυβάντων
Κνώσσιον ἐκρούσαντο σακεσπάλον ἅλμα χορείης
ἴχνεσι μετρητοῖσιν· ἐρισμαράγου δὲ βοείης
τυπτομένης ἑλικηδὸν ἁμιλλητῆρι σιδήρωι
δίκτυπος αὐλὸς ἔμελπε, καὶ ὀρχηστῆρας ἐπείγων
σύνθροον ἐσμαράγησε μέλος βητάρμονι παλμῶι.
καὶ δρύες ἐψιθύριζον, ἐμυκήσαντο δὲ πέτραι,
καὶ νοερῶι σείοντο τινάγματι θυιάδες ὗλαι,
καὶ Δρυάδες κελάδησαν· ἐπεσσεύοντο δὲ πυκναὶ
εἰς χορὸν ἀντιπόρωι σκιρτήματι κυκλάδες Ἄρκτοι,
βρυχηθμῶι δὲ Λέοντες ὁμοζήλων ἀπὸ λαιμῶν
μυστιπόλων ἀλαλαγμὸν ἐμιμήσαντο Καβείρων
ἔμφρονα λύσσαν ἔχοντα· φιλοσκύλακος δὲ θεαίνης
μελπομένης Ἑκάτης θιασώδεες ἔβρεμον αὐλοὶ
ἄζυγες, οὓς Κρονίη κεραοξόος εὕρατο τέχνη.
καὶ πατάγωι κελάδοντι φιλοσμαράγων Κορυβάντων
πρώιος ἔγρετο Κάδμος, ὁμοπλεκέες δὲ καὶ αὐτοὶ
ὀρθρινῆς ἀΐοντες ἀσιγήτοιο βοείης
Σιδόνιοι πλωτῆρες ἐυκροκάλων ἀπὸ λέκτρων
ἀκταίης μεθέηκαν ἁλίκτυπα νῶτα χαμεύνης.
καὶ πόλιν ἰχνεύων ἐπλάζετο Κάδμος ὁδίτης
νῆα λιπὼν ἑτάροισιν ἀπόσσυτος· ἐρχομένωι δὲ
εἰς δόμον Ἁρμονίης θαλαμηπόλος ἤντετο Πειθὼ
θνητῆς εἶδος ἔχουσα, καὶ ἀχθοφόρον διὰ κόλπου,
οἷα γυνὴ ταλαεργός, ἀφυσσαμένη πόμα πηγῆς
ἀργυρέην εὔκυκλον ἐκούφισε κάλπιν ἀγοστῶι,
ἄγγελος ἐσσομένων, ὅτι νυμφίον ἠθάδι θεσμῶι
ζωογόνοις πρὸ γάμοιο καθικμαίνουσι λοετροῖς.
καὶ σχεδὸν ἄστεος ἦεν, ὅθι γλαφυροῖς ἐνὶ βόθροις
συμπλεκέων ῥυπόωσαν ἐπασσυτέρων στίχα πέπλων
ποσσὶ πολυσκάρθμοισιν ἐπιστείβουσι γυναῖκες,

"αἰπόλε, τί τρομέεις με; τί φάεα χειρὶ καλύπτεις;
καλὸν ἐμοὶ βροτὸν ἄνδρα μετὰ Κρονίωνα διώκειν,
καλὸν ἐμοὶ σύριγγα σὺν ἀστεροπῆισιν ἀείρειν·
τί ξυνὸν καλάμοισι καὶ αἰθαλόεντι κεραυνῶι;
πηκτίδα σὴν ἔχε μοῦνος, ἐπεὶ λάχεν ἄλλο Τυφωεὺς
ὄργανον αὐτοβόητον Ὀλύμπιον· ἑζόμενος δὲ
χερσὶν ἀδουπήτοισιν ἐθήμονος ἄμμορος ἠχοῦς
πηκτίδος ὑμετέρης ἐπιδεύεται ἀννέφελος Ζεύς·
σῶν δ' ὀλίγων δονάκων ἐχέτω κτύπον· οὐτιδανοὺς γὰρ
οὐ πλεκτοὺς καλάμους καλάμοις στοιχηδὸν ἑλίσσω,
ἀλλὰ κυλινδομένας νεφέλας νεφέληισι συνάπτων
οὐρανίοις πατάγοισιν ὁμόζυγα δοῦπον ἰάλλω.
στήσω δ', ἢν ἐθέληις, φιλίην ἔριν· ἀλλὰ σὺ μέλπων
πέμπε μέλος δονακῶδες, ἐγὼ βρονταῖον ἀράσσω·
πνεύματι μὲν σφριγόωσαν ἔχων προβλῆτα παρειὴν
φυσιάαις στομάτεσσιν, ἱμασσόμενοι δὲ Βορῆος
ἄσθματι φυσητῆρος ἐμοὶ βρομέουσι κεραυνοί.
βουκόλε, μισθὸν ἔχοις σέο πηκτίδος· οὐράνιον γὰρ
ἀντὶ Διὸς σκηπτοῦχος ὅτε θρόνον ἡνιοχεύσω,
ἑσπόμενον μετὰ γαῖαν ἐς αἰθέρα καὶ σὲ κομίσσω
αὐτῆι ὁμοῦ σύριγγι καί, ἢν ἐθέληις, ἅμα ποίμνηι·
οὐδὲ τεῆς ἀγέλης νοσφίσσεαι· ἰσοτύπου γὰρ
στηρίξω σέθεν αἶγας ὑπὲρ ῥάχιν Αἰγοκερῆος
ἢ σχεδὸν Ἡνιοχῆος, ὃς Ὠλενίην ἐν Ὀλύμπωι
πήχεϊ μαρμαίροντι σελασφόρον Αἶγα τιταίνει·
στήσω δ' ὀμβροτόκοιο παρὰ πλατὺν αὐχένα Ταύρου
σοὺς βόας ἀστερόεντας ἐπαντέλλοντας Ὀλύμπωι,
ἢ δροσερὴν παρὰ νύσσαν, ὅπηι ζωθαλπέι λαιμῶι
ἠνεμόεν μύκημα βόες πέμπουσι Σελήνης.
οὐδὲ τεῆς καλύβης ὀλίγης χρέος· ἀντὶ δὲ λόχμης
αἰθερίαις Ἐρέφοισι συναστράπτοι σέο ποίμνη.
καὶ φάτνης ἑτέρης τελέσω τύπον, ὄφρα καὶ αὐτὴ
ἰσοφυὴς λάμψειεν Ὄνων παρὰ γείτονι Φάτνηι.
ἔσσο καὶ ἀστερόεις μετὰ βουκόλον, ἧχι Βοώτης
φαίνεται, ἀστραίην δὲ καλαύροπα καὶ σὺ τιταίνων
ἔσσο Λυκαονίης ἐλατὴρ Ἀρκτῶιος Ἁμάξης.
οὐρανίου Τυφῶνος ὁμέστιος, ὄλβιε ποιμήν,
σήμερον ἐν χθονὶ μέλπε, καὶ αὔριον ἐντὸς Ὀλύμπου.
μολπῆς δ' ἄξια δῶρα παρ' ἀστεροφεγγέι κύκλωι
στηρίξω σέθεν ὄψιν Ὀλύμπιον, ἡδυμελῆ δὲ
οὐρανίηι Φόρμιγγι τεὴν σύριγγα συνάψω.
σοὶ γάμον, ἢν ἐθέληις, δωρήσομαι ἁγνὸν Ἀθήνης·
εἰ δέ σοι οὐ γλαυκῶπις ἐπεύαδε, δέχνυσο Λητὼ
ἢ Χάριν ἢ Κυθέρειαν ἢ Ἄρτεμιν ἢ γάμον Ἥβης·
μούνης ἡμετέρης μὴ δίζεο δέμνιον Ἥρης.
εἰ δ' ἔλαχες πλήξιππον ἀδελφεὸν ἴδμονα δίφρου,
ἔμπυρον Ἠελίου τετράζυγον ἅρμα δεχέσθω·
εἰ δὲ Διὸς ποθέεις, ὡς αἰπόλος, αἰγίδα πάλλειν,
δώσω σοι τόδε δῶρον. ἐγὼ δ' ἐς Ὄλυμπον ὁδεύσω
οὐκ ἀλέγων Κρονίωνος ἀτευχέος· οὐτιδανὴ γὰρ

ἔντεσι θῆλυς ἐοῦσα τί μοι ῥέξειεν Ἀθήνη;
ἀλλὰ Τυφαονίην ἀναβάλλεο, βουκόλε, νίκην,
γνήσιον ὑμνείων μὲ νέον σκηπτοῦχον Ὀλύμπου
σκῆπτρα Διὸς φορέοντα καὶ ἀστράπτοντα χιτῶνα."
εἶπε, καὶ Ἀδρήστεια τόσην ἐγράψατο φωνήν.
ἀλλ' ὅτε δὴ γίνωσκεν ἑκούσιον εἰς λίνον ἄγρης
νήματι Μοιριδίωι πεφορημένον υἱὸν ἀρούρης
◆ τερψινόων δονάκων βεβολημένον ἡδέι κέντρωι,
κερδαλέην ἀγέλαστος ἀνήρυγε Κάδμος ἰωήν·
"βαιὸν ἐμῆς σύριγγος ἐθάμβεες ἦχον ἀκούσας·
εἰπέ, τί κεν ῥέξειας, ὅταν σέο θῶκον ἀείσω
ἑπτατόνου κιθάρης ἐπινίκιον ὕμνον ἀράσσων;
καὶ γὰρ ἐπουρανίοισιν ἐγὼ πλήκτροισιν ἐρίζων
Φοῖβον ἐμῆι φόρμιγγι παρέδραμον, ἡμετέρας δὲ
χορδὰς εὐκελάδους Κρονίδης ἀμάθυνε κεραυνῶι
υἱέι νικηθέντι φέρων χάριν· εἰ δέ ποθ' εὕρω
νεῦρα πάλιν σφριγόωντα, μέλος πλήκτροισι τιταίνων
θέλξω δένδρεα πάντα καὶ οὔρεα καὶ φρένα θηρῶν·
καὶ στέφος αὐτοέλικτον, ὁμόζυγον ἥλικι γαίηι,
Ὠκεανὸν σπεύδοντα παλινδίνητον ἐρύξω
τὴν αὐτὴν περὶ νύσσαν ἄγειν κυκλούμενον ὕδωρ,
ἀπλανέων δὲ φάλαγγα καὶ ἀντιθέοντας ἀλήτας
στήσω, καὶ Φαέθοντα καὶ ἱστοβοῆα Σελήνης.
ἀλλὰ θεοὺς καὶ Ζῆνα βαλὼν πυρόεντι βελέμνωι
μοῦνον ἔα κλυτότοξον, ὅπως περὶ δεῖπνα τραπέζης
L2[I] δαινυμένου Τυφῶνος ἐγὼ καὶ Φοῖβος ἐρίζω,
𝔹 τίς τίνα νικήσειε μέγαν Τυφῶνα λιγαίνων.
Πιερίδας μὴ κτεῖνε χορίτιδας, ὄφρα καὶ αὐταὶ
Φοίβου κῶμον ἄγοντος ἢ ὑμετέροιο νομῆος
θῆλυ μέλος πλέξωσιν ὁμόθροον ἄρσενι μολπῆι."
ἔννεπε· καὶ χαροπῆισιν ἐπ' ὀφρύσι νεῦσε Τυφωεύς,
καὶ πλοκάμους ἐδόνησεν· ἐρευγομένων δὲ κομάων
ἰὸν ἐχιδνήεντα περιρραίνοντο κολῶναι.
καὶ ταχὺς εἰς ἑὸν ἄντρον ἐπείγετο· κεῖθεν ἀείρας
νεῦρα Διὸς δολόεντι πόρεν ξεινήια Κάδμωι,
νεῦρα, τά περ χθονὶ πῖπτε Τυφαονίηι ποτὲ χάρμηι.
καὶ δόσιν ἀμβροσίην ἀπατήλιος ἤινεσε ποιμήν·
καὶ τὰ μὲν ἀμφαφάασκε καὶ ἅρμενον οἷά τε χορδὴν
ἐσσομένην φόρμιγγι κατέκρυφε κοιλάδι πέτρηι,
Ζηνὶ Γιγαντοφόνωι πεφυλαγμένα· φειδομένωι δὲ
λεπταλέον φύσημα μεμυκότι χείλεϊ πέμπων,
θλιβομένοις δονάκεσσιν ὑποκλέπτων τόνον ἠχοῦς,
λαρότερον μέλος εἶπε· καὶ οὔατα πολλὰ τιταίνων,
ἁρμονίης ἤκουε, καὶ οὐ γίνωσκε Τυφωεύς.
θελγομένωι δὲ Γίγαντι νόθος παρεσύρισε ποιμὴν
ἀθανάτων ἅτε φύζαν ἑῆι σύριγγι λιγαίνων,
καὶ Διὸς ἐσσομένην ἐμελίζετο γείτονα νίκην
Nonnus ἑζομένωι Τυφῶνι μόρον Τυφῶνος ἀείδων·
καὶ πλέον οἶστρον ἔγειρε. καὶ ὡς νέος ἡδέι κέντρωι
1.550 ἁβρὸς ἐρωμανέων ἐπιθέλγεται ἥλικι κούρηι,
καὶ πῆι μὲν χαρίεντος ἐς ἄργυφα κύκλα προσώπου,
πῆι δὲ βαθυσμήριγγος ἀλήμονα βότρυν ἐθείρης
δέρκεται, ἄλλοτε χεῖρα ῥοδόχροον, ἄλλοτε μίτρηι
σφιγγομένην ῥοδόεντος ἴτυν μαζοῖο δοκεύει
αὐχένα παπταίνων γυμνούμενον, ἀμφὶ δὲ μορφῆι
θέλγεται ἀλλοπρόσαλλον ἄγων ἀκόρητον ὀπωπήν,
οὐ δὲ λιπεῖν ἐθέλει ποτὲ παρθένον· ὣς ὅ γε Κάδμωι
θελγομένην μελέεσσιν ὅλην φρένα δῶκε Τυφωεύς. 558 1.534

Λῦτο δ' ἀγών, ὅτε χεῖμα παρήλυθεν· ἄκρα δὲ φαίνων 3.1
ἀννεφέλωι τελαμῶνι φαεσφόρα νῶτα μαχαίρης
Ὠρίων ἀνέτελλε, καὶ οὐκέτι κυκλάδι λίμνηι
λούετο παχνήεντα δεδυκότος ἴχνια Ταύρου·
οὐκέτι δ' ὀμβροτόκοιο παρὰ κλίμα διψάδος Ἄρκτου
ἴχνεσιν ἀβρέκτοισιν ὁδεύετο μάρμαρον ὕδωρ·
οὐκέτι Μασσαγέτης μετανάστιον οἶκον ἱμάσσων,
δουρατέωι τροχόεντι διαστείβων ῥόον ὁλκῶι,
ὑδρηλὰς ἐχάρασσε πεπηγότος αὔλακας Ἴστρου·
ἤδη γὰρ Ζεφύροιο προάγγελος ἔγκυος Ὥρη
σχιζομένων καλύκων δροσεροὺς ἐμέθυσσεν ἀήτας,
καὶ λιγυρὴ μερόπεσσι συνέστιος εἴαρι κῆρυξ
ὄρθριον ὕπνον ἄμερσε λάλος τρύζουσα χελιδὼν
ἀρτιφανής, καὶ γυμνὸν ἀπ' εὐόδμοιο καλύπτρης
εἰαριναῖς ἐγέλασσε λελουμένον ἄνθος ἐέρσαις
ζωογόνοις. Κιλίκων δὲ παρὰ κροκόεντας ἐναύλους
ὑψιλόφου Ταύροιο λιπὼν πρηῶνα κεράστην
πρώιος ἤιε Κάδμος, ὅτε ζόφον ἔσχισεν Ἠώς. L2[I]
καὶ πλόος ὥριος ἦεν· ἐπειγομένοιο δὲ Κάδμου 𝔹
ἐκ χθονὸς ὠχλίζοντο χαλινωτήρια νηῶν·
ἱστὸς δ' ὑψικάρηνος ὑπέρτερον ἠέρα τύπτων
ὄρθιος ἐστήρικτο, καὶ ἠρέμα πόντον ἱμάσσων
ἄσθμασιν ἠώιοις ἐπεβόμβεε κοῦφος ἀήτης,
πομπὸν ἔχων κελάδημα, καὶ ἀλλοπρόσαλλα θυέλλαις
οἴδματα κυρτώσας διερῆς ἀνέκοψε χορείης
σιγαλέης δελφῖνα κυβιστητῆρα γαλήνης.
συμπλεκέες δὲ κάλωες ἐσύρισαν ὀξέι ῥοίζωι,
σπερχομένωι δ' ἀνέμωι πρότονοι μύκον, ἰθυπόρου δὲ
λαῖφος ἐκολπώθη βεβιημένον ἔγκυον αὔρης·
σχίζετο δ' ἄστατον οἶδμα παλιμπετές, ἄφρεε δ' ὕδωρ
οἰδαλέον, καὶ νηὸς ἐπειγομένης διὰ πόντου
κύματι βομβήεντι περὶ τρόπιν ἤπυεν ἠχώ·
πηδαλίου δὲ κόρυμβα διχαζομένης ἁλὸς ὁλκῶι
κυρτὰ φαληριόωντα κατέγραφε νῶτα θαλάσσης.
καὶ δεκάτης μετὰ νύσσαν ἀχείμονα κυκλάδος Ἠοῦς
Κάδμος ἀκυμάντοισι Διὸς πεφορημένος αὔραις,
Τρώιον ὑγρονόμοιο διασχίζων πόρον Ἕλλης,
ἅρπαγος ἐξ ἀνέμοιο μεμυκότι σύρετο πορθμῶι
εἰς Σάμον ἀντικέλευθον ἐγερσιμόθοιο Καμάνδρου,
γείτονα Σιθονίης, ὅθι παρθένος εἰσέτι Κάδμωι Nonnus
Ἁρμονέη πεφύλακτο· καὶ ὁλκάδα θέσπιδι Ῥείηι
Θρηικίην πόμπευον ἐς ἠιόνα μάντιες αὖραι. 3.42

νιάσι δ' ἀντικέλευθον ἔχων τύπον Ἰφιμεδείης 9
Nonnus κρύψω ἀλυκτοπέδῃσι περίπλοκον υἱέα Μαίης
χαλκέωι ἐν κεράμωι πεφυλαγμένον, ὄφρά τις εἴπηι·
'λύσας δεσμὸν Ἄρηος ἐκεύθετο δέσμιος Ἑρμῆς.'
λυσαμένη δ' ἄψαυστον ἑῆς σφρηγῖδα κορείης
Ἄρτεμις Ὠρίωνος ἀναγκαίη δάμαρ ἔστω,
καὶ Τιτυῶι πετάσειε παλαίτερα φάρεα Λητώ,
εἰς γάμον ἑλκομένη βεβιημένον· ἀνδροφόνον δὲ
ῥωγαλέων σακέων γυμνούμενον Ἄρεα δήσας
κοίρανον ὑσμίνης λῄσσομαι ἀντὶ φονῆος
μείλιχον, ὀψιγάμωι δὲ συναπτομένην Ἐφιάλτηι
◆ Παλλάδα ληιδίην νυμφεύσομαι, ὄφρα νοήσω
Ἄρεα θητεύοντα καὶ ὠδίνουσαν Ἀθήνην.
καὶ μογεροῖς ὤμοισι παλινδίνητον ἀείρων
οὐρανὸν Ἀτλάντειον ἐλαφρίσσειε Κρονίων
ὄρθιος, ἡμετέρων δὲ γάμων ὑμέναιον ἀκούσηι
ζῆλον ὑποκλέπτων, ὅτε νυμφίος ἔσσομαι Ἥρης.
οὐ μὲν ἐγὼ δαΐδων ἐπιδεύομαι· αὐτόματος δὲ
δαλὸς ἐμῶν θαλάμων στεροπῆς σέλας, ἀντὶ δὲ πεύκης
αὐτὸς ἐμοὶ Φαέθων ἰδίης φλογὸς ἁψάμενος πῦρ
νυμφιδίωι τανύσειε Τυφωέι δούλιον αἴγλην,
καὶ γαμίους σπινθῆρας ἐπαιθύσσοντες Ὀλύμπωι
ἀστέρες ἀστράψειαν ἐμῶν λαμπτῆρες Ἐρώτων,
ἀστέρες ἕσπερα λύχνα· σὺν εὐθαλάμωι δ' Ἀφροδίτηι
εὐνέτις Ἐνδυμίωνος ἐμὴ θεράπαινα Σελήνη
L1[O] δέμνιά μοι στορέσειε· καὶ εἰ χρέος ἐστὶ λοετρῶν,
𝔸 λούσομαι ἀστερόεντος ἐν ὕδασιν Ἠριδανοῖο·
ἀλλὰ Διὸς μετὰ λέκτρα Τυφωέι, κυκλάδες Ὧραι,
πήξατε παστὸν Ἔρωτος· ἀπ' Ὠκεανοῦ δὲ καὶ αὐταί,
Λητώ, Ἀθηναίη, Παφίη, Χάρις, Ἄρτεμις, Ἥβη,
νυμφοκόμωι Τυφῶνι κομίσσατε σύγγονον ὕδωρ·
καὶ γαμίοις πλήκτροισιν ἐμῆς παρὰ δαῖτα τραπέζης 1
ἀντὶ Διὸς μέλψειε Τυφωέα λάτρις Ἀπόλλων.
οὐ ξείνου δαπέδοιο φέρω πόθον· ἡμέτερον γὰρ
Οὐρανὸν ἀστερόνωτον ἀδελφεὸν ἡνιοχεύσω,
οὐρανὸν οἶκον ἔχων μητρώιον, υἱέα γαίης.
καὶ Κρόνον ὠμηστῆρα τὸ δεύτερον εἰς φάος ἕλκων
γνωτὸν ἐμὸν συνάεθλον ἀπὸ χθονίοιο βερέθρου
λύσω δεσμὰ βίαια, παλιννόστους δὲ τελέσσω 1
αἰθερίους Τιτῆνας, ὁμωροφίους δὲ κομίσσω
Γηγενέας Κύκλωπας ἐς οὐρανόν, ἄλλα δὲ τεύξω
ὅπλα πυρός· πολέων γὰρ ἐμοὶ χρέος ἐστὶ κεραυνῶν,
ὅττι διηκοσίηισι, καὶ οὐ διδύμαις πολεμίζω
χερσὶν ἐγὼ Κρονίδηι πανομοίιος· ἀντιτύπους δὲ
κρείσσονας ὀψιγόνους πολυφεγγέι μείζονι πυρσῶι
ἀστεροπὰς ἑτέρας χαλκεύσομαι, εὐρύτερον δὲ
ὄγδοον οὐρανὸν ἄλλον ὑπέρτερον ὑψόθι τεύξω
ἄστρασι φαιδροτέροισι κεκασμένον· οὐ δύναται γὰρ
ἀγχιφανὴς πόλος οὗτος ὅλον Τυφῶνα καλύψαι.
καὶ μετὰ θήλεα τέκνα καὶ ἀρσενόπαιδα γενέθλην 11

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The second has Typhon's battle ranging through the stars, and lightning, and the struggles of Zeus, and the triumph of Olympus.

NONNUS

DIONYSIACA

BOOK 2

PREVIEW BOOK 4

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 712 lines 3.0
𝔸 2L 1 - 350
𝔹 2L 351 - 712

PRINT 2-SIDED: **11** to **18**

Ως ὁ μὲν αὐτόθι μίμνε παρὰ σφυρὰ φορβάδος ὕλης
ἀκροπόρωι σύριγγι μετάτροπα χείλεα σύρων,
Κάδμος Ἀγηνορίδης νόθος αἰπόλος· ἀπροϊδὴς δὲ
Ζεὺς Κρονίδης ἀκίχητος ὑπὸ σπέος ἄψοφος ἕρπων
χεῖρας ἑὰς ἐκόρυσσε τὸ δεύτερον ἠθάδι πυρσῶι.
καὶ νέφος ἔσκεπε Κάδμον ἀθηήτωι παρὰ πέτρηι,
μὴ δόλον ἠπεροπῆα μαθὼν καὶ φῶρα κεραυνοῦ
λάθριον ὑστερόμητις ἀποκτείνειε Τυφωεὺς
βουκόλον ἀλλοπρόσαλλον· ὁ δὲ πλέον ἠδέι κέντρωι
ἤθελεν εἰσαΐειν φρενοθελγέα ῥυθμὸν ἀοιδῆς.
ὡς δ᾽ ὅτε τις Σειρῆνος ἐπίκλοπον ὕμνον ἀκούων
εἰς μόρον αὐτοκέλευστον ἀώριος εἵλκετο ναύτης,
θελγόμενος μελέεσσι, καὶ οὐκέτι κῦμα χαράσσων
γλαυκὸν ἀκυμάντοισιν ὕδωρ λεύκαινεν ἐρετμοῖς,
ἀλλὰ λιγυφθόγγοιο πεσὼν ἐπὶ δίκτυα Μοίρης
τέρπετο πηδαλίοιο λελασμένος, ἄστρον ἐάσας
Πλειάδος ἑπταπόροιο καὶ ἄντυγα κυκλάδος Ἄρκτου·
ὣς ὅ γε κερδαλέης δεδονημένος ἄσθμασι μολπῆς
πηκτίδος ἡδὺ βέλεμνον ἐδέξατο πομπὸν ὀλέθρου.

ἀλλὰ καλυπτομένου νεφέων σκιοειδέι μίτρηι
ἔμπνοος εὐκελάδοιο δόναξ σίγησε νομῆος,
ἁρμονίην δ᾽ ἀνέκοψεν. ἀερσιπότης δὲ Τυφωεὺς
οἶστρον ἑλὼν πολέμοιο κατέδραμεν εἰς μυχὸν ἄντρου,
βροντὴν δ᾽ ἠνεμόφοιτον ἐδίζετο φοιτάδι λύσσηι
καὶ στεροπὴν ἀκίχητον, ἐρευνητῆρι δὲ ταρσῶι
L1[I] 𝔸 ζαφλεγὲς ἁρπαμένοιο σέλας μάστευε κεραυνοῦ,
καὶ κενεὸν σπέος εὗρε. δολοφραδέας δὲ μενοινὰς
ὀψὲ μαθὼν Κρονίδαο καὶ αἰόλα δήνεα Κάδμου
αἰχμάζων σκοπέλοισιν ἐπεσκίρτησεν Ὀλύμπωι.
καὶ ποδὸς ἀγκύλον ἴχνος ἄγων ὀφιώδεϊ ταρσῶι
ἰὸν ἀκοντιστῆρος ἀπέπτυεν ἀνθερεῶνος·
ὑψιλόφου δὲ Γίγαντος ἐχιδναίηισιν ἐθείραις
πίδακας ὀμβρήσαντος ἐκυμαίνοντο χαράδραι·
καί οἱ ἐπαΐσσοντι βαθυνομένην χθονὸς ἕδρην
ἀκλινέος δαπέδοιο Κίλιξ ἐλελίζετο πυθμὴν
ποσσὶ δρακοντείοισι, πολυσφαράγωι δὲ κυδοιμῶι
Ταυρείου λοφόεντος ἀρασσομένου κενεῶνος
γείτονες ὠρχήσαντο φόβωι Παμφυλίδες ὄχθαι,
καὶ χθόνιαι σήραγγες ἐβόμβεον, ἔτρεμον ἄκραι
ἠιόνες, σείοντο μυχοί, καὶ ὀλίσθανον ἀκταὶ
λυομένης ψαμάθοιο ποδῶν ἐνοσίχθονι παλμῶι.
οὐ νομός, οὐ τότε θῆρες ἀπήμονες· ὠμοβόροι γὰρ
ἄρκτοι ἐδαιτρεύοντο Τυφαονίοιο προσώπου
ἀρκτώιαις γενύεσσι, λεοντείων δὲ καρήνων
γλαυκὰ δασυστέρνων ἐλαφύσσετο γυῖα λεόντων
χάσμασιν ἰσοτύποισιν, ἐχιδνήεντι δὲ λαιμῶι
ψυχρὰ πεδοτρεφέων ἐδαΐζετο νῶτα δρακόντων,
ἠερίους δ᾽ ὄρνιθας ἐδαίνυτο γείτονι λαιμῶι
ἱπταμένους ἀβάτοιο δι᾽ αἰθέρος, ἀγχιφανῆ δὲ
αἰετὸν ἤσθιε μᾶλλον, ἐπεὶ Διὸς ὄρνις ἀκούει·

10 (4C) παντοίη σμαράγησε καὶ οὐ μία σύνθροος ἠχώ·
τοῦ δὲ κορυσσομένοιο φυῆς πολυειδέι μορφῆι
ὠρυγὴ κελάδησε λύκων, βρύχημα λεόντων,
ἆσθμα συῶν, μύκημα βοῶν, σύριγμα δρακόντων,
πορδαλίων θρασὺ χάσμα, κορυσσομένων γένυς ἄρκτων,
λύσσα κυνῶν· μεσάτηι δὲ Γίγας βροτοειδέι μορφῆι
Ζηνὸς ἀπειλήτειραν ἀπερροίβδησεν ἰωήν·

“χεῖρες ἐμαί, Διὸς οἶκον ἀράξατε, πυθμένα κόσμου
σείσατε σὺν μακάρεσσι, καὶ αὐτοέλικτον Ὀλύμπου
κόψατε θεῖον ὀχῆα, καὶ αἰθερίης ἐπὶ γαίηι
κίονος ἑλκομένης φυγέτω δεδονημένος Ἄτλας,
ἄντυγα δ᾽ ἀστερόφοιτον ἀπορρίψειεν Ὀλύμπου,
μηκέτι δειμαίνων ἕλικα δρόμον — οὐ γὰρ ἐάσω
ὤμοις θλιβομένοις κυρτούμενον υἱὸν ἀρούρης
αἰθέρος ὀχλίζοντα παλινδίνητον ἀνάγκην —,
ἀλλὰ θεοῖς ἑτέροισιν ἀτέρμονα φόρτον ἐάσας
μαρνάσθω μακάρεσσιν, ἀναρρήξειε δὲ πέτρας
τρηχαλέοις βελέεσσιν ὀιστεύων πόλον ἄστρων,
ὃν πάρος ἠέρταζεν, ἱμασσόμεναι δὲ κολώναις
ταρβαλέαι φυγέτωσαν ἀνάλκιδες οὐρανὸν Ὧραι,
δμωίδες Ἠελίοιο· περιπλέγδην δὲ λαβοῦσαι
ἠέρι μίξατε γαῖαν, ὕδωρ πυρί, πόντον Ὀλύμπωι.
καὶ πισύρων ἀνέμων τελέσω δούλειον ἀνάγκην,
μαστίζω Βορέην, κλονέω Νότον, Εὖρον ἱμάσσω,
καὶ Ζέφυρον πλήξαιμι, καὶ ἤματι νύκτα κεράσσω
χειμερίην· καὶ γνωτὸς ἐμὸς πολυπίδακι λαιμῶι L1[I] 𝔸
Ὠκεανὸς πρὸς Ὄλυμπον ἄγων ὑψούμενον ὕδωρ,
πέντε παραλλήλων πεφορημένος ὑψόθι κύκλων,
ἄστρα κατακλύσσειε, καὶ ὕδατι διψὰς ἀλάσθω
Ἄρκτος Ἀμαξαίοιο δεδυκότος ἱστοβοῆος.
ταῦροι ἐμοί, δονέοντες ἰσήμερον ἄντυγα κύκλων
2 (1C) αἰθέρι μυκήσασθε, χαρασσομέναις δὲ κεραίαις
ἰσοτύπου φλογεροῖο κεράατα ῥήξατε Ταύρου·
καὶ βόες ὑγρὰ κέλευθα μεταλλάσσωσι Σελήνης
δειδιότες βαρύδουπον ἐμῶν μύκημα καρήνων·
καὶ βλοσυρῶν μέγα χάσμα διαπτύξασα γενείων
ἄρκτος ἀνοιστρήσειε Τυφαονὶς Ἄρκτον Ὀλύμπου·
αἰθερίωι δὲ Λέοντι λέων ἐμὸς ἀντιφερίζων
2 Ζωιδιακῆς ἀέκοντα μεταστήσειε κελεύθου·
ἡμετέρους δὲ δράκοντας Ὄφις φρίξειεν Ἀμάξης {...}
ἀστεροπαῖς ὀλίγαις κεκορυθμένος· ἀλλὰ θαλάσσης
κύματα λυσσήεντα, λόφοι χθονός, ἄγκεα νήσων
φάσγανά μοι γεγάασι, καὶ ἀσπίδες εἰσὶ κολῶναι,
καὶ σκόπελοι θώρηκες ἀαγέες, ἔγχεα πέτραι,
καὶ ποταμοὶ σβεστῆρες ἀκιδνοτάτοιο κεραυνοῦ.
δεσμοὺς δ᾽ Ἰαπετοῖο Ποσειδάωνι φυλάσσω,
ἀμφὶ δὲ Καύκασον ἄκρον ἐύπτερος ἄλλος ἀρείων
αἰετὸς αἱμάξειε παλιμφυὲς ἧπαρ ἀμύσσων
Ἡφαίστου πυρόεντος, ἐπεὶ πυρὸς εἵνεκα κάμνει
ἥπατος αὐτοφύτοιο χαρασσομένοιο Προμηθεύς·

Ζηνὶ συναιχμάζοντες, ὑπ' ἀκτίνεσσι δὲ λάμπων
ἀντιπόρου Φαέθοντος ἐκάμπτετο σύνδρομος ὄμβρωι
Ἴριδος ἀγκύλα κύκλα πολύχροος ὁλκὸς ὑφαίνων,
χλωρὰ μελαινομένωι, ῥοδοειδένι λευκὰ κεράσσας.
καὶ Διὶ μουνωθέντι παρήγορος ἵκετο Νίκη
ἠέρος ἄκρα κέλευθα διαγράψασα πεδίλωι,
Λητοῦς εἶδος ἔχουσα, καὶ ὁπλίζουσα τοκῆα
ἀντιτύποις στομάτεσσι πολύτροπον ἴαχε φωνήν·
“Ζεῦ ἄνα, σῶν τεκέων πρόμος ἵστασο, μηδὲ νοήσω
μιγνυμένην Τυφῶνι γάμων ἀδίδακτον Ἀθήνην·
μητέρα μὴ τελέσειας ἀμήτορα, μαρνάμενος δὲ
ἀστεροπὴν κούφιζε σελασφόρον ἔγχος Ὀλύμπου,
καὶ νεφέλας συνάγειρε τὸ δεύτερον, ὑέτιε Ζεῦ·
ἤδη γὰρ σταθεροῖο τινάσσεται ἕδρανα κόσμου
χερσὶ Τυφαονίῃσιν, ὁμοζυγέων δὲ λυθέντων
στοιχείων πισύρων ἠρνήσατο λήια Δηώ·
Ἥβη λεῖπε κύπελλον, Ἄρης δ' ἀπεσείσατο λόγχην,
Ἑρμῆς ῥάβδον ἔθηκε, λύρην δ' ἔρριψεν Ἀπόλλων,
καὶ πτερόεις πεπότητο λιπὼν πτερόεντας ὀιστούς,
εἶδος ἔχων κύκνοιο, τελεσσιγάμου δὲ θεαίνης
ἄσπορος ἔπλετο κόσμος ἀλωομένης Ἀφροδίτης,
ἁρμονίης δ' ἀλύτου λύτο πείσματα· νυμφοκόμος γὰρ
πανδαμάτωρ ἀδάμαστος Ἔρως θρασὺς εἰς φόβον ἔπτη
τόξα λιπὼν γονόεντα· καὶ ἠθάδα Λῆμνον ἐάσας
σὸς πυρόεις Ἥφαιστος ἀπειθέα γούνατα σύρων
L2[O] ἆ βραδὺς ἀστήρικτον ἔχει δρόμον. ἆ μέγα θαῦμα,
𝔸 καὶ μάλα μοι κοτέουσαν ἐποικτείρω σέθεν Ἥρην.
ἦ ῥα τεὸς γενέτης πάλιν ἵξεται εἰς χορὸν ἄστρων;
μή ποτε τοῦτο γένοιτο· καὶ εἰ Τιτηνὶς ἀκούω,
οὐκ ἐθέλω Τιτῆνας ἰδεῖν κρατέοντας Ὀλύμπου,
ἀλλὰ σὲ καὶ σέο τέκνα. σὺ δὲ κρατέοντι κεραυνῶι
Ἀρτέμιδος προμάχιζε σαόφρονος· ἦ ῥα φυλάσσω
παρθενικὴν ἀνάεδνον ἀναγκαίωι παρακοίτηι;
ἦ ῥα τόκου ταμίη τόκον ὄψεται; ἦ ῥα τανύσσει
χεῖρας ἐμοί; ποίην δὲ καλέσσομαι ἰοχεαίρηι
ἵλαον Εἰλείθυιαν, ὅτ' Εἰλεύθυια λοχεύσῃ;”
ὣς φαμένης σκιοειδὲς ἑὸν πτερὸν Ὕπνος ἑλίξας
εὔνασεν ἀμπνείουσαν ὅλην φύσιν· ἀλλὰ Κρονίων
ἦν τότε μοῦνος ἄυπνος· ἐφαπλώσας δὲ Τυφωεὺς
νωθρὰ βαρυνομέναις ἐπερείσατο νῶτα χαμεύναις
πλήσας μητέρα γαῖαν· ἀνοιγομένοιο δὲ κόλπου
χάσματι κοιλαίνοντο σεσηρότι φωλάδες εὐναὶ
εἰς χθόνα δυομένοισιν ἐχιδναίοισι καρήνοις.
ἠελίου δὲ φανέντος ὁμογλώσσων ἀπὸ λαιμῶν
εἰς ἐνοπὴν πολύπηχυς ἐπεβρυχᾶτο Τυφωεὺς
Ζῆνα μέγαν καλέων· βλοσυρὴ δέ οἱ ἵκετο φωνή,
ῥιζοπαγὴς ὅθι πέζα παλίμπορος Ὠκεανοῖο
τέτραχα τεμνομένην περιβάλλεται ἄντυγα κόσμου,
ζωσαμένη στεφανηδὸν ὅλην χθόνα κυκλάδι μίτρηι·
φθεγγομένου δὲ Γίγαντος ἀμειβομένη στίχα φωνῆς

11 (5C) ἤσθιε βοῦν ἀροτῆρα, καὶ οὐκ ὤικτειρε δοκεύων
αἱμοβαφῆ ζυγίωι κεχαραγμένον αὐχένα δεσμῶι.
καὶ ποταμοὺς ἐκόνισσε πιὼν ἐπιδόρπιον ὕδωρ,
Νηιάδων δὲ φάλαγγας ἀπεστυφέλιξεν ἐναύλων·
καὶ βυθίη στείχουσα βατὸν ῥόον ἅλματι πεζῶι
ἀβρέκτοις μελέεσσιν ἀσάμβαλος ἵστατο Νύμφη
Νηιὰς ὑγροκέλευθος, ἀμιλλητῆρι δὲ ταρσῶι
κούρης παλλομένης παρὰ διψάδα πέζαν ἐναύλων
σφίγγετο πηλώεντι πεπηγότα γούνατα δεσμῶι.
μαινομένου δὲ Γίγαντος ἰδὼν πολύμορφον ὀπωπὴν
ταρβαλέος σύριγγα γέρων ἀπεσείσατο ποιμὴν
νόσφι φυγών· ὀρέων δὲ πολυσπερὲς ἔθνος ἀγοστῶν
αἰπόλος ἀστήρικτον ἐπέτρεπεν αὐλὸν ἀέλλαις·
οὐ σπόρον ἀμφεκάλυψε πέδωι ταλαεργὸς ἀροτρεὺς
ῥαίνων ἀρτιχάρακτον ὀπισθοβόλωι χθόνα καρπῶι,
οὐδὲ Τυφαονίης παλάμης νωμήτορι παλμῶι
αὔλακα τεμνομένην ἐνοσίχθονι τάμνε σιδήρωι,
ἀλλὰ βόας μεθέηκε, Γιγαντείωι δὲ βελέμνωι
σχιζομένης κενεῶνες ἐγυμνώθησαν ἀρούρης.
καὶ διερὴν φλέβα λῦσαν, ἀνοιγομένου δὲ βερέθρου
χεύμασι πηγαίοισιν ἀνέβλυε νέρτερος αὐλών,
ἀσκεπέος δαπέδοιο χέων ὑποκόλπιον ὕδωρ·
καὶ σκόπελοι ῥίπτοντο· χαραδραίοις δὲ ῥεέθροις
ἠερόθεν πίπτοντες ἐνεκρύπτοντο θαλάσσῃ,
ὕδατα χερσώσαντες· ἀπὸ χθονίων δὲ βελέμνων
αὐτοπαγῆ ῥιζοῦτο νεηγενέων σφυρὰ νήσων. L2[O]
δένδρεα δ' αὐτόπρεμνα μετωχλίσθησαν ἀρούρης, 𝔸
καὶ δαπέδωι πέσε καρπὸς ἀώριος, ἀρτιθαλὴς δὲ
κῆπος ἀιστώθη, ῥοδόεις δ' ἀμαθύνετο λειμών·
καὶ Ζέφυρος δεδόνητο κυλινδομένων κυπαρίσσων
αὐχμηροῖς πετάλοισι· φιλοθρήνοισι δὲ μολπαῖς
3 (2C) αἴλινα Φοῖβος ἄειδε δαϊζομένων ὑακίνθων,
πλέξας πένθιμον ὕμνον, Ἀμυκλαίων δὲ κορύμβων
κοπτομένηι πολὺ μᾶλλον ἐπέστενε γείτονι δάφνηι·
κεκλιμένην δ' ὤρθωσεν ἑὴν πίτυν ἀχνύμενος Πάν·
καί, Μορίης μνησθεῖσα, φερέπτολιν Ἀτθίδα νύμφην
τεμνομένηι γλαυκῶπις ἐπεστονάχιξεν ἐλαίηι·
καὶ Παφίη δάκρυσε κονιομένης ἀνεμώνης,
3 πυκνὰ δὲ μυρομένη καλύκων εὐώδεα χαίτην
βόστρυχον ἁβρὸν ἔτιλλε κονιομένου ῥοδεῶνος·
καὶ στάχυν ἡμιτέλεστον ὀλωλότα μύρετο Δηώ,
μηκέτι κῶμον ἄγουσα θαλύσιον· Ἀδρυάδες δὲ
ἥλικες ὠδύροντο λιπόσκια δένδρεα Νύμφαι.
καί τις ἐυπτόρθοιο διχαζομένοιο κορύμβου
σύγχρονος ἀκρήδεμνος Ἁμαδρυὰς ἄνθορε δάφνης,
ἐκ πίτυος δὲ φυγοῦσα βατῶι ποδὶ παρθένος ἄλλη
ἀγχιφανὴς ἀγόρευε μετήλυδι γείτονι Νύμφηι·
“δαφναίη φυγόδεμνος Ἁμαδρυάς, εἷς δρόμος ἔστω
ἀμφοτέραις, μὴ Φοῖβον ἴδῃς, μὴ Πᾶνα νοήσω.
ὑλοτόμοι, τάδε δένδρα παρέλθετε, μὴ φυτὰ Δάφνης

τέμνετε δειλαίης τετιμένα· φείδεο, τέκτων,
ὁλκάδα μὴ τελέσῃς πιτυώδεα δούρατα τέμνων,
μὴ ῥοθίων ψαύσειε θαλασσαίης Ἀφροδίτης.
ναί, δρυτόμος, πυμάτην πόρε μοι χάριν, ἀντὶ κορύμβων
κόπτέ με σοῖς πελέκεσσι, καὶ ἡμετέρου διὰ μαζοῦ
πῆξον ἀνυμφεύτοιο σαόφρονα χαλκὸν Ἀθήνης,
ὄφρα θάνω πρὸ γάμοιο καὶ Ἄϊδι παρθένος ἔλθω,
εἰσέτι νῆις Ἔρωτος, ἅ περ Πίτυς, οἷά τε Δάφνη."
ὣς φαμένη πετάλοισι νόθην ποιήσατο μίτρην,
καὶ χλοερῷ ζωστῆρι κατέσκεπεν ἄντυγα μαζοῦ
αἰδομένη, καὶ μηρὸν ἐπεσφηκώσατο μηρῷ·
◆ ἡ δέ μιν εἰσορόωσα κατηφέα ῥήξατο φωνήν·
"παρθενίης ἔμφυλον ἔχω φόβον, ὅττι καὶ αὐτὴ
ἐκ Δάφνης γεγαυῖα διώκομαι, οἷά τε Δάφνη.
πῇ δὲ φύγω; σκοπέλους ὑποδύσομαι; ἀλλὰ κολώνας
ῥιπτομένας ἐς Ὄλυμπον ἐτεφρώσαντο κεραυνοί,
καὶ τρομέω σέο Πᾶνα δυσίμερον, ὅς με χαλέψει,
ὡς Πίτυν, ὡς Σύριγγα· διωκομένη δὲ καὶ αὐτὴ
ἄλλη δευτερόφωνος ὀρίδρομος ἔσσομαι Ἠχώ.
οὐκέτι ταῦτα κόρυμβα μετέρχομαι, ὑψιφανῆ δὲ
οὔρεα ναιετάω μετὰ δένδρεον, ἧχι καὶ αὐτὴ
Ἄρτεμις ἀγρώσσει φιλοπάρθενος· ἀλλὰ Κρονίων
Καλλιστοῦς λάχε λέκτρον ἐς Ἄρτεμιν εἶδος ἀμείψας.
ἵξομαι εἰς ἁλὸς οἶδμα· τί μοι γάμος; ἀλλ' ἐνὶ πόντῳ
Ἀστερίην ἐδίωκε γυναιμανέων ἐνοσίχθων.
αἴθε λάχον πτερὰ κοῦφα· δι' ὑψιπόρου δὲ κελεύθου
ἠερίοις ἀνέμοισι συνέμπορον οἶμον ὁδεύσω·
ἀλλὰ τάχα πτερύγων κενεὸς δρόμος, ὅττι Τυφωεὺς
ἠλιβάτοις παλάμῃσιν ἐπιψαύει νεφελάων.
εἰ δὲ γάμοις ἀδίκοις με βιήσεται, εἶδος ἀμείψω,
μίξομαι ὀρνίθεσσι, καὶ ἱπταμένη φιλομήλην
καὶ ῥόδον ἀγγέλλουσα καὶ ἀνθεμόεσσαν ἐέρσην
ἔσσομαι εἰαρινοῖο φίλη Ζεφύροιο χελιδών,
φθεγγομένη λάλος ὄρνις ὑπωροφίης μέλος ἠχοῦς,
ὀρχηθμῷ πτερόεντι περισκαίρουσα καλιήν.
Πρόκνη, πικρὰ παθοῦσα, σὺ μὲν σέο πενθάδι μολπῇ
υἱέα δακρύσειας, ἐγὼ δ' ἐμὰ λέκτρα γοήσω.
Ζεῦ ἄνα, μὴ τελέσῃς με χελιδόνα, μή με διώξῃ
καὶ Τηρεὺς πτερόεις κεχολωμένος, οἷα Τυφωεύς.
ἀήρ, οὔρεα, πόντος ἀνέμβατος· ἔνδοθι γαίης
κρύπτομαι· ἀλλὰ Γίγαντος ἐχιδναίων ἀπὸ ταρσῶν
ἰοβόλοι δύνουσιν ὑπὸ χθόνα φωλάδες ὕδραι.
εἴην ὑγρὸν ὕδωρ ἐπιδήμιον, οἷα Κομαιθὼ
πατρῴῳ κεράσασα νεόρρυτα χεύματα Κύδνῳ·
οὐκ ἐθέλω παρὰ μῦθον, ὅτι προχοῇσι συνάψω
παρθενικῆς δυσέρωτος ἐμὸν φιλοπάρθενον ὕδωρ.
πῇ δὲ φύγω; Τυφῶνι μιγήσομαι; ἀλλὰ λοχεύσω
ἀλλοφυῆ πολύμορφον ὁμοίιον υἷα τοκῆι."
εἴην δένδρεον ἄλλο, καὶ ἐκ δρυὸς εἰς δρύας ἔλθω
οὔνομα παιδὸς ἔχουσα σαόφρονος· ἀντὶ δὲ Δάφνης
μὴ Μύρρης ἀθέμιστον ἐπώνυμον ἔρνος ἀκούσω.
ναί, λίτομαι, παρὰ χεῦμα γοήμονος Ἠριδανοῖο
εἴην Ἡλιάδων καὶ ἐγὼ μία· πυκνὰ δὲ πέμψω
ἐκ βλεφάρων ἤλεκτρα, φιλοθρήνοις δὲ κορύμβοις
γείτονος αἰγείροιο περίπλοκα φύλλα πετάσσω
δάκρυσιν ἀφνειοῖσιν ἐμὴν στενάχουσα κορείην·
οὐ γὰρ ἐγὼ Φαέθοντα κινύρομαι. ἵλαθι, δάφνη,
αἰδέομαι φυτὸν ἄλλο μετὰ προτέρης φυτὸν ὕλης.
ἔσσομαι, ὡς Νιόβη, καὶ ἐγὼ λίθος, ὄφρα καὶ αὐτὴν
λαϊνέην στενάχουσαν ἐποικτείρωσιν ὁδῖται·
ἀλλὰ κακογλώσσοιο τί μοι τύπος; ἵλαθι, Λητώ·
ἐρρέτω αἰνοτόκοιο θεημάχον οὔνομα Νύμφης.
ἡ μὲν ἔφη· Φαέθων δὲ πόλον δινωτὸν ἐάσας
εἰς δύσιν ἔτραπε δίφρον· ἀναθρῴσκουσα δὲ γαίης
ὑψιτενὴς ἅτε κῶνος ἐς ἠέρα σιγαλέη Νὺξ
οὐρανὸν ἀστερόεντι διεχλαίνωσε χιτῶνι,
αἰθέρα δαιδάλλουσα· καὶ ἀννεφέλῳ παρὰ Νείλῳ
ἀθάνατοι πλάζοντο, παρ' ὀφρυόεντι δὲ Ταύρῳ
Ζεὺς Κρονίδης ἀνέμιμνεν ἐγερσιμόθου φάος Ἠοῦς.
νὺξ μὲν ἔην· φρουραὶ δὲ περὶ στίχες ἦσαν Ὀλύμπου
ἑπτὰ περὶ ζώνῃσι, καὶ οἷά περ ὑψόθι πύργων
ἔννυχον ἦν ἀλάλαγμα, βοὴ δ' ἑτερόθροος ἄστρων
ἀμφιλαφὴς πεφόρητο, καὶ ἀξονίης κτύπον ἠχοῦς
ἐκ Κρονίης βαλβῖδος ἐδέχνυτο νύσσα Σελήνης·
καὶ νεφέων στεφανηδὸν ἐπασσυτέρῃσι καλύπτραις
οὐρανὸν ἐφράξαντο φυλάκτορες αἰθέρος Ὧραι
ἀμφίπολοι Φαέθοντος· ἀσυλήτων δὲ πυλάων
ἀστέρες Ἀτλάντειον ἐπεκλήισσαν ὀχῆα,
μὴ λόχος εἰσέλθῃσι πόλον μακάρων ἀπεόντων·
ἀντὶ δὲ συρίγγων ἐνοπῆς καὶ ἐθήμονος αὐλοῦ
ἐννυχίαις πτερύγεσσι μέλος σύριζον ἀῆται.
αἰθερίῳ δὲ Δράκοντι συνέμπορος Ἀρκάδος Ἄρκτου
ἐννυχίην Τυφῶνος ἐπήλυσιν ὑψόθι λεύσσων
ὄμμασιν ἀγρύπνοισι γέρων ἐφύλασσε Βοώτης,
ἀντολίην ἐδόκευεν Ἑωσφόρος, Ἕσπερος ἀστὴρ
ἑσπερίην, Νοτίας δὲ λιπὼν ἰθύντορι τόξων
ὀμβρηρὰς Βορέαο πύλας περιδέδρομε Κηφεύς.
καὶ πυρὰ πάντοθεν ἦεν, ἐπεὶ φλόγες αἴθοπες ἄστρων
καὶ νύχιοι λαμπτῆρες ἀκοιμήτοιο Σελήνης
ὡς δαΐδες σελάγιζον, ἀελλήεντι δὲ ῥόμβῳ
πυκνὰ διαθρῴσκοντες ἀπ' αἰθέρος ἄκρον Ὀλύμπου
ἀστέρες αἰκτῆρες ἐπέγραφον ἠέρα πυρσῷ
δεξιτεροὶ Κρονίωνι, κυβιστητῆρι δὲ παλμῷ
πυκνὰ διαΐσσουσα χαρασσομένων νεφελάων
ἀστεροπὴ σκίρτησεν, ἀμοιβαίῃσι δὲ ῥιπαῖς
κρύπτετο καὶ σελάγιζε παλίνδρομος ἄστατος αἴγλη,
καὶ πλοκάμους πλεκτοῖο πυρὸς βοτρυδὸν ἑλίξας
φέγγεϊ λαχνήεντι σέλας τρήχυνε κομήτης,
καὶ δοκίδες μάρμαιρον ἐπήλυδες, οἷα δὲ μακροὶ
ἠερόθεν τανύοντο δοκοὶ δολιχήρεϊ πυρσῷ

χρύσεον ἔτραπε δίφρον, ἐπεμβεβαυῖα δὲ Νίκη
Nonnus ἤλασεν οὐρανίηι πατρώιον ἵππον ἱμάσθληι.
καὶ θεὸς εἰς πόλον ἦλθε τὸ δεύτερον· ἐρχομένωι δὲ
οὐρανίας πετάσαντο πύλας ὑψαύχενες Ὧραι,
αἰθέρα δ' ἐστέψαντο· παλιννόστωι δ' ἐνὶ μορφῆι
σὺν Διὶ νικήσαντι θεοὶ νόστησαν Ὀλύμπωι,
καὶ πτερόεν μίμημα μετηλλάξαντο προσώπου.
ἁβροχίτων δ' ἀσίδηρος ἐς οὐρανὸν ἤλθεν Ἀθήνη
Ἄρεα Κῶμον ἔχουσα, Μέλος δέ οἱ ἔπλετο Νίκη·
καὶ Θέμις ὅπλα Γίγαντος ὀλωλότος ἄφρονι Γαίηι
εἰς φόβον ἐσσομένων ἐπεδείκνυε, μητρὶ Γιγάντων,
ὑψιπαγῆ κρεμάσασα παρὰ προθύροισιν Ὀλύμπου.

Ὣς εἰπὼν ἐς Ὄλυμπον ἐύρραπις ἤιεν Ἑρμῆς
αἰθύσσων πτερὰ κοῦφα, τιταινομένων δὲ πεδίλων
σύνδρομος ἠερίοισιν ἐρέσσετο ταρσὸς ἀήταις.
οὐδὲ γυνὴ Θρήισσα, κυβερνήτειρα Καβείρων,
{…} ἀλλὰ Διὸς σέβας εἶχε, καὶ Ἄρεος ἄζυγι κούρηι
ὄρθια δινεύουσα νοήμονι δάκτυλα παλμῶι
Ἁρμονίην ἐκάλεσσε τύπωι τεχνήμονι φωνῆς·
ἡ δὲ τιταινομένη βλεφάρων ἀντώπιον αἴγλην
Ἠλέκτρης ἀγέλαστον ἐδέρκετο κύκλον ὀπωπῆς,
καὶ βαθὺν ἀφράστοιο νεόσσυτον ὄγκον ἀνίης
σιγαλέαι κήρυκες ἐμαντεύοντο παρειαί.
παρθενικὴ δ' ἀνέπαλτο καὶ ὡμάρτησε τεκούσηι
εἰς δόμον αἰπύδμητον· ἀναπτύξασα δὲ μήτηρ
L1[O] ἑπταμύχου θαλάμοιο πολυσφρήγιστον ὀχῆα
𝔹 λάινον οὐδὸν ἄμειψε· φιλοστόργωι δὲ μενοινῆι
ἄστατα ταρβαλέης ἐλελίζετο γούνατα νύμφης·
καὶ παλάμην ῥοδόπηχυν ἑῆς ἀνεκούφισε κούρης
δραξαμένη παλάμηι χιονώδεϊ· καὶ τάχα φαίης
Ἥβην χειρὸς ἔχουσαν ἰδεῖν λευκώλενον Ἥρην.
ἀλλ' ὅτε πορφυρέοισι πέδον στείβουσα πεδίλοις
λοίσθια μαρμαίροντος ἐδύσατο κύκλα μελάθρου,
παρθένον ἀχνυμένην Ἀτλαντιὰς ἵδρυε νύμφη
εἰς θρόνον εὐποίητον· ἀμοιβαίωι δὲ καὶ αὐτὴ
ἑζομένη στοιχηδὸν ἐπ' ἀργυροφεγγέι δίφρωι
ἀγγελίην Κρονίωνος ἀπειθέι πέφραδε κούρηι,
καί μιν πάντα δίδαξεν, ὅσα βροτοειδέι μορφῆι
ἀλλοφανὴς ἅτε κοῦρος Ὀλύμπιος ἔννεπε κῆρυξ.
παρθενικὴ δ' ἀΐουσα πολυπλάγκτους ὑμεναίους
καὶ πόσιν ἀστήρικτον, ὑπωρόφιον μετανάστην,
ξεῖνον ἔχειν ἀπέειπε, καὶ ἐκ Διὸς ὅσσα τοκῆος
ξεινοδόκος Κάδμοιο βοοσσόος ἔννεπεν Ἑρμῆς·
καὶ πόσιν ἤθελε μᾶλλον ὁμόπτολιν, ὥς κεν ἀλύξηι
συζυγίην φερέοικον ἀδωροδόκων ὑμεναίων·
καὶ παλάμηι κρατέουσα κατηφέι χεῖρα τιθήνης
δάκρυσι μυδαλέη πολυμεμφέα ῥήξατο φωνήν·
"μῆτερ ἐμή, τί παθοῦσα τεὴν ἠρνήσαο κούρην;
οὕτω σεῖο θύγατρα νεήλυδι φωτὶ συνάπτεις;
ποῖον ἐμοί ποτε δῶρον ὁ ναυτίλος ἐγγυαλίξει;
ἦ ῥά μοι ἕδνα γάμων πρυμνήσια νηὸς ὀπάσσει;

πουλυτόκου Κρονίδαο πολυσπερὲς ἄλλο φυτεύσω
αἷμα νέων μακάρων πολυαύχενον· οὐ χορὸν ἄστρων Nonnus
λείψω νόσφι γάμων ἀχρήιον, ἀλλὰ συνάψω
ἄρσενι θηλυτέρην, ἵνα δούλια τέκνα λοχεύσηι
παρθενικὴ πτερόεσσα παρευνηθεῖσα Βοώτηι."
εἶπεν ὁμοκλήσας· Κρονίδης δ' ἐγέλασσεν ἀκούων.
καὶ μόθος ἀμφοτέροισιν ἐπέβρεμεν· ἦν δὲ κυδοιμοῦ
πομπὸς Ἔρις Τυφῶνι, Διὸς δ' ἡγήσατο Νίκη
εἰς μόθον. οὐ βοέης ἀγέλης χάριν, οὐ περὶ ποίμνης
ἦεν ἀγών, οὐ νεῖκος ἔην ἐπὶ κάλλεϊ νύμφης,
οὐ κλόνος ἀμφὶ πόληος ὀλίζονος· ἀλλ' ὑπὲρ αὐτοῦ
αἰθέρος ἵστατο δῆρις, ἔην δ' ἐνὶ γούνασι Νίκης
σκῆπτρα Διὸς καὶ θῶκος ἀέθλια δηιοτῆτος.
Ζεὺς μὲν ἱμασσομένων νεφέων βρονταῖον ἀράσσων
αἰθέριον μύκημα μέλος σάλπιζεν Ἐνυοῦς,
καὶ νεφέλας ἑλικηδὸν ἐπὶ στέρνοιο καθάψας
εἶχε Γιγαντείων βελέων σκέπας· οὐδὲ Τυφωεὺς
ἄψοφος ἦν· κεφαλαὶ δὲ βοῶν μυκηθμὸν ἱεῖσαι
αὐτόματοι σάλπιγγες ἐπεσμαράγησαν Ὀλύμπωι,
συμμιγέες δὲ δράκοντες ἐσύρισαν, Ἄρεος αὐλοί.
καὶ στίχας ἠλιβάτων μελέων θώρηξε Τυφωεὺς
φραξάμενος σκοπέλωι σκόπελον μέγαν, εἰσόκε πυκναὶ
ἀρραγέες στοιχηδὸν ἐπυργώθησαν ἐρίπναι,
καὶ πέτρην προθέλυμνον ἐπασσυτέρηι θέτο πέτρηι·
ἦν δὲ κορυσσομένης στρατιῆς τύπος· ἀγχιφανὴς γὰρ
ῥωγάδα ῥωγὰς ἔρειδε, λόφος λόφον, αὐχένα δ' αὐχήν, L1[O]
ὑψινεφὴς δ' ἀγκῶνα πολύπτυχον ὤθεεν ἀγκών· 𝔹
καὶ κρανααὶ πήληκες ἔσαν Τυφῶνι κολῶναι
αἰπυλόφωι πρηῶνι καλυπτομένων κεφαλάων.
μαρναμένου δὲ Γίγαντος ἔην πολυδειράδι μορφῆι
ἓν δέμας, ἀλλὰ φάλαγγες ἀπείρονες, αἱ μὲν ἀγοστῶν,
αἱ δὲ λεοντείων γενύων εὐθηγέες αἰχμαί,
ἄλλαι ἐχιδναίων πλοκάμων ἐπιβήτορες ἄστρων.
δένδρεα δ' ἐπτύσσοντο Τυφαονίων ἀπὸ χειρῶν
σειόμενα Κρονίδαο καταντίον, ἄλλα δὲ γαίης
ἔρνεα καλλιπέτηλα, τά περ βεβριθότι παλμῶι
Ζεὺς ἀέκων ἀμάθυνεν ἑνὶ σπινθῆρι κεραυνοῦ·
πολλὴ μὲν πτελέη σὺν ὁμήλικι ῥίπτετο πεύκηι
καὶ πλάτανος περίμετρος, ἀκοντίζοντο δὲ λεῦκαι
ἄντα Διός· πολλὴ δὲ λαγὼν ἐρρήγνυτο γαίης.
πᾶσα δὲ τετράπλευρος ἴτυς στυφελίζετο κόσμου,
καὶ πίσυρες Κρονίωνι συναιχμάζοντες ἀῆται
ἠερίην σκοτόεσσαν ἐπυργώσαντο κονίην
κύματα κυρτώσαντες· ἱμασσομένης δὲ θαλάσσης
Σικελίη δεδόνητο, Πελωρίδες ἔβρεμον ὄχθαι
Αἰτναῖοί τε τένοντες, ἐμυκήσαντο δὲ πέτραι
μάντιες ἐσσομένων Λιλυβηίδες, ἔκτυπε δ' ἀκτὴ
ἑσπέριον παρὰ χεῦμα Παχυνιάς· ἐγγύθι δ' ἄρκτου
ἀμφὶ νάπην Θρήισσαν Ἀθωιὰς ἔκλαγε Νύμφη,
Πιερικῶι δὲ τένοντι Μακηδονὶς ἴαχεν ὕλη·

ἀντολίης δὲ θέμεθλα τινάσσετο, δενδροκόμοι δὲ
Ἀσσυρίου Λιβάνοιο θυώδεες ἔκτυπον αὐλαί.
καὶ Διὸς ἀκαμάτοιο καταιχμάζοντα κεραυνοῦ
ῥίπτετο πολλὰ βέλεμνα Τυφαονίων ἀπὸ χειρῶν·
καὶ τὰ μὲν ἀίσσοντα Σεληναίωι παρὰ δίφρωι
ἀσταθέων ἀχάρακτα κατέγραφον ἴχνια ταύρων,
ἄλλα δὲ δινηθέντα δι’ ἠέρος ὀξέι ῥοίζωι
ἄσθμασιν ἀντιπόροισι μετερρίπιζον ἀῆται·
καὶ Διὸς ἀψαύστοιο παραπλαγχθέντα κεραυνοῦ
πολλὰ Ποσειδάωνος ἐδέξατο τερπομένη χείρ,
γειοτόμου γλωχῖνος ἀφειδήσασα τριαίνης·
◆ ὑγροβαφῆ δὲ βέλεμνα παρὰ Κρονίης πόρον ἅλμης
Ζηνὶ φέρων ἀνάθημα γέρων ἱδρύσατο Νηρεύς.
καὶ βλοσυροὺς δύο παῖδας Ἐνυαλίοιο κορύσσας
εἶχε Φόβον καὶ Δεῖμον ὀπάονα πατροπάτωρ Ζεὺς
αἰθέρος ἀσπιστῆρας ὁμήλυδας, ἀστεροπῆι δὲ
στῆσε Φόβον, καὶ Δεῖμον ἐπεστήριξε κεραυνῶι
δεῖμα φέρων Τυφῶνι· καὶ ἀσπίδα κούφισε Νίκη
πρόσθε Διὸς τανύουσα, καὶ ἀντιάχησεν Ἐνυώ,
Ἄρης δ’ ἐσμαράγησεν. ἐπαιγίζων δὲ θυέλλαις
ἠερόθεν πεφόρητο μετάρσιος αἰγίοχος Ζεύς,
ἑζόμενος πτερόεντι Χρόνου τετράζυγι δίφρωι·
ἵπποι δὲ Κρονίωνος ὁμόζυγες ἦσαν ἀῆται.
καὶ πῆι μὲν στεροπῆισι κορύσσετο, πῆι δὲ κεραυνῶι,
ἄλλοτε δὲ βροντῆισιν ἐπέχραεν, ἄλλοτε δ’ ὄμβρων
L1[I] πηγνυμένης προχέων πετρούμενα νῶτα χαλάζης
𝔹 ὀμβρηροῖς βελέεσσι· Γιγαντείοισι δὲ πυκνοὶ
κίονες ὑδατόεντες ἐπερρήγνυντο καρήνοις
ὀξυβελεῖς, παλάμαι δὲ Τυφωέος, οἷα μαχαίρηι,
ἠερίωι τέμνοντο χαλαζήεντι βελέμνωι·
καὶ παλάμη κεκόνιστο, καὶ οὐ μεθέηκε κολώνης,
ἀλλὰ νιφοβλήτοιο τομῆι πληγεῖσα χαλάζης
μάρνατο καὶ πίπτουσα, διαΐσσουσα δὲ γαίης
ἅλμασιν αὐτοκύλιστος ἐπάλλετο μαινομένη χείρ,
οἷα βαλεῖν ἐθέλουσα καὶ εἰσέτι κύκλον Ὀλύμπου.
καὶ πρόμος οὐρανίων πυρόεν βέλος ὑψόθι σείων
δεξιὸν ἐκ λαιοῖο κέρας πολέμοιο νομεύων
ὑψιφανὴς πολέμιζεν· ἐς ὑδροπόρους δὲ χαράδρας
ὦρτο Γίγας πολύπηχυς, ἐπασσυτέρωι δὲ συνάψας
αὐτομάτωι σφήκωσεν ὁμόπλοκα δάκτυλα δεσμῶι
κοιλαίνων παλάμας πολυχανδέας, ἧισιν ἀείρων
μεσσόθι χειμερίων ποταμῶν ὀρεσίδρομον ὕδωρ,
χερσὶ βαθυνομέναις μεμερισμένα χεύματα πέμπων,
ἀστεροπῆι προέηκε· χαραδραίωι δὲ ῥεέθρωι
βαλλομένη σελάγιζε δι’ ὕδατος αἰθερίη φλὸξ
λαβροτέρωι σπινθῆρι, καὶ ἔζεσε δίψιον ὕδωρ
αἰθαλόεν, διερὴ δὲ φύσις τερσαίνετο μύδρωι·
σβέσσαι γὰρ μενέαινε Γίγας θρασὺς αἰθέριον πῦρ,
νήπιος· οὐδ’ ἐνόησε, πυραυγέες ὅττι κεραυνοὶ
καὶ στεροπαὶ γεγάασιν ἀπ’ ὀμβροτόκων νεφελάων.

14 (7C) ῥηγνυμένης κενεῶνα κεχηνότα πῆξεν ἀρούρης,
νησαίους δὲ τένοντας ἀποτμηγέντας ἐναύλων
ἁρμονίης ἀλύτοιο πάλιν σφρηγίσσατο δεσμῶι.
οὐκέτι δὲ κλόνος ἦεν ἐν ἄστρασιν· Ἠέλιος γὰρ
χαιτήεντα Λέοντα παρὰ σταχυώδεϊ Κούρηι
Ζωιδιακῆς ἔστησε παραΐξαντα κελεύθου·
οὐρανίου δὲ Λέοντος ἐπισκαίροντα προσώπωι
Καρκίνον ἀντικέλευθον ἀθαλπέος Αἰγοκερῆος
ἂψ ἀναφειράζουσα διεστήριξε Σελήνη.
οὐ μὲν ἀοιδοπόλοιο λελασμένος ἔπλετο Κάδμου
Ζεὺς Κρονίδης, καλέσας δὲ τόσην ἐφθέγξατο φωνὴν
ἠερίης σκιοειδὲς ἀποσκεδάσας νέφος ὄρφνης·
“Κάδμε, τεῆι σύριγγι πύλας ἔστεψας Ὀλύμπου·
σὺν γάμον οὐρανίηι καὶ ἐγὼ Φόρμιγγι γεραίρω·
γαμβρὸν ἐγὼ τελέσω σε καὶ Ἄρεϊ καὶ Κυθερείηι,
καὶ χθονίου δείπνοιο θεοὺς ἕχε δαιτυμονῆας.
ἵξομαι εἰς σέο δῶμα· τί φίλτερον ἄλλο νοήσεις
ἢ μακάρων βασιλῆα τεῆς ψαύοντα τραπέζης;
εἰ δὲ τύχης ἐθέλεις ἑτερότροπα κύματα φεύγειν
πορθμεύων βιότοιο γαληναίοιο πορείην,
Ἄρεα μὲν Διρκαῖον ἀεὶ πεφύλαξο χαλέψαι,
Ἄρεα νόσφι λόχου κεχολωμένον· ἐννύχιος δὲ
οὐρανίοιο Δράκοντος ἐναντίον ὄμμα τιτήνας
ῥέξον ὑπὲρ βωμοῖο λαβὼν εὔοδμον ὀφίτην,
κικλήσκων Ὀφιοῦχον Ὀλύμπιον, ἐν πυρὶ καίων
Ἰλλυρικῆς ἐλάφοιο πολυγλώχινα κεραίην, L1[I]
ὄφρα φύγηις, ὅσα πικρὰ τεῶι πεπρωμένα πότμωι 𝔹
Μοιριδίης ἔκλωσεν ἕλιξ ἄτρακτος ἀνάγκης,
εἰ λίνα Μοιράων ἐπιπείθεται. ἀλλὰ τοκῆος
μνῆστιν ἔα κοτέοντος Ἀγήνορος, ἀσταθέων δὲ
ἀμφὶ κασιγνήτων μὴ δείδιθι· κεκριμένοι γὰρ
6 (4C) πάντες ἔτι ζώουσιν, ἐπεὶ Νοτίην χθόνα Κηφεὺς
νάσσατο Κηφήνων ἐπιήρανος Αἰθιοπήων,
καὶ Θάσος εἰς Θάσον ἦλθεν, ἀερσιλόφοιο δὲ Ταύρου
δύσνιφον ἀμφὶ τένοντα Κίλιξ Κιλίκεσσιν ἀνάσσει,
Θρηικίην δ’ ἐπὶ πέζαν ἀπόσσυτος ἵκετο Φινεύς·
τὸν μὲν ἐγὼ κομόωντα βαθυπλούτοισι μετάλλοις
γαμβρὸν ἐς Ὠρείθυιαν ἄγω καὶ Θρήικα Βορῆα,
6 νυμφίον ὀμφήεντα φιλοστεφάνου Κλεοπάτρης.
καὶ σὺ κασιγνήτων ἰσοελκέι νήματι Μοίρης
Καδμείων βασίλευε καὶ οὔνομα λεῖπε πολίταις·
πλαγκτοσύνης δ’ ἀπόειπε παλίμπορα κύκλα κελεύθου,
καὶ βοὸς ἄστατον ἴχνος ἀναίνεο· Κυπριδίωι γὰρ
σύγγονον ὑμετέρην ζυγίωι νυμφεύσατο θεσμῶι
Ἀστερίων Δικταῖος ἄναξ Κορυβαντίδος Ἴδης.
καὶ τὰ μὲν αὐτὸς ἐγὼ μαντεύσομαι, ἄλλα δὲ Φοίβωι
καλλείψω· σὺ δέ, Κάδμε, μεσόμφαλον ἄξονα βαίνων
Δελφίδος αὐδήεντα μετέρχεο τέμπεα Πυθοῦς.”
ὣς εἰπὼν ἀπέπεμπεν Ἀγηνορίδην μετανάστην
Ζεὺς Κρονίδης· καὶ κραιπνὸς ἐς αἰθερίων ἴτυν ἄστρων

τεῦξον ἀρειοτέροιο νέον σπινθῆρα κεραυνοῦ.
ἀλλὰ δόλωι θέλξαντα τεὸν νόον ἐλπίδι νίκης
χρυσῶι δῆσον Ἔρωτα μετὰ χρυσῆς Ἀφροδίτης·
χαλκῶι σφίγξον Ἄρηα κυβερνητῆρα σιδήρου.
ἀστεροπαὶ φεύγουσι καὶ οὐ μίμνουσιν Ἐνυώ·
πῶς στεροπῆς ὀλίγης οὐκ ἔκφυγες ἀπτόλεμον πῦρ;
ἢ πόθεν οὔασι σοῖσιν ἀμετρήτοισιν ἀκούων
βρονταίην ἐλάχειαν ἐδείδιες ὄμβριον ἠχώ;
τίς σε τόσον ποίησεν ἀνάλκιδα; πῆι σέθεν αἰχμαί;
πῆι κεφαλαὶ σκυλάκων; πῆι χάσματα κεῖνα λεόντων
καὶ χθόνιον μύκημα βαρυφθόγγων σέο λαιμῶν;
◆ πῆι δὲ δρακοντείης δολιχόσκιος ἰὸς ἐθείρης;
οὐκέτι συρίζεις ὀφιώδεϊ κυκλάδι χαίτηι;
πῆι βοέων στομάτων μυκήματα; πῆι σέο χειρῶν
ἠλιβάτου πρηῶνος ἀκοντιστῆρες ἀγοστοί;
οὐκέτι μαστίζεις ἑλικώδεας ἄντυγας ἄστρων;
οὐκέτι λευκαίνουσι συῶν προβλῆτες ἀκωκαὶ
ἀφροκόμωι ῥαθάμιγγι διάβροχον ἀνθερεῶνα;
πῆι μοι φρικτὰ γένεια σεσηρότα λυσσάδος ἄρκτου;
εἶξον ἐπουρανίοισι, πεδοτρεφές· ὑμετέρων γὰρ
χειρὶ μιῆι νίκησα διηκοσίων στίχα χειρῶν.
ἀλλὰ βαθυκρήμνοισι περισφίγγουσα κολώναις
Σικελίη τρικάρηνος ὅλον Τυφῶνα δεχέσθω
οἰκτρὰ κονιομένοις ἑκατὸν κομόωντα καρήνοις.
ἔμπης, εἰ νόον ἔσχες ὑπέρβιον, εἰ δὲ καὶ αὐτῶι
ἐλπίσιν ἀπρήκτοισιν ἐπεσκίρτησας Ὀλύμπωι,
τεύξω σοι, πανάποτμε, κενήριον, ὑστάτιον δὲ
σὸν κενεὸν παρὰ τύμβον, ἀτάσθαλε, τοῦτο χαράξω·
'Γηγενέος τόδε σῆμα Τυφωέος, ὅν ποτε πέτροις
αἰθέρα μαστίζοντα κατέφλεγεν αἰθέριον πῦρ.'"
ἔννεπε κερτομέων νέκυν ἔμπνοον, υἱὸν ἀρούρης.
καὶ Διὶ παμμεδέοντι χέων ἐπινίκιον ἠχὼ
λαϊνέηι σάλπιγγι Κίλιξ μυκήσατο Ταῦρος,
ὑδρηλοῖς δὲ πόδεσσιν ἕλιξ ὠρχήσατο Κύδνος
Ζηνὸς ἀνευάζων διερῶι βρυχήματι νίκην,
μεσσοφανὴς προχέων ναέτην ῥόον ἥλικι Ταρσῶι.
Γαῖα δὲ πετρήεντα διαρρήξασα χιτῶνα
ἄχνυτο κεκλιμένη, καὶ πενθάδος ἀντὶ μαχαίρης
κοπτομένην ἀνέμοις ἀπεκείρατο δενδράδα χαίτην,
βόστρυχον ὑλήεντος ἀποτμήξασα καρήνου
φυλλοχόωι ἅτε μηνί, χαραδραίας δὲ παρειὰς
δρύψατο, καὶ κελαδεινὰ δι' εὐύδρων κενεώνων
ἔρρεε μυρομένης ποταμήια δάκρυα Γαίης.
ἐκ δὲ Τυφαονίων μελέων στροφάλιγγες ἀέλλης
κύματα μαστίζουσιν, ἐπεσσύμεναι δὲ καλύψαι
ὁλκάδας ἀκλύστοιο καθιππεύουσι γαλήνης,
οὐ μούνοις ῥοθίοισιν ἐπήλυδες· ἀλλ' ἐνὶ γαίηι
πολλάκις αὐθύσσουσα θυελλήεσσα κονίη
ὄρθιον ἡβώοντα κατέκλυσε καρπὸν ἀλωῆς.
καὶ ταμίη κόσμοιο, παλιγγενέος Φύσις ὕλης,

καὶ πάλιν ἰθυτμῆτας ἑλὼν σπήλυγγας ἐναύλων
στέρνα Διὸς μενέαινε βαλεῖν ἄτρωτα σιδήρωι,
καὶ σκοπιῆ Διὸς ἄντα τιταίνετο· χείλεϊ δ' ἄκρωι
Ζεὺς ὀλίγον φύσησε, καὶ ὑψίκρημνον ἐοῦσαν
λεπταλέον φύσημα παρέτραπε κυκλάδα πέτρην.
χειρὶ δὲ δινήεντα λόφον νησαῖον ἀράξας
εἰς ἐνοπὴν πολύδινος ἀνηιώρητο Τυφωεύς,
καὶ Διὸς ἀρρήκτοιο κατηκόντιζε προσώπου·
ἀλλ' ὁ μὲν ἀντικέλευθον ἀλεύατο μάρμαρον αἰχμὴν
κρᾶτα παρακλίνας, στεροπῆς δ' ἐτύχησε Τυφωεὺς
θερμὸν ἀμειβομένης ἕλικα δρόμον, αἶψα δὲ πέτρη
ἀκροφαληριόωσα μελαίνετο μάρτυρι καπνῶι.
καὶ τριτάτην προΐαλλεν· ἐπεσσυμένην δὲ Κρονίων
πεπταμένης παλάμης μεσσάτωι νωμήτορι καρπῶι,
σφαῖραν ἅτε θρώισκουσαν, ἀτέρμονι χειρὶ πατάξας
πέμπε πάλιν Τυφῶνι· μεταστρεφθεῖσα δὲ πολλῆι
ἠερίηι στροφάλιγγι παλιννόστοιο πορείης
αὐτομάτη τόξευεν ὀιστευτῆρα κολώνη.
τέτρατον ἠκόντιζεν ὑπέρτερον· ἁψαμένη δὲ
αἰγίδος ἀκροτάτων θυσάνων ἐδιχάζετο πέτρη.
ἄλλην δὲ προέηκεν· ἀελλήεσσα δὲ πέτρη
ἡμιδαὴς σελάγιζεν ὀιστευθεῖσα κεραυνῶι.
οὐ σκοπιαὶ νέφος ὑγρὸν ἀνέσχισαν, ἀλλὰ τυπεῖσαι
ὑδρηλαῖς νεφέληισι διερρήγνυντο κολῶναι.
ξυνὴ δ' ἀμφοτέροισιν ἰσόρροπος ἦεν Ἐνυὼ
καὶ Διὶ καὶ Τυφῶνι· πολυφλοίσβωι δὲ βελέμνωι
αἰθέρος ὀρχηστῆρες ἐβακχεύοντο κεραυνοί.
μάρνατο δὲ Κρονίδης κεκορυθμένος· ἐν δὲ κυδοιμῶι
βροντὴν μὲν σάκος εἶχε, νέφος δέ οἱ ἔπλετο θώρηξ,
καὶ στεροπὴν δόρυ πάλλε, Διιπετέες δὲ κεραυνοὶ
ἠερόθεν πέμποντο πυριγλώχινες ὀιστοί·
ἤδη γὰρ περίφοιτος ἀπὸ χθονίου κενεῶνος
ξηρὸς ἀερσιπότητος ἀνέδραμεν ἀτμὸς ἀρούρης,
καὶ νεφέλης ἔντοσθεν ἐελμένος αἴθοπι λαιμῶι
πνίγετο θερμαίνων νέφος ἔγκυον· ἀμφὶ δὲ καπνῶι
τριβομένων καναχηδὰ πυριτρεφέων νεφελάων
θλιβομένη πεφόρητο δυσέκβατος ἐνδόμυχος φλὸξ
διζομένη μέσον οἶμον, ἐπεὶ σέλας ὑψόθι βαίνειν
οὐ θέμις· ἀστεροπὴν γὰρ ἀναθρώισκουσαν ἐρύκει
ὀμβρηρῆι ῥαθάμιγγι λελουμένος ἴκμιος ἀήρ,
πυκνώσας νέφος ὑγρὸν ὑπέρτερον ἀζαλέου δὲ
νειόθεν οἰγομένοιο διέδραμεν ἁλλόμενον πῦρ.
ὡς λίθος ἀμφὶ λίθωι φλογερὴν ὠδῖνα λοχεύων
λάινον ἠκόντιζε πολυθλιβὲς αὐτόγονον πῦρ,
πυρσογενὴς ὅτε θῆλυς ἀράσσεται ἄρσενι πέτρωι·
οὕτω θλιβομένηισιν ἀνάπτεται οὐρανίη φλὸξ
λιγνύι καὶ νεφέληισιν· ἀπὸ χθονίοιο δὲ καπνοῦ
λεπταλέου γεγαῶτος ἐμαιώθησαν ἀῆται.
ἄλλην δ' ἐξ ὑδάτων μετανάστιον ἀτμίδα γαίης
ἠέλιος φλογερῆισι βολαῖς ἀντωπὸν ἀμέλγων

τινθαλέωι νοτέουσαν ἀνείρυσεν αἰθέρος ὁλκῶι·
ἡ δὲ παχυνομένη νεφέων ὤδινε καλύπτρην,
σεισαμένη δὲ πάχιστον ἀραιοτέρωι δέμας ἀτμῶι,
ἂψ ἀναλυσαμένη μαλακὸν νέφος εἰς χύσιν ὄμβρου,
ὑδρηλὴν προτέρην μετεκίαθεν ἔμφυτον ὕλην.
τοῖος ἔφυ φλογόεις νεφέων τύπος, οἷσι καὶ αὐτοὶ
ἰσότυποι στεροπῇσι συνωδίνοντο κεραυνοί.
Ζεὺς δὲ πατὴρ πολέμιζε· κατ' ἀντιβίριο δὲ πέμπων
ἠθάδα πυρσὸν ἴαλλεν, ἀκοντιστῆρα λεόντων,
βάλλων ποικιλόφωνον ἀμετρήτων στίχα λαιμῶν
οὐρανίωι πρηστῆρι· Διοβλήτου δὲ βελέμνου
◆ ἓν σέλας ἔφλεγε χεῖρας ἀπείρονας, ἓν σέλας ὤμους
νηρίθμους ἀμάθυνε καὶ αἰόλα φῦλα δρακόντων,
καὶ κεφαλὰς ἐδάιξαν ἀτέρμονας αἰθέρος αἰχμαί,
καὶ πλοκάμους Τυφῶνος ἕλιξ ἀμάθυνε κομήτης
ἀντιπόρωι σπινθῆρι δασύτριχα πυρσὸν ἰάλλων,
καὶ κεφαλαὶ σελάγιζον, ἀναπτομένων δὲ κομάων
βόστρυχα συρίζοντα κατεσφρηγίσσατο σιγὴ
οὐρανίωι σπινθῆρι, μαραινομένων δὲ δρακόντων
ἰοβόλοι ῥαθάμιγγες ἐτερσαίνοντο γενείων·
μαρναμένου δὲ Γίγαντος ἐτεφρώθησαν ὀπωπαὶ
καπνῶι λιγνυόεντι, νιφοβλήτων δὲ προσώπων
χιονέαις λιβάδεσσιν ἐλευκαίνοντο παρειαί.
καὶ πισύρων ἀνέμων τετράζυγον εἶχεν ἀνάγκην·
εἰ γὰρ ἐς ἀντολίην σφαλερὰς ἐλέλιζεν ὀπωπάς,
L2[I] ὑσμίνην φλογόεσσαν ἐδέχνυτο γείτονος Εὔρου·
𝔹 εἰ κλίσιν ἐσκοπίαζε δυσήνεμον Ἀρκάδος Ἄρκτου,
χειμερίου πρηστῆρος ἀθαλπέι βάλλετο πάχνηι·
φεύγων ψυχρὸν ἄημα νιφοβλήτοιο Βορῆος
καὶ διερῶι δεδόνητο καὶ αἰθαλόεντι βελέμνωι·
καὶ δύσιν εἰσορόων βλοσυρῆς ἀντώπιον Ἠοῦς
ἑσπερίην ἔφριξε θυελλήεσσαν Ἐνυώ,
εἰαρινῆς ἀίων Ζεφυρηίδος ἦχον ἱμάσθλης·
καὶ Νότος ἀμφὶ τένοντα μεσημβρινὸν Αἰγοκερῆος
ἄντυγας ἠερίας ἐπεμάστιε, θερμὸς ἀήτης,
φλογμὸν ἄγων Τυφῶνι πυραυγέι καύματος ἀτμῶι.
εἰ πάλιν ὄμβρον ἔχευε κατάρρυτον ὑέτιος Ζεύς,
λυσιπόνοις λιβάδεσσιν ὅλον χρόα λοῦσε Τυφωεὺς
θερμὰ καταψύχων κεκαφηότα γυῖα κεραυνῶι.
καὶ κραναοῖς βελέεσσι χαλαζαίου νιφετοῖο
παιδὸς ἱμασσομένου τραφερὴ μαστίζετο μήτηρ·
δερκομένη δὲ Γίγαντος ἐπὶ χροῒ μάρτυρα Μοίρης
λάινα πηκτὰ βέλεμνα καὶ ὑδατόεσσαν ἀκωκὴν
Ἠέλιον Τιτῆνα κατηφέι λίσσετο φωνῆι,
ἓν φάος αἰτίζουσα θερείτατον, ὄφρά κε πυρσῶι
θερμοτέρωι λύσειε Διὸς πετρούμενον ὕδωρ
νιφομένωι Τυφῶνι χέων ἐμφύλιον αἴγλην·
Nonnus καί οἱ ἱμασσομένωι συνετήκετο· καιομένων δὲ
ἠλιβάτων ὁρόωσα πυριστεφὲς ἔθνος ἀγοστῶν
χειμερίην ἱκέτευε μολεῖν δυσπέμφελον αὔρην
16 (9C) εἰς μίαν ἠριγένειαν, ἵνα ψυχροῖσιν ἀήταις
διψαλέην Τυφῶνος ἀποσβέσσειεν ἀνάγκην.
ἰσοτύπου δὲ τάλαντα μάχης ἔκλινε Κρονίων.
χειρὶ δὲ δενδρήεσσαν ἀπορρίψασα καλύπτρην
μήτηρ ἄχνυτο Γαῖα, Τυφαονίων κεφαλάων
καπνὸν ὀπιπεύουσα· μαραινομένων δὲ προσώπων
Γηγενέος λύτο γοῦνα· προθεσπίζουσα δὲ νίκην
βρονταίοις πατάγοισι Διὸς μυκήσατο σάλπιγξ·
ἤριπε δ' οὐρανίωι μεθύων φλογόεντι βελέμνωι,
ὠτειλὴν ἀσίδηρον ἔχων πολέμοιο, Τυφωεὺς
ὑψιτενής, καὶ νῶτα βαλὼν ἐπὶ μητέρι Γαίηι
κεῖτο, περιστορέσας ὀφιώδεα γυῖα κονίηι,
πυρσὸν ἀναβλύζων. Κρονίδης δ' ἐρέθιζε γελάσσας,
τοῖον ἔπος προχέων φιλοπαίγμονος ἀνθερεῶνος·
"καλὸν ἀοσσητῆρα γέρων Κρόνος εὗρε, Τυφωεῦ·
Χθὼν μόγις υἷα λόχευσε, μέγαν γόνον Ἰαπετοῖο·
ἡδὺς ὁ Τιτήνων τιμήορος· ὡς ὁρόω δέ,
ἀδρανέες γεγάασι τάχα Κρονίδαο κεραυνοί.
δηθύνεις τέο μέχρις ἀνέμβατον αἰθέρα ναίειν,
ψευδόμενε σκηπτοῦχε; μένει δέ σε θῶκος Ὀλύμπου·
σκῆπτρα Διὸς καὶ πέπλα θεημάχε δέξο Τυφωεῦ,
Ἀστραῖον δὲ κόμισσον ἐς οὐρανόν· ἢν δ' ἐθελήσῃς,
αἰθέρι νοστήσειε καὶ Εὐρυνόμη καὶ Ὀφίων
καὶ Κρόνος ἀμφοτέροισιν ὁμόστολος· ἐρχομένωι δὲ
σὺν σοὶ ποικιλόνωτον ἐς ὑψιπόρων ἴτυν ἄστρων
L2[I] δεσμὰ φυγὼν δολόμητις ὁμαρτήσειε Προμηθεύς,
𝔹 ἤπατος ἡβώοντος ἀφειδέα δαιτυμονῆα
οὐρανίης θρασὺν ὄρνιν ἔχων πομπῆα κελεύθου.
τί πλέον ἤθελες ἄλλο μετὰ κλόνον ἠὲ νοῆσαι
Ζῆνα καὶ ἐννοσίγαιον ὀπάονα σεῖο θοώκων;
Ζῆνα μὲν ἀδρανέοντα καὶ οὐ σκηπτοῦχον Ὀλύμπου,
8 (6C) βροντῆς καὶ νεφέων γυμνούμενον, ἀστεροπῆς δὲ
ἀντὶ πυρὸς ζαθέοιο καὶ ἠθάδος ἀντὶ κεραυνοῦ
δαλὸν ἀερτάζοντα Τυφαονίωι παρὰ παστῶι,
ληιδίης ἀλόχοιο τεῆς θαλαμηπόλον Ἥρης
ὀφθαλμῶι κοτέοντι τεῶν ζηλήμονα λέκτρων·
σύζυγα δ' ἐννοσίγαιον ἀποζευχθέντα θαλάσσης
ὑμετέρηι μετὰ πόντον ὑποδρήσσοντα τραπέζηι,
8 διψάδι χειρὶ φέροντα τεὸν δέπας ἀντὶ τριαίνης.
Ἄρεα λάτριν ἔχεις, θεράπων τεός ἐστιν Ἀπόλλων·
πέμπε δὲ Τιτήνεσσι διάκτορον υἱέα Μαίης
σὸν κράτος ἀγγέλλοντα καὶ οὐρανίην σέθεν αἴγλην·
ἐργατίνην δ' Ἥφαιστον ἐθήμονι κάλλιπε Λήμνωι,
ὄφρά κεν ἀσκήσειε νεοζεύκτωι σέο νύμφηι
ποικίλον αὐχένος ὅρμον ἐύχροον ἤνοπι κόσμωι,
ἠὲ πεδοστιβέων ἀμαρύγματα φαιδρὰ πεδίλων,
οἷσι τεὴ παράκοιτις ἀγάλλεται, ἠὲ τελέσσηι
χρυσοφαῆ θρόνον ἄλλον Ὀλύμπιον, ὄφρα γελάσσηι
κρείσσονα θῶκον ἔχουσα τεὴ χρυσόθρονος Ἥρη·
καὶ χθονίους Κύκλωπας ἔχων ναετῆρας Ὀλύμπου

κάλλεϊ λαϊνέωι· καὶ ἐποίπνυεν ἄλλος ἐπ’ ἄλλωι
Nonnus γειοτόμωι γλωχῖνι ταμὼν ἑτερόχροα πέτρην
ἐργατίνης Βοιωτὸν ὑπὸ κλέτας, ἣν παρὰ λόχμηι
Τευμησσοῦ δρυόεντος ἐμαιώσαντο κολῶναι,
ἣν Ἑλικὼν βλάστησε καὶ ἣν ὤδινε Κιθαιρών.
καὶ νηοὺς ἐτέλεσσε θεῶν καὶ δώματα φωτῶν
τορνώσας κανόνεσσιν· ἐπ’ ἀρρήκτοις δὲ δομαίοις
ἑπταπόρωι πυλεῶνι περίδρομον ἄστυ χαράξας
οὐρανὸν ἑπτάζωνον ἑῆι μιμήσατο τέχνηι,
ἐσσόμενον ναέταις Ἀμφίονι τεῖχος ἐάσας
πυργοδόμωι κιθάρηι πεφυλαγμένον. οὐρανίοις δὲ
ἑπτὰ πύλας ἀνέθηκεν ἰσηρίθμοισιν ἀλήταις
ἰσοτύπους· πρῶτον μὲν ἐς ἑσπέριον κλίμα πήξας
Ὀγκαίην ἐπένειμε πύλην γλαυκώπιδι Μήνηι
ἐκ βοὺς ὀγκηθμοῖο φερώνυμον, ὅττι καὶ αὐτὴ
ταυροφυὴς κερόεσσα βοῶν ἐλάτειρα Σελήνη
τριπλόον εἶδος ἔχουσα πέλει Τριτωνὶς Ἀθήνη·
δεύτερον Ἑρμάωνι διαυγέι γείτονι Μήνης
δῶκε γέρας πυλεῶνα· διαγράψας δὲ τετάρτην
Ἠλέκτρην Φαέθοντος ἐπώνυμον, ὅττι φανέντος
σύγχροος Ἠλέκτρης ἀμαρύσσεται ὄρθριος αἴγλη,
Ἠελίωι πυρφόεντι πύλην ἀντώπιον Ἠοῦς
μεσσατίην ἀνέθηκεν, ἐπεὶ μέσος ἐστὶ πλανήτων·
πέμπτην δ’ Ἄρεϊ δῶκε, πόρε τριτάτην Ἀφροδίτηι,
ἀμφοτέρων ἑκάτερθεν ὅπως Φαέθων μέσος εἴη,
L1[O] γείτονα θοῦρον Ἄρηα διατμήγων Ἀφροδίτης·
ἕκτην Ζηνὸς ἄγαλμα φαεινοτέρωι κάμε κόσμωι
ὑψιφανῆ· πυμάτην δὲ Κρόνου λάχεν ἕβδομος ἀστήρ.
τοῖον ἕδος ποίησε· καὶ ἱερὸν ἄστυ πολίσσας
Αἰγυπτίης ἐκάλεσσεν ὁμώνυμον ἄστεϊ Θήβης,
ποικίλον ἀσκήσας χθόνιον τύπον, ἶσον Ὀλύμπωι.
Ἀονίων δὲ θύγατρες ἀνεκρούσαντο χορείαις
Ἁρμονίης ὑμέναιον· ἐπ’ εὐθαλάμωι δὲ μελάθρωι
Θρηικίης φθέγξαντο χορίτιδες οὔνομα νύμφης.
καὶ Παφίη νεότευκτον ἐκόσμεε παστάδα Κάδμωι
παιδὸς ἑῆς μέλπουσα θεοκλήτους ὑμεναίους
μήτηρ ἱμερόεσσα· πατὴρ δ’ ὑπὸ χάρματι κούρης
γυμνὸς ἄτερ σακέων ὠρχήσατο μείλιχος Ἄρης
δεξιτερὴν ἀσίδηρον ἐπικλίνων Ἀφροδίτηι, 1
καὶ γαμίηι σάλπιγγι μελίζετο θεσμὸν Ἐρώτων
ἀντίτυπον σύριγγι, σιδηροφόρου δὲ καρήνου
ἠθάδας εὐπολέμοιο λόφους ἀπεσείσατο χαίτης,
μιτρώδας πλοκαμῖδας ἀναιμάκτοισι κορύμβοις,
5.100 πλέξας κῶμον Ἔρωτι· σὺν ἀθανάτοις δὲ χορεύων
εἰς γάμον Ἁρμονίης Ἰσμήνιος ἦλθεν Ἀπόλλων
ἑπτατόνωι κιθάρηι φιλοτήσιον ὕμνον ἀράσσων·
καὶ μέλος ἐκρούσαντο βιοσσόον ἐννέα Μοῦσαι,
καὶ παλάμας ἐλέλιζε Πολύμνια, μαῖα χορείης,
μιμηλὴν δ’ ἐχάραξεν ἀναυδέος εἰκόνα φωνῆς,
5.106 φθεγγομένη παλάμηισι σοφὸν τύπον ἔμφρονι σιγῆι,
ὄμματα δινεύουσα· πολυστρέπτωι δὲ πεδίλωι,

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the third, look for the much-wandering ship of Cadmos, the palace of Electra and the hospitality of her table.

NONNUS
DIONYSIACA
BOOK 3

PREVIEW BOOK 5

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 444 lines 3.0
3L 1 - 444

PRINT 2-SIDED: **19** to **24**

Λῦτο δ' ἀγών, ὅτε χεῖμα παρήλυθεν· ἄκρα δὲ φαίνων
ἀννεφέλωι τελαμῶνι φαεσφόρα νῶτα μαχαίρης
Ὠρίων ἀνέτελλε, καὶ οὐκέτι κυκλάδι λίμνηι
λούετο παχνήεντα δεδυκότος ἴχνια Ταύρου·
οὐκέτι δ' ὀμβροτόκοιο παρὰ κλίμα διψάδος Ἄρκτου
ἴχνεσιν ἀβρέκτοισιν ὁδεύετο μάρμαρον ὕδωρ·
οὐκέτι Μασσαγέτης μετανάστιον οἶκον ἱμάσσων,
δουρατέωι τροχόεντι διαστείβων ῥόον ὁλκῶι,
ὑδρηλὰς ἐχάρασσε πεπηγότος αὔλακας Ἴστρου·
ἤδη γὰρ Ζεφύροιο προάγγελος ἔγκυος Ὥρη
σχιζομένων καλύκων δροσεροὺς ἐμέθυσσεν ἀήτας,
καὶ λιγυρὴ μερόπεσσι συνέστιος εἴαρι κῆρυξ
ὄρθριον ὕπνον ἄμερσε λάλος τρύζουσα χελιδὼν
ἀρτιφανής, καὶ γυμνὸν ἀπ' εὐόδμοιο καλύπτρης
εἰαριναῖς ἐγέλασσε λελουμένον ἄνθος ἐέρσαις
ζωογόνοις. Κιλίκων δὲ παρὰ κροκόεντας ἐναύλους
ὑψιλόφου Ταύροιο λιπὼν πρηῶνα κεράστην
πρώιος ἤιε Κάδμος, ὅτε ζόφον ἔσχισεν Ἠώς.
καὶ πλόος ὥριος ἦεν· ἐπειγομένοιο δὲ Κάδμου
ἐκ χθονὸς ὠχλίζοντο χαλινωτήρια νηῶν·
ἱστὸς δ' ὑψικάρηνος ὑπέρτερον ἠέρα τύπτων
ὄρθιος ἐστήρικτο, καὶ ἠρέμα πόντον ἱμάσσων
ἄσθμασιν ἠώιοις ἐπεβόμβεε κοῦφος ἀήτης,
πομπὸν ἔχων κελάδημα, καὶ ἀλλοπρόσαλλα θυέλλαις
οἴδματα κυρτώσας διερῆς ἀνέκοψε χορείης
L1[I] σιγαλέης δελφῖνα κυβιστητῆρα γαλήνης.
συμπλεκέες δὲ κάλωες ἐσύρισαν ὀξέι ῥοίζωι,
σπερχομένωι δ' ἀνέμωι πρότονοι μύκον, ἰθυπόρου δὲ
λαῖφος ἐκολπώθη βεβιημένον ἔγκυον αὔρης·
σχίζετο δ' ἄστατον οἶδμα παλιμπετές, ἄφρεε δ' ὕδωρ
οἰδαλέον, καὶ νηὸς ἐπειγομένης διὰ πόντου
κύματι βομβήεντι περὶ τρόπιν ἤπυεν ἠχώ·
πηδαλίου δὲ κόρυμβα διχαζομένης ἁλὸς ὁλκῶι
κυρτὰ φαληριόωντα κατέγραφε νῶτα θαλάσσης.
καὶ δεκάτης μετὰ νύσσαν ἀχείμονα κυκλάδος Ἠοῦς
Κάδμος ἀκυμάντοισι Διὸς πεφορημένος αὔραις,
Τρώιον ὑγρονόμοιο διασχίζων πόρον Ἕλλης,
ἅρπαγος ἐξ ἀνέμοιο μεμυκότι σύρετο πορθμῶι
εἰς Σάμον ἀντικέλευθον ἐγερσιμόθοιο Καμάνδρου,
γείτονα Σιθονίης, ὅθι παρθένος εἰσέτι Κάδμωι
Ἁρμονέη πεφύλακτο· καὶ ὁλκάδα θέσπιδι Ῥείηι
Θρηικίην πόμπευον ἐς ἠιόνα μάντιες αὖραι.
καὶ Σαμίης ὁρόωντες ἀκοιμήτου φλόγα πεύκης
◆ ἀγχίγυοι στείλαντο γεγηθότες ἱστία ναῦται·
νῆα δὲ πορθμεύσαντες ἀκυμάντου σχεδὸν ὅρμου
νήνεμον ἀκροτάτοισιν ὕδωρ ἐχάρασσον ἐρετμοῖς,
καὶ λιμένος προσέκελσαν ὑπὸ σκέπας· ἀκλινέων δὲ
Nonnus τρητὸς ὄνυξ πετραῖος ἐδέξατο πείσματα νηῶν,
καὶ διερῆς ψαμάθοιο βαθυνομένου διὰ κόλπου
ὁλκάδος ἀγκυλόδοντες ἐπεσφήκωντο χαλινοί

17 δίζυγες ἔνθα καὶ ἔνθα περιρραίνοντο κεραῖαι
οὐλοχύταις· ὁ δὲ γυμνὸν ἑλὼν παρὰ γείτονι μηρῶι
φάσγανόν Ἀσσυρίοιο παρήορον ἐκ τελαμῶνος
ἀκροτάτην τρίχα τάμνε τανυρρίνοιο καρήνου
ἄορι κωπήεντι· Θεοκλύμενος δὲ κεραίης
δραξάμενος μόσχοιο παλίντονον εἴρυσε δειρήν,
αὐχενίους δὲ τένοντας ἀπηλοίησε Θυέστης
ἀμφιτόμωι βουπλῆγι, καὶ αἱμαλέωι βοὸς ὁλκῶι
λάινος Ὀγκαίης ἐρυθαίνετο βωμὸς Ἀθήνης,
καὶ βοέου κερόεντος ἀρασσομένοιο μετώπου
πρηνὴς μόσχος ἔπιπτε· δαϊζομένης δὲ σιδήρωι
πλευρὰ διατμήξαντες ἐμιστύλλαντο μαχαίρηι,
καὶ βοέην τρηχεῖαν ἐγυμνώσαντο καλύπτρην
ἐκταδίην· ὁ δὲ φαιδρὸν ἐπὶ χθονὶ φᾶρος ἑλίξας
αὐτὸς ἄναξ πεπόνητο, καὶ εὐφυέων κρέα μηρῶν ◆
ὠμὰ διατμήξας ἐκαλύψατο δίζυγι δημῶι
μιστύλλων κατὰ βαιόν, ἐπ' ἀνθρακιῆι δὲ τανύσσας
σπλάγχνα σιδηρείοισι πεπαρμένα μακρὰ κορύμβοις
εἴρυσεν, ὀπτήσας ἁπαλῶι πυρί· μεσσοπαγῆ δὲ
ἀκροπόρωι στοιχηδὸν ἄγων τετορημένα χαλκῶι
ἀνθοκόμου κατέθηκε χαμαιζήλοιο τραπέζης
δαιτρός, ἐπασσυτέρους ὀβελοὺς ζείοντας ἀείρας.
καὶ θυόεις ἐλέλικτο δι' ἠέρος ἀτμὸς ἀλήτης
Ἀσσυρίης λιβάνοιο. τελειομένης δὲ θυηλῆς
δεῖπνον ἔην, καὶ Κάδμος ἑλὼν ἐπένειμεν ἑκάστωι
κεκριμένης ὀρέγων ἰσοελκέα μοῖραν ἐδωδῆς. L1[I]
δαιτυμόνων δὲ φάλαγγες ἐπ' εὐκύκλοιο τραπέζης
εἰλαπίνης ἀπέθεντο πόθον κεκορηότι θυμῶι.
οὐδὲ δρακοντοφόνωι καμάτων τέλος ἔπλετο Κάδμωι,
ἀλλὰ μεθ' ἑρπηστῆρα, μετ' ἄγρια φῦλα Γιγάντων,
Ἐκτήνων προμάχοισι καὶ Ἄονι μάρνατο λαῶι
1 βάρβαρον ἀμώων στάχυν Ἄρεος, ἀγχιπόροις δὲ
ἔχραε Τεμμέκεσσι· καλεσσαμένωι δὲ μαχητὰς
ποικίλος ἑσμὸς ἵκανε περικτιόνων ἐπικούρων.
καὶ διδύμαις στρατιῇσιν Ἔρις ξύνωσεν Ἐνυὼ
φύλοπιν ὠδίνουσα· συνερχομένων δὲ κυδοιμῶι
τόξον ἐκυκλώθη, δόρυ πάλλετο, σείετο πήληξ,
καὶ βέλος ἐρροίζησεν, ἐπ' ὀμφαλόεντι δὲ κύκλωι
2 βαλλομένη μυλόεντι λίθωι σμαράγησε βοείη.
καὶ κταμένων ῥέεν αἷμα· πολὺς δ' ἐπὶ φορβάδι γαίηι
ἡμιθανὴς προκάρηνος ἀνὴρ κεκύλιστο κονίηι.
καὶ στρατὸς ἀντιβίων ἱκέτης ἐκλίνετο Κάδμωι·
λῦτο δ' ἀγών. φονίην δὲ μετὰ στροφάλιγγα κυδοιμοῦ
Κάδμος ἀπυργώτοιο θεμείλια πήγνυε Θήβης.
πολλαὶ δ' ἔνθα καὶ ἔνθα μεριζομένων κενεώνων
αὔλακες ἐτμήγοντο, πολυσχιδέων δὲ κελεύθων
ἕδρανα καρχαρόδοντι βοῶν κεχάρακτο σιδήρωι·
πολλαὶ δ' ἀντιπόρων ἀνέμων τετράζυγι κόσμωι Nonnus
ἔμμοροι ἐν χόρτοισιν ἐμετρήθησαν ἀγυιαί.
20 καὶ πόλις Ἀονίη Τυρίης ποικίλλετο τέχνης 5.56

κόλπον ἀνευρύνουσα βαθυνομένοιο χιτῶνος·
Nonnus καὶ τεκέων κλάζουσα μέλος θελκτήριον ὕπνου
ἀμφοτέρους εὕδοντας ἐκοίμισε μαιάδι τέχνηι,
πῆχυν ὑποστορέσασα συνήορον αὐχένι παίδων,
καί σφισι λέκτρον ἔθηκεν ἑὸν γόνυ, διχθαδίωι δὲ
φάρεος ἄκρον ἔλισσε διαιθύσσουσα προσώπωι,
τέκνα καταψύχουσα, καὶ ἔσβεσε καύματος ὁρμὴν
ἀντίτυπον φύσημα χέων ποιητὸς ἀήτης.
ὄφρα μὲν ἕζετο Κάδμος ἐχέφρονος ἐγγὺς ἀνάσσης,
τόφρα λαθὼν πυλαωρὸν ἑῶι ληίστορι ταρσῶι
ἀπροϊδὴς ἀκίχητος ἐς οἰκίον ἤιεν Ἑρμῆς
εἴκελος ἠιθέωι· ῥοδέωι δέ οἱ ἀμφὶ προσώπωι
ἀσκεπέος κεχάλαστο παρήορος ὁλκὸς ἐθείρης
ἀμφιλαφής, στέψας δὲ νεότριχος ἄκρα παρειῆς
λεπτὸς ἀεξομένων ἐρυθαίνετο κύκλος ἰούλων
ἀρτιφυὴς ἑκάτερθε περίδρομος· οἷα δὲ κῆρυξ
ἠθάδα ῥάβδον ἄειρεν· ἀθηήτωι δὲ προσώπωι
ἐκ κεφαλῆς νεφέεσσι κεκασμένος εἰς πόδας ἄκρους
πιαλέης ἐκίχησε πεπαυμένα δεῖπνα τραπέζης·
οὐδέ μιν Ἠμαθίων σχεδὸν ἔδρακεν, οὐδὲ καὶ αὐτὴ
Ἁρμονίη καὶ Κάδμος ὁμέστιος, οὐ χορὸς ἀνδρῶν
δούλιος· Ἠλέκτρηι δὲ θεουδέι φαίνετο μούνηι
Ἑρμῆς ποικιλόμυθος· ἑλὼν δέ μιν εἰς μυχὸν οἴκου
ἀπροϊδὴς ὀάριζε καὶ ἀνδρομέηι φάτο φωνῆι·
“μητροκασιγνήτη, Διὸς εὐνέτι, χαῖρε, γυναικῶν
L2[O] πασάων μετόπισθε μακαρτάτη, ὅττι Κρονίων
κοιρανίην κόσμοιο τεοῖς τεκέεσσι φυλάσσει,
καὶ χθονὸς ἄστεα πάντα κυβερνήσει σέο φύτλη,
ἕδνα τεῆς φιλότητος, ἐμῆι δ’ ἅμα μητέρι Μαίηι
ἄστρασιν ἑπταπόροισι συναστράψειας Ὀλύμπωι
σύνδρομος Ἠελίοιο, συναντέλλουσα Σελήνηι.
εἰμὶ τεῆς, φιλότεκνε, γονῆς ἐμφύλιος Ἑρμῆς,
ἄγγελος ἀθανάτων τανυσίπτερος, οὐρανόθεν δὲ
ξείνιος ὑψιμέδων μὲ τεὸς προέηκεν ἀκοίτης
ἀμφὶ τεοῦ ξείνοιο θεουδέος· ἀλλὰ καὶ αὐτὴ
πείθεο σῶι Κρονίωνι, καὶ Ἁρμονίην σέο κούρην
πέμπε μολεῖν ἀνάεδνον ὁμόστολον ἥλικι Κάδμωι,
καὶ Διὶ καὶ μακάρεσσι χαρίζεο· τειρομένους γὰρ
ἀθανάτους ὁ ξεῖνος ὅλους ἐσάωσεν ἀείδων·
οὗτος ἀνὴρ μογέοντι τεῶι χραίσμησεν ἀκοίτηι,
οὗτος ἀνὴρ ἐπέτασσεν ἐλεύθερον ἦμαρ Ὀλύμπωι.
μή σε τεὴ θέλξειε γόωι φιλομήτορι κούρη·
ἀλλά μὲν εἰς ὑμέναιον ἀλεξικάκωι πόρε Κάδμωι
3.444 ✦ πειθομένη Κρονίωνι καὶ Ἄρεϊ καὶ Κυθερείηι.”
5.1 Ἀλλ’ ὅτε δὴ πολέμων ὀφιώδεα λήια κείρων
Κάδμος ὀδοντοφύτων καλάμην ἤμησε Γιγάντων,
σπένδων λύθρον Ἄρηι θαλύσια δηιοτῆτος,
φαιδρύνας ἑὰ γυῖα δρακοντοβότωι παρὰ Δίρκηι
Δελφίδα βοῦν ἱέρευσε θεοδμήτων ἐπὶ βωμῶν,
5.6 Παλλάδι καλὸν ἄγαλμα. καταρχομένωι δὲ θυηλὰς

18 δυομένου Φαέθοντος· ἐπ’ αἰγιαλοῖο δὲ ναῦται
ἀστορέας ψαμάθοισιν ἐπεστορέσαντο χαμεύνας Nonnus
ἑσπερίην μετὰ δαῖτα· βαρυνομένοισι δὲ φωτῶν
ὄμμασιν ἄψοφον ἴχνος ἐπήγαγεν Ὕπνος ἀλήτης.
ἀλλ’ ὅτε πορφυρέοιο παρὰ πτερὸν αἴθοπος Εὔρου
ἄκρα χαρασσομένην ὑπὸ ῥωγάδα Τευκρίδος Ἴδης
ὄρθρον ἀποπτύουσα φάνη λιμενοσκόπος Ἠώς,
ἀντιπόρου μέλαν οἶδμα καταυγάζουσα θαλάσσης,
Ἁρμονίην τότε Κύπρις ἵνα ζεύξειεν ἀκοίτηι,
ἄπλοα σιγαλέης ἐτανύσσετο νῶτα γαλήνης.
ἤδη δ’ ἔκλαγεν ὄρνις ἑώιος ἠέρα τέμνων,
καὶ στίχες εὐπήληκες ἐρημονόμων Κορυβάντων
Κνώσσιον ἐκρούσαντο σακεσπάλον ἅλμα χορείης
ἴχνεσι μετρητοῖσιν· ἐρισμαράγου δὲ βοείης
τυπτομένης ἑλικηδὸν ἀμιλλητῆρι σιδήρωι
δίκτυπος αὐλὸς ἔμελπε, καὶ ὀρχηστῆρας ἐπείγων
σύνθροον ἐσμαράγησε μέλος βητάρμονι παλμῶι.
καὶ δρύες ἐψιθύριζον, ἐμυκήσαντο δὲ πέτραι,
καὶ νοερῶι σείοντο τινάγματι θυιάδες ὗλαι,
καὶ Δρυάδες κελάδησαν· ἐπεσσεύοντο δὲ πυκναὶ
εἰς χορὸν ἀντιπόρωι σκιρτήματι κυκλάδες Ἄρκτοι,
βρυχηθμῶι δὲ Λέοντες ὁμοζήλων ἀπὸ λαιμῶν
μυστιπόλων ἀλαλαγμὸν ἐμιμήσαντο Καβείρων
ἔμφρονα λύσσαν ἔχοντα· φιλοσκύλακος δὲ θεαίνης
μελπομένης Ἑκάτης θιασώδεες ἔβρεμον αὐλοὶ
ἄζυγες, οὓς Κρονίη κεραοξόος εὕρατο τέχνη. L2[O]
καὶ πατάγωι κελάδοντι φιλοσμαράγων Κορυβάντων
πρώιος ἔγρετο Κάδμος, ὁμοπλεκέες δὲ καὶ αὐτοὶ
ὀρθρινῆς ἀΐοντες ἀσιγήτοιο βοείης
Σιδόνιοι πλωτῆρες ἐυκροκάλων ἀπὸ λέκτρων
ἀκταίης μεθέηκαν ἁλίκτυπα νῶτα χαμεύνης.
2 καὶ πόλιν ἰχνεύων ἐπλάζετο Κάδμος ὁδίτης
νῆα λιπὼν ἑτάροισιν ἀπόσσυτος· ἐρχομένωι δὲ
εἰς δόμον Ἁρμονίης θαλαμηπόλος ἤντετο Πειθὼ
θνητῆς εἶδος ἔχουσα, καὶ ἀχθοφόρου διὰ κόλπου,
οἷα γυνὴ ταλαεργός, ἀφυσσαμένη πόμα πηγῆς
ἀργυρέην εὔκυκλον ἐκούφισε κάλπιν ἀγοστῶι,
ἄγγελος ἐσσομένων, ὅτι νυμφίον ἠθάδι θεσμῶι
3 ζωογόνοις πρὸ γάμοιο καθικμαίνουσι λοετροῖς.
καὶ σχεδὸν ἄστεος ἦεν, ὅθι γλαφυροῖς ἐνὶ βόθροις
συμπλεκέων ῥυπόωσαν ἐπασσυτέρων στίχα πέπλων
ποσσὶ πολυσκάρθμοισιν ἐπιστείβουσι γυναῖκες,
ποσσὶν ὁμοζήλοισι. καὶ ἀκροτάτων ἀπὸ ταρσῶν
κυανέηι νεφέληι κεκαλυμμένον ἄχρι καρήνου
Κάδμον ἀσημάντοιο δι’ ἄστεος ἤγαγε Πειθὼ
ξεινοδόκου βασιλῆος ἐρευνητῆρα μελάθρου,
πομπὸς ὁδοῦ Παφίης ὑπὸ νεύμασιν· ἔνθά τις ὄρνις,
ἑζομένη γλαυκῶπον ὑπὸ σκέπας ἁβρὸν ἐλαίης,
ὀμφαίη στόμα λάβρον ἀναπτύξασα κορώνη
ἠιθέωι νεμέσιζεν, ἐς Ἁρμονέην ὅτι νύμφην 3.100

ἤιε φειδομένωι γαμίωι ποδὶ νωθρὸς ὁδίτης, 19 (10C)
καὶ πτερὰ σεισαμένη φιλοκέρτομον ἴαχε φωνήν·
"νήπιος ἔπλετο Κάδμος, ἢ ἔπλετο νῆις Ἐρώτων·
νυμφίον οὐ βραδὺν οἶδεν Ἔρως ταχύς· ἵλαθι, Πειθώ,
δηθύνει σέο Κάδμος ἐπειγομένης Ἀφροδίτης.
θερμὸς Ἔρως καλέειν σε· τί, νυμφίε, νωθρὸς ὁδεύεις;
ἡδύς, ὃς ἱμερόεντος Ἀδώνιδος ἔπλεο γείτων,
ἡδὺς ὁ **Βυβλιάδεσσιν** ὁμώλακα πατρίδα ναίων.
ἤλιτον, οὐ ῥόον εἶδες Ἀδώνιδος, οὐ χθόνα Βύβλου
ἔδρακες, ἧχι πέλει Χαρίτων δόμος, ἧχι χορεύει
Ἀσσυρίη Κυθέρεια καὶ οὐ φυγόδεμνος Ἀθήνη.
τερπομένην δὲ γάμοισι τιθηνήτειραν Ἐρώτων
Πειθὼ πομπὸν ἔχεις, οὐκ Ἄρτεμιν· ἴσχεο μόχθων,
Ἁρμονίης ἀπόναιο καὶ Εὐρώπην λίπε ταύρωι·
σπεῦδε, καὶ Ἠλέκτρη σε δεδέξεται, ἧς ἀπὸ χειρῶν
ναὶ δὴ καὶ γαμίων ἐμβάλλεο φόρτον Ἐρώτων
ἐμπορίην φιλότητος ἐπιτρέψας Ἀφροδίτηι,
Κυπριδίην δὲ θύγατρα φυλασσομένην σέο παστῶι
ἄλλην δέχνυσο Κύπριν· ἐπαινήσεις δὲ κορώνην,
καὶ γαμίην καλέσεις με θεοπρόπον ὄρνιν Ἐρώτων.
ἤλιτον· ἀλλά με Κύπρις ἐπέπνεεν· ἐκ Παφίης γὰρ
θεσπίζω σέο λέκτρα, καὶ εἰ πέλον ὄρνις Ἀθήνης."
ὣς φαμένη σφρήγισσε λάλον στόμα μάρτυρι σιγῆι.
ἀλλ' ὅτε οἱ στείχοντι λεωφόρα κύκλα κελεύθου
τηλεφανὴς βασιλῆος ἐφαίνετο πανδόκος αὐλὴ
L2[I] κίοσιν ὑψωθεῖσα, τανυσσαμένη τότε Κάδμωι
δάκτυλον ἀντιτύποιο νοήμονα μάρτυρα φωνῆς
σιγαλέωι κήρυκι δόμον σημήνατο Πειθὼ
ποικίλον ἀστράπτοντα· καὶ αἰθέρα δύσατο δαίμων
ἀλλοφανὴς πτερόεντι διαιθύσσουσα πεδίλωι.
καὶ δόμον ἐσκοπίζεν ἀλήμονι Κάδμος ὀπωπῆι,
Ἡφαίστου σοφὸν ἔργον, ὃν Ἠλέκτρηι ποτὲ νύμφηι 3 (1C)
ἐργοπόνος Λήμνοιο Μυριναίηι κάμε τέχνηι,
δαίδαλα πολλὰ φέροντα. νεοσταθέος δὲ μελάθρου
χάλκεος οὐδὸς ἔην εὐήλατος· ἀμφίθυροι δὲ
σταθμοὶ ἐμηκύνοντο πολυγλυφέων πυλεώνων,
καὶ λόφος ὀμφαλόεντι διεσφαίρωτο καρήνωι
μεσσοφανὴς ὀρόφοιο· λιθοστρώτοιο δὲ τοίχου
νῶτα κατεστήρικτο πεπηγότα λευκάδι γύψωι 4
εἰς μυχὸν ἐξ οὐδοῖο. πέλας δέ τις ὄρχατος αὐλῆς
ἀμφιλαφὴς δροσόεντι φυτῶν ἐβαρύνετο καρπῶι
τετράγυος πρὸ δόμοιο· καὶ ἄρσενα φύλλα πετάσσας
θηλυτέρωι φοίνικι πόθον πιστώσατο φοῖνιξ·
◆ ὄγχνη τ' ἀγλαόκαρπος ὁμήλικι σύμφυτος ὄγχνηι
ὄρθριον ἐψιθύριζεν, ἑλισσομένη δὲ κορύμβοις
γείτονα πιαλέης ἐπεμάστιε θάμνον ἐλαίης·
εἰαρινοῖς ἀνέμοισιν ἀναινομένηι παρὰ δάφνηι
Nonnus σείετο μύρσινα φύλλα, καὶ εὐπετάλου κυπαρίσσου
ὄρθριον ἐρρίπιζε κόμην εὔοδμος ἀήτης·
συκῆς θ' ἡδυτόκοιο καὶ ἰκμαλέης ἀπὸ ῥοιῆς

ἔμπης τόσσα παθοῦσα παρήγορον ἐλπίδα βόσκω
Ζηνὸς ὑποσχεσίῃσιν, ὅτι γνωτῇσι σὺν ἄλλαις
ἐκ χθονὸς Ἀτλάντειον ἐλεύσομαι εἰς πόλον ἄστρων
οὐρανὸν οἶκον ἔχουσα, καὶ ἔσσομαι ἕβδομος ἀστήρ.
καὶ σὺ τεὰς πρήυνε μεληδόνας· ἀπροϊδὴς δὲ
εἰς σὲ βιοπλάγκτοιο τύχης στροφάλιγγα κυλίνδων
φρικτὸς ἀκινήτοιο μίτος σφρηγίσσατο Μοίρης·
τλῆθι φέρειν λιπόπατρις ἀκαμπέα δεσμὸν ἀνάγκης,
ἐσσομένην προκέλευθον ὑπέρτερον ἐλπίδα βόσκων,
εἰ γένος ἐρρίζωσε τεὸν πρωτόσπορος Ἰώ,
εἰ λάχες ἐκ Λιβύης Ποσιδήιον αἷμα γενέθλης·
μέμνε παρ' ὀθνείοις, ἅτε Δάρδανος, οἰκία ναίων,
ναιετάων ξένον ἄστυ, πατὴρ τεὸς ὥς περ Ἀγήνωρ,
ὡς Δαναὸς γενετῆρος ἀδελφεός· ὅττι καὶ αὐτὸς
ἄλλος ἀνὴρ φερέοικος ἔχων γένος ἔνθεον Ἰοῦς,
αἰθέριον βλάστημα, Διιπετὲς οὔνομα Βύζας,
αὐτογόνου Νείλοιο πιὼν ἑπτάστομον ὕδωρ
γείτονα γαῖαν ἔνειμεν, ὅπηι παρὰ Βόσπορον ἀκτὴν
Ἰναχίηι δαμάληι πεπερημένον ἕλκεται ὕδωρ,
πᾶσι περικτιόνεσσι τιθεὶς φάος, ὁππότε κείνου
ἀκλινέος δόχμωσε μεμηνότος αὐχένα ταύρου."
εἶπεν Ἀγηνορίδαο κατευνάζουσα μερίμνας.
Ζεὺς δὲ πατὴρ προέηκε τανύπτερον υἱέα Μαίης
εἰς δόμον Ἠλέκτρης ταχὺν ἄγγελον, ὄφρά κε Κάδμωι
Ἁρμονίην ὀπάσειεν ἐς ἁρμονίην ὑμεναίων,
παρθένον οὐρανόθεν μετανάστιον, ἣν Ἀφροδίτης L2[I]
λαθριδίηι φιλότητι γαμοκλόπος ἤροσεν Ἄρης·
καὶ βρέφος αἰδομένη κρυφίης αὐτάγγελον εὐνῆς
μήτηρ οὐκ ἀτίταλλεν, ἀπ' αἰθερίοιο δὲ κόλπου
πήχεϊ κεκλιμένην ἐπιμάζιον ἤγαγε κούρην
εἰς δόμον Ἠλέκτρης μαιήιον, ἧς τόκον Ὧραι
ὑγρὸν ἐμαιώσαντο λεχωίδες, ἧς ἔτι πυκνοὶ
ἀργεννὴν σφριγόωντες ἀνέβλυον ἰκμάδα μαζοί·
δεξαμένη δὲ θύγατρα νόθην ἰσόζυγι θεσμῶι
σύγχρονον Ἠμαθίωνος ἐνὶ ξυνώσατο μαζῶι
κούρην ἀρτιλόχευτον, ὁμοστόργωι δὲ μενοινῆι
διχθαδίην θρεπτῆρι γονὴν κούφιζεν ἀγοστῶι.
ὡς δέ τις ἀγροτέρη διδυμητόκος ἔνδοθι λόχμης
λαχνήεσσα λέαινα γαλαξαίῃσιν ἐέρσαις
σκύμνοις ἀμφοτέροις διδυμάονας ἥρμοσε μαζοὺς
καὶ διδύμοις τεκέεσσι μεριζομένην πόρε θηλήν,
καὶ χρόα λιχμάζουσα καὶ ἄτριχον εἰσέτι δειρὴν
ἰσοτύποις κομιδῇσιν ἀνέτρεφεν ἥλικα φύτλην·
ὣς τότε παιδοκόμωι φιλίηι μαιώσατο θηλῆι
ἀρτιγόνων μεθέπουσα συνωρίδα δίζυγα τέκνων"
πολλάκι νήπιον υἷα συνέμπορον ἥλικι κούρηι
πίονος ἔνθα καὶ ἔνθα μετάτροπον ἰκμάδι μαζοῦ
πεπταμένης πήχυνε φιλήτορι χειρὸς ἀγοστῶι· Nonnus
γούνασι δ' ἄρσενα παῖδα συνίδρυε θήλεϊ κούρηι,
μηρὸν ἐφαπλώσασα κεχηνότα γείτονι μηρῶι,

αἰνοτόκος πολύτεκνος, ὃς ἀρσενόπαιδι γενέθλῃ
ἤροσε τοσσατίων μινυώρια πώεα παίδων,
καὶ Δαναὸς λιπόπατρις, ὃς ὥπλισεν ἄρσενι φύτλῃ
θῆλυ γένος τανύων γάμιον ξίφος, ὁππότε παστοὶ
αἵματι φοινίσσοντο δαϊζομένων ὑμεναίων,
καὶ κρυφίοις ξιφέεσσι σιδηροφόρων ἐπὶ λέκτρων
ἄρσενα γυμνὸν Ἄρηα κατεύνασε θῆλυς Ἐνυώ·
οὐ μὲν Ὑπερμνήστρῃ κακονύμφιον εὔαδεν ἔργον,
ἀλλὰ παρωσαμένη δυσπένθερα θεσμὰ τοκῆος
ἠερίῃ πατρῷιον ἐπέτρεπε μῦθον ἀέλλῃ,
καὶ καθαρὴν ἐφύλαξεν ἀναίμονα χεῖρα σιδήρου·
ἔπλετο δ' ἀμφοτέρων ὅσιος γάμος. ἀρτιθαλῆ δὲ
γνωτὴν ἡμετέρην θρασὺς ἥρπασε ταῦρος ἀλήτης,
εἰ ἐτεὸν πέλε ταῦρος· ἐγὼ δ' οὐκ οἶδα πιθέσθαι,
εἰ βόες ἱμείρουσι γυναικείων ὑμεναίων.
καί με κασιγνήτοισιν ὁμήλυδα πέμψεν Ἀγήνωρ
σύγγονον ἰχνεύοντα καὶ ἄγριον ἅρπαγα νύμφης,
ταῦρον ἀκυμάντοιο νόθον πλωτῆρα θαλάσσης,
οὗ χάριν ἀστήρικτος ἀλώμενος ἐνθάδε βαίνω."
τοῖα μὲν εὐσύριγγος ἔσω μυθεῖτο μελάθρου
Κάδμος ἐυγλώσσοιο χέων ἔπος ἀνθερεῶνος,
πατρῴης ἐνέπων τεκνοσσόον οἶστρον ἀπειλῆς
καὶ Τυρίων ῥοθίων ψευδήμονα ταῦρον ὁδίτην,
Σιδονίης ἀκίχητον ἀπευθέος ἅρπαγα νύμφης.
Ἠλέκτρη δ' ἀίουσα παρήγορον ἴαχε φωνήν·
L3[O] "ξεῖνε, κασιγνήτην καὶ πατρίδα καὶ γενετῆρα
Ληθαίῃ στροφάλιγγι καὶ ἀμνήστῳ πόρε σιγῇ·
οὕτω γὰρ μερόπων φέρεται βίος ἄλλον ἐπ' ἄλλῳ
μόχθον ἔχων, ὅτι πάντες, ὅσους βροτέη τέκε γαστήρ,
Μοιριδέου κλωστῆρος ἐδουλώθησαν ἀνάγκῃ.
μάρτυς ἐγώ, βασίλεια καὶ εἰ πέλον, εἴ ποτε κείνων
Πληιάδων γενόμην καὶ ἐγὼ μία, τῶν ποτε μήτηρ
θηλυτέρας ὠδῖνας ἔσω μαιώσατο κόλπου,
ἑπτάκις Εἰλείθυιαν ἑῇ καλέσασα λοχείῃ
κέντρον ἐλαφρίζουσαν ἀμοιβαίου τοκετοῖο,
μάρτυς ἐγώ· πατέρων γὰρ ἀπόπροθι δώματα ναίω,
οὐ Στεροπήν, οὐ Μαῖαν ὁμόστολον, οὐδὲ Κελαινὼ
σύγγονον ἐγγὺς ἔχουσα συνέστιον· οὐδ' ἐνὶ κόλπῳ
γνωτῆς Τηϋγέτης Λακεδαίμονα δίζυγι παλμῷ
παιδοκόμῳ πήχυνα γεγηθότα κοῦρον ἀγοστῷ·
οὐ σχεδὸν Ἀλκυόνης ὁρόω δόμον, οὐδὲ καὶ αὐτῆς
φθεγγομένης Μερόπης φρενοτερπέα μῦθον ἀκούω.
πρὸς δ' ἔτι καὶ τόδε μᾶλλον ὀδύρομαι· ἀρτιθαλὴς γὰρ
◆ υἱὸς ἐμὸς λιπόπατρις, ὅτε χνόον ἔσχεν ἰούλων,
Δάρδανος Ἰδαίης μετανάσσατο κόλπον ἀρούρης,
καὶ Φρυγίῳ Σιμόεντι θαλύσια δῶκε κομάων
Θυμβραίου ποταμοῖο πιὼν ἀλλότριον ὕδωρ·
καὶ Λιβύης παρὰ τέρμα πατὴρ ἐμὸς εἰσέτι κάμνει
ὤμοις θλιβομένοισι, γέρων κυρτούμενος Ἄτλας,
αἰθέρος ἑπτάζωνον ἀερτάζων κενεῶνα.

20 (11C) καρπὸς ἐρευθιόων ἐπεθήλεεν οἴνοπι καρπῷ
ἀγχιφύτῳ, καὶ μῆλον ἐπήνθεε γείτονι μήλῳ·
πολλὰ δὲ Φοιβείοισι σοφοῖς ποικίλλετο φύλλοις
γράμματα δενδρήεντα φιλοκλαύτων ὑακίνθων·
καὶ Ζεφύρου πνείοντος ἀεξιφύτου διὰ κήπου
ἄστατον ὄμμα τίταινε πόθων ἀκόρητος Ἀπόλλων,
καί, φυτὸν ἡβητῆρος ἰδὼν δεδονημένον αὔραις,
δίσκον μνῆστιν ἔχων ἐλελίζετο, μή ποτε κούρῳ
ζηλήμων φθονέσειε καὶ ἐν πετάλοισιν ἀήτης,
εἰ ἐτεόν ποτε κεῖνον ἐπισπαίροντα κονίῃ
ὄμμασιν ἀκλαύτοισιν ἰδὼν δάκρυσεν Ἀπόλλων,
καὶ τύπος ἀνθεμόεις μορφώσατο δάκρυα Φοίβου
αἴλινον αὐτοκέλευστον ἐπιγράψας ὑακίνθῳ.
ὄρχατος ἔπλετο τοῖος ἐύσκιος· ἄγχι δὲ πηγὴ
δίστομος, ἔνθεν ἔην ναέταις ποτόν, ἔνθεν ἀλωεὺς
ἐξ ἀμάρης ὀχέτευε πολυσχιδὲς ἀγκύλον ὕδωρ
εἰς φυτὸν ἄλλο μετ' ἄλλο· ῥόος δέ τις ὡς ἀπὸ Φοίβου
ἁβρὰ μελιζομένης ἐπεβόμβεε πυθμένι δάφνης.
καὶ πολὺς εὐποίητος ἐρεισάμενος πόδα πέτρῳ
χρύσεος ἵστατο κοῦρος, ἐναντία δαιτυμονήων
λαμπάδος ἑσπερίης τανύων ἐπιδόρπιον αἴγλην·
πολλαὶ δ' ἰσοτύπων μελέων τεχνήμονι σιγῇ
χάσμασι ποιητοῖσι σεσηρότος ἀνθερεῶνος
ψευδαλέων σκυλάκων στίχες ἔμφρονες ἄγχι θυράων
ἔστασαν ἔνθα καὶ ἔνθα, καὶ ἀργυρέῳ κυνὶ γείτων
χρύσεος οἰδαίνοντι κύων συνυλάκτεε λαιμῷ L3[O]
σαίνων ἠθάδα φῶτα· παραστείχοντι δὲ Κάδμῳ
μιμηλῆς ἀπέπεμπε βοῆς ξεινοσσόον Ἠχώ,
ποιητῆς δ' ἐλέλιζε φιλοστόργου τύπον οὐρῆς.
ὄφρα μὲν εἰσέτι Κάδμος ἐυστρέπτοιο προσώπου
ὄμματα δινεύων διεμέτρεε κῆπον ἀνάκτων
4 (2C) καὶ γλυφίδας καὶ κάλλος ὅλον γραπτοῖο μελάθρου,
λαϊνέων ὀρόων ἀμαρύγματα φαιδρὰ μετάλλων,
τόφρα δὲ καλλείψας ἀγορὴν καὶ νείκεα λαῶν,
φαιδρὸς ἀερσιλόφοιο περὶ ῥάχιν ἥμενος ἵππου,
Ἠμαθίων Θρήισσαν ἔχων Σάμον, Ἄρεος ἕδρην,
μητέρος Ἠλέκτρης βασιλήιον εἰς δόμον ἔστη,
ὃς τότε μοῦνος ἄνασσε κασιγνήτοιο νομεύων
5 ἡνία κοιρανέης, ὅτι πάτριον οὖδας ἐάσας
Δάρδανος ἀντικέλευθον ἐνάσσατο πέζαν ἀρούρης,
Δαρδανίην εὔπυργον ἐπώνυμον ἄστυ χαράξας,
Ἰδαίην ἀροτῆρι διαγράψας κόνιν ὁλκῷ·
καὶ ῥόον Ἑπταπόροιο πιὼν καὶ χεύματα Ῥήσου
γνωτῷ κλῆρον ἔλειπεν ἔχειν καὶ σκῆπτρα Καβείρων
Δάρδανος, Ἠμαθίωνος ἀδελφεός, ὃν Διὸς εὐναὶ
ἤροσαν, ὃν κομέεσκε Δίκη τροφός, εὖτε λαβοῦσαι
σκῆπτρα Διὸς καὶ πέπλα Χρόνου καὶ ῥάβδον Ὀλύμπου
εἰς δόμον Ἠλέκτρης βασιληίδος ἔδραμον Ὧραι
κοιρανίης ἀλύτοιο προμάντιες Αὐσονιήων·
καὶ βρέφος ἐθρέψαντο, καὶ ἀτρέπτῳ Διὸς ὀμφῇ

κοῦρος ἀνασταχύων παλιναυξέος ἄνθεμον ἥβης
Ἠλέκτρης λίπεν οἶκον, ὅτε τριτάτου χύσις ὄμβρου
κύμασι πυργωθεῖσα κατέκλυσεν ἕδρανα κόσμου.
πρῶτον γὰρ κελάδοντος ἐπειρήθη νιφετοῖο
Ὤγυγος ἠλιβάτοιο δι' ὕδατος αἰθέρα τέμνων,
χθὼν ὅτε κεύθετο πᾶσα κατάρρυτος, ἄκρα δὲ πέτρης
Θεσσαλέδος κεκάλυπτο, καὶ ὑψόθι Πυθιὰς ἄκρη
ἀγχινεφὴς νιφόεντι ῥόωι κυμαίνετο πέτρη.
δεύτερος ὄμβρος ἔην, ὅτε κυκλάδος ἄντυγα γαίης
χεύματι λυσσήεντι κατέκρυφε δύσνιφον ὕδωρ,
Δευκαλίων ὅτε μοῦνος ὁμόστολος ἥλικι Πύρρηι
ὀλλυμένων μερόπων ἐνὶ λάρνακι κοιλάδι τέμνων
χεῦμα παλινδίνητον ἀτεκμάρτου νιφετοῖο
ἠέρος ὑδατόεντος ἕλιξ πορθμεύετο ναύτης.
καὶ τρίτατος Διὸς ὄμβρος ὅτε χθονὸς ἔκλυσεν ἕδρην
καὶ σκοπέλους ἔκρυψεν, Ἀθωιάδος δὲ καὶ αὐτῆς
ἄβροχα Σιθονίης ἐκαλύπτετο νῶτα κολώνης,
ὑψιπόρου τότε χεῦμα διασχίζων νιφετοῖο
Δάρδανος ἀρχαίης ἐπεβήσατο γείτονος Ἴδης.
τοῦ τότε Σιθονίης χιονώδεος ἀρχὸς ἀρούρης
σύγγονος Ἠμαθίων ἀγορὴν βαρύδουπον ἐάσας
θάμβεεν ἀνέρος εἶδος, ἐπεί νύ οἱ ἔμφυτος ἥβη
ἠνορέην καὶ κάλλος ἐμίγνυε σύζυγι μορφῆι,
θάμβεε τηλίκον εἶδος· ἀριφραδέων γὰρ ἀνάκτων
αὐτόματοι κήρυκες ἀναυδέες εἰσὶν ὀπωπαί.
L3[I] καί μεν ἑλὼν ξείνισσε, σὺν Ἠλέκτρηι δὲ καμούσηι
αἰόλα πιαλέης ἐπεκόσμεε δεῖπνα τραπέζης,
ξεῖνον ὑποσσαίνων φιλίωι καὶ ἀμεμφέι μύθωι,
πολλὰ τιθείς. ὁ δὲ κυφὸν ἐπ' οὔδεος αὐχένα κάμψας
ἀμφιπόλων ἀπάνευθεν ἀθελγέας εἷλκεν ὀπωπάς,
καὶ μόλις εἰλαπίναζε· φιλοξείνοιο δὲ νύμφης
ἑζομένης ἀντωπὸς ὑποκλέπτοντι προσώπωι
αἰδομένην ἐτίταινε σαόφρονα χεῖρα τραπέζηι.
τοῖσι δὲ δαινυμένοισιν ἐπήτριμος ἄλλος ἐπ' ἄλλωι
ἔμπνοος ἐσμαράγησε δόναξ Κορυβαντίδος Ἴδης·
ἐκ δὲ πολυτρήτοιο πόρου σκιρτήματι χειρῶν
σύνθροον ἐκρούσαντο μέλος μυκήτορος αὐλοῦ
Δάκτυλοι ὀρχηστῆρες ἐπιθλίβοντες ἀοιδήν·
καὶ τροχαλοῖς κροτέοντα τινάγμασι σύνθροον ἠχὼ
κύμβαλα βομβήεντα συνέκτυπε δίζυγι χαλκῶι
συμφερτοῖς δονάκεσσιν· ὑπὸ πλήκτρωι δὲ καὶ αὐτὴ
ὄρθιος ἑπτατόνοιο λύρης ἐλελίζετο χορδή.
ἀλλ' ὅτε δὴ μετὰ δαῖτα κορέσσατο Βίστονος αὐλοῦ,
✦ εἰρομένηι πελάσας φιλοπευθέι θῶκον ἀνάσσηι
Κάδμος, ἀλιπλάγκτοιο μεληδόνος οἶστρον ἐάσας,
φαιδρὸν ἑὸν γένος εἶπε, καὶ ἀενάων στίχα μύθων
οἰγομένου κρουνηδὸν ἀνήρυγεν ἀνθερεῶνος·
"νύμφα φίλη, τί με τόσσον ἀνείρεαι αἷμα γενέθλης;
ὠκυμόρων μερόπων γενεὴν φύλλοισιν ἐίσκω·
φύλλα τὰ μὲν κατέχευαν ἐπὶ χθονὶ θυιάδες αὖραι
21 (12C) ὥρης ἱσταμένης φθινοπωρίδος, ἄλλα δὲ καιρῶι
εἰαρινῶι κομέουσι τεθηλότα δενδράδες ὗλαι·
ὣς βροτέη γενεὴ μινυώριος ἡ μὲν ὀλέθρωι
δάμναται ἱππεύσασα βίου δρόμον, ἡ δ' ἔτι θάλλει,
ἄλληι ὅπως εἴξειεν· ἐπεὶ παλινάγρετος ἕρπων
εἰς νέον ἐκ πολιοῖο ῥέει μορφούμενος αἰών.
ἀλλ' ἐρέω περίπυστον ἐμὴν εὔπαιδα γενέθλην·
ἔστι πόλις, κλυτὸν Ἄργος, ἐδέθλιον ἵππιον Ἥρης,
νήσου Ταντάλιδαο μεσόμφαλος· ἔνθα δὲ κούρην
θηλυτόκοις ἔσπειρε γοναῖς εὐπάρθενον ἀνὴρ
Ἴναχος, Ἰναχίης ὀνομάκλυτος ἀστὸς ἀρούρης,
νηοπόλος, καὶ φρικτὰ πολισσούχοιο θεαίνης
ὄργια βυσσοδόμευε θεηγόρα μύστιδι τέχνηι
πρεσβυγενής· καὶ Ζῆνα, θεῶν πρόμον, ὄρχαμον ἄστρων,
γαμβρὸν ἔχειν ἀπέειπε, σέβας πεφυλαγμένος Ἥρης, {...}
ταυροφυὴς ὅτε πόρτις ἀμειβομένοιο προσώπου
εἰς ἀγέλην ἄγραυλον ἐλαύνετο σύννομος Ἰώ,
καὶ δαμάλης ἄγρυπνον ἐθήκατο βουκόλον Ἥρη
ποικίλον, ἀπλανέεσσι κεκασμένον Ἄργον ὀπωπαῖς,
Ζηνὸς ὀπιπευτῆρα βοοκραίρων ὑμεναίων,
Ζηνὸς ἀθηήτοιο, καὶ εἰς νομὸν ἤιε κούρη
ὀφθαλμοὺς τρομέουσα πολυγλήνοιο νομῆος·
γυιοβόρωι δὲ μύωπι χαρασσομένη δέμας Ἰὼ
Ἰονίης ἁλὸς οἶδμα κατέγραφε φοιτάδι χηλῆι·
ἦλθε καὶ εἰς Αἴγυπτον, ἐμὸν ῥόον, — ὃν πολιῆται
Νεῖλον ἐφημίξαντο φερώνυμον, οὕνεκα γαίηι L3[I]
εἰς ἔτος ἐξ ἔτεος πεφορημένος ὑγρὸς ἀκοίτης
χεύματι πηλώεντι νέην περιβάλλεται ἰλύν, —
ἤλυθεν εἰς Αἴγυπτον, ὅπηι βοέην μετὰ μορφὴν
δαιμονίης ἴνδαλμα μεταλλάξασα κεραίης
ἔσκε θεὰ φερέκαρπος· ἀναπτομένοιο δὲ καρποῦ
5 (3C) Αἰγυπτίης Δήμητρος, ἐμῆς κεραελκέος Ἰοῦς,
εὐόδμοις ὁμόφοιτος ἑλίσσεται ἀτμὸς ἀήταις.
ἔνθ' Ἔπαφον Διὶ τίκτεν, ἀκηρασίων ὅτι κόλπων
Ἰναχίης δαμάλης ἐπαφήσατο θεῖος ἀκοίτης
χερσὶν ἐρωμανέεσσι· θεηγενέος δὲ τοκῆος
ἐξ Ἐπάφου Λιβύη· Λιβύης δ' ἐπὶ παστὸν ὁδεύων
Μέμφιδος ἄχρις ἵκανε Ποσειδάων μετανάστης,
6 παρθένον ἰχνεύων Ἐπαφηΐδα, καὶ τότε κούρη
δεξαμένη ναετῆρα βυθοῦ χερσαῖον ὁδίτην
Ζῆνα Λίβυν τέκε Βῆλον, ἐμῆς ἀροτῆρα γενέθλης.
καὶ Διὸς Ἀσβύσταο νέην ἀντίρροπον ὀμφὴν
Χαονίηι βοόωσι πελειάδι διψάδες ἄμμοι
μαντιπόλοι· πέμπτωι δὲ πατὴρ ἰσόμετρον ἀριθμῶι
Βῆλος ἐπασσυτέρην γενεὴν σπερμήνατο παίδων,
Φινέα καὶ Φοίνικα λιπόπτολιν, οἷς ἅμα θάλλων
ἀστὸς ἀμοιβαίων πολίων περίφοιτος Ἀγήνωρ
ἀσταθέος βιότοιο, πατὴρ ἐμός, εἶχε πορείην
εἰς Θήβην μετὰ Μέμφιν, ἐς Ἀσσυρίην μετὰ Θήβην,
καὶ σοφὸς Αἰγυπτίης ναέτης Αἴγυπτος ἀρούρης

Nonnus

✦ πατρὸς ὑποδρηστῆρες ἐμιτρώθησαν Ἀῆται·
νεκταρέωι δὲ κύπελλα παρὰ κρητῆρι τιταίνων
Εὖρος ἐωινοχόει, προχόωι δ' ἐπιδόρπιον ὕδωρ
εἶχε Νότος, Βορέης δὲ φέρων ἐπέθηκε τραπέζηι
ἀμβροσίην, Ζέφυρος δὲ περιθλίβων θρόον αὐλοῦ
εἰαρινοῖς δονάκεσσι μελίζετο θῆλυς Ἀήτης·
καὶ στεφάνους ἔπλεξεν Ἑωσφόρος ἄνθεα δήσας
ὀρθρινοῖς κομόωντα δροσιζομένοισι κορύμβοις·
καὶ νυχίου λαμπτῆρος ἐθήμονα πυρσὸν ἀείρας
Ἕσπερος ὀρχηστῆρι ποδῶν ἐλελίζετο ταρσῶι
πάλλων καμπύλον ἴχνος, ἐπεὶ πέλε πομπὸς Ἐρώτων,
καὶ σκαρθμῶι μεμέλητο χοροπλεκέων ὑμεναίων.
ἀλλ' ὅτε δὴ μετὰ δαῖτα θεὰ κεκόρητο χορείης
σεισαμένη βαρὺ κέντρον ἀμερσινόοιο μερίμνης,
μαντοσύνην ἐρέεινε, φιλοστόργου δὲ γεραιοῦ
λαιῆι μὲν παλάμηι γονάτων θίγε, λισσομένη δὲ
δεξιτερῆι ψαύεσκε βαθυσμήριγγος ὑπήνης·
καὶ πολέας μνηστῆρας ἑῆς μυθήσατο κούρης
θέσφατα μαστεύουσα παρήγορα· μαντοσύναι γὰρ
ἐλπίσιν ἐσσομένηισιν ὑποκλέπτουσιν ἀνίας.
οὐδὲ γέρων Ἀστραῖος ἀναίνετο· μουνοτόκου δὲ
κούρης ἀρτιλόχευτα γενέθλια μέτρα νοήσας
καὶ χρόνον οὐ πταίοντα καὶ ἀπλανέος δρόμον Ὥρης
ἀρχεγόνου. κάμψας δὲ μετάτροπα δάκτυλα χειρῶν
ἀμφὶ παλιννόστοιο μετήλυδα κύκλον ἀριθμοῦ
L1[O] ἐκ παλάμης παλάμηι διεμέτρεε δίζυγι παλμῶι·
καί οἱ κεκλομένωι θεράπων εὔκυκλον ἀείρας
σφαῖραν ἑλισσομένην, τύπον αἰθέρος, εἰκόνα κόσμου,
Ἀστερίων παρέθηκε λαβὼν ἐπὶ πώματι χηλοῦ.
ἔνθα γέρων πεπόνητο, καὶ ἄξονος ἄκρον ἑλίσσων
Ζωιδιακὸν περὶ κύκλον ἑὴν ἐτίταινεν ὀπωπὴν
λεύσσων ἔνθα καὶ ἔνθα καὶ ἀπλανέας καὶ ἀλήτας·
καὶ πόλον ἀμφελέλιζε· πολυστροφάλιγγι δὲ ῥιπῆι
εἰς δρόμον ἀστήρικτον ἀτέρμονι κάμπτετο νύσσηι
ἄστρασι ποιητοῖσι νόθος κυκλούμενος αἰθήρ,
ἄξονι μεσσατίωι τετορημένος· εὗρε δὲ δαίμων
σφαῖραν ἰδὼν στεφανηδόν, ὅτι πλήθοντι προσώπωι
ἀγκύλα συνδέσμοιο διέτρεχε νῶτα Σελήνη,
καὶ Φαέθων ἰσόμοιρος ἔην ἀντώπιδι Μήνηι
κέντρωι ὑποχθονίωι πεφορημένος, ἀχλυόεις δὲ
κῶνος ἀερσιπότητος ἀπὸ χθονὸς ὀξὺς ἀνέρπων
ἀντίτυπον Φαέθοντος ὅλην ἐκάλυψε Σελήνην·
καὶ γαμίης φιλότητος ἁμιλλητῆρας ἀκούων
Ἄρεα δίζετο μᾶλλον, ὑπὲρ δυτικοῦ δὲ μελάθρου
φῶρα γάμων ἐνόησε σὺν ἀστέρι Κυπρογενείης
ἑσπερίωι· καὶ κλῆρον ἐπώνυμον εὗρε τοκήων
παρθενικῆς ἀστραῖον ὑπὸ στάχυν· ἀμφὶ δ' ἄρ' αὐτῶι
ὀμβροτόκου Κρονίδαο Φαεσφόρος ἔτρεχεν ἀστήρ.
ἀλλ' ὅτε πάντα νόησεν ἀριθμήσας ἴτυν ἄστρων,
6.87 σφαῖραν ἀειδίνητον ἀνέκρυφε κοιλάδι κίστηι,
σφαῖραν ποικιλόνωτον· ἀνειρομένη δὲ θεαίνηι

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

Tracking the fourth over the deep, you will see Harmonia sailing together with her age-mate Cadmos.

NONNUS
DIONYSIACA
BOOK 4

PREVIEW BOOK 6

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 463 lines 3.0
3L 1 - 463

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: 25 to 30

Ὣς εἰπὼν ἐς Ὄλυμπον ἐύρραπις ἤιεν Ἑρμῆς
αἰθύσσων πτερὰ κοῦφα, τιταινομένων δὲ πεδίλων
σύνδρομος ἠερίοισιν ἐρέσσετο ταρσὸς ἀήταις.
οὐδὲ γυνὴ Θρήισσα, κυβερνήτειρα Καβείρων,
{…} ἀλλὰ Διὸς σέβας εἶχε, καὶ Ἄρεος ἄζυγι κούρηι
ὄρθια δινεύουσα νοήμονι δάκτυλα παλμῶι
Ἁρμονίην ἐκάλεσσε τύπωι τεχνήμονι φωνῆς·
ἡ δὲ τιταινομένη βλεφάρων ἀντώπιον αἴγλην
Ἠλέκτρης ἀγέλαστον ἐδέρκετο κύκλον ὀπωπῆς,
καὶ βαθὺν ἀφράστοιο νεόσσυτον ὄγκον ἀνίης
σιγαλέαι κήρυκες ἐμαντεύοντο παρειαί.
παρθενικὴ δ' ἀνέπαλτο καὶ ὡμάρτησε τεκούσηι
◆ εἰς δόμον αἰπύδμητον· ἀναπτύξασα δὲ μήτηρ
ἑπταμύχου θαλάμοιο πολυσφρήγιστον ὀχῆα
λάινον οὐδὸν ἄμειψε· φιλοστόργωι δὲ μενοινῆι
ἄστατα ταρβαλέης ἐλελίζετο γούνατα νύμφης·
καὶ παλάμην ῥοδόπηχυν ἑῆς ἀνεκούφισε κούρης
δραξαμένη παλάμηι χιονώδεϊ· καὶ τάχα φαίης
Ἥβην χειρὸς ἔχουσαν ἰδεῖν λευκώλενον Ἥρην.
ἀλλ' ὅτε πορφυρέοισι πέδον στείβουσα πεδίλοις
λοίσθια μαρμαίροντος ἐδύσατο κύκλα μελάθρου,
παρθένον ἀχνυμένην Ἀτλαντιὰς ἵδρυε νύμφη
εἰς θρόνον εὐποίητον· ἀμοιβαίωι δὲ καὶ αὐτὴ
ἑζομένη στοιχηδὸν ἐπ' ἀργυροφεγγέι δίφρωι
ἀγγελίην Κρονίωνος ἀπειθέι πέφραδε κούρηι,
L1[I] καί μιν πάντα δίδαξεν, ὅσα βροτοειδέι μορφῆι
ἀλλοφανὴς ἅτε κοῦρος Ὀλύμπιος ἔννεπε κῆρυξ.
παρθενικὴ δ' ἀΐουσα πολυπλάγκτους ὑμεναίους
καὶ πόσιν ἀστήρικτον, ὑπωρόφιον μετανάστην,
ξεῖνον ἔχειν ἀπέειπε, καὶ ἐκ Διὸς ὅσσα τοκῆος
ξεινοδόκος Κάδμοιο βοοσσόος ἔννεπεν Ἑρμῆς·
καὶ πόσιν ἤθελε μᾶλλον ὁμόπτολιν, ὥς κεν ἀλύξηι
συζυγίην φερέοικον ἀδωροδόκων ὑμεναίων·
καὶ παλάμηι κρατέουσα κατηφέι χεῖρα τιθήνης
δάκρυσι μυδαλέη πολυμεμφέα ῥήξατο φωνήν·
"μῆτερ ἐμή, τί παθοῦσα τεὴν ἠρνήσαο κούρην;
οὕτω σεῖο θύγατρα νεήλυδι φωτὶ συνάπτεις;
ποῖον ἐμοί ποτε δῶρον ὁ ναυτίλος ἐγγυαλίξει;
ἦ ῥά μοι ἕδνα γάμων πρυμνήσια νηὸς ὀπάσσει;
οὐκ ἐδάην, φιλότεκνε, τεὴν ὅτι παῖδα φυλάσσεις,
παρθενικὴν λιπόπατριν, ἀλήμονας εἰς ὑμεναίους.
ἄλλοι ἐμοὶ μνηστῆρες ἀρείονές εἰσι πολῖται·
τί χρέος ἦν ἀνάεδνον ἔχειν τινὰ γυμνὸν ἀκοίτην
ἀλλοδαπὸν περίφοιτον, ἀλυσκάζοντα τοκῆα;
ἀλλ', ἐρέεις, Κρονίωνι τεῶι χραίσμησεν ἀκοίτηι·
πῶς Διὸς οὐ γέρας ἔσχεν Ὀλύμπιον, εἴ περ Ὀλύμπου,
ὡς ἐνέπεις, προμάχιζε, καὶ οὐ Διὸς εὐνέτις Ἥρη
Nonnus Ζηνὸς ἀοσσητῆρι συνήρμοσε παρθένον Ἥβην;
οὐ χατέει Κάδμοιο τεὸς πόσις ὑψιμέδων Ζεύς·
4.50 ἰλήκοι Κρονίδης· ἐψεύσατο θέσκελος Ἑρμῆς

ἄλλου μαρναμένοιο παρ' ἰσχίον ἄορι τύψας
συμφυέος διέκερσε σὺν ἰξύι νῶτα βοείης.
καὶ φόνος ἄσπετος ἔσκε· δαϊζομένων δὲ Γιγάντων
λοίγιος αἱμαλέης ἀνεκήκιεν αὐλὸς ἐέρσης
ἄορι θεινομένων. ὁ δὲ Παλλάδος ἔμφρονι βουλῆι
Γηγενέων τινὰ πέτρον ἐπηιώρησε καρήνων·
οἱ δὲ δαφοινήεντι πόθωι μεθύοντες Ἐνυοῦς
Ἄρεϊ βακχεύθησαν, ὁμογνήτωι δὲ σιδήρωι
ἀλλήλων ὀλετῆρες ἐτυμβεύοντο κονίηι.
ἄλλωι δ' ἄλλος ἔφριζεν· ἐρευθιόωντι δὲ λύθρωι
στικτὰ διαινομένης ἐμελαίνετο νῶτα βοείης
Γηγενέος κταμένοιο· κατουδαίης δὲ μαχαίρης
γνωτοφόνωι γλωχῖνι δαΐζετο καρπὸς ἀρούρης. 4.463

Οὐδὲ πατὴρ τότε μοῦνος ἔχεν πόθον· ἀλλὰ καὶ αὐτοὶ 6.1
ἓν βέλος ἶσον ἔχοντες, ὅσοι ναετῆρες Ὀλύμπου,
Δηώιης ὑμέναιον ἐεδνώσαντο θεαίνης.
ἔνθα σέλας ῥοδέοιο διαλλάξασα προσώπου
ἄλγεσι κυμαίνοντα νόον μαστίζετο Δηώ·
καὶ κεφαλῆς γονόεσσαν ἀπεσφήκωσε καλύπτρην,
αὐχενίης λύσασα καθειμένα βόστρυχα χαίτης,
παιδὶ περιφρίσσουσα· βαρυνομένης δὲ θεαίνης
δάκρυσιν αὐτοχύτοισι καθικμαίνοντο παρειαί,
ὅττι τόσους μνηστῆρας ἐνὶ φλογόεντι βελέμνωι
εἰς ἔριν οἰστρηθέντας ὁμοζήλων ὑμεναίων
ξυνὸς Ἔρως βάκχευεν, ἁμιλλητῆρας Ἐρώτων·
πάντας μὲν τρομέεσκε, τὸ δὲ πλέον ὄμπνια μήτηρ L1[I]
παιδὸς ἔχειν Ἥφαιστον ἐδείδιε χωλὸν ἀκοίτην.
καὶ δόμον Ἀστραίοιο μετέστιχεν εὔποδι ταρσῶι,
δαίμονος ὀμφήεντος· ὀπισθοπόρων δὲ κομάων
ἄπλοκον ἀσταθέεσσιν ἐσείετο βόστρυχον αὔραις.
τὴν μὲν ἰδὼν ἤγγειλεν Ἑωσφόρος· εἰσαΐων δὲ
1 ὦρτο γέρων Ἀστραῖος· ὁ μὲν γραμμῆισι χαράσσων
κυανέην ἐνέπασσε κόνιν περὶ νῶτα τραπέζης,
καὶ τυπόων ἑλικηδὸν ὑπ' ἀγκυλόδοντι σιδήρωι
πυθμένα τετράπλευρον ἐπέγραφεν αἴθοπι τέφρηι,
καὶ τύπον ἄλλον ἔτευξεν ἰσογλώχινι τριγώνωι.
ἀλλὰ τὰ μὲν μεθέηκε καὶ ἤλυθεν ἄγχι θυράων
ἀντιόων Δήμητρι· διεσσυμένων δὲ μελάθρου
2 Ἕσπερος ἡγεμόνευε, καὶ εἰς θρόνον ἵδρυε Δηὼ
πατρὸς ἑοῦ παρὰ θῶκον· ὁμοστόργωι δὲ μενοινῆι
νεκταρέου κεράσαντες ἀπὸ κρητῆρος Ἀῆται
δαίμονα λυσιπόνοισιν ἐδεικανόωντο κυπέλλοις
υἱέες Ἀστραίοιο· πιεῖν δ' ἠρνήσατο Δηὼ
Περσεφόνης μεθύουσα μεληδόνι· μουνοτόκοι γὰρ
τηλυγέτους διὰ παῖδας ἀεὶ τρομέουσι τοκῆες·
ἀλλὰ μόγις παρέπεισεν ἀναινομένην ἔτι Δηὼ
ἡδυεπὴς Ἀστραῖος ἔχων θελξίφρονα πειθώ.
ἔνθα γέρων μέγα δεῖπνον ἐπήρτυεν, ὄφρα μερίμνας Nonnus
θυμοδακεῖς Δήμητρος ἀποσκεδάσειε τραπέζηι.
καὶ πίσυρες λαγόνεσσι καθαψάμενοι τελαμῶνας 6.37

θηρός, ἐχιδνήεντι περισπείρας χθόνα καρπῶι
κεῖρε Γιγαντείης ὀφιώδεα λήια χάρμης,
Γηγενέων δὲ φάλαγγας ἐνὶ ξύνωσον ὀλέθρωι
πέντε λιπὼν ζώοντας· ἐπεσσομένηισι δὲ Θήβαις
σπαρτῶν ἀγλαόκαρπος ἀνασταχύοιτο γενέθλη."
ὣς φαμένη θάρσυνε τεθηπότα Κάδμον Ἀθήνη,
καὶ βαθὺν ἠνεμόεντι κατέγραφεν ἠέρα ταρσῶι,
δυσαμένη Διὸς οἶκον. ὁ δὲ τραφερῆι παρὰ βώλωι
μάρμαρον εὐρυάλωος ἐύτροχον οὖρον ἀρούρης
ἵστατο κουφίζων κραναὸν βέλος, ἰθυπόρωι δὲ
ἄκρα δρακοντείοιο καρήατος ἔθλασε πέτρωι·
θηγαλέην δὲ μάχαιραν ἐρυσσάμενος παρὰ μηροῦ
αὐχένα θηρὸς ἔτεμνεν· ἀπαμηθεῖσα δὲ κόρση
σώματος ἐκτὸς ἔμιμνε, κυλινδομένη δὲ κονίηι
ἠθάδα κύκλον ἕλισσε παλίλλυτον ἄστατος οὐρή,
καὶ δαπέδωι τετάνυστο δράκων νέκυς. ἀμφὶ δὲ νεκρῶι
θοῦρος Ἄρης βαρύμηνις ἀνέκραγε· χωομένου δὲ
Κάδμος ἀμειβομένων μελέων ἑλικώδεϊ μορφῆι
ἀλλοφυὴς ἤμελλε παρ' Ἰλλυρίδος σφυρὰ γαίης
ξεῖνον ἔχειν ἴνδαλμα δρακοντείοιο προσώπου.
ἀλλὰ τὰ μὲν πέπρωτο μετὰ χρόνον. αὐτὰρ ὁ μέσσηι
χαλκείηι κυνέηι συνελέξατο καρπὸν ὀλέθρου,
θηρείων γενύων βλοσυρὸν θέρος· ἐνδαπίης δὲ
Παλλάδος ὑβὸν ἄροτρον ἀπ' ὀργάδος εἰς χθόνα σύρων
καὶ χαροπῆς ἀρόσας πολεμητόκον αὔλακα γαίης
L2[O] ἰοβόλων ἔσπειρε πολύστιχον ὄγμον ὀδόντων.
καὶ στάχυς αὐτολόχευτος ἀνηέξητο Γιγάντων,
ὧν ὁ μὲν ὑψικάρηνος ἀνέδραμεν ἄκρα τιταίνων
στήθεος εὐθώρηκος, ὁ δὲ προθορόντι καρήνωι
φρικτὸν ἀνοιγομένης ὑπερέσχεθεν ὦμον ἀρούρης·
ἄλλος ἄνω προύκυψεν ἐς ὀμφαλόν, ὃς δ' ἐπὶ γαίηι
ἡμιτελὴς ἀνέτελλε πεδοτρεφὲς ὅπλον ἀείρων·
ἄλλος ὑπερκύπτοντα λόφον προβλῆτα τιταίνων
οὔ πω στέρνον ἔφαινε, καὶ εἰσέτι μητρὸς ἀνέρπων
ἐκ λαγόνων κατὰ βαιὸν ἀταρβέι μάρνατο Κάδμωι
τεύχεσιν αὐτοφύτοις κεκορυθμένος· ὢ μέγα θαῦμα,
ὥπλισεν Εἰλείθυια, τὸν οὐ μαιώσατο μήτηρ·
καί τις ἀνηκόντιζεν ὁμόγνιον ἔγχος ἀφάσσων
ἡμιφανής, ὁ δὲ κοῦφος ὅλον δέμας εἰς φάος ἕλκων
ἄκρα ποδῶν ἀτέλεστα πεπηγότα λεῖπεν ἀρούρηι.
οὐ μὲν ἐφημοσύνης ἐπελήσατο Κάδμος Ἀθήνης,
ἀλλὰ παλιμφυέων καλάμην ἤμησε Γιγάντων·
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν ἀνεμώδεϊ λόγχηι,
τὸν δὲ κατὰ κληῖδα παρὰ πλατὺν αὐχένα τύψας
ὀστέα λαχνήεντος ἀνέσχισεν ἀνθερεῶνος·
ἄλλον ἀκοντιστῆρι βαλὼν ἐχαράξατο πέτρωι
γαστέρος ἄχρι φανέντα· καὶ αἵματος αἰνογιγάντων
ἐκχυμένου ποταμηδὸν Ἄρης ὠλίσθανε λύθρωι
φοινίξας ἑὰ γυῖα, παρισταμένης δὲ κυδοιμῶι
πορφυρέηι ῥαθάμιγγι χιτὼν ἐρυθαίνετο Νίκης.

23 (13C) ἀμφὶ Διὸς γενετῆρος· ἐγὼ δ' οὐκ οἶδα πιθέσθαι,
εἰ λίπε θοῦρον Ἄρηα, κυβερνητῆρα κυδοιμοῦ,
καὶ βροτὸν ἄνδρα κάλεσσεν ἑοῦ συναέθλον ἀγῶνος
ὁ κρατέων κόσμοιο καὶ αἰθέρος. ὢ μέγα θαῦμα,
τοσσατίους Τιτῆνας ἐνεκλήισσε βερέθρωι,
καὶ Κάδμον χατέεσκεν, ὅπως ἕνα μοῦνον ὀλέσσηι.
οἶδας ἐμῶν πατέρων διδυμάονα σύγγονον εὐνήν·
Ζεὺς προπάτωρ ἐμὸς ἔσχε κασιγνήτης λέχος Ἥρης
θεσμὸν ἔχων θαλάμων ἐμφύλιον· ἀμφότεροι δὲ
Ἄρης καὶ Κυθέρεια, μιῆς ἐπιβήτορες εὐνῆς,
Ἁρμονίης γενετῆρες, ἑνὸς γεγάασι τοκῆος,
δέμνιον ἀμφιέποντες ὁμόγνιον. ὤμοι ἀνάγκης·
γνωταὶ γνωτὸν ἔχουσιν, ἐγὼ λιπόπατριν ἀκοίτην."
ὣς φαμένης ἀπένιψε γοήμονος ὄμβρον ὀπωπῆς
μήτηρ ἀσχαλόωσα· διχοστασίηι δὲ μενοινῆς
Ἁρμονίην ὤικτειρε, Διὸς δ' ἀλέεινεν ἀπειλήν.
ἀλλὰ περισφίγξασα δέμας φρενοθελγέι κεστῶι
κερδαλέωι ζωστῆρι δολοφράδμων Ἀφροδίτη,
καὶ χροῒ δυσαμένη φιλοτήσια φάρεα Πειθοῦς
Ἁρμονίης εὔοδμον ἐδύσατο παρθενεῶνα·
καὶ τύπον οὐρανίοιο μεταλλάξασα προσώπου
Πεισινόηι δέμας ἶσον ἐΐσκετο γείτονι κούρηι,
Κάδμον ἅ περ ποθέουσα, καὶ ὡς κρυφίηι τινὶ νούσωι
λεπταλέον πέμπουσα σέλας χλοάοντι προσώπωι
ἀμφιπόλους ἔσσευε· παρεδριόωσα δὲ μούνηι,
οἷά περ αἰδομένη, δολίην ἀνενείκατο φωνήν· L2[O]
"ὀλβίη, οἷον ἔχεις ἐνὶ δώμασι καλὸν ἀλήτην,
οἷον ἔχεις μνηστῆρα, μακαρτάτη· οἷον ἀκοίτην
ὄψεαι ἱμερόεντα, τὸν οὐ λάχε παρθένος ἄλλη·
ἀτρεκὲς Ἀσσυρίης ἀπὸ πατρίδος αἷμα κομίζει,
ἧχι ῥόος χαρίεντος Ἀδώνιδος· ἱμερόεις γὰρ
2 (1C) ἐκ Λιβάνου νέος οὗτος, ὅπηι Κυθέρεια χορεύει.
ἤλιτον· οὐ τάχα Κάδμον ἐπιχθονίη τέκε γαστήρ,
ἀλλὰ Διὸς γένος ἔσχεν, ἑὴν δ' ἐψεύσατο φύτλην.
οἶδα, πόθεν νέος οὗτος Ὀλύμπιος· εἴ ποτε Μαίηι
σύγγονον Ἠλέκτρην Τιτήνιος ἤροσεν Ἄτλας,
Ἁρμονίηι πόσις ἦλθεν ἀνεψιὸς ἄπτερος Ἑρμῆς,
οὐδὲ μάτην Καδμῖλος ἀείδεται· οὐρανίην γὰρ
3 μορφὴν μοῦνον ἄμειψε καὶ εἰσέτι Κάδμος ἀκούει.
εἰ δὲ πέλει θεὸς ἄλλος ἔχων βροτοειδέα μορφήν,
Ἠμαθίων τάχα Φοῖβον ἑῶι ξείνισσε μελάθρωι.
παρθένε πασιμέλουσα, μακαρτέρη ἐσσὶ τεκούσης
εἰς πόθον, εἰς ὑμέναιον Ὀλύμπιον· ὢ μέγα θαῦμα,
λάθριος Ἠλέκτρην νυμφεύσατο μητίετα Ζεύς,
ἀμφαδὸν Ἁρμονίην μνηστεύεται αὐτὸς Ἀπόλλων·
ὀλβίη, ἣν ἐπόθησεν ἑκηβόλος· αἴθε καὶ αὐτῆς
Πεισινόης σπεύσειεν ἔχειν ὑμέναιον Ἀπόλλων·
οὐ μὲν ἐγώ ποτε Φοῖβον ἀναίνομαι, οἷά τε Δάφνη,
οὐ νόον Ἁρμονίης μιμήσομαι· ἀλλὰ λιποῦσα
κλῆρον ἐμὸν καὶ δῶμα καὶ οὓς ποθέω γενετῆρας,

ἵξομαι Ἀπόλλωνι συνέμπορος εἰς ὑμεναίους.
μέμνημαί ποτε τοῖον ἐγὼ τύπον· ἡμετέρωι γὰρ
εἰς δόμον ὀμφήεντα συνεσπομένη γενετῆρι
Πύθιον εἶδον ἄγαλμα, καὶ ὡς τεὸν εἶδον ἀλήτην,
ὠισάμην Φοίβοιο πάλιν βρέτας ἐνθάδε λεύσσειν.
ἀλλ' ἐρέεις, ὅτι Φοῖβος ἔχει χρυσαυγέα μίτρην·
χρύσεος ἔπλετο Κάδμος ὅλον δέμας· ἢν δ' ἐθελήσηις,
δμῶας ἐμοὺς ἔχε πάντας ἀπείρονας, ἀντὶ δὲ κείνου
χρυσὸν ἐμὸν ξύμπαντα καὶ ἄργυρον ἐγγυαλίξω,
καὶ Τυρίης ὀπάσω βασιλήια πέπλα θαλάσσης
καὶ δόμον, ἢν ἐθέληις, πατρώιον· εἰ θέμις εἰπεῖν,
δέχνυσο καὶ γενέτην καὶ μητέρα, δέχνυσο πάσας
◆ ἀμφιπόλους, καὶ μοῦνον ἐμοὶ πόρε τοῦτον ἀκοίτην.
παρθένε, τί τρομέεις; σὺ μὲν εἴαρι ποντοπορήσεις
στεινὸν ὕδωρ πλώουσα, σὺν ἱμερόεντι δὲ Κάδμωι
Ὠκεανὸν περίμετρον ἐγὼ κατὰ χεῖμα περήσω.
μὴ τρομέοις ἁλὸς οἶδμα βαρύβρομον, ὅττι σαώσει
εἰν ἁλὶ φόρτον Ἔρωτος ἁλὸς θυγάτηρ Ἀφροδίτη.
παρθένε, Κάδμον ἔχεις, μὴ δίζεο θῶκον Ὀλύμπου.
οὐ ποθέω στίλβουσαν Ἐρυθραίην λίθον Ἰνδῶν,
οὐ φυτὸν Ἑσπερίδων παγχρύσεον, οὐδέ με τέρπει
Ἡλιάδων ἤλεκτρον, ὅσον μέα νυκτὸς ὀμίχλη,
τῆι ἔνι Πεισινόην προσπτύξεται οὗτος ἀλήτης.
εἰ δὲ γένος μεθέπεις ἐξ Ἄρεος, ἐξ Ἀφροδίτης,
σοὶ γάμον ἄξιον εὗρε γάμων ταμίη σέο μήτηρ.
L2[I] οὔ ποτε τηλίκον ἄνθος ἐσέδρακον· αὐτόματον γὰρ
εἰαρινὸν δώρημα φύσις δωρήσατο Κάδμωι·
εἶδον ἐγὼ παλάμην ῥοδοδάκτυλον, εἶδον ὀπωπὴν
ἡδὺ μέλι στάζουσαν· ἐρωτοτόκου δὲ προσώπου
ὡς ῥόδα φοινίσσουσι παρηίδες, ἀκροφαῆ δὲ
δίχροα χιονέων ἀμαρύσσεται ἴχνια ταρσῶν
μεσσόθι πορφύροντα, καὶ ὡς κρίνον εἰσὶν ἀγοστοί.
καλλείψω πλοκαμῖδας, ὅπως μὴ Φοῖβον ὀρίνωι
χροιῆι ὀνειδίζουσα Θεραπναίης ὑακίνθου.
εἴ ποτε δινεύων φρενοτερπέα κύκλον ὀπωπῆς
ὀφθαλμοὺς ἐλέλιζεν, ὅλη σελάγιζε Σελήνη
φέγγεϊ μαρμαίροντι, καὶ εἴ ποτε βόστρυχα σείσας
αὐχένα γυμνὸν ἔθηκεν, ἐφαίνετο Φωσφόρος ἀστήρ.
χείλεα σιγήσαιμι· τὸ δὲ στόμα, πορθμὸν Ἐρώτων,
Πειθὼ ναιετάουσα χέει μελιηδέα φωνήν,
καὶ Χάριτες μεθέπουσιν ὅλον δέμας· ἄκρα δὲ χειρῶν
αἰδέομαι κρίνειν, ἵνα μὴ γάλα λευκὸν ἐλέγξω.
δέχνυσο δειλαίην με συνέστιον· ἠιθέου δὲ
δεξιτερῆς ψαύουσα καὶ ἀμφαφόωσα χιτῶνα
κρυπταδίης εὕροιμι παρήγορα φάρμακα νούσου·
αὐχένα γυμνὸν ἴδοιμι καὶ ἑζομένοιο πιέσσω
δάκτυλον ὡς ἀέκουσα, καὶ ἡμετέρου διὰ κόλπου
τεθναίην ὅτε μοῦνον ἀφειδέα χεῖρα χαλάσσας
ἀμφοτέρων θλίψειεν ἐλεύθερον ἄντυγα μαζῶν,
χείλεσιν ἡμετέροισι μεμυκότα χείλεα πήξας,

24 (14c) βοῦν ἱερὴν θυόεντι διαστήσας παρὰ βωμῶι
δίζετο πηγαίων ὑδάτων χύσιν, ὄφρα καθήρηι
μαντιπόλους ἕο χεῖρας, ἐπισπείσηι δὲ θυηλαῖς
ἁγνὸν ὕδωρ· οὔ πω γὰρ ἐν οἰνοφύτοισιν ἀλωαῖς
ἁβρὸς ἀεξομένης ἀνεφαίνετο καρπὸς ὀπώρης.
καὶ πόδας ἐστήριξε δρακοντοβότωι παρὰ Δίρκηι·
στῆ δὲ ταφών, ὅθι λοξὰ φανεὶς ὀφιώδεϊ δεσμῶι
Ἄρεος αἰολόνωτος ὄφις μιτρώσατο πηγήν,
καὶ στρατὸν ἐπτοίησεν, ὅσος πολὺς ἕσπετο Κάδμωι·
τὸν μὲν ὑπὸ στέρνοισι δακὼν χαροποῖσι γενείοις,
τὸν δὲ δαφοινήεντι τυχὼν ἐχάραξεν ὀδόντι,
ἄλλου μαρναμένοιο βιοσσόον ἦπαρ ἀμύξας
θῆκε νέκυν· ψαφαρῆ δὲ κατ' αὐχένος ἔρρεε χαίτη
αὐτομάτη, πλαδαροῖο διειλυσθεῖσα καρήνου·
καὶ ταχὺς ἀμφιέλικτος ἐπὶ κνήμηισιν ἀνέρπων
Κάδμον ἀπειλητῆρι δράκων ἐζώσατο δεσμῶι,
καὶ δέμας ὀρθώσας μελέων ἐπιβήτορι παλμῶι
ταυρείης περίκυκλον ἐς ὀμφαλὸν ἆλτο βοείης·
καὶ σκολιαῖς ἑλίκεσσι πόδας μιτρούμενος ἀνὴρ
ὁλκαίηι βαρύδεσμος ἐχιδναίηι κάμε σειρῆι,
φόρτον ἔχων δασπλῆτα, βαρυνόμενον δὲ φορῆα
ὄρθιον ἑστηῶτα κατέσπασεν εἰς πέδον ἕλκων,
καὶ στόμα πικρὸν ἔλυσε, δυσηλεγέος δὲ χανόντος
φοίνιος ὠμοβόρου πυλεὼν εὐρύνετο λαιμοῦ,
καὶ κεφαλὴν δόχμωσε, τινασσομένου δὲ καρήνου
ὑψιτενὴς ἐλέλικτο μέσος κυρτούμενος αὐχήν. L2[I]
ἄλλον ἀνεπτοίησε θορὼν ὑπὲρ ἄντυγα κόρσης
ἀνδρομέης, ἑτέρου δὲ διέτρεχεν ἀνθερεῶνος
ἄσχετος, ἰοβόλωι δὲ βαλὼν ὀφθαλμὸν ἐέρσηι
μαρμαρέην ἤχλυσε μεμυκότος ὄμματος αἴγλην·
ἄλλου ταρσὸν ἔμαρψε, χαρασσόμενον δὲ γενείωι
3 (2c) εἶχε δακών, καὶ χλωρὸν ἀνήρυγεν ἀφρὸν ὀδόντων
εἰς δέμας ἠιθέοιο, πελιδναίωι δὲ σιδήρωι
ἰσοφυὴς χλοάοντι διέψύχθη δέμας ἰῶι·
ἄλλου φυσιόωντος ὑπὸ πληγῆισι γενείων
ἀσταθέες μήνιγγες ἐκυμαίνοντο καρήνου
δήγματι φαρμακόεντι, δι' ἐγκεφάλου δὲ χυθέντος
μυδαλέωι μυκτῆρι κατάσσυτος ἔρρεεν ἰχώρ.
4 ἀλλ' ὅτε Κάδμος ἔκαμνε, τότε σχεδὸν ἦλθεν Ἀθήνη
ἐσσομένης δονέουσα προάγγελον αἰγίδα νίκης
Γοργείωι κομόωσαν ἐχιδνήεντι καρήνωι,
καί οἱ ἀτυζομένωι λαοσσόος ἴαχε δαίμων·
"Κάδμε, Γιγαντοφόνοιο Διὸς συνάεθλε κυδοιμοῦ,
δειμαίνεις ἕνα μοῦνον ἰδὼν ὄφιν; ἐν δὲ κυδοιμοῖς
σοὶ πίσυνος Τυφῶνα κατεπρήνιξε Κρονίων
τοσσατίοις κομόωντα δρακοντείοισι καρήνοις.
παύεο θηρείων τρομέων συριγμὸν ὀδόντων·
Παλλὰς ἐποτρύνει σε, καὶ οὐ φονίηι παρὰ Δίρκηι
ῥύσεται ἑρπηστῆρα φυλάκτορα χάλκεος Ἄρης.
ἀλλά, καταφθιμένοιο λαβὼν δασπλῆτας ὀδόντας

Κύπριδος ἁβρὰ λέπαδνα καὶ οὐ ζυγόδεσμον ἀρότρων,
Nonnus αὐχένα μοῦνον Ἔρωτι καὶ οὐ Δήμητρι τιταίνει.
ἀλλὰ πόθον Τυρίοιο τεοῦ γενετῆρος ἐάσας
μίμνε παρ' ἀλλοδαποῖσι, καὶ Αἰγυπτίης σέο Θήβης
πατρίδος ἄστυ πόλισσον ἐπώνυμον, ἧχι πεσοῦσα
εὐνήσει βαρύγουνον ἑὸν πόδα δαιμονίη βοῦς."
ὣς φάμενος τριπόδων ἐπεκοίμισε θυιάδα φωνήν,
καὶ ῥία Παρνησσοῖο τινάσσετο Φοιβάδος Ἠχοῦς
γείτονος εἰσαΐοντα, καὶ ὀμφήεντι ῥεέθρωι
Κασταλίης πάφλαζε νοήμονος ἔνθεον ὕδωρ.
εἶπε θεός· καὶ Κάδμος ἐχάζετο καὶ παρὰ νηῶι
βοῦν ἴδε, νισσομένηι δὲ συνέστιχεν· ἑσπόμενοι δὲ
◆ ἀνέρες ἀπλάγκτοιο βοὸς βραδυπειθέι χηλῆι
φειδομένην ἰσόμετρον ἐποιήσαντο πορείην
ὀτρηροὶ θεράποντες· ὅθεν τότε Κάδμος ὁδεύων
ἱερὸν ἔδρακε χῶρον ἐπόψιον, ἧχι νοήσας
Πύθιος ἐννεάκυκλον ὀρειάδος ὁλκὸν ἀκάνθης
εὔνασε Κιρραίης θανατηφόρον ἰὸν ἐχίδνης.
Παρνησσοῦ δὲ κάρηνα λιπὼν μετανάστιος ἀνὴρ
Δαυλίδος ἔστιχεν οὖδας ὁμούριον, ἔνθεν ἀκούω
σιγαλέης λάλον εἶμα δυσηλακάτου Φιλομήλης,
Τηρεὺς ἣν ἐμίαινεν, ὅτε ζυγέη φύγεν Ἥρη
συζυγίην ἀχόρευτον ὀρεσσαύλων ὑμεναίων,
κούρη δ' ἀστορέεσσιν ἐπεστενάχιζε χαμεύναις
εἰνοδίου θαλάμοιο, λιπογλώσσοιο δὲ κούρης
L3[O] μυρομένης Θρήισσαν ἀναγκαίην Ἀφροδίτην
δάκρυσι μιμηλοῖσι λιπόθροος ἔστενεν Ἠχώ,
παρθενικὴν φυγόδεμνον ὀδυρομένη Φιλομήλην,
ὁππότε φοινήεντι μεμιγμένον αἵματος ὁλκῶι
γλώσσης ἀρτιτόμοιο συνέβλυεν αἷμα κορείης·
καὶ Τιτυοῦ πόλιν εἶδεν, ὅπηι θρασὺς υἱὸς ἀρούρης
ἄλσεα καλλιπέτηλα διαστείχων Πανοπῆος
ἁγνὰ βιαζομένης ἀνεσείρασε φάρεα Λητοῦς·
καὶ ποδὸς ἴχνος ἔθηκε Ταναγραίωι κενεῶνι,
ἐκ δὲ Κορωνείης Ἁλιάρτιον οὖδας ἀμείβων
Θεσπιέων τε πόληα βαθυκνήμους τε Πλαταιὰς
Ἀονίης σχεδὸν ἦλθε πέδον Βοιωτὸν ὁδεύων,
ἧχί ποτ' Ὠρίωνα, δυσίμερον υἱέα γαίης,
Σκορπίος, ἀστόργοιο βοηθόος ἰοχεαίρης,
τηλίκον ἐπρήνιξεν, ἀνυμφεύτοιο θεαίνης
ἀκροτάτην ἔτι πέζαν ἀναστείλαντα χιτῶνος,
ὁ βραδὺς ἑρπύζων, χθόνιον τέρας, ἀντιβίου δὲ
ταρσὰ χαλαζήεντι τυχὼν ἐχαράξατο κέντρωι.
καὶ γαίης ἐπέβη Χαιρωνίδος, ἔνθα κονίην
ἀργυφέην τέμνουσα βοὸς λευκαίνετο χηλή,
καὶ κραναῆς μεθέπων πολυκαμπέα κύκλα πορείης
λευκὰ κονιομένων ἀπεσείσατο λύματα ταρσῶν.
καὶ βοὸς ὀμφήεσσα χαμευνάδος ὤκλασε χηλὴ
ἄστεος ἐσσομένοιο προάγγελος. ἀλλ' ὅτε Κάδμωι
Πύθιον οὐδαίης ἐτελείετο θέσφατον ἠχοῦς,

25 (15C) τέρπων ἀκροτάτοισι φιλήμασιν· ἠΐθεον δὲ
εἰσέτι πηχύνουσα καὶ εἰς Ἀχέροντα περήσω Nonnus
αὐτομάτη, γλυκερὸν δὲ πολυκλαύτωι παρὰ Λήθηι
λέξω καὶ φθιμένοισιν ἐμὸν μόρον, ὥς κεν ἐγείρω
οἶκτον ὁμοῦ καὶ ζῆλον ἀθελγέι Περσεφονείηι·
καὶ Χαρίτων πνείοντα φιλήματα κεῖνα διδάξω
θηλυτέρας δυσέρωτας, ὅσας κτάνεν ἱμερόεν πῦρ,
καὶ νέκυας τελέσω ζηλήμονας, εἰ παρὰ Λήθηι
εἰς Παφίην μετὰ πότμον ἔτι φθονέουσι γυναῖκες.
ἕσπομαι, ἢν ἐθέληις, καὶ ὁμόστολος, οὐ τρομέω δὲ
πλαγκτοσύνην ἀδίδακτον. ἀμείλιχε, γίνεο Κάδμου
κουριδίη παράκοιτις· ἐγὼ θαλαμηπόλος εἴην
ἀμφοτέροις θεράπαινα, καὶ Ἁρμονίηι καὶ ἀκοίτηι.
ἀλλὰ πάλιν τρομέω σε, καὶ εἰ κρύπτειν μενεαίνεις,
μή ποτέ σοι διὰ λέκτρα χόλον καὶ ζῆλον ἐγείρω,
ὄττι, θεά περ ἐοῦσα καὶ αἰθέρος ὄρχαμος, Ἥρη
Ζηνὸς ἐπιχθονίηισι νόθαις ἀλόχοισι μεγαίρει·
Εὐρώπηι κεχόλωτο καὶ ἤκαχεν ἄστατον Ἰώ·
οὐδὲ θεὰς μεθέηκε· χολωομένης δὲ τεκούσης
ἤλασεν ὠδίνουσαν Ἄρης ἐγκύμονα Λητώ.
εἰ μὴ ζῆλος ἔχει σε, πόθων ἵνα φάρμακον εὕρω,
εἰς μίαν ἠριγένειαν ἐμοὶ πόρε τοῦτον ἀκοίτην,
ναί, λίτομαι, καὶ νυκτὸς ἕνα δρόμον· εἰ δὲ μεγαίρεις,
χειρὶ τεῆι με δάιξον, ὅπως ἄμπαυμα νοήσω
τηλίκον ἀπρήυντον ἀεὶ κατὰ νύκτα καὶ ἠῶ
ἐνδόμυχον μεθέπουσα περὶ φρένα βοσκόμενον πῦρ." L3[O]
εἶπε, καὶ Ἁρμονίην φυγοδέμνιον ἤλασε κεστῶι
εἰς πλόον οἰστρήσασα πόθωι πειθήμονα κούρην.
ἡ δὲ μεταστρέψασα νόον διδυμάονι βουλῆι
ξεῖνον ἔχειν μενέαινε καὶ ἤθελε πατρίδα ναίειν,
καί τινα μῦθον ἔειπεν ἱμασσομένη νόον οἴστρωι·
4 (3C) "ὤμοι, τίς μετάμειψεν ἐμὴν φρένα; σώζεο, πάτρη,
χαίροις, Ἠμαθίων καὶ πᾶς δόμος· ἄντρα Καβείρων,
χαίρετε, καὶ σκοπιαὶ Κορυβαντίδες· οὐκέτι λεύσσω
μητρώιης Ἑκάτης νυχίην θιασώδεα πεύκην.
σώζεο, παρθενίη, νυμφεύομαι ἡδέι Κάδμωι·
Ἄρτεμι, μὴ νεμέσα, χαροπῆς ἁλὸς οἶδμα περήσω.
ἀλλ' ἐρέεις, ὅτι πόντος ἀμείλιχος· οὐκ ἀλεγίζω
5 μαινομένου ῥοθίοιο, συνολλυμένους δὲ δεχέσθω
Ἁρμονίην καὶ Κάδμον ἐμὸν μητρώιον ὕδωρ.
ἕσπομαι ἡβητῆρι γάμους βοόωσα θεάων·
εἰ μὲν ἐς ἀντολίην με φέρει πλώουσαν ἀκοίτης,
ἵμερον Ὠρίωνος ἐς ἠριγένειαν ἐνίψω,
καὶ Κεφάλου θαλάμων μιμνήσκομαι· εἰ δέ ποτ' ἔλθω
εἰς δύσιν ἀχλυόεσσαν, ἐπ' Ἐνδυμίωνι καὶ αὐτὴ
Λατμιὰς ἶσα παθοῦσα παρηγορέει με Σελήνη."
τοῖα νοοπλανέεσσι μεληδόσιν ἤπυε κούρη
ἄσχετος ἱμερόεντι δαϊζομένη νόον οἴστρωι·
καὶ κινυρῆι ῥαθάμιγγι διαινομένοιο προσώπου
Ἠλέκτρης κύσε χεῖρα καὶ ὄμματα καὶ πόδας ἄκρους

26 (16C)

καὶ κεφαλὴν καὶ στέρνα, καὶ Ἠμαθίωνος ὀπωπὴν
χείλεσιν αἰδομένοισι, κασιγνήτου περ ἐόντος,
πάσας δ᾽ ἀμφιπόλους ἠγκάζετο· μυρομένη δὲ
τυκτὰ πολυγλυφέων ἠσπάσσατο κύκλα θυράων
ἄπνοα καὶ κλιντῆρα καὶ ἕρκεα παρθενεῶνος·
πατρῴην δὲ λαβοῦσα κόνιν προσπτύξατο κούρη.
καὶ τότε χειρὸς ἔχουσα θεῶν ὑπὸ μάρτυρι πομπῆι
Ἁρμονίην ἀνάεδνον ὀφειλομένην φέρε Κάδμωι
Ἠλέκτρη, χυτὸν ὄμβρον ἀποσμήξασα προσώπου.
Κυπριδίην δὲ θύγατρα λαβὼν ἠῷος ὁδίτης
γρηὶ σὺν ἀμφιπόλωι λίπε δώματα, δῶρον ἀνάσσης
λάτριν ἔχων πομπῆα δι᾽ ἄστεος ἄχρι θαλάσσης.
✦ παρθενικὴν δ᾽ ὁρόωσα παρ᾽ ἠιόνας ὑψόθι πόντου
ξείνωι ἐφεσπομένην, φλογερῆι ζείουσαν ἀνάγκηι,
Κύπριδι μεμφομένη φιλοκέρτομος ἴαχε Μήνη·
"Κύπρι, καὶ εἰς σέο τέκνα κορύσσεαι, οὐδὲ καὶ αὐτῆς
ὑμετέρης ὠδῖνος ἐφείσατο κέντρον Ἐρώτων;
ἣν τέκες, οὐκ ἐλέαιρες, ἀμείλιχε; καὶ τίνα κούρην
οἰκτείρεις ἑτέρην, ὅτε σὸν γένος εἰς πόθον ἕλκεις;
πλάζεο καὶ σύ, φίλη· Παφίης τέκος, εἰπὲ τεκούσηι·
'κερτομέει Φαέθων σε, καὶ αἰσχύνει με Σελήνη.'
'Ἁρμονίη, λιπόπατρι δυσίμερε, κάλλιπε Μήνηι
νυμφίον Ἐνδυμίωνα, καὶ ἄμφεπε Κάδμον ἀλήτην,
τλῆθι φέρειν πόνον ἶσον, ἐρωτοτόκωι δὲ μερίμνηι
μνώεο καὶ σὺ καμοῦσα ποθοβλήτοιο Σελήνης."
L3[I] ὣς φαμένης ἑτάρους ὑπὲρ ἠιόνα Κάδμος ἐπείγων
ὁλκάδος ἰθυπόροιο παλίμπορα πείσματα λύσας
εἰαρινῶι κόλπωσεν ἀχείμονι λαῖφος ἀήτηι·
διχθαδίους δὲ κάλωας ἐφαψάμενός τινι γόμφωι
δουροπαγὲς πόμπευε δι᾽ οἴδματος ἅρμα θαλάσσης,
ἰσάζων ἑκάτερθε νεὼς πόδας, οἷα δὲ Φοῖνιξ,
ναυτιλίης νοέων πατρώιον ἠθάδα τέχνην,
πηδαλίωι παρέμιμνεν· ἐπὶ πρύμνηι δὲ καὶ αὐτὴν
Ἁρμονίην ἄψαυστον ὁμόπλοον ἵδρυε κούρην
νηὸς ἰδὼν ξείνους ἐπιβήτορας, οὓς τότε ναῦται
μισθοφόρους ἐδέχοντο. καὶ ἠρέμα σύμπλοος ἀνὴρ
ἀμφοτέρους ὁρόων ἐκεράσσατο θαύματι φωνήν·
"αὐτὸς Ἔρως πέλεν οὗτος ὁ ναυτίλος· οὐ νέμεσις γὰρ
υἷα τεκεῖν πλωτῆρα θαλασσαίην Ἀφροδίτην·
ἀλλὰ βέλος καὶ τόξον ἔχει καὶ πυρσὸν ἀείρει
βαιὸς Ἔρως πτερύγεσσι κεκασμένος· εἰσορόω δὲ
ὁλκάδα Σιδονίην. δολόεις τάχα φώριος Ἄρης
ἕζεται ἐν πρύμνῃσιν ἔσω Λιβάνοιο κομίζων
ἑσπερίην πλώουσαν ἀπὸ Θρήικης Ἀφροδίτην.
ἵλαθι, μῆτερ Ἔρωτος, ἀκυμάντωι δὲ γαλήνηι
πέμπέ μοι ἵκμενον οὖρον ἀχείμονι μητρὶ θαλάσσηι."
τοῖον ἔπος λαθραῖον ὁμόπλοος ἔννεπεν ἀνὴρ
λοξὸς ἐς Ἁρμονίην ἀντώπιον ὄμμα τιταίνων.
καὶ πλόον ἤνυσε Κάδμος ἐς Ἑλλάδα, Φοιβάδος ὀμφῆς
οἶστρον ἔχων πραπίδεσσι, Διὸς δέ οἱ αἰὲν ἐπείγων
ἔνθεος ἀπλανέεσσιν ἐπέτρεχε μῦθος ἀκουαῖς.
ἔνθα Πανελλήνεσσι νεώτερα δῶρα τιταίνων
ἀρχεκάκου Δαναοῖο φερέσβιον ἔκρυφε τέχνην,
ὑδροφόρου Δαναοῖο· τί γὰρ πλέον εὗρεν Ἀχαιοῖς,
εἴ ποτε χαλκείῃσι πεδοσκαφέεσσι μακέλλαις
χάσματος οὐδαίοιο χυτὸν κενεῶνα κολάψας
δίψιον Ἄργος ἔπαυσε, κονιομένοις δὲ πολίταις
ὑγρὰ ποδῶν ἐπίβαθρα πόρεν, ξεινήιον ὕδωρ,
ἐκ βυθίων λαγόνων ὀλίγον ῥόον; αὐτὰρ ὁ πάσηι
Ἑλλάδι φωνήεντα καὶ ἔμφρονα δῶρα κομίζων
γλώσσης ὄργανα τεῦξεν ὁμόθροα, συμφυέος δὲ
ἁρμονίης στοιχηδὸν ἐς ἄζυγα σύζυγα μίξας
γραπτὸν ἀσιγήτοιο τύπον τορνώσατο σιγῆς,
πάτρια θεσπεσίης δεδαημένος ὄργια τέχνης,
Αἰγυπτίης σοφίης μετανάστιος, ἦμος Ἀγήνωρ
Μέμφιδος ἐνναέτης ἑκατόμπυλον ᾤκισε Θήβην·
καί, ζαθέων ἄρρητον ἀμελγόμενος γάλα βίβλων,
χειρὸς ὀπισθοπόροιο χαράγματα λοξὰ χαράσσων
ἔγραφεν ἀγκύλα κύκλα· καὶ Αἰγυπτίου Διονύσου
Εὔια φοιτητῆρος Ὀσίριδος ὄργια φαίνων
μύστιδος ἐννυχίας τελετὰς ἐδιδάσκετο τέχνης,
καὶ κρυφίηι μάγον ὕμνον ἀνέκλαγε θυιάδι φωνῆι
λεπτὸν ἔχων ὀλόλυγμα· λιθοξοάνοιο δὲ νηοῦ
γλυπτὰ βαθυνομένωι κεχαραγμένα δαίδαλα τοίχωι
κουρίζων δεδάηκε· πολυφράστωι δὲ μενοινῆι
μετρήσας φλογόεσσαν ἀνηρίθμωον ἴτυν ἄστρων L3[I]
καὶ δρόμον Ἠελίοιο μαθὼν καὶ μέτρον ἀρούρης,
χειρὸς ἐυστροφάλιγγος ὁμόπλοκα δάκτυλα κάμψας,
ἄστατα κύκλα νόησε παλιννόστοιο Σελήνης,
πῶς τρισσαῖς ἑλίκεσσι μετάτροπον εἶδος ἀμείβει,
ἀρτιφαής, διχόμηνις, ὅλωι στίλβουσα προσώπωι,
5 (4C) πῶς δὲ συναπτομένη καὶ ἀπόρρυτος ἄρσενι πυρσῶι
Ἠελίου γενετῆρος ἀμήτορι τίκτεται αἴγληι,
πατρὸς ὑποκλέπτουσα παλιμφυὲς αὐτόγονον πῦρ.
τοῖος ἔην· καὶ κραιπνὸς Ἀχαιίδος ἄστεα βαίνων
ναυτιλίην μεθέηκε· σὺν Ἁρμονίηι δὲ κομίζων
ἑσμὸν ἁλιπλανέων ἑτάρων χερσαῖον ὁδίτην
ἅρμασιν ἱππείοισι καὶ ἀχθοφόροισιν ἀμάξαις
6 μαντῴοις ἀδύτοισιν ἐπέστιχεν· ἔνθα κιχήσας
Δελφὸν ἀσιγήτοιο μεσόμφαλον ἄξονα Πυθοῦς
μαντοσύνην ἐρέεινε, καὶ ἔμφρονα Πύθιος ἄξων
κυκλόθεν αὐτοβόητος ἐθέσπισε κοιλάδι φωνῆι·
"Κάδμε, μάτην, περίφοιτε, πολυπλανὲς ἴχνος ἑλίσσεις·
μαστεύεις τινὰ ταῦρον, ὃν οὐ βοέη τέκε γαστήρ,
μαστεύεις τινὰ ταῦρον, ὃν οὐ βροτὸς οἶδε κιχῆσαι·
Ἀσσυρέην ἀπόειπε, τεῆς δ᾽ ἡγήτορα πομπῆς
ἄμφεπε βοῦν χθονίην, μὴ δίζεο ταῦρον Ὀλύμπου·
νυμφίον Εὐρώπης οὐ βουκόλος οἶδεν ἐλαύνειν·
οὐ νομόν, οὐ λειμῶνα μετέρχεται, οὔ τινι κέντρωι
πείθεται, οὐ μάστιγι κελεύεται· οἶδεν ἀείρειν

ἀλλά μιν ὤλεσε Μοῖρα, κυνοσπάδα νεβρὸν ἀλήτην,
Nonnus Ἰνδῴην μετὰ δῆριν ἔτι πνείοντα κυδοιμοῦ,
εὖτε τανυπρέμνοιο καθήμενος ὑψόθι φηγοῦ
λουομένης ἐνόησεν ὅλον δέμας ἰοχεαίρης,
θηητὴρ δ' ἀκόρητος ἀθηήτοιο θεαίνης
ἁγνὸν ἀνυμφεύτοιο δέμας διεμέτρεε κούρης
ἀγχιφανής· καὶ τὸν μὲν ἀνείμονος εἶδος ἀνάσσης
ὄμματι λαθριδέωι δεδοκημένον ὄμματι λοξῶι
Νηιὰς ἀκρήδεμνος ἀπόπροθεν ἔδρακε Νύμφη,
ταρβαλέη δ' ὀλόλυξεν, ἑῆι δ' ἤγγειλεν ἀνάσσηι
ἀνδρὸς ἐρωμανέος θράσος ἄγριον· ἡμιφανὴς δὲ
Ἄρτεμις ἁρπάξασα σὺν εἵματι κυκλάδα μίτρην
παρθενίωι ζωστῆρι σαόφρονας ἔσκεπε μαζούς,
καὶ διεροῖς μελέεσσιν ἔσω δύνουσα ῥεέθρων
αἰδομένη κατὰ βαιὸν ὅλον δέμας ἔκρυφε κούρη.
 Ἀκταίων βαρύποτμε, σὲ μὲν λίπεν αὐτίκα μορφὴ
ἀνδρομέη, πισύρων δὲ ποδῶν ἐδιχάζετο χηλή,
καὶ ταναοὶ γναθμοῖσιν ἐμηκύνοντο παρειαί,
κνῆμαι ἐλεπτύνοντο, καὶ ἀγκύλα δοιὰ μετώπωι
φύετο μακρὰ κόρυμβα τανυπτόρθοιο κεραίης,
✦ καὶ στικτοῖς μελέεσσι νόθη ποικίλλετο μορφή,
καὶ λάσιον δέμας εἶχεν· ἀελλήεντι δὲ νεβρῶι
εἰσέτι μοῦνος ἔην νόος ἔμπεδος· ὠκυπόρωι δὲ
ἔτρεχεν ἀξείνοιο δι' οὔρεος ἅλματι χηλῆς,
θηρητὴρ τρομέων θηρήτορας. ἀλλοφυῆ δὲ
L1[O] οὐκέτι τὸν πρὶν ἄνακτα κύνες μάθον· ἀχνυμένης γὰρ
𝔸 νεύμασιν ἀτρέπτοισι βαρύφρονος ἰοχεαίρης
φοιτάδος οἰστρήεντι μεμηνότες ἄσθματι λύσσης
νεβροφόνων ἐχάραξαν ὁμόζυγον ὄγμον ὀδόντων,
ψευδομένηι δ' ἐλάφοιο παραπλαγχθέντες ὀπωπῆι
στικτὸν ἐθοινήσαντο νόθον δέμας ἄφρονι λύσσηι.
καὶ θεὸς ἄλλο νόησε, κύνας βραδέεσσι γενείοις 1
ἔμπνοον Ἀκταίωνα κεκασμένον ἔμφρονι θυμῶι
δαρδάπτειν κατὰ βαιόν, ἵνα φρένα μᾶλλον ἀμύξηι
ὀξυτέραις ὀδύνῃσιν· ὑπὸ βροτέηι δὲ μενοινῆι
πότμον ἑὸν στενάχων κινυρῆι βρυχήσατο φωνῆι·
 "ὄλβιε Τειρεσία, σὺ γὰρ ἔδρακες ἐκτὸς ὀλέθρου
γυμνὸν ἀναινομένης οἰκτίρμονος εἶδος Ἀθήνης·
οὐ θάνες, οὐκ ἐλάφοιο δέμας λάχες, οὐδὲ μετώπωι 1
ὑμετέρωι προβλῆτες ἐπηιώρηντο κεραῖαι·
ζώεις σῶν βλεφάρων ὀλέσας φάος· ὑμετέρων δὲ
ὀφθαλμῶν ἀμάρυγμα νόωι μετέθηκεν Ἀθήνη·
χώεται ἰοχέαιρα κακώτερα Τριτογενείης.
αἰθέ μοι ἄλγος ὄπασσεν ὁμοίιον, αἴθε καὶ αὐτὴ
ὄμμασιν ἡμετέροισιν ἐπέχραεν ὥς τὴν Ἀθήνη,
αἶθε νόον μετάμειψεν, ἅ περ δέμας· ἀλλοφυὴς γὰρ
μορφὴ θηρὸς ἔχει με, καὶ ἀνέρος ἦθος ἀέξω.
σφωιτέρωι πότε θῆρες ἐπιστενάχουσιν ὀλέθρωι;
ἀφραδέες ζώουσι καὶ οὐ νοέουσι τελευτήν.
μοῦνος ἐγὼ μεθέπω πινυτὸν νόον· ὀλλύμενος δὲ

✦ row of last line.

simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

Look into the fifth next, and you will see Actaion also, whom no pricket brought forth, torn by dogs as a fleeing fawn.

NONNUS

DIONYSIACA

BOOK 5

PREVIEW BOOK 7

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 🇺🇸 621 lines 3.0
𝔸 2L 1 - 350
𝔹 2L 351 - 621

PRINT 2-SIDED: **31** to **38**

Ἀλλ' ὅτε δὴ πολέμων ὀφιώδεα λήια κείρων
Κάδμος ὀδοντοφύτων καλάμην ἤμησε Γιγάντων,
σπένδων λύθρον Ἄρηι θαλύσια δηιοτῆτος,
φαιδρύνας ἑὰ γυῖα δρακοντοβότωι παρὰ Δίρκηι
Δελφίδα βοῦν ἱέρευσε θεοδμήτων ἐπὶ βωμῶν,
Παλλάδι καλὸν ἄγαλμα. καταρχομένωι δὲ θυηλὰς
δίζυγες ἔνθα καὶ ἔνθα περιρραίνοντο κεραῖαι
οὐλοχύταις· ὁ δὲ γυμνὸν ἑλὼν παρὰ γείτονι μηρῶι
φάσγανόν Ἀσσυρίοιο παρήορον ἐκ τελαμῶνος
ἀκροτάτην τρίχα τάμνε τανυρρίνοιο καρήνου
ἄορι κωπήεντι· Θεοκλύμενος δὲ κεραίης
δραξάμενος μόσχοιο παλίντονον εἴρυσε δειρήν,
αὐχενίους δὲ τένοντας ἀπηλοίησε Θυέστης
ἀμφιτόμωι βουπλῆγι, καὶ αἱμαλέωι βοὸς ὁλκῶι
λάινος Ὀγκαίης ἐρυθαίνετο βωμὸς Ἀθήνης,
καὶ βοέου κερόεντος ἀρασσομένοιο μετώπου
πρηνὴς μόσχος ἔπιπτε· δαϊζομένης δὲ σιδήρωι
πλευρὰ διατμήξαντες ἐμιστύλαντο μαχαίρηι,
καὶ βοέην τρηχεῖαν ἐγυμνώσαντο καλύπτρην
ἐκταδίην· ὁ δὲ φαιδρὸν ἐπὶ χθονὶ φᾶρος ἑλίξας
αὐτὸς ἄναξ πεπόνητο, καὶ εὐφυέων κρέα μηρῶν
ὠμὰ διατμήξας ἐκαλύψατο δίζυγι δημῶι
μιστύλλων κατὰ βαιόν, ἐπ' ἀνθρακιῇ δὲ τανύσσας
σπλάγχνα σιδηρείοισι πεπαρμένα μακρὰ κορύμβοις
εἴρυσεν, ὀπτήσας ἁπαλῶι πυρί· μεσσοπαγῆ δὲ
ἀκροπόρωι στοιχηδὸν ἄγων τετορημένα χαλκῶι
ἀνθοκόμου κατέθηκε χαμαιζήλοιο τραπέζης
δαιτρός, ἐπασσυτέρους ὀβελοὺς ζείοντας ἀείρας.
καὶ θυόεις ἐλέλικτο δι' ἠέρος ἀτμὸς ἀλήτης
Ἀσσυρίης λιβάνοιο. τελειομένης δὲ θυηλῆς
δεῖπνον ἔην, καὶ Κάδμος ἑλὼν ἐπένειμεν ἑκάστωι
κεκριμένης ὀρέγων ἰσοελκέα μοῖραν ἐδωδῆς.
δαιτυμόνων δὲ φάλαγγες ἐπ' εὐκύκλοιο τραπέζης
εἰλαπίνης ἀπέθεντο πόθον κεκορηότι θυμῶι.
οὐδὲ δρακοντοφόνωι καμάτων τέλος ἔπλετο Κάδμωι,
ἀλλὰ μεθ' ἑρπηστῆρα, μετ' ἄγρια φῦλα Γιγάντων,
Ἐκτήνων προμάχοισι καὶ Ἄονι μάρνατο λαῶι
βάρβαρον ἀμώων στάχυν Ἄρεος, ἀγχιπόροις δὲ
ἔχραε Τεμμέκεσσι· καλεσσαμένωι δὲ μαχητὰς
ποικίλος ἑσμὸς ἵκανε περικτιόνων ἐπικούρων.
καὶ διδύμαις στρατιῇσιν Ἔρις ξύνωσεν Ἐνυὼ
φύλοπιν ὠδίνουσα· συνερχομένων δὲ κυδοιμῶι
τόξον ἐκυκλώθη, δόρυ πάλλετο, σείετο πήληξ,
καὶ βέλος ἐρροίζησεν, ἐπ' ὀμφαλόεντι δὲ κύκλωι
βαλλομένη μυλόεντι λίθωι σμαράγησε βοείη.
καὶ κταμένων ῥέεν αἷμα· πολὺς δ' ἐπὶ φορβάδι γαίηι
ἡμιθανὴς προκάρηνος ἀνὴρ κεκύλιστο κονίηι.
καὶ στρατὸς ἀντιβίων ἱκέτης ἐκλίνετο Κάδμωι·
λῦτο δ' ἀγών. φονίην δὲ μετὰ στροφάλιγγα κυδοιμοῦ
Κάδμος ἀπυργώτοιο θεμείλια πήγνυε Θήβης.

πυρσὸν ἀπειλητῆρα φιλοσμήνοιο μελίσσης
δίζυγα χαλκὸν ἄειρεν, ὑπωροφίηι δὲ λοχείηι
βομβηδὸν κλονέοντος ἀσιγήτοιο κυδοιμοῦ
χειρὶ πολυκροτάλωι διδυμάονα δοῦπον ἀράσσων
φρικτὰ κορυσσυμένης ἐφυλάσσετο κέντρα μελίσσης,
καὶ προταμὼν κηροῖο πολυγλώχινα καλύπτρην
ἔβλισεν αἰόλα δῶρα μελισταγέος τοκετοῖο.
πρῶτος ἐυρραθάμιγγος ἀλείφατος εὗρεν ἐέρσην,
καρπὸν ὅτε βρίθοντι ταμὼν μυλοειδέι πέτρωι
πίονας ὑγροτόκοιο γονὰς ἔθλιψεν ἐλαίης.
καὶ σκιερῆς πολύδενδρον ὑπὸ κλέτας εὔβοτον ὕλης
εἰς ἕλος, εἰς λειμῶνα φέρων ἐδίδαξε βοτῆρας
ἠελίου φαίνοντος ἐς ἕσπερον ἄχρι νομεύειν.
πλαζομένων δ' ἀκίχητον ἀπειθέα φοιτάδι χηλῆι
ἑσπομένων βραδὺν οἶμον ὀπισθοπόρων στίχα μήλων
εἰς νομὸν ἀνθεμόεντα μιῆι ξύνωσε κελεύθωι
αἶγα λαβὼν προκέλευθον ὁμοζήλοιο πορείης.
καὶ νομίην ἐνόησεν ὀρειάδα Πανὸς ἀοιδήν.
καὶ πυρὶ σειριάοντα κατεύνασεν ἀστέρα Μαίρης,
καὶ Διὸς Ἰκμαίοιο θυώδεα βωμὸν ἀνάψας
αἵματι ταυρείωι γλυκερὴν ἐπεχεύατο λοιβὴν
ποικίλα φοιταλέης ἐπιβώμια δῶρα μελίσσης,
πλήσας ἁβρὰ κύπελλα μελικρήτου κυκεῶνος·
Ζεὺς δὲ πατὴρ ἤκουσε καὶ υἱέος υἷα γεραίρων
πέμψεν ἀλεξικάκων ἀνέμων ἀντίπνοον αὔρην,
Σείριον αἰθαλόεντος ἀναστέλλων πυρετοῖο.
εἰσέτι νῦν κήρυκες Ἀρισταίοιο θυηλῆς
γαῖαν ἀναψύχουσιν Ἐτήσιαι ἐκ Διὸς αὖραι,
ὀππότε ποικιλόβοτρυς ἀέξεται οἰνὰς ὀπώρη.
τὸν μὲν Ἔρως πόμπευεν ἐς Ἀονίους ὑμεναίους,
Φοίβου Κήιον υἷα· βοοστίκτου δὲ θυηλῆς
πᾶσα πόλις στεφθεῖσα, καὶ ἰθυτμῆτες ἀγυιαὶ
ὀρχηθμῶι μεμέληντο, παρὰ προπύλαια δὲ παστοῦ
εἰλιπόδην ὑμέναιον ἐπερρώσαντο πολῖται,
καὶ μέλος ἱμερόφωνον ἀνεκρούσαντο γυναῖκες,
καὶ γαμίηι σύριγγι συνέκλαγον Ἄονες αὐλοί.
ἔνθεν Ἀρισταίοιο καὶ Αὐτονόης ἀπὸ λέκτρων
Ἀκταίων ἀνέτελλε· φιλοσκοπέλωι δὲ μενοινῆι
Ἀγρέος αἷμα φέρων ἀπεμάξατο πάτριον ἄγρην,
Ἀρτέμιδος θεράπων ὀρεσίδρομος — οὐ νέμεσις δὲ
δύσμορον Ἀκταίωνα μαθεῖν μελεδήματα θήρης
υἱωνὸν γεγαῶτα λεοντοφόνοιο Κυρήνης —·
οὔ ποτέ μιν φύγεν ἄρκτος ὀρεστιάς, οὐδέ μιν αὐτῆς
λοίγιον ἐπτοίησε λεχωίδος ὄμμα λεαίνης·
πολλάκι δ' ὑψιπότητον ἐπιθρώισκοντα δοκεύων
πόρδαλιν ἐπρήνιξεν· ἀεὶ δέ μιν ὑψόθι λόχμης
ὄμμασι θαμβαλέοισιν ἐδέρκετο μηλονόμος Πὰν
ὠκείης ἐλάφοιο παραΐσσοντα πορείην.
ἀλλά οἱ οὐ χραίσμησε ποδῶν δρόμος, οὐδὲ φαρέτρη
ἤρκεσεν, οὐ βελέων σκοπὸς ὄρθιος, οὐ δόλος ἄγρης·

εἴκελον υἷα λόχευσεν ὀδοντοφύτωι παρακοίτηι·
καὶ Χαρίτων ἴνδαλμα ποθοβλήτοιο προσώπου
Ζηνὶ φυλασσομένη Σεμέλη βλάστησε τετάρτη
θυγατέρων, μούνηι δὲ καὶ ὁπλοτέρηι περ ἐούσηι
δῶκεν ἀνικήτοιο φύσις πρεσβήια μορφῆς.
ἄρσενα δ᾽ ὀψιτέλεστον ὁμόζυγα θήλεϊ φύτληι
Ἁρμονίη νέον υἷα γεγηθότι γείνατο Κάδμωι,
Ἀονίης Πολύδωρον ἑωσφόρον ἀστέρα πάτρης,
ὁπλότερον Σεμέλης ῥοδοειδέος, ὃν παρὰ Θήβαις
σκῆπτρα λαβὼν ἀθέμιστος ἄναξ ἀπενόσφισε Πενθεύς.
καὶ τὰ μὲν ὣς ἤμελλε γέρων χρόνος ὀψὲ τελέσσαι.
κεκριμένας δὲ θύγατρας ἐπεκλήισσεν ἀκοίταις
Κάδμος ἀμοιβαίοιο γάμου τετράζυγι παστῶι,
καὶ λέχος ἄλλο μετ᾽ ἄλλο συνήρμοσε· δωροφόρος γὰρ
πρῶτος Ἀρισταῖος, Νόμιος καὶ ἐπώνυμος Ἀγρεύς,
αἷμα σοφοῦ Φοίβοιο καὶ εὐπαλάμοιο Κυρήνης,
Αὐτονόην ζυγίων ἀρότων νυμφεύσατο θεσμῶι·
οὐ μὲν Ἀγηνορίδης πολυφερβέος ἴδμονα τέχνης
γαμβρὸν ἔχειν ἀπέειπε, βιοσσόον υἱέα Φοίβου,
ἀλλὰ Διιπετέων ἀνέμων ζωαρκέσιν αὔραις
λοίγιον εὐνήσαντι πυρώπιδος ἀστέρα Μαίρης
παῖδα συνεκλήισσε περισσονόωι παρακοίτηι.
καὶ γάμος ἦν πολύολβος, ἐπεὶ γέρας ἄζυγι κούρηι
δῶκε βόας, πόρεν αἶγας, ὀρίτροφον ὤπασε ποίμνην·
καὶ πολὺς ἀχθοφόρωι βεβαρημένος ὄγμος ἀνάγκηι
φόρτον ἐλαιήεντος ἐκούφισεν ἀμφιφορῆος,
ἕδνα γάμων, πολλὴν δὲ σοφῆς ἐκόμισσε μελίσσης
δαιδαλέην ὠδῖνα πολυτρήτοιο λοχείης.
κεῖνος ἀνὴρ πρώτιστος ὀρίδρομος ἅλματι ταρσῶν
εὗρε φιλοσκοπέλοιο πόνον κεμαδοσσόον ἄγρης,
πῶς νοερῶι μυκτῆρι παρὰ σφυρὰ φορβάδος ὕλης
θηρὸς ἀσημάντοιο κύων μαντεύεται ὀδμήν,
ὄρθια λοξοκέλευθον ἐπὶ δρόμον οὔατα τείνων,
καὶ δολέης δεδάηκε πολύπλοκα δίκτυα τέχνης
καὶ σταλίκων τύπον ὀρθόν, ὑπὲρ ψαμάθοιο δὲ θηρῶν
πρώιον ἀτρίπτωι κεχαραγμένον ἴχνος ἀρούρηι
καὶ ποσὶν ἐνδρομέδας θηρήτορα φῶτα διδάξας
ἄσχετον ἀίσσοντα κυνοσσόον εἰς δρόμον ἄγρης
πέπλα φαεινομένης ἐπιγουνίδος ἄχρι φορῆσαι,
μή ποτε θηρητῆρος ἐπειγομένου ποδὸς ὁρμὴ
ἂψ ἀνασειράζοιτο καθιεμένοιο χιτῶνος.
κεῖνος ἀνὴρ ἐνόησε πολυτρήτων στίχα σίμβλων,
πλαζομένης δ᾽ ἔστησεν ἐρημάδος ἔργα μελίσσης,
ἥ τις ἔσω λειμῶνος ἀπ᾽ ἄνθεος ἄνθος ἀμείβει
εἰς φυτὸν ἀγλαόκαρπον, ἐφιπταμένη δὲ κορύμβοις
χείλεσιν ἀκροτάτοισιν ἀμέλγεται ἄκρον ἐέρσης·
καὶ λινέαις ἁψῖσι πολυπλέκτοιο χιτῶνος
γυῖα περισφίγξας ὀνύχων ἄπο μέχρι κομάων
καὶ δολίωι πνιγόεντι πυρὸς τεχνήμονι καπνῶι
σινομένην πρήυνεν, ὑπηνέμιον δὲ τινάσσων

πολλαὶ δ᾽ ἔνθα καὶ ἔνθα μεριζομένων κενεώνων
αὔλακες ἐτμήγοντο, πολυσχιδέων δὲ κελεύθων
ἕδρανα καρχαρόδοντι βοῶν κεχάρακτο σιδήρωι·
πολλαὶ δ᾽ ἀντιπόρων ἀνέμων τετράζυγι κόσμωι
ἔμμοροι ἐν χόρτοισιν ἐμετρήθησαν ἀγυιαί.
καὶ πόλις Ἀονίη Τυρίης ποικίλλετο τέχνης
κάλλεϊ λαϊνέωι· καὶ ἐποίπνυεν ἄλλος ἐπ᾽ ἄλλωι
γειοτόμωι γλωχῖνι ταμὼν ἑτερόχροα πέτρην
ἐργατίνης Βοιωτὸν ὑπὸ κλέτας, ἣν παρὰ λόχμηι
Τευμησσοῦ δρυόεντος ἐμαιώσαντο κολῶναι,
ἣν Ἑλικὼν βλάστησε καὶ ἣν ὤδινε Κιθαιρών.
καὶ νηοὺς ἐτέλεσσε θεῶν καὶ δώματα φωτῶν
τορνώσας κανόνεσσιν· ἐπ᾽ ἀρρήκτοις δὲ δομαίοις
ἑπταπόρωι πυλεῶνι περίδρομον ἄστυ χαράξας
οὐρανὸν ἑπτάζωνον ἑῆι μιμήσατο τέχνηι,
ἐσσόμενον ναέταις Ἀμφίονι τεῖχος ἐάσας
πυργοδόμωι κιθάρηι πεφυλαγμένον. οὐρανίοις δὲ
ἑπτὰ πύλας ἀνέθηκεν ἰσηρίθμοισιν ἀλήταις
ἰσοτύπους· πρῶτον μὲν ἐς ἑσπέριον κλίμα πήξας
Ὀγκαίην ἐπένειμε πύλην γλαυκώπιδι Μήνηι
ἐκ βοὺς ὀγκηθμοῖο φερώνυμον, ὅττι καὶ αὐτὴ
ταυροφυὴς κερόεσσα βοῶν ἐλάτειρα Σελήνη
τριπλόον εἶδος ἔχουσα πέλει Τριτωνὶς Ἀθήνη·
δεύτερον Ἑρμάωνι διαυγέι γείτονι Μήνης
δῶκε γέρας πυλεῶνα· **διαγράψας** δὲ τετάρτην
Ἠλέκτρην Φαέθοντος ἐπώνυμον, ὅττι φανέντος
σύγχροος Ἠλέκτρης ἀμαρύσσεται ὄρθριος αἴγλη,
Ἠελίωι πυρφόεντι πύλην ἀντώπιον Ἠοῦς
μεσσατίην ἀνέθηκεν, ἐπεὶ μέσος ἐστὶ πλανήτων·
πέμπτην δ᾽ Ἄρεϊ δῶκε, πόρε τριτάτην Ἀφροδίτηι,
ἀμφοτέρων ἑκάτερθεν ὅπως Φαέθων μέσος εἴη,
γείτονα θοῦρον Ἄρηα διατμήγων Ἀφροδίτης·
ἕκτην Ζηνὸς ἄγαλμα φαεινοτέρωι κάμε κόσμωι
ὑψιφανῆ· πυμάτην δὲ Κρόνου λάχεν ἕβδομος ἀστήρ.
τοῖον ἕδος ποίησε· καὶ ἱερὸν ἄστυ πολίσσας
Αἰγυπτίης ἐκάλεσσεν ὁμώνυμον ἄστεϊ Θήβης,
ποικίλον ἀσκήσας χθόνιον τύπον, ἶσον Ὀλύμπωι.
Ἀονίων δὲ θύγατρες ἀνεκρούσαντο χορείαις
Ἁρμονίης ὑμέναιον· ἐπ᾽ εὐθαλάμωι δὲ μελάθρωι
Θρηικίης φθέγξαντο χορίτιδες οὔνομα νύμφης.
καὶ Παφίη νεότευκτον ἐκόσμεε παστάδα Κάδμωι
παιδὸς ἑῆς μέλπουσα θεοκλήτους ὑμεναίους
μήτηρ ἱμερόεσσα· πατὴρ δ᾽ ὑπὸ χάρματι κούρης
γυμνὸς ἄτερ σακέων ὠρχήσατο μείλιχος Ἄρης
δεξιτερὴν ἀσίδηρον ἐπικλίνων Ἀφροδίτηι,
καὶ γαμίηι σάλπιγγι μελίζετο θεσμὸν Ἐρώτων
ἀντίτυπον σύριγγι, σιδηροφόρου δὲ καρήνου
ἠθάδας εὐπολέμοιο λόφους ἀπεσείσατο χαίτης,
μιτρώδας πλοκαμῖδας ἀναιμάκτοισι κορύμβοις,
πλέξας κῶμον Ἔρωτι· σὺν ἀθανάτοις δὲ χορεύων

εἰς γάμον Ἁρμονίης Ἰσμήνιος ἤλθεν Ἀπόλλων
ἑπτατόνωι κιθάρηι φιλοτήσιον ὕμνον ἀράσσων·
καὶ μέλος ἐκρούσαντο βιοσσόον ἐννέα Μοῦσαι,
καὶ παλάμας ἐλέλιζε Πολύμνια, μαῖα χορείης,
μιμηλὴν δ᾽ ἐχάραξεν ἀναυδέος εἰκόνα φωνῆς,
φθεγγομένη παλάμηισι σοφὸν τύπον ἔμφρονι σιγῆι,
ὄμματα δινεύουσα· πολυστρέπτωι δὲ πεδίλωι,
Ζηνὶ χαριζομένη, θαλαμηπόλος ἵστατο Νίκη,
Κάδμον ἀνευάζουσα, Διὸς πρόμον, ἀμφὶ δὲ παστῶι
παρθενίοις στομάτεσσι γαμήλιον ἔπλεκε μολπήν,
καὶ ποδὸς ἴχνος ἔλισσεν, ἐπ᾽ εὐκύκλωι δὲ χορείηι
αἰδομένη πτερὰ πάλλε παρὰ πτερύγεσσιν Ἐρώτων.
ἐκ δὲ πολυσπερέων δαΐδων ὁμοφεγγέος αἴγλης
ἑσπερίης ἀνέτελλε φάος ψευδήμονος Ἠοῦς.
καὶ λιγυροῖς στομάτεσσι φιλοσκάρθμωι παρὰ παστῶι
πάννυχος ἔπλετο κῶμος ἀκοιμήτοιο χρορείης
μελπομένων· σπεύδων γὰρ ἐς ἀγφύπνους ὑμεναίους
ἠθάδα ῥάβδον ἔλειπεν, ἐπεὶ ταμίη πέλεν ὕπνου.
καὶ Θήβη χορὸς ἦεν Ὀλύμπιος· ἦν δὲ νοῆσαι
Κάδμον ὁμοῦ καὶ Ζῆνα μιῆς ψαύοντα τραπέζης.
καὶ γαμίοις θαλάμοισι φέρων νυμφοστόλον ὥρην
Ἀρκτώιης ἀνέτελλε Δράκων ὁμόφοιτος Ἀμάξης,
ἄγγελος ἐσσομένων, ὅτι σύννομος ἥλικι νύμφηι
ἐκ βροτέης ἤμελλεν ἔχειν ὀφιώδεα μορφὴν
νυμφίος Ἁρμονίης. μακάρων δέ τις ἄλλος ἐπ᾽ ἄλλωι
εἰς θαλάμους σπεύδοντι γέρας δωρήσατο Κάδμωι·
Ζεὺς μὲν πάντα τέλεια· κασιγνήτην δὲ γεραίρων
Ἥρην πασιμέλουσαν, ἐπεὶ πέλεν Ἄρεϊ μήτηρ,
ἵππιος ὤπασε δῶρα θαλάσσια κυανοχαίτης·
Ἑρμῆς σκῆπτρον ἔδωκεν, Ἄρης δόρυ, τόξον Ἀπόλλων,
καὶ στέφανον κομόωντα λίθων ἑτερόχροϊ κόσμωι
Ἁρμονίης Ἥφαιστος ἐπηιώρησε καρήνωι,
χρυσείην κροτάφοισιν ἐπικρεμάσας ἀναδέσμην·
καὶ θρόνον εὐλάιγγα πόρε χρυσόθρονος Ἥρη·
Ἄρεα κυδαίνουσα πολυφράδμων Ἀφροδίτη
χρύσεον ὅρμον ἔχοντα λίθων πολυδαίδαλον αἴγλην
λευκὸν ἐρευθιόωντι συνήρμοσεν αὐχένι κούρης,
Ἡφαίστου σοφὸν ἔργον, ὅ περ κάμε Κυπρογενείηι,
τοξευτῆρος Ἔρωτος ὅπως ὀπτήριον εἴη·
ἔλπετο γὰρ Κυθέρειαν ἀεὶ βαρύγουνος ἀκοίτης
υἷα τεκεῖν σκάζοντα, ποδῶν μίμημα τοκῆος·
ἀλλὰ μάτην ἐδόκησε, καὶ ἀρτίπον υἷα νοήσας
λαμπόμενον πτερύγεσσιν ὁμοίιον υἱέι Μαίης
ποικίλον ὅρμον ἔτευξεν, ὃς ἀστεροφεγγέι νώτωι
ὡς ὄφις ἦν ἑλικῶδες ἔχων δέμας· οἷα γὰρ αὐτὴ
δίστομος ἀμφίσβαινα μέσωι μηρύεται ὁλκῶι
ἰὸν ἀποπτύουσα δι᾽ ἀμφοτέροιο καρήνου,
ἀμφελελιζομένη μελέων ἑτερόζυγι παλμῶι,
εἰς κεφαλὴν δὲ κάρηνον ἐφερπύζουσα συνάπτει,
λοξῆι καμπύλα νῶτα περισκαίρουσα πορείηι·
ὣς ὅ γε ποικίλος ὅρμος ἐαγότα νῶτα τιταίνων
κάμπτετο, κυρτωθεῖσαν ἔχων διδυμάονα δειρήν,
ἀμφιλαφὴς φολίδεσσιν ἐς ὀμφαλὸν ἄχρις ἱκάνων
πλεκτὸς ὄφις δικάρηνος· ὑπὸ στροφάλιγγι δὲ τέχνης
χρύσεος ὁλκαίης ἐλελίζετο κύκλος ἀκάνθης,
καί οἱ ἑλισσομένη κεφαλὴ πολυδινέϊ παλμῶι
ψευδαλέον σύριγμα διήρυγεν ἀνθερεῶνος.
καὶ στομάτων ἑκάτερθεν, ὅπηι τέλος ἐστὶ καὶ ἀρχή,
αἰετὸς ἦν χρύσειος, ἅτε πλατὺν ἠέρα τέμνων,
ὀρθὸς ἐχιδναίων διδύμων μεσσηγὺ καρήνων,
ὑψιφανὴς πτερύγων πισύρων τετράζυγι κημῶι·
τῆι μὲν ξανθὸς ἴασπις ἐπέτρεχε, τῆι δὲ Σελήνης
εἶχε λίθον πάνλευκον, ὃς εὐκεράοιο θεαίνης
λειπομένης μινύθει καὶ ἀέξεται, ὁππότε Μήνη
ἀρτιφαὴς σέλας ὑγρὸν ἀποστίλβουσα κεραίης
Ἠελίου γενετῆρος ἀμέλγεται αὐτόγονον πῦρ·
ἄλλη μάργαρον εἶχε φαεσφόρον, οὗ χάριν αἴγλης
γλαυκὸν Ἐρυθραίης ἀμαρύσσεται οἶδμα θαλάσσης
λαμπομένης· ἑτέρης δὲ μεσόμφαλος αἴθοπι κόσμωι
λεπτοφαὴς σέλας ὑγρὸν ἀπέπτυεν Ἰνδὸς ἀχάτης.
ἀλλήλαις δ᾽ ἑκάτερθε συναπτομένων κεφαλάων
χάσματα δισσὰ δράκοντος ἀνευρύνοντο καρήνων,
αἰετὸν ἀμφοτέροισι περικλείοντα γενείοις
σύμπλοκον ἔνθα καὶ ἔνθα· δι᾽ εὐφαέος δὲ προσώπου
λυχνίδες ἠκόντιξον ἐν ὄμμασι σύμφυτον αἴγλην
ὀξὺ σέλας πέμπουσαν, ὁμοίιον αἴθοπι λύχνωι
ἁπτομένωι· κομόων δὲ λίθων πολυειδέι μορφῆι
πόντος ἔην, γλαυκῆς δὲ λίθος χλοάουσα μαράγδου
δεξαμένη κρύσταλλον ὁμόζυγον εἴκελον ἀφρῶι
εἶχε φαληριόωντα μελαινομένης τύπον ἅλμης·
τῶι ἔνι δαίδαλα πάντα τετεύχατο, τῶι ἔνι πάντα
χρυσοφαῆ μάρμαιρεν ἀλίτροφα πώεα λίμνης,
οἷα περισκαίροντα· πολὺς δέ τις ὑγρὸς ὁδίτης
μεσσοφανὴς ἐχόρευεν ἐπιξύων ἅλα δελφίς —
ψευδαλέην δ᾽ ἐλέλιζεν ἑὴν αὐτόσσυτον οὐρήν —
καὶ χορὸς ὀρνίθων ἑτερόχροος, ὧν τάχα φαίης
ἱπταμένων πτερύγων ἀνεμώδεα δοῦπον ἀκούειν,
ὅρμον ἐπεὶ Κυθέρεια γέρας δωρήσατο κούρηι
χρύσεον, εὐλάιγγα, παρήορον αὐχένι νύμφης.
καὶ γαμίων ζευχθεῖσα πόθων ἰθύντορι κεστῶι
Ἁρμονίη πολύπαιδα γονὴν μαιώσατο κόλπωι
τικτομένην κατὰ βαιόν· ἀμοιβαίηι δὲ λοχείηι
ἔγκυον ὄγκον ἔλυσε θυγατρογόνου τοκετοῖο,
τετράκις ἐννέα κύκλα διαπλήσασα Σελήνης.
πρώτη δ᾽ Αὐτονόη γονίμων ἀνεπήλατο κόλπων
μητέρος ἐννεάμηνον ἀναπτύξασα λοχείην
πρωτοτόκοις ὠδῖσιν· ὁμογνήτωι δὲ γενέθληι
καλλιφυὴς Ἀθάμαντος ἀέξετο σύγγαμος Ἰνώ,
μήτηρ δισσοτόκος· τριτάτη δ᾽ ἀνέτελλεν Ἀγαύη,
ἥ ποτε νυμφευθεῖσα Γιγαντείοις ὑμεναίοις

τίκτω ἐγὼ γενέτης, καὶ τλήσομαι ἄρσενι μηρῶι
Nonnus θηλυτέρας ὠδῖνας, ὅπως ὠδῖνα σαώσω.
χθιζὰ μὲν εὐρυάλωος ἐμῆς ὑπὸ νεύματι Δηοῦς
γαῖα χαρασσομένη σταχύων μνηστῆρι σιδήρωι
ξηρὸν ἀμαλλοτόκοιο λοχεύσατο καρπὸν ἀρούρης
ἤδη δ' ἀγλαόδωρος ἐμὸς πάις ἐν χθονὶ πήξει
ὑγρὸν ἀκεσσιπόνοιο θυώδεα καρπὸν ὀπώρης,
νηπενθὴς Διόνυσος, ἀπενθέα βότρυν ἀέξων,
ἀντίπαλος Δήμητρι· καὶ αἰνήσεις με δοκεύων
ἄμπελον οἰνοτόκοισιν ἐρευθιόωσαν ἐέρσαις
εὐφροσύνης κήρυκα, καὶ ἀγρονόμους παρὰ ληνῶι
ποσσὶ βαρυνομένοισιν ἐπιθλίβοντας ὀπώρην,
Βασσαρίδων τε φάλαγγα φιλεύιον ὑψόθεν ὤμων
ἄπλοκον αἰθύσσουσαν ἐς ἠέρα λυσσάδα χαίτην·
καὶ φρένα βακχεύσαντες ἀμοιβαίοισι κυπέλλοις
πάντες ἀνευάξουσιν ἐπ' εὐκελάδοιο τραπέζης
ἀνδρομέης Διόνυσον ἀλεξητῆρα γενέθλης·
τοῦτον ἀεθλεύσαντα μετὰ χθόνα σύνδρομον ἄστρων,
Γηγενέων μετὰ δῆριν, ὁμοῦ μετὰ φύλοπιν Ἰνδῶν
Ζηνὶ συναστράπτοντα δεδέξεται αἰόλος αἰθήρ.
καὶ θεὸς ἡμερίδων ἐπικείμενον οἴνοπι κισσῶι
ὡς στέφος ἑρπηστῆρα περὶ πλοκάμοισιν ἑλίξας
{…} σῆμα νέης θεότητος ἔχων ὀφιώδεα μίτρην·
καὶ μακάρων ὁμότιμος ἐπώνυμος ἀνδράσιν ἔσται
ἀμπελόεις Διόνυσος, ἅτε χρυσόρραπις Ἑρμῆς,
L1[O] χάλκεος ὥς περ Ἄρης, ἑκατηβόλος ὥς περ Ἀπόλλων."
𝔹 εἶπε πατήρ· Μοῖραι δὲ συνήινεον· ἀμφὶ δὲ μύθωι
ἐσσομένων κήρυκες ἐπέπταρον εὔποδες Ὧραι.
καὶ τὰ μὲν ὣς εἰπόντε διέτμαγεν, ὃς μὲν ἱκάνων
οἶκον ἐς Ἁρμονίης, ὁ δὲ ποικίλον εἰς δόμον Ἥρης.
καὶ σοφὸς αὐτοδίδακτος Ἔρως αἰῶνα νομεύων,
πρωτογόνου Χάεος ζοφεροὺς πυλεῶνας ἀράξας
ἰοδόκην ἐκόμισσε θεήλατον, ἧι ἔνι μούνηι
εἰς πόθον ἀλλοπρόσαλλον ἐπιχθονίων ὑμεναίων
Ζηνὶ πυριτρεφέες πεφυλαγμένοι ἦσαν ὀιστοὶ
δώδεκα, καὶ χρύσειον ἔπος μετρηδὸν ἑκάστωι
ἔγραφεν εἰς μέσα νῶτα ποθοβλήτοιο φαρέτρης·
'πρῶτος ἄγει Κρονίωνα βοώπιδος εἰς λέχος Ἰοῦς·'
✦ 'δεύτερος Εὐρώπην μνηστεύεται ἅρπαγι ταύρωι·'
'Πλουτοῦς εἰς ὑμέναιον ἄγει τρίτος ἀρχὸν Ὀλύμπου·'
'τέτρατος εἰς Δανάην καλέει χρύσειον ἀκοίτην·'
'πέμπτος ἐπεντύνει Σεμέληι φλογεροὺς ὑμεναίους·
'αἰετὸν Αἰγίνηι πρόμον αἰθέρος ἕκτος ὀπάζει·'
'ἕβδομος Ἀντιόπην Σατύρωι δολόεντι συνάπτει·'
'ὄγδοος ἔμφρονα κύκνον ἄγει γυμνόχροϊ Λήδηι·'
'εἴνατος ἵππια λέκτρα φέρει Περραιβίδι Δίηι·'
'θέλγεται Ἀλκμήνης δεκάτωι τρισέληνος ἀκοίτης·'
'ἑνδέκατος μεθέπει νυμφεύματα Λαοδαμείης·'
'δωδέκατος τρισέλικτον Ὀλυμπιάδος πόσιν ἕλκει.'
7.129 ἀλλ' ὅτε πάντας ὄπωπεν Ἔρως στοιχηδὸν ἀφάσσων,
ἄλλους μὲν μεθέηκε πυριγλώχινας ὀιστούς,

31 ὀφρύσι θηρείηισιν ἐχέφρονα δάκρυα λείβω.
ἄγριοι ἄρτι γένεσθε κύνες πλέον· οὔ ποτε τόσσον Nonnus
ἅλματι λυσσήεντι κατεσσεύεσθε λεόντων.
αἴλινον Ἀκταίωνι, φίλαι, φθέγξασθε, κολῶναι,
ναί, λίτομαι, καὶ θῆρες ὁμοίιον· εἰπέ, Κιθαιρών,
Αὐτονόηι, τά περ εἶδες, Ἀρισταίωι δὲ τοκῆι
δάκρυσι πετραίοισιν ἐμὴν ἀγόρευε τελευτὴν
καὶ κύνας οἰστρηθέντας ἀφειδέας. ὤμοι ἀνάγκης,
αὐτὸς ἐμαῖς παλάμηισιν ἐμοὺς ἔθρεψα φονῆας.
αἴθε λέων μὲ δάμασσεν ὀρίδρομος, αἴθέ με σύρων
πόρδαλις αἰολόνωτος ἀνέσχισεν, αἴθέ με πικροῖς
ἀμφιπαγεῖς ὀνύχεσσιν ἀφειδέσι λυσσάδες ἄρκτοι
νεβροφανῆ χαροποῖσιν ἐδαιτρεύσαντο γενείοις,
μηδὲ κύνες με δάμασσαν ὁμήθεες· οὐκέτι μορφήν,
οὐκέτι γινώσκουσιν ἐμὴν ἑτερόθροον ἠχώ."
ἡμιθανὴς τάδ' ἔλεξε, καὶ οὐκ ἀίοντα λιτάων
θηρείηι κύνα μάργον ἐλίσσετο πενθάδι φωνῆι·
μύθους μὲν προέηκεν ἐχέφρονας, ἀντὶ δὲ φωνῆς
ἀνδρομέης κελάδησεν ἀσημάντου θρόος ἠχοῦς.
ἤδη δ' αὐτοτέλεστος ὀρεστιὰς ἵπτατο Φήμη
Αὐτονόηι βοόωσα κυνοσπάδα παιδὸς ἀνάγκην,
οὐ μὲν ὅπως ἐλάφοιο δασύτριχα δύσατο μορφήν,
ἀλλ' ὅτι μοῦνον ὄλωλε. φιλοστόργωι δὲ μενοινῆι
νήλιπος ἀκρήδεμνος ἱμάσσετο πένθεϊ μήτηρ·
καὶ πλοκάμους ἐδάιξεν, ὅλον δ' ἔρρηξε χιτῶνα,
πενθαλέοις δ' ὀνύχεσσιν ἑὰς ἐχάραξε παρειὰς L1[O]
αἵματι φοινίξασα, κατὰ στέρνοιο δὲ γυμνοῦ 𝔹
παιδοκόμων ἐρύθηνε φερέσβιον ἄντυγα μαζῶν
μνησαμένη τοκετοῖο· φιλοθρήνου δὲ προσώπου
δάκρυσιν ἀενάοισιν ἐλούσατο φάρεα νύμφη.
καὶ κύνες Ἀκταίωνος ἀπὸ σκοπέλοιο μολόντες
5 μῦθον ἐπιστώσαντο δυσάγγελον· ἠιθέου γὰρ
δάκρυσι σιγαλέοισιν ἐμαντεύοντο τελευτήν.
μυρομένους δ' ὁρόωσα πολὺ πλέον ἔστενε μήτηρ·
καὶ πολιὴν πλοκαμῖδα γέρων ἀπεκείρατο Κάδμος,
Ἁρμονίη δ' ἰάχησε· φιλοκλαύτων δὲ γυναικῶν
συμφερτὴ βαρύδουπος ὅλον δόμον ἔβρεμεν ἠχώ.
Αὐτονόη δ' ὁμόφοιτος Ἀρισταίωι παρακοίτηι
5 ἤιε μαστεύουσα πολύπλανα λείψανα νεκροῦ·
εἶδε καὶ οὐ γίνωσκεν ἐὸν γόνον, ἔδρακε μορφὴν
δαιδαλέης ἐλάφοιο καὶ οὐκ ἴδεν ἀνδρὸς ὀπωπήν,
πολλάκι δ' ἀγνώστοιο παρέστιχεν ὀστέα νεβροῦ
ἐν χθονὶ κεκλιμένοιο καὶ οὐ μάθεν· ὀλλυμένου γὰρ
παιδὸς ἑοῦ δοκέεσκεν ἰδεῖν βροτοειδέα μορφήν.
δύσμορον Αὐτονόην οὐ μέμφομαι· ἀλλοφυῆ γὰρ
λείψανα παιδὸς ὄπωπεν, ἀτεκμάρτου δὲ προσώπου
γαμφηλὰς ἐνόησε καὶ οὐκ ἴδε κύκλον ὀπωπῆς,
καὶ κεράων ἔψαυσε καὶ υἱέος οὐ μάθε κόρσην·
λεπταλέους πόδας εὗρε καὶ οὐκ ἐφράσσατο ταρσούς,
35 λεπταλέους πόδας εἶδε καὶ οὐκ ἴδε κύκλα πεδίλων.

δύσμορον Αὐτονόην οὐ μέμφομαι· οἰχομένου γὰρ
ὀφθαλμοὺς βροτέους οὐκ ἔδρακεν, οὐκ ἴδε μορφῆς
ἀνδρομέης ἴνδαλμα, καὶ οὐκ ἐνόησεν ἰούλων
ἄνθεϊ πορφυρέωι κεχαραγμένον ἀνθερεῶνα.
φοιταλέοις δὲ πόδεσσι διερχομένη ῥάχιν ὕλης
τρηχαλέης ἐπάτησε δυσέμβατα νῶτα κολώνης·
λυσιχίτων ἀπέδιλος· ὀριπλανέων δ' ἀπὸ μόχθων
νόστιμος εἰς δόμον ἦλθεν· ἐπ' ἀπρήκτωι δὲ μενοινῆι
ἀχνυμένη μόγις εὗδε σὺν αἰνοτόκωι παρακοίτηι.
ἄμφω δὲ σκιεροῖσιν ἐφωμίλησαν ὀνείροις,
ὄμμασιν ἁρπάξαντες ἀηδονίου πτερὸν Ὕπνου.
ψυχὴ δ' ἠιθέοιο κατηφέι πατρὶ παρέστη
στικτὸν ἔχων ἐλάφου σκιόεν δέμας, ἐκ βλεφάρων δὲ
ἔμφρονα δάκρυα χεῦε, καὶ ἀνδρομέηι φάτο φωνῆι·
"ὦ πάτερ, ὑπνώεις, καὶ ἐμὴν οὐκ οἶδας ἀνάγκην·
ἔγρεο καὶ γίνωσκε νόθην ἄγνωστον ὀπωπήν,
ἔγρεο καὶ πήχυνε φίλης ἐλάφοιο κεραίην,
καὶ κύσον ἔμφρονα θῆρα, τὸν Αὐτονόης τέκε γαστήρ.
αὐτὸν ὀπιπεύεις με, τὸν ἔτρεφες· ἀμφότερον γὰρ
δέρκεαι Ἀκταίωνα καὶ Ἀκταίωνος ἀκούεις.
εἰ παλάμην ποθέεις καὶ δάκτυλα παιδὸς ἀφάσσειν,
προσθιδίους σκοπίαζε πόδας, καὶ χεῖρα νοήσεις·
εἰ κεφαλὴν ποθέεις, κεφαλὴν ἐλάφοιο δοκεύοις·
εἰ βροτέους κροτάφους, δολιχὰς σκοπίαζε κεραίας·
εἰ πόδας Ἀκταίωνος, ὀπισθιδίην ἴδε χηλήν·
εἰ μελέων τρίχας εἶδες, ἐμοὶ γεγάασι χιτῶνες.
υἷα, πάτερ, γίνωσκε, τὸν οὐκ ἐσάωσεν Ἀπόλλων·
υἷα, πάτερ, στενάχιζε, τὸν οὐκ ἐφύλαξε Κιθαιρών.
ἀλλοφυῆ σέο παῖδα κατηφέι κεῦθε κονίηι·
μὴ τεὸν ἀκτερέιστον ὀλωλότα νεβρὸν ἐάσηις.
μή σε παραπλάγξειε νόθη καὶ ἄπιστος ὀπωπή·
αἴθε, πάτερ, με φύλαξας ἀήθεα θηροσυνάων·
οὐκ ἂν ἐγὼ πόθον εἶχον ἐρημάδος ἰοχεαίρης,
οὐκ ἂν ἐγὼ δέμας εἶδον Ὀλύμπιον. αἴθε δὲ κούρης
θνητῆς εἶχον ἔρωτα· χαμαιγενέας δὲ γυναῖκας
καλλείψας ἑτέροισι καὶ ὠκυμόρους ὑμεναίους
ἀθανάτην ἐπόθησα· χολωομένης δὲ θεαίνης
δεῖπνον ἐμῶν σκυλάκων γενόμην, πάτερ· εἰσὶ κολῶναι
μάρτυρες· εἰ σκοπέλοις οὐ πείθεαι, εἴρεο Νύμφας
Νηιάδας· δεδάασι δ' ἐμαὶ δρύες· ἰσοτύπους δὲ
θῆρας ἐμοὺς ἐρέεινε, καὶ οὓς ἐκάλεσσα νομῆας.
ἀλλά, πάτερ, πυμάτην πόρε μοι χάριν, ἀφραδέας δὲ
πένθος ἔχων φιλότεκνον ἐμοὺς μὴ κτεῖνε φονῆας,
παιδοφόνους οἴκτειρον ἀμεμφέας· ἡμετέραις γὰρ
θηρείαις ἀέκοντες ἀπεπλάγχθησαν ὀπωπαῖς.
τίς δὲ κύων ἐλάφου ποτὲ φείδεται; ἠὲ τίς ἀνὴρ
νεβροφόνοις σκυλάκεσσι χολώεται; ἆ πόσα δειλοὶ
κυκλάδας ἔνθα καὶ ἔνθα περιτροχόωσι κολώνας,
καὶ νέκυν ἰχνεύουσι, τὸν ἔκτανον· ἐκ βλεφάρων δὲ
δάκρυα μὲν προχέουσιν ἐχέφρονα, καὶ ποσὶν ἄκροις

οὐχ ὁράαις, ὅτι γαῖαν ὅλην οἴστρησεν Ἐννὼ
ὥριον ἀμώουσα ταχυφθιμένης στάχυν ἥβης;
οὔ πω λείψανα κεῖνα παρήλυθεν, ἐξ ὅτε φωτῶν
ἔκλυσας ἔθνεα πάντα, καὶ ἠερίου ῥόος ὄμβρου
ἠέρα κυμαίνων ἐπεπάφλασε γείτονι Μήνηι.
χαιρέτω ὠκυμόρων μερόπων βίος, ὧν ἐπὶ πότμωι
οὐρανίους οἴηκας ἀναίνομαι, οὐκέτι κόσμου
πεῖσμα κυβερνήσω· μακάρων δέ τις ἄλλος ἀρείων
πηδάλιον βιότοιο παλιννόστοιο δεχέσθω·
ἄλλος ἐμῶν ἐτέων ἐχέτω δρόμον· αἰνοπαθὲς γὰρ
οἰκτείρων ἐμόγησα πολυτλήτων γένος ἀνδρῶν.
ἄρκιον οὐ πέλε γῆρας, ὅ περ νεότητα μαραίνει
καὶ βραδὺν ἄνδρα τίθησι κάτω νεύοντι καρήνωι,
κυφὸς ὅτε τρομερῆισι περισσοπόδεσσι πορείαις
γηροκόμωι βαρύγουνος ἐρείδεται ἠθάδι βάκτρωι·
ἄρκιος οὐ πέλε πότμος, ὃς ἔκρυφε πολλάκι Λήθηι
νυμφίον ἀρτιχόρευτον ὁμόστολον ἥλικι νύμφηι,
συζυγίης ἀλύτοιο φερέσβια πείσματα λύσας.
οἶδα μέν, ὡς ἐρόεις πέλεται γάμος, ἧχι λιγαίνει
Πανιάδος σύριγγος ὁμόθροος αὐλὸς Ἀθήνης·
ἔμπης, ποῖον ὄνειαρ, ὅτε ζυγίωι παρὰ παστῶι
ἑπτατόνου φόρμιγγος ἀράσσεται ὄρθιος ἠχώ;
πηκτίδες οὐ λύουσι μεληδόνας· ἀλλὰ καὶ αὐτὸς
νυμφιδίην ἀχόρευτος Ἔρως ἀπεσείσατο πεύκην
τερπωλῆς χατέοντας ὀπιπεύων ὑμεναίους.
ἀλλὰ πολυκμήτων μερόπων ἐπίληθον ἀνίης
φάρμακον ἐρρίζωτο βιοσσόον· οὐράνιον γὰρ
οὐκ ὄφελέν ποτε κεῖνο πίθου κρήδεμνον ἀνοῖξαι
ἀνδράσι Πανδώρη γλυκερὸν κακόν. ἀλλὰ καὶ αὐτὸς
ἀνδρομέης κακότητος ἐπαίτιός ἐστι Προμηθεύς,
ὃς μογερῶν μερόπων ἐπικήδεται· ἀρχεκάκου γὰρ
ἀντὶ πυρὸς γλυκὺ νέκταρ, ὅ περ μακάρων φρένα τέρπει,
κλέψαι μᾶλλον ὄφελλε καὶ ἀνδράσι δῶρον ὀπάσσαι,
ὄφρα τεῶι σκεδάσειε ποτῶι μελεδήματα κόσμου.
ἀλλὰ λιπὼν βιότοιο πολυφλοίσβοιο μερίμνας
σὰς τελετὰς σκοπίαζε κατηφέας· ἦ ῥά σε θέλγει
ἀσπόνδων θυέων ἀνεμώλιος ἀτμὸς ἀλήτης;"
ὣς φαμένοιο γέροντος ἐπὶ χρόνον ἔμφρονι σιγῆι
μῆτιν ἑὴν ἐλέλιζεν ἀτέρμονα μητίετα Ζεύς·
καὶ φρενὸς ἡνία λῦσεν· ἐπασσυτέρηισι δὲ βουλαῖς
ἐγκεφάλου γονόεντος ἐδινεύοντο μενοιναί.
καὶ Κρονίδης Αἰῶνι θεηγόρον ἴαχε φωνὴν
ἄξονος ὀμφήεντος ὑπέρτερα θέσφατα φαίνων·
"ὦ πάτερ, ἀενάων ἐτέων αὐτόσπορε ποιμήν,
μὴ νεμέσα· βροτέη γὰρ ἀώριος οὔ ποτε λήγει
πληθομένη μινύθουσα φύσις, μίμημα σελήνης.
νέκταρ ἔα μακάρεσσι, καὶ ἀνδράσιν ἄλκαρ ἀνίης
αὐτοχύτωι γλυκὺν οἶνον ἐοικότα νέκταρι δώσω·
ἄλλο ποτὸν μερόπεσσιν ἐφάρμενον· ἀρχέγονος δὲ
ἄχνυται εἰσέτι κόσμος, ἕως ἕνα παῖδα λοχεύσω.

καί ποτε διψαλέοιο πυραυγέι καύματος ἀτμῶι
καρφαλέης φεύγουσα μεσημβρινὸν ἴχνιον Ὥρης
κερκίδος ἱστοπόνων καμάτων ἀμπαύετο κούρη,
καὶ διεροὺς ἱδρῶτας ἀποσμήξασα προσώπου,
σφιγγομένην στέρνοισι σαόφρονα λύσατο μίτρην,
καὶ χρόα λυσιπόνοισι καθικμαίνουσα λοετροῖς
πηγαίωι πεφόρητο καταψύχοντι ῥεέθρωι,
νήματα καλλείψασα πεπαρμένα Παλλάδος ἱστῶι.
οὐδὲ Διὸς λάθεν ὄμμα πανόψιον· ἀσκεπέος δὲ
λουομένης ὅλον εἶδος ἐδέρκετο Περδεφονείης·
οὐ τόσον ἱμείρων ἐπεμήνατο Κυπρογενείηι,
ἣν ποθέων ἀκίχητα γονὴν ἔσπειρεν ἀρούρηι
θερμὸν ἀκοντίζων αὐτόσσυτον ἀφρὸν Ἐρώτων,
ἔνθεν ἀεξιτόκοιο Κεραστίδος ἔνδοθι Κύπρου
Φηρῶν εὐκεράων διδυμόχροος ἤνθεε φύτλη.
καὶ μεδέων κόσμοιο καὶ οὐρανὸν ἡνιοχεύων
εἰς πόθον αὐχένα κάμψεν ὁ τηλίκος· οὐδὲ κεραυνοί,
οὐ στεροπὴ χραίσμησε κορυσσυμένης Ἀφροδίτης·
Ἥρης δ’ οἶκον ἔλειπε, λέχος δ’ ἀπέειπε Διώνης,
Δηοῦς ῥῖψεν ἔρωτα, Θέμιν φύγε, κάλλιπε Λητώ,
5.621 ✦ μούνης δ’ εἰς ὑμέναιον ἐθέλγετο Περσεφονείης.
7.1 Ἤδη δ’ ἀενάοιο βίου παλιναυξέι καρπῶι
ἄρσενα θηλυτέρηι γόνιμον σπόρον αὔλακι μίξας
ἄσπορον ἤροσε κόσμον Ἔρως, φιλότητος ἀροτρεύς·
καὶ φύσις ἐρρίζωτο, τιθηνήτειρα γενέθλης,
L2[O] καὶ χθονὶ πῦρ κεράσασα καὶ ἠέρι σύμπλοκον ὕδωρ
𝔹 ἀνδρομέην μόρφωσε γονὴν τετράζυγι δεσμῶι.
ἀλλὰ βίον μερόπων ἑτερότροπος εἶχεν ἀνίη
ἀρχόμενον καμάτοιο καὶ οὐ λήγοντα μερίμνης.
καὶ Διὶ παμμεδέοντι δυηπαθέων γένος ἀνδρῶν
ἄμμορον εὐφροσύνης ἐπεδείκνυε σύντροφος Αἰών·
οὔ πω γὰρ τοκετοῖο λεχώια νήματα λύσας
Βάκχον ἀνηκόντιζε πατὴρ ἐγκύμονι μηρῶι,
ἀνδρομέης ἄμπαυμα μεληδόνος· οὐ τότε λοιβὴ
ἠερίους ἐμέθυσσε πόρους εὐώδεϊ καπνῶι
οἰνοβαφής, στεφάνους δὲ θεῶν λειμωνίδι ποίηι
θυγατέρες λυκάβαντος ἀτερπέες ἔπλεκον Ὧραι·
οἴνου γὰρ χρέος ἦεν· ἀβακχεύτου δὲ χορείης
✦ ἡμιτελὴς ἀνόνητος ἔην χάρις· ἀγρομένων γὰρ
ὄμματα μοῦνον ἔθελγεν, ὅτε στροφάδεσσιν ἐρωαῖς
ὀρχηστὴρ πολύκυκλος ἑλίσσετο λαίλαπι ταρσῶν,
νεύματα μῦθον ἔχων, παλάμην στόμα, δάκτυλα φωνήν.
ἀλλὰ Διὸς πετάσας ἐπὶ γούνασι λευκάδα χαίτην
Αἰὼν ποικιλόμορφος, ἔχων κληῖδα γενέθλης,
ἱκεσίης ὀρέγων κεχαλασμένον ὁλκὸν ὑπήνης,
εἶχε λιτάς· δαπέδωι δὲ καθελκομένοιο καρήνου
ἐκταδίην ἔθλιψε ῥάχιν κυρτούμενος αὐχήν·
καὶ ποδὸς ὀκλάζοντος ἀτέρμονα χεῖρα τιταίνων
ἀενάου βιότοιο γέρων ἐφθέγξατο ποιμήν·
7.29 “Ζεῦ ἄνα, καὶ σὺ δόκευε κατηφέος ἄλγεα κόσμου·

δίκτυα πηχύνουσι φιλοστόργωι τινὶ θεσμῶι
ἀνδράσιν ἀχνυμένοισιν ἐοικότες, ἡμετέρηι δὲ
πενθαλέαις ὑλακῇσιν ἐπικλαίουσι χαμεύνηι.
ναί, λίτομαι, μὴ κτεῖνε γοήμονας· ἡμετέρου γὰρ
δέρματα λαχνήεντος ἐθηήσαντο προσώπου,
οὐδὲ λιταῖς πείθοντο, καὶ οὐκ ἀνέκοψαν ὀδόντας
ἀλλοίης ἀίοντες ἐμῆς μυκήματα φωνῆς,
καὶ κινυροῖς στομάτεσσιν ἐμὴν ἐρέεινον ἐρίπνην·
‘σήμερον Ἀκταίωνα τίς ἥρπασεν, εἴπατε, πέτραι,
πῆι δρόμον ἀμφιέπει κεμαδοσσόον, εἴπατε, Νύμφαι.’
τοῖα κύνες φθέγξαντο· καὶ ἀντιάχησε κολώνη·
‘τίς κεμὰς οὐρεσίφοιτος ἔχει κεμαδοσσόον ἄγρην;
οὐκ ἔλαφον πυθόμην ἐλαφηβόλον· ἀλλοφυὴς δὲ
Ἀκταίων μετάμειπτο καὶ ἔπλετο νεβρὸς ἐχέφρων,
ὅς ποτε θῆρας ἔπεφνεν· ὑπ’ ἀνδροφόνωι δὲ καὶ αὐτὸς
Ἀγρέος αἷμα φέρων ἀγρεύεται ἰοχεαίρηι.’
τοῖα μὲν ἀχνυμένων σκυλάκων ἐβόησαν ἐρίπναι.
πολλάκι δ’ Ἄρτεμις εἶπεν ἐμῶι μαστῆρι φονῆι·
‘λῆγε, κύων βαρύμοχθε, πολυπλανὲς ἴχνος ἑλίσσων·
δίζεαι Ἀκταίωνα, τὸν ἔνδοθι γαστρὸς ἀείρεις,
δίζεαι Ἀκταίωνα, τὸν ἔκτανες· ἢν ἐθελήσηις,
ὄψεαι ὀστέα μοῦνα τεῆς ἔτι λείψανα φορβῆς.’
ἀλλά, πάτερ, κατὰ κόσμον ἐμὸν μόρον εἰς σὲ βοήσω.
θάμνος ἔην τανύφυλλος, ὁ μὲν φυλίης, ὁ δ’ ἐλαίης·
δειλὸς ἐγώ· φυλίης γὰρ ἐπώνυμον ἔρνος ἐάσας
πρέμνον ἐς ἀγχικέλευθον ἀνέδραμον ἁγνὸν ἐλαίης L2[O]
Ἀρτέμιδος χρόα γυμνὸν ἀθηήτοιο δοκεύων. 𝔹
ἀασάμην· διδύμην γὰρ ἀτάσθαλον ὕβριν ἀέξων
Παλλάδος εἰς φυτὸν ἦλθον, ἰδεῖν δέμας ἰοχεαίρης
τολμηροῖς βλεφάροισιν, ὅθεν βαρύμηνις ἀπειλὴ
ἔχραεν Ἀκταίωνι καὶ Ἀρτέμιδος καὶ Ἀθήνης.
ἄρτι γὰρ ἱδρώουσα πυραυγέι καύματος ἀτμῶι
Ἄρτεμις εὐκαμάτοιο μετὰ δρόμον ἠθάδος ἄγρης
λούετο μὲν καθαροῖσιν ἐν ὕδασι, λουομένης δὲ
ὀφθαλμοὺς ἀμάρυσσεν ἐμοὺς ἀντώπιος αἴγλη
χιονέας ἀκτῖνας ἀκοντίζουσα ῥεέθροις·
φαίης δ’, ὡς παρὰ χεῦμα παλίμπορον Ὠκεανοῖο
ἑσπερίη σελάγιζε δι’ ὕδατος ὄμπνια Μήνη.
Νηιάδες δ’ ὀλόλυξαν ὁμήλυδες· ἴαχε Λοξὼ
σύνθροον Οὖπιν ἔχουσα, γαληναίωι δὲ ῥεέθρωι
νηχομένην ἀνέκοψε κασιγνήτην Ἑκαέργην.
καὶ ζόφος ἠερόφοιτος ἐμὰς ἐκάλυψεν ὀπωπάς·
ἐκ δὲ φυτοῦ προκάρηνος ἐπωλίσθησα κονίηι,
καὶ λάχον ἐξαπίνης δέμας αἰόλον, ἀντὶ δὲ μορφῆς
ἀνδρομέης ἄγνωστον ἐμὸν δέμας ἔσκεπε λάχνη,
καὶ κύνες ἀγρευτῆρες ὁμῶς ἐχάραξαν ὀδόντας.
σιγήσω τάδε πάντα· τί δεύτερον ἄλγος ἐνίψω;
μή σε καὶ ὑπνώοντα πάλιν στοναχῇσι πελάσσω.
πολλάκι δένδρον ἐκεῖνο παρέστιχες, ὁππόθι κεῖται
λείψανον Ἀκταίωνος, ὑπὲρ δαπέδου δὲ λυθέντα 5.500

πολλάκι δαιδαλέοιο παρήλυθες ὀστέα νεβροῦ
οἰκτρὰ πολυβρώτων μελέων, μεμερισμένα γαίῃ,
ἀλλήλων ἀπάνευθεν. ἐγὼ δέ σοι ἄλλο βοήσω
πιστὸν ἐμοῦ θανάτου σημήιον· ἀρχεκάκου γὰρ
ὄψεαι ἰοδόκην καὶ ἐμὸν βέλος ἐγγύθι δένδρου,
εἰ μὴ καὶ πτερόεντες ἐμορφώθησαν ὀιστοί,
εἰ μὴ χωομένη πάλιν Ἄρτεμις εἰς φυτὸν ὕλης
τόξον ἐμὸν μετάμειψεν, ἐμὴν δ᾽ ἤλλαξε φαρέτρην.
ὄλβιος Ὦτος ἔην, ὅτι μὴ πέλε νεβρὸς ἀλήτης·
οὐ κύνες Ὠρίωνα κυνοσσόον {...} αἴθε καὶ αὐτὸν
σκορπίος Ἀκταίωνα κατέκτανεν ὀξέι κέντρῳ.
δειλὸς ἐγώ· κενεὴ γὰρ ἐμὸν νόον ἤπαφε φήμη·
εἰσαΐων δ᾽, ὅτι Φοῖβος, ἀδελφεὸς ἰοχεαίρης,
Κυρήνῃ παρίαυεν, ἐμὸν δ᾽ ἔσπειρε τοκῆα,
Ἄρτεμιν ᾠισάμην ἐμφύλιον εἰς γάμον ἕλκειν.
καὶ πάλιν εἰσαΐων, ὅτι νυμφίον ἀργέτις Ἠὼς
ἥρπασεν Ὠρίωνα καὶ Ἐνδυμίωνα Σελήνη,
καὶ βροτὸν Ἰασίωνα πόσιν προσπτύξατο Δηώ,
ᾠισάμην, ὅτι τοῖος ἔην νόος ἰοχεαίρης.
ἀλλά, πάτερ, κτερέιζε νόθην κεραελκέα μορφήν,
◆ μηδὲ λίπῃς ἑτέροισι κυσὶν μέλπηθρα γενέσθαι.
ἢν δὲ κατακρύψῃς ἐμὰ λείψανα κοιλάδι γαίῃ,
δῶρον ἐμοὶ καὶ τοῦτο χαρίζεο, τόξα καὶ ἰοὺς
πῆξον ἐμὸν παρὰ τύμβον, ὅ περ γέρας ἐστὶ θανόντων.
ἀλλὰ βέλος καὶ τόξον ἔα, πάτερ, ὅττι βελέμνοις
L2[I] τέρπεται ἰοχέαιρα καὶ ἀγκύλα τόξα τιταίνει.
𝔹 ζωύτυπον δ᾽ ἱκέτευε πολύτροπον, ὄφρα χαράξῃ
στικτὸν ἐμὸν νόθον εἶδος ἀπ᾽ αὐχένος εἰς πόδας ἄκρους·
μοῦνον ἐμοῦ βροτέοιο τύπον τεύξειε προσώπου,
πάντες ἵνα γνώωσιν ἐμὴν ψευδήμονα μορφήν.
μὴ δέ, πάτερ, γράψειας ἐμὸν μόρον· οὐ δύναται γὰρ
δακρυχέειν ἐμὸν εἶδος ὁμοῦ καὶ πότμον ὁδίτης."
εἶπεν ὀνειρείη νοερὴ κεμάς, ἀπροΐδης δὲ
ᾤχετο πωτήεσσα· καὶ Αὐτονόης παρακοίτης
ἄνθορεν ὀμφήεντος ἀπορρίψας πτερὸν Ὕπνου.
ἐκ λεχέων δὲ δάμαρτα πολυπτοίητον ἐγείρας
πέφραδε θηρείην κεραελκέα παιδὸς ὀπωπήν,
καὶ μύθους ἀγόρευεν, ὅσους φάτο νεβρὸς ἐχέφρων.
καὶ γόος ἔπλετο μᾶλλον· Ἀρισταίοιο δὲ νύμφη
ἤιε μαστεύουσα τὸ δεύτερον, ἀχνυμένη δὲ
πυκνὰ τανυπρέμνοιο διέστιχεν ἔνδια λόχμης·
καὶ κραναῶν στείβουσα δυσέμβατα κύκλα κελεύθων
κεῖνο μόγις φυτὸν εὗρε μιαιφόνον, εὗρε καὶ αὐτὴν
ἰοδόκην καὶ τόξον ἐρημαίῳ παρὰ δένδρῳ.
ὀστέα δ᾽ ἔνθα καὶ ἔνθα χυτῇ μεμερισμένα γαίῃ,
λείψανα πεπτηῶτα, μόγις συνελέξατο μήτηρ,
καὶ φιλίῃ παλάμῃ γλυκερὴν πήχυνε κεραίην,
Nonnus καὶ κύσεν αἰνομόροιο δασύτριχα χείλεα νεβροῦ.
ὀξὺ δὲ κωκύουσα νέκυν τυμβεύσατο μήτηρ,
πάντα δέ οἱ παρὰ τύμβον ἐπέγραφεν, ὅσσα τοκῆι

34 (20C) ἔννυχος Ἀκταίωνος ὀνειρείῃ φάτο φωνή.
ὄφρα μὲν ἔβρεμε πένθος Ἀρισταίοιο μελάθρῳ,
τόφρα δὲ καλλίστερνος Ἐχίονι τίκτεν Ἀγαύη
Γηγενέος θρασὺν υἷα θεημάχον· ἀρτιφάτου δὲ
πένθεος ἱσταμένοιο φερώνυμος ἔπλετο Πενθεύς.
καὶ Νεφέλης μετὰ λέκτρα, μετὰ προτέρους ὑμεναίους
εἰς θαλάμους Ἀθάμαντος ἐκώμασε παρθένος Ἰνώ·
αἰνοπαθῆ δὲ Λέαρχον ἐγείνατο καὶ Μελικέρτην
ποντιὰς ἐσσομένη μετανάστιος, οἷα τιθήνη
παιδοκόμος Βρομίοιο φερέσβιος· ἀμφοτέροις γὰρ
μαζὸν ἕνα ξύνωσε Παλαίμονι καὶ Διονύσῳ.
καὶ Σεμέλη πεφύλακτο φαεινοτέροις ὑμεναίοις·
ἤδη γὰρ μενέαινε νέον Διόνυσον ἀέξειν,
ταυροφυὲς μίμημα παλαιγενέος Διονύσου,
αἰνομόρου Ζαγρῆος ἔχων πόθον ὑψιμέδων Ζεύς,
ὃν τέκε Περσεφόνεια δρακοντείῃ Διὸς εὐνῇ
σύγγαμος οὐδαίοιο μελαγχλαίνου βασιλῆος,
Ζεὺς ὅτε πουλυέλικτος, ἔχων ψευδήμονα μορφήν,
μείλιχος ἱμερόεντι δράκων κυκλούμενος ὁλκῷ
Περσεφόνης σύλησεν ἀνυμφεύτοιο κορείην
κευθομένης, ὅτε πάντες, ὅσοι ναετῆρες Ὀλύμπου,
παιδὶ μιῇ θέλγοντο καὶ ἀγχιγάμου περὶ κούρης
Κυπριδίην ἔριν εἶχον ἀσυλήτων ὑμεναίων
δωροφόροι· μή πω δὲ μολὼν ἐπὶ δέμνια Πειθοῦς
ῥάβδον ἑὴν ἐτίταινε γέρας θαλαμηπόλον Ἑρμῆς,
ὤρεγε δ᾽ ἕδνα γάμοιο λύρην εὔυμνον Ἀπόλλων, L2[I]
καὶ δόρυ καὶ θώρηκα γαμήλιον ὤπασεν Ἄρης 𝔹
ἀσπίδα δῶρον ἄγων νυμφήιον, εὐκελάδου δὲ
Λήμνιος ἀρτιτέλεστον ἔτι πνείοντα καμίνου
ποικίλον ὅρμον ἔτεινε πολύχροον ἀμφιγυήεις·
ἤδη γὰρ προτέρην ἀέκων ἠρνήσατο νύμφην
8 (4C) Ἀρεϊ βακχευθεῖσαν ὀπιπεύων Ἀφροδίτην·
δείκνυε καὶ μακάρεσσι γαμοκλόπον ἅρπαγα λέκτρων,
ἀγγελίῃ Φαέθοντος ἀραχναίῳ τινὶ δεσμῷ
γυμνῇ γυμνὸν Ἄρηα περισφίγξας Ἀφροδίτῃ.
Ζεὺς δὲ πατὴρ πολὺ μᾶλλον ἐθέλγετο Περσεφονείῃ·
καὶ Διὶ παπταίνοντι φυῆς εὐπάρθενον ἥβην
ὀφθαλμὸς προκέλευθος ἐγίνετο πομπὸς Ἐρώτων,
8 Περσεφόνης ἀκόρητος· ὑπὸ κραδίην δέ οἱ αἰεὶ
λαίλαπες ἐρροίζησαν ἀκοιμήτοιο μερίμνης·
καὶ Παφίης κατὰ βαιὸν ἀνήπτετο μείζονι πυρσῷ
ἐξ ὀλίγου σπινθῆρος· ἐπ᾽ εὐκόλπῳ δὲ θεαίνῃ
Ζηνὸς ἐρωμανέοντος ἐδουλώθησαν ὀπωπαί.
καί ποτε χαλκὸν ἔχουσα διαυγέα τέρπετο κούρη
κάλλεος ἀντιτύποιο δικασπόλον, αὐτομάτῳ δὲ
σιγαλέῳ κήρυκι τύπον πιστώσατο μορφῆς
ψευδαλέον σκιόεντι δέμας κρίνουσα κατόπτρῳ.
μιμηλὴν δ᾽ ἐγέλασσεν ἐς εἰκόνα· Περσεφόνη δὲ Nonnus
αὐτοχάρακτον ἄγαλμα διοπτεύουσα προσώπου
ψευδομένης νόθον εἶδος ἐδέρκετο Περσεφονείης·

κερδαλέην Ἀπάτην διζημένη, εἴ που ἐφεύροι.
ἀλλ' ὅτε Δικταίης Κορυβαντίδος ὑψόθι πέτρης
γείτονος Ἀμνισοῖο λεχώιον ἔδρακεν ὕδωρ,
ἔνθά οἱ ἀλλοπρόσαλλος ὀρεστιὰς ἤντετο δαίμων·
καὶ γὰρ ἀεὶ παρέμιμνε Διὸς ψευδήμονι τύμβωι
◆ τερπομένη Κρήτεσσιν, ἐπεὶ πέλον ἠπεροπῆες.
ἀμφὶ δέ οἱ λαγόνεσσι Κυδωνιὰς ἔρρεε μίτρη,
τῆι ἔνι δαίδαλα πάντα βροτῶν θελκτήρια κεῖται·
ἐν μὲν ἐπικλοπίη πολυμήχανος, ἐν δ' ὀαριστὺς
πάρφασις, ἐν δὲ δόλοι πολυειδέες, ἐν δὲ καὶ αὐτὸς
σύνδρομος ἠερίοις ἀπατήλιος ὅρκος ἀήταις.
καὶ δολίην Ἀπάτην δολίωι μειλέξατο μύθωι
Ἥρη ποικιλόμητις, ἀμυνομένη παρακοίτην·
"χαῖρε, θεὰ δολόμητι δολοπλανές· οὔ σε καὶ αὐτὸς
κλεψινόοις ὀάροισι παρέρχεται αἱμύλος Ἑρμῆς·
δὸς καὶ ἐμοὶ ζωστῆρα παναίολον, ὅν ποτε Ῥείη
δῆσεν ἑαῖς λαγόνεσσιν, ἕως ἀπάφησεν ἀκοίτην.
οὐ μὲν ἐγὼ Κρονίωνι φέρω πετρώδεα μορφήν,
οὐδὲ λίθωι δολόεντι παρακλέπτω παρακοίτην,
ἀλλὰ γυνὴ χθονίη με βιάζεται, ἧς χάριν εὐνῆς
θοῦρος Ἄρης βαρύμηνις ἀναίνεται αἰθέρα ναίειν.
τί πλέον, εἰ γενόμην θεὸς ἄμβροτος; οὐτιδανὴ γὰρ
θνητὴ ἐμὸν πόσιν ἔσχε, τὸν οὐ θεὸς ἥρπασε Λητώ·
οὐ Δανάηι παρίανε τὸ δεύτερον ὑέτιος Ζεύς,
ἀλλὰ σιδηροφόροιο μετὰ σφρηγῖδα μελάθρου
L1[O] μεμφομένη χρυσέοισι γάμοις ναυτίλλετο νύμφη,
καὶ λάχεν ἕδνον Ἔρωτος ὕδωρ ἁλός· ἐν δὲ θαλάσσηι
σύμπλοος ἀσταθέεσσιν ἐνήχετο χηλὸς ἀήταις.
οὐδὲ μετὰ Κρήτην πάλιν ἔπλεε ταῦρος Ὀλύμπου,
οὐκ ἴδεν Εὐρώπην μετὰ δέμνιον· ὑγροβαφὴς δὲ
οἰστρηθεῖσα μύωπι κερασφόρος ἔπλεεν Ἰώ.
οὐδὲ θεὰ γάμον εἶχεν ἐλεύθερον, ἀλλὰ καὶ αὐτὴ
γαστέρι φόρτον ἔχουσα πολύστροφος ἔτρεχε Λητώ,
ἄστατα παπταίνουσα πολυπλανέων σφυρὰ νήσων
καὶ ῥόον οὐ μίμνοντα κακοξείνοιο θαλάσσης,
καὶ λοχίης μόγις εἶδεν ἐλεύθερον ἔρνος ἐλαίης.
Λητὼ τόσσα μόγησε, καὶ οὐ χραίσμησεν ἀκοίτης·
8.150 θνητῆς δ' ὠκυμόροιο μιῆς διὰ δέμνια νύμφης
οὐρανίης ἀπέειπε κασιγνήτης λέχος Ἥρης.
δείδια, μὴ Κρονίδης με πόσις καὶ γνωτὸς ἀκούων
αἰθέρος ἐξελάσειε γυναικείης χάριν εὐνῆς,
μὴ Σεμέλην τελέσειεν ἑοῦ βασίλειαν Ὀλύμπου.
εἰ δὲ Διὶ Κρονίωνι χαρίζεαι, ἠέ περ Ἥρηι,
μηδὲ τεὴν ὀπάσειας ἐμοὶ πανθελγέα μίτρην,
ὄφρα μόληι πρὸς Ὄλυμπον ἐμὸς πάλιν υἱὸς ἀλήτης,
ὑστατίην ἐπὶ πέζαν ἐλεύσομαι Ὠκεανοῖο
αἰθέρα καλλείψασα χάριν βροτέων ὑμεναίων
Τηθύος ἀρχεγόνοιο συνέστιος· ἔνθεν ἱκάνω
εἰς δόμον Ἁρμονίης, καὶ Ὀφίονος ἐγγύθι μίμνω.
8.162 ἀλλὰ σύ, κυδαίνουσα Διὸς παμμήτορα νύμφην,
δός μοι ἔχειν ζωστῆρα βοηθόον, ὄφρα φυγόντα

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

Look for marvels in the sixth, where in honouring Zagreus, all the settlements of earth were drowned by Rainy Zeus.

NONNUS

DIONYSIACA

BOOK 6

PREVIEW BOOK 8

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 338 lines 3.0
3L 1 - 338

PRINT 2-SIDED: 39 to 44

Οὐδὲ πατὴρ τότε μοῦνος ἔχεν πόθον· ἀλλὰ καὶ αὐτοὶ
ἓν βέλος ἶσον ἔχοντες, ὅσοι ναετῆρες Ὀλύμπου,
Δηώιης ὑμέναιον ἐεδνώσαντο θεαίνης.
ἔνθα σέλας ῥοδέοιο διαλλάξασα προσώπου
ἄλγεσι κυμαίνοντα νόον μαστίζετο Δηώ·
καὶ κεφαλῆς γονόεσσαν ἀπεσφήκωσε καλύπτρην,
αὐχενίης λύσασα καθειμένα βόστρυχα χαίτης,
παιδὶ περιφρίσσουσα· βαρυνομένης δὲ θεαίνης
δάκρυσιν αὐτοχύτοισι καθικμαίνοντο παρειαί,
ὅττι τόσους μνηστῆρας ἐνὶ φλογόεντι βελέμνωι
εἰς ἔριν οἰστρηθέντας ὁμοζήλων ὑμεναίων
ξυνὸς Ἔρως βάκχευεν, ἁμιλλητῆρας Ἐρώτων·
πάντας μὲν τρομέεσκε, τὸ δὲ πλέον ὄμπνια μήτηρ
παιδὸς ἔχειν Ἥφαιστον ἐδείδιε χωλὸν ἀκοίτην.
καὶ δόμον Ἀστραίοιο μετέστιχεν εὔποδι ταρσῶι,
δαίμονος ὀμφήεντος· ὀπισθοπόρων δὲ κομάων
ἄπλοκον ἀσταθέεσσιν ἐσείετο βόστρυχον αὔραις.
τὴν μὲν ἰδὼν ἤγγειλεν Ἑωσφόρος· εἰσαΐων δὲ
ὦρτο γέρων Ἀστραῖος· ὁ μὲν γραμμῆισι χαράσσων
κυανέην ἐνέπασσε κόνιν περὶ νῶτα τραπέζης,
καὶ τυπόων ἑλικηδὸν ὑπ' ἀγκυλόδοντι σιδήρωι
πυθμένα τετράπλευρον ἐπέγραφεν αἴθοπι τέφρηι,
καὶ τύπον ἄλλον ἔτευξεν ἰσογλώχινι τριγώνωι.
ἀλλὰ τὰ μὲν μεθέηκε καὶ ἤλυθεν ἄγχι θυράων
ἀντιόων Δήμητρι· διεσσυμένων δὲ μελάθρου
Ἕσπερος ἡγεμόνευε, καὶ εἰς θρόνον ἵδρυε Δηὼ
πατρὸς ἑοῦ παρὰ θῶκον· ὁμοστόργωι δὲ μενοινῆι
νεκταρέου κεράσαντες ἀπὸ κρητῆρος Ἀῆται
δαίμονα λυσιπόνοισιν ἐδεικανόωντο κυπέλλοις
υἱέες Ἀστραίοιο· πιεῖν δ' ἠρνήσατο Δηὼ
Περσεφόνης μεθύουσα μεληδόνι· μουνοτόκοι γὰρ
τηλυγέτους διὰ παῖδας ἀεὶ τρομέουσι τοκῆες·
ἀλλὰ μόγις παρέπεισεν ἀναινομένην ἔτι Δηὼ
ἡδυεπὴς Ἀστραῖος ἔχων θελξίφρονα πειθώ.
ἔνθα γέρων μέγα δεῖπνον ἐπήρτυεν, ὄφρα μερίμνας
θυμοδακεῖς Δήμητρος ἀποσκεδάσειε τραπέζηι.
καὶ πίσυρες λαγόνεσσι καθαψάμενοι τελαμῶνας
πατρὸς ὑποδρηστῆρες ἐμιτρώθησαν Ἀῆται·
νεκταρέωι δὲ κύπελλα παρὰ κρητῆρι τιταίνων
Εὖρος ἐωινοχόει, προχόωι δ' ἐπιδόρπιον ὕδωρ
εἶχε Νότος, Βορέης δὲ φέρων ἐπέθηκε τραπέζηι
ἀμβροσίην, Ζέφυρος δὲ περιθλίβων θρόον αὐλοῦ
εἰαρινοῖς δονάκεσσι μελίζετο θῆλυς Ἀήτης·
καὶ στεφάνους ἔπλεξεν Ἑωσφόρος ἄνθεα δήσας
ὀρθρινοῖς κομόωντα δροσιζομένοισι κορύμβοις·
καὶ νυχίου λαμπτῆρος ἐθήμονα πυρσὸν ἀείρας
Ἕσπερος ὀρχηστῆρι ποδῶν ἐλελίζετο ταρσῶι
πάλλων καμπύλον ἴχνος, ἐπεὶ πέλε πομπὸς Ἐρώτων,
καὶ σκαρθμῶι μεμέλητο χοροπλεκέων ὑμεναίων.
ἀλλ' ὅτε δὴ μετὰ δαῖτα θεὰ κεκόρητο χορείης

Θρήικην ναιετάων οὐ μητέρος ἄλγεα λεύσσω
ἀχνυμένης, οὐ Ζῆνα γαμοκλόπον· εἰ δέ ποτ' ἔλθηι
γαῖαν ἐς ἡμετέρην ποθέων Βιστωνίδα κούρην,
γνώσεται, οἷος Ἄρης, ὅτε χώεται· ἡμετέρην γὰρ
Τιτήνων ὀλέτειραν ἔχων θανατηφόρον αἰχμὴν
ἐκ Θρήικης Κρονίωνα γυναιμανέοντα διώξω·
καὶ πρόφασιν μεθέπων, ὅτι παρθένον εἰς λέχος ἕλκει,
ἔσσομαι αὐτοκέλευστος ἐμῆς τιμήορος εὐνῆς,
ὅττι χαμαιγενέεσσιν ὁμιλήσας ὑμεναίοις
αἰθέρα ποικιλόνωτον ἑῶν ἔπλησεν ἐρώτων.
οὐρανὸς ἱλήκοι, μερόπων δόμος· ἄξονα βαίνω;
Καλλιστὼ κατ' Ὄλυμπον ἑλίσσεται, ἧχι φαείνει
κύκλος ἀερσιλόφοιο φερώνυμος Ἀρκάδος Ἄρκτου.
Πλειάδος ἑπταπόρου στυγέω δρόμον· ἐν γὰρ Ὀλύμπωι
Ἠλέκτρη κλονέει με συναστράπτουσα Σελήνηι.
νῦν πόθεν ἠρεμέεις; ὑποκόλπιον υἱέα Λητοῦς
ἤκαχες Ἀπόλλωνα, καὶ οὐ Διόνυσον ὀρίνεις;
τικτομένης, Ἥφαιστε, μογοστόκε Τριτογενείης,
υἷα νόθης ἀλόχοιο λοχεύσεται αὐτοτόκος Ζεὺς
ὠδίνων τόκον ἄλλον ὑπέρτερον ἄρσενι μηρῶι,
οὐδὲ τεοῦ βουπλῆγος ἔτι χρέος. εἶξον, Ἀθήνη,
λῆγε Διὸς βοόωσα λεχώιον ἄντυγα κόρσης,
ὅττι σοφὴν ὠδῖνα τελεσσιγόνοιο καρήνου
αἰσχύνει Διόνυσος, ὅτι χθονίης ἀπὸ φύτλης
ἔσσεται αὐτολόχευτος Ὀλύμπιος, ὥς περ Ἀθήνη,
κρύπτων Παλλάδος εὖχος ἀμήτορος. ἀλλὰ καὶ αὐτὸς
αἰδέομαι πολὺ μᾶλλον, ὅταν μερόπων τις ἐνίψηι·
'Ζεὺς πόρε δῆριν Ἄρηι καὶ εὐφροσύνην Διονύσωι.'
ἀλλὰ πόλον Κρονίδαο νόθοις τεκέεσσιν ἐάσας
ἵξομαι οὐρανόθεν μετανάστιος· ὑγροπαγὴς δὲ
Ἴστρος ἐὸν σκηπτοῦχον ἀλητεύοντα δεχέσθω,
πρὶν Διὸς οἰνοχόον Γανυμήδεα δεῦρο νοήσω,
βουκόλον εὐχαίτην, μετὰ Πέργαμον ἀστὸν Ὀλύμπου,
οὐρανίης ἄψαυστον ἀμειβόμενον δέπας Ἥβης,
πρὶν Σεμέλην καὶ Βάκχον ἴδω ναετῆρας Ὀλύμπου,
καὶ στέφος ἀστερόφοιτον ἐπιχθονίης Ἀριάδνης
σύνδρομον Ἠελίοιο, συνέμπορον ἠριγενείης.
κεῖθι μένω, μὴ Κῆτος ἴδω, μὴ Περσέος ἅρπην,
μὴ τύπον Ἀνδρομέδης, μὴ Γοργόνος ὄμμα Μεδούσης,
οὓς Κρονίδης μετόπισθεν ἐνιστήσειεν Ὀλύμπωι."
εἶπε, καὶ αὐτογόνοιο νόον συνέχευεν Ἀθήνης,
καὶ πλέον ἠέξησε βαρυζήλου χόλον Ἥρης.
καὶ Φθόνος ὀξὺς ὄρουσε, καὶ ἀγκύλα γούνατα πάλλων
ἤιε λοξὰ κέλευθα δι' ἠέρος· ἀνδρομέοις δὲ
ὄμμασι καὶ πραπίδεσσιν ὁμοίιος ἔσσυτο καπνῶι,
εἰς δόλον, εἰς κακότητα νόον τελχῖνα κορύσσων.
οὐδὲ Διὸς βαρύμηνις ἐλώφεεν εὐνέτις Ἥρη·
ἀλλὰ θυελλήεντι παραΐξασα πεδίλωι
ποικίλον εὐφαέεσσι κεκασμένον οὐρανὸν ἄστροις
ἄσπετα φοιτητῆρι διέδραμεν ἄστεα ταρσῶι,
κερδαλέην Ἀπάτην διζημένη, εἴ που ἐφεύροι.

Nonnus

καὶ βαρὺν ὄγκον ἔχουσα θεηγενέος τοκετοῖο,
εἴ ποτέ τις σύριγγι γέρων ἐμελίζετο ποιμήν,
γείτονος εἰσαΐουσα φιλαγραύλου μέλος Ἠχοῦς,
οἰοχίτων θαλάμοιο διέστιχε θυιάδι ῥιπῆι·
εἰ κτύπος οὐρεσίφοιτος ἀκούετο δίζυγος αὐλοῦ,
ὑψορόφων ἀπέδιλος ἀναθρῴσκουσα μελάθρων
εἰς ῥάχιν αὐτοκέλευστος ἐρημάδος ἔστιχεν ὕλης·
κύμβαλον εἰ πλατάγησε, ποδῶν ἐλελίζετο παλμῶι,
λοξῶι καμπύλον ἴχνος ὑποσκαίρουσαι πεδίλωι·
εἰ δὲ τανυκραίροιο μεμυκότος ἔκλυε ταύρου,
ἀντίτυπον μίμημα βοὸς μυκήσατο λαιμῶι·
πολλάκι ποιμενίην ὑπὸ δειράδα θυιάδι φωνῆι
Πανὶ μέλος συνάειδε καὶ ἔπλετο σύνθροος Ἠχώ,
καὶ νόμιον κερόεντος ἀμειβομένη κτύπον αὐλοῦ
εἰς χορὸν ἴχνος ἔκαμψε· πάις δ᾽ ἀλόχευτος ἐχέφρων
ἅλμασιν ἐνδομύχοισι συνεσκίρτησε τεκούσηι
αὐλομανὲς μίμημα, καὶ αὐτοδίδακτον ἀοιδὴν
ἡμιτελὴς κελάδησε χέων ὑποκόλπιον ἠχώ.
ὣς ὁ μὲν ἀρσενόπαιδος ἀέξετο γαστέρος ὄγκωι
ἄγγελος εὐφροσύνης, νοερὸν βρέφος· ἀμφὶ δὲ κούρωι
ἀμφίπολοι Κρονίωνος ἐπέστεφον οὐρανὸν Ὧραι.
καὶ Φθόνος ὑψιμέδοντος ὀπιπεύων Διὸς εὐνὴν
καὶ Σεμέλης ὠδῖνα θεηγενέος τοκετοῖο
Βάκχου ζῆλον ἔδεκτο καὶ ἔνδοθι γαστρὸς ἐόντος,
αὐτοπαθὴς ἄστοργος ἑῶι βεβολημένος ἰῶι.
L2[O] καὶ φρενὶ κερδαλέηι σκολιὴν ἐφράσσατο βουλὴν
Ἄρεος ἀντιτύποιο φέρων ψευδήμονα μορφὴν
ἔντεσι μιμηλοῖσι, καὶ οἷά περ αἵματος ὁλκῶι
ἄνθεϊ φαρμακόεντι κατέγραφε νῶτα βοείης
ποιητῆι ῥαθάμιγγι, καὶ ὡς κταμένων ἀπὸ φωτῶν
βάψας ἰσοτύπωι δεδολωμένα δάκτυλα μίλτωι
χεῖρας ἐρευθιόωντι νόθωι φοινίσσετο λύθρωι· 2
καὶ κτύπον ἐννεάχιλον ἀνήρυγεν ἀνθερεῶνος
σμερδαλέοις στομάτεσσι χέων ῥηξήνορα φωνήν·
κλεψινόοις δ᾽ ὀάροισιν ἀνεπτοίησεν Ἀθήνην,
καὶ φθονερὴν οἴστρησεν ἔτι πλέον εἰς χόλον Ἥρην·
ἀμφοτέρας δ᾽ ἐρέθιζε· τόσωι δ᾽ ἠνίπαπε μύθωι·
8.50 "δίζεό σοι νέον ἄλλον ἐν αἰθέρι νυμφίον, Ἥρη,
ἄλλον, ἐπεὶ Σεμέλη τεὸν ἥρπασεν, ἧς χάριν εὐνῆς 3
Θήβης ἑπταπύλοιο γαμήλιον οὖδας ἀμείβων
οὐρανὸν ἑπτάζωνον ἀναίνεται· ἀντὶ σέθεν δὲ
τέρπεται ἀγκὰς ἔχων χθονίην ἐγκύμονα νύμφην.
πῆι μοι ζῆλος ἔβη μητρώιος; ἦ ῥα καὶ αὐτῆς
εἰς Σεμέλης ὑμέναιον ἐθηλύνθη χόλος Ἥρης;
πῆι σέο κέντρα μύωπος ἀφειδέος; οὐκέτι πόντωι
πόρτις ἀλιπτοίητος ἐλαύνεται; οὐκέτι βούτης
Ἄργος ἀκοιμήτοισι πολυσπερέεσσιν ὀπωπαῖς
κλεψιγάμου Κρονίδαο νεώτερα λέκτρα φυλάσσει;
ἀλλὰ τί μοι δόμος οὗτος Ὀλύμπιος; εἰς χθόνα βαίνων
8.62 αἰθέρα καλλείψω πατρώιον, ἡμετέρην δὲ

Nonnus

σεισαμένη βαρὺ κέντρον ἀμερσινόοιο μερίμνης,
μαντοσύνην ἐρέεινε, φιλοστόργου δὲ γεραιοῦ
λαιῆι μὲν παλάμηι γονάτων θίγε, λισσομένη δὲ
δεξιτερῆι ψαύεσκε βαθυσμήριγγος ὑπήνης·
καὶ πολέας μνηστῆρας ἑῆς μυθήσατο κούρης
θέσφατα μαστεύουσα παρήγορα· μαντοσύναι γὰρ
ἐλπίσιν ἐσσομένηισιν ὑποκλέπτουσιν ἀνίας.
οὐδὲ γέρων Ἀστραῖος ἀναίνετο· μουνοτόκου δὲ
κούρης ἀρτιλόχευτα γενέθλια μέτρα νοήσας
καὶ χρόνον οὐ πταίοντα καὶ ἀπλανέος δρόμον Ὥρης
ἀρχεγόνου. κάμψας δὲ μετάτροπα δάκτυλα χειρῶν
ἀμφὶ παλιννόστοιο μετήλυδα κύκλον ἀριθμοῦ
ἐκ παλάμης παλάμηι διεμέτρεε δίζυγι παλμῶι·
καί οἱ κεκλομένωι θεράπων εὔκυκλον ἀείρας
σφαῖραν ἑλισσομένην, τύπον αἰθέρος, εἰκόνα κόσμου,
Ἀστερίων παρέθηκε λαβὼν ἐπὶ πώματι χηλοῦ.
ἔνθα γέρων πεπόνητο, καὶ ἄξονος ἄκρον ἑλίσσων
Ζωιδιακὸν περὶ κύκλον ἑὴν ἐτίταινεν ὀπωπὴν
λεύσσων ἔνθα καὶ ἔνθα καὶ ἀπλανέας καὶ ἀλήτας·
καὶ πόλον ἀμφελέλιζε· πολυστροφάλιγγι δὲ ῥιπῆι
εἰς δρόμον ἀστήρικτον ἀτέρμονι κάμπτετο νύσσηι
ἄστρασι ποιητοῖσι νόθος κυκλούμενος αἰθήρ,
ἄξονι μεσσατίωι τετορημένος· εὗρε δὲ δαίμων
σφαῖραν ἰδὼν στεφανηδόν, ὅτι πλήθοντι προσώπωι
ἀγκύλα συνδέσμοιο διέτρεχε νῶτα Σελήνη,
καὶ Φαέθων ἰσόμοιρος ἔην ἀντώπιδι Μήνηι L2[O]
κέντρωι ὑποχθονίωι πεφορημένος, ἀχλυόεις δὲ
κῶνος ἀερσιπότητος ἀπὸ χθονὸς ὀξὺς ἀνέρπων
ἀντίτυπον Φαέθοντος ὅλην ἐκάλυψε Σελήνην·
καὶ γαμίης φιλότητος ἀμιλλητῆρας ἀκούων
Ἄρεα δίζετο μᾶλλον, ὑπὲρ δυτικοῦ δὲ μελάθρου
φῶρα γάμων ἐνόησε σὺν ἀστέρι Κυπρογενείης
ἑσπερίωι· καὶ κλῆρον ἐπώνυμον εὗρε τοκήων
παρθενικῆς ἀστραῖον ὑπὸ στάχυν· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῶι
ὀμβροτόκου Κρονίδαο Φαεσφόρος ἔτρεχεν ἀστήρ.
ἀλλ᾽ ὅτε πάντα νόησεν ἀριθμήσας ἴτυν ἄστρων,
σφαῖραν ἀειδίνητον ἀνέκρυφε κοιλάδι κίστηι,
σφαῖραν ποικιλόνωτον· ἀνειρομένηι δὲ θεαίνηι
τριπλόον ὀμφαίης ἀνερεύγετο θέσφατον ἠχοῦς·
"Δημῆτερ φιλότεκνος, ὑπὸ σκιοειδέι κώνωι
κλεπτομένης ἀκτῖνος ἀφωτίστοιο Σελήνης
νυμφίον ἁρπακτῆρα φυλάσσεο Περσεφονείης,
κρυπτὸν ἀσυλήτοιο τεῆς ληίστορα κούρης,
εἰ λίνα Μοιράων ἐπιπείθεται· ἀπροϊδὴ δὲ
ἀθρήσεις πρὸ γάμοιο νόθον λαθραῖον ἀκοίτην
θηρομιγῆ δολόμητιν, ἐπεὶ δυτικῶι παρὰ κέντρωι
σὺν Παφίηι στείχοντα γαμοκλόπον Ἄρεα λεύσσω,
ἀμφοτέροις δὲ Δράκοντα παραντέλλοντα δοκεύω.
ὀλβίστην ἐνέπω σε· σὺ γὰρ τετράζυγι κόσμωι
ἔσσεαι ἀγλαόκαρπος, ὅτι χθονὶ καρπὸν ὀπάσσεις **6.**100

ἀτρυγέτωι· κούρης γὰρ ὑπὲρ κλήροιο τοκήων
παρθένος Ἀστραίη σταχυώδεα χεῖρα τιταίνει.”
ὣς φάμενος μαντῶιον ὑπὸ στόμα κοίμισεν ὀμφήν.
ἀλλ ὅτε Δημήτηρ δρεπανηφόρος ἐλπίδα καρπῶν
ἐσσομένων ἤκουσε καὶ αὐτοκέλευστον ἀκοίτην
τηλυγέτης ἀδμῆτος ἀνέγγυον ἅρπαγα κούρης,
ἔστενε μειδιόωσα· δι’ ὑψιπόρου δὲ κελεύθου
οἶκον ἑὸν σπεύδουσα κατηφέι δύσατο ταρσῶι.
καὶ ζυγὸν εὐδίνητον ἐχιδναίηι παρὰ φάτνηι
ἀμφιταλαντεύσασα λόφωι διδυμάονι θηρῶν
ἄζυγας ἑρπηστῆρας ἐπεσφήκωσε λεπάδνωι·
καὶ γένυν ἀγκυλόδοντι περισφίγγουσα χαλινῶι
ξανθοφυὴς βλοσυροῖο δι’ ἅρματος ἤγαγε Δηὼ
παῖδα καλυπτομένην νεφέλης κυανάμπυκι μίτρηι.
καὶ κτύπον ἀντικέλευθον ἐπιβρομέοντος ἀπήνηι
θηρονόμωι μάστιγι κατερροίζησε Βορῆος,
ἠερίης ἱππηδὸν ἐπεσσυμένων δρόμον αὔρης
ἀσταθέων πτερὰ κοῦφα περιστέλλουσα δρακόντων
ἀμφὶ κέρας Λιβυκοῖο παλίσσυτον Ὠκεανοῖο.
Δικταίης δ’ ἀΐουσα μέλος κορυθαιόλον ἠχοῦς
Κρῆτα χορὸν παράμειβε βαρυσμαράγοιο βοείης
νῶτα περισκαίροντα κυβιστητῆρι σιδήρωι.
καί τινα λάινον οἶκον ἐποπτεύουσα θεαίνη
Σικελίης τριλόφοιο Πελωρίδα δύσατο πέτρην
Ἀδριάδας παρὰ θῖνας, ὅπῃ χύσις ἄστατος ἅλμης
L2[I] εἰς δύσιν ἑλκομένη περικάμπτεται εἴκελος ἅρπηι,
εἰς Λίβα πομπεύουσα Βορειόθεν ἀγκύλον ὕδωρ·
καί, Κυανῆην ὅθι πυκνὰ ῥόος χυτλώσατο κούρην
κρηναίωι στροφάλιγγι χέων ὀπτήριον ὕδωρ,
γείτονα κόλπον ὄπωπεν ἰσοσταθέοντα μελάθρωι,
λαϊνέης ὀρόφοιο περιστεφθέντα καλύπτρηι,
ὃν φύσις ἐθρίγκωσε χαραδραίωι πυλεῶνι
λάινον ἱστὸν ἔχοντα μεμηλότα γείτοσι Νύμφαις.
καὶ θεὸς ὀρφναίοιο διερπύζουσα μελάθρου
παῖδα πολυσφρήγιστον ἐνέκρυφε φωλάδι πέτρηι·
λυσαμένη δὲ δράκοντας ἐυπτερύγων ἀπὸ δίφρων
τὸν μὲν δεξιτεροῖο παρὰ πρηῶνα θυρέτρου,
◆ τὸν δὲ λιθογλώχινα πύλης παρὰ λαιὸν ὀχῆα
στῆσεν ἀθηήτοιο φυλάκτορα Περσεφονείης·
κεῖθι δὲ Καλλιγένειαν, ἑὴν εὔπαιδα τιθήνην,
κάλλιπε σὺν ταλάροισι, καὶ ὁππόσα θήλεϊ φύτλῃ
Παλλάδος εὐπαλάμοιο νέμει ταλασήιος ἱδρώς·
καὶ ποσὶν ἠέρα τέμνεν, ἐρημονόμοις δὲ φυλάξαι
καμπύλα πετραίῃσιν ἐπέτρεπεν ἅρματα Νύμφαις.
ἀμφὶ δὲ καρχαρόδοντα γένυν πεπόνητο σιδήρου
εἰροκόμωι ξαίνουσα περὶ κτενὶ λήνεα κούρη,
ἠλακάτῃ δ’ ἐνέλισσε· πολυστροφάδεσσι δὲ ῥιπαῖς
Nonnus εἰλυφόων ἄτρακτος ἕλιξ βητάρμονι παλμῶι
νηθομένων ἐχόρευε μίτων κυκλούμενος ὁλκῶι·
καὶ ποσὶ φοιταλέοισι παλίνδρομος ἄκρον ἀπ’ ἄκρου

δείδια, μὴ προχοῆισι τεὴν νυμφεύσατο Θίσβην.
Πύραμος, Ἀλφειοῖο παραίφασις, ἠμέας ἄμφω
οὐ Διὸς ὄμβρος ὄρινεν, ὅσον βέλος ἀφρογενείης.
ἔσπεό μοι χατέοντι, Συρηκοσίης δ’ Ἀρεθούσης
ἴχνια μαστεύσω, σὺ δέ, Πύραμε, δίζεο Θίσβην.
ἀλλ’ ἐρέεις, ὅτι γαῖα τινάσσεται, ὅττι χαλέπτει
οὐρανός, ὅττι θάλασσα βιάζεται, ὅττι καὶ αὐτὸς
ἄπλοος ἀφριόωντι ῥόωι κυμαίνεται αἰθήρ·
οὐκ ἀλέγω νιφετοῖο μεμηνότος. ὦ μέγα θαῦμα·
αἰθομένην Διὸς ὄμβρος ὅλην χθόνα καὶ φλόγα πόντου
καὶ ποταμοὺς ἐκάθηρεν, ἀπ’ Ἀλφειοῖο δὲ μούνου
οὐτιδανὸν Παφίης οὐκ ἔσβεσεν ἀπτόμενον πῦρ.
ἔμπης, εἰ κλονέει με τόσος ῥόος, εἰ πυρὶ κάμνω,
βαιὸν ἐμῆς ὀδύνης πέλε φάρμακον, ὅττι καὶ αὐτὸς
πλάζεται ἁβρὸς Ἄδωνις ἀνιάζων Ἀφροδίτην.”
οὔ πω μῦθος ἔληγε, φόβος δ’ ἐβιήσατο φωνήν.
καὶ τότε Δευκαλίων περόων ὑψούμενον ὕδωρ
ναυτίλος ἦν ἀκίχητος, ἔχων πλόον ἠεροφοίτην,
καὶ στόλος αὐτοκέλευθος ἄτερ ποδός, ἄμμορος ὅρμου,
λάρνακος αὐτοπόροιο κατέγραφε δύσνιφον ὕδωρ.
καί νύ κε κόσμος ἄκοσμος ἐγίνετο, καί νύ κεν ἀνδρῶν
ἄσπορον ἁρμονίην ἀνελύσατο πάντροφος Αἰών·
ἀλλὰ Διὸς ζαθέοις ὑπὸ νεύμασι κυανοχαίτης
Θεσσαλικοῦ σκοπέλοιο μεσόμφαλον ἄκρον ὀρύξας
γειοτόμωι τριόδοντι διέσχισε, καὶ διὰ μέσσου
ῥηγνυμένου πρηῶνος ἐχάζετο μάρμαρον ὕδωρ· L2[I]
καὶ χύσιν ὑψικέλευθον ἀπωσαμένη νιφετοῖο
γαῖα φάνη παλίνορσος· ἐλαυνομένων δὲ ῥεέθρων
ἐς βυθίους κευθμῶνας ἐγυμνώθησαν ἐρίπναι.
καὶ χθονὸς ὑγρὰ μέτωπα χέων πολυδίψιον αἴγλην
Ἠέλιος ξήραινε· παχυνομένων δὲ ῥοάων
θερμοτέραις ἀκτῖσιν ἐχερσώθη πάλιν ἰλὺς
οἷα πάρος. βροτέηι δὲ τετυγμένα μείζονι τέχνηι
ἄστεα λαϊνέοισιν ἐνεστήρικτο θεμέθλοις,
δωμήθη δὲ μέλαθρα, νεοκτίστων δὲ πολήων
ἀρτιγόνοις μερόπεσσιν ἐρυμνώθησαν ἀγυιαί.
καὶ φύσις ἂψ ἐγέλασσε· συνιπταμένων δὲ θυέλλαις
ὀρνίθων πτερύγεσσιν ἐρετμώθη πάλιν ἀήρ. **6.**388

Ὣς εἰπὼν ἐς Ὄλυμπον ἔβη θεός· ἐν δὲ μελάθρωι **8.**1
ὑψορόφωι νόον εἶχεν ἀλώμενον ἐγγύθι νύμφης,
Θήβης οἶστρον ἔχων πλέον αἰθέρος· ἱμερόεις γὰρ
οὐρανὸς ἦν Κρονίδηι Σεμέλης δόμος, ἀμφὶ δὲ παστῶι
ἀμφίπολοι Κάδμοιο Διὸς πέλον εὔποδες Ὧραι.
καὶ γαμίηι ῥαθάμιγγι Διιπετέων ὑμεναίων
ὄγκωι θλιβομένη Σεμέλης κυμαίνετο γαστήρ·
μαρτυρίηι δὲ τόκοιο φιλοστεφάνου Διονύσου
στέμματι θυμὸν ἔτερπεν, ἐπ’ ἀνθοκόμωι δὲ καρήνωι
θυιάδος αὐτοέλικτον ἀνέπλεκε κισσὸν ἐθείρης Nonnus
Βασσαρίδων ἅτε μάντις, ἐπεσσομένῃσι δὲ νύμφαις
ὄψιμον ἀγχιτόκοισιν ἐπωνυμίην πόρε κισσοῦ. **8.**12

νηχομένην Γαλάτειαν ἀνίαχε μυδαλέος Πάν·
Nonnus "πῆι φέρεαι, Γαλάτεια, δι' οὔρεος ἀντὶ θαλάσσης;
μὴ τάχα μαστεύεις ἐρατὴν Κύκλωπος ἀοιδήν;
πρὸς Παφίης λίτομαί σε καὶ ὑμετέρου Πολυφήμου,
μὴ κρύψηις δεδαυῖα βαρὺν πόθον, εἰ παρὰ πέτραις
νηχομένην ἐνόησας ἐμὴν ὀρεσίδρομον Ἠχώ.
ἦ ῥά σοι ἶσον ἔχει διερὸν δρόμον; ἦ ῥα καὶ αὐτὴ
ἑζομένη δελφῖνι θαλασσαίης Ἀφροδίτης,
ὡς Θέτις ἀκρήδεμνος, ἐμὴ ναυτίλλεται Ἠχώ;
δείδια, μή μιν ὄρινε δυσάντεα κύματα πόντου·
δείδια, μὴ μὲν ἔκευθε μέγας ῥόος· ὡς ἄρα δειλὴ
ἄστατος ἐν πελάγεσσι μετ' οὔρεα κύματα βαίνει·
ἤ ποτε πετρήεσσα φανήσεται ὑδριὰς Ἠχώ.
ἀλλὰ τεὸν Πολύφημον ἔα βραδύν· ἢν ἐθελήσηις,
αὐτὸς ἐμοῖς ὤμοισιν ἀερτάζων σε σαώσω·
οὔ με κατακλύζει κελάδων ῥόος· ἢν ἐθελήσω,
ἴχνεσιν αἰγείοισιν ἐλεύσομαι εἰς πόλον ἄστρων."
ὣς φαμένωι Γαλάτεια τόσην ἀντίαχε φωνήν·
"Πὰν φίλε, σὴν ἀνάειρε δι' οἴδματος ἄπλοον Ἠχώ·
μή με μάτην ἐρέεινε, τέ σήμερον ἐνθάδε βαίνω·
ἄλλον ἐμοὶ πλόον εὗρεν ὑπέρτερον ὑέτιος Ζεύς.
καὶ γλυκερήν περ ἐοῦσαν ἔα Κύκλωπος ἀοιδήν.
οὐκέτι μαστεύω Σικελὴν ἅλα· τοσσατίου γὰρ
τάρβος ἔχω νιφετοῖο καὶ οὐκ ἀλέγω Πολυφήμου."
εἶπε, καὶ ὑγροπόροιο παρήλυθε Πανὸς ἐναύλους.
L3[O] πυκνὰ δὲ κυμαίνοντος ἀμαιμακέτου νιφετοῖο
πᾶσα πόλις, πᾶς δῆμος ἔην ῥόος· οὐδέ τις ἀγκὼν
ἄβροχος ἦν, οὐ γυμνὸς ἔην λόφος, οὐ ῥίον Ὄσσης,
οὐ τότε Πήλιον ἄκρον· ὑπὸ τριλόφωι δὲ κολώνηι
Τυρσηνὸς κελάδησεν· ἱμασσομένοιο δὲ πόντου
Ἀδριάδες Σικελοῖσιν ἐρόχθεον ὕδασι πέτραι
ὀμβρηροῖς ῥοθίοισιν. ἐν ἠερίηι δὲ κελεύθωι
μαρμαρυγαὶ Φαέθοντος ἐθηλύνοντο ῥεέθροις·
ζώνηι δ' ἑβδομάτηι χθαμαλῆς ὑπὲρ ἄντυγα πέζης
κύμασιν ἠλιβάτοισι σέλας ψύξασα Σελήνη
μυδαλέων ἀνέκοψε λελουμένον αὐχένα ταύρων·
ἀστραίηι δὲ φάλαγγι μεμιγμένον ὄμβριον ὕδωρ
◆ λευκοτέρην ποίησε Γαλαξαίην ἴτυν ἀφρῶι.
καὶ ῥοθίω γονόεντι χέων ἑπτάστομον ὕδωρ
Ἀλφειῶι δυσέρωτι συνήντετο Νεῖλος ἀλήτης,
ὧν ὁ μὲν εὐκάρποιο δι' αὔλακος ἤθελεν ἕρπειν
τέρπων ἰκμαλέοισι φιλήμασι διψάδα νύμφην,
ὃς δὲ παραΐξας προτέρην ὁδὸν ἠθάδος ἄγρης
ἀχνύμενος πεφόρητο· συνερπύζοντα δὲ λεύσσων
Πύραμον ἱμερόεντα τόσην ἀνενείκατο φωνήν·
"Νεῖλε, τί κεν ῥέξαιμι καλυπτομένης Ἀρεθούσης;
Πύραμε, τί σπεύδεις; τίνι κάλλιπες ἠθάδα Θίσβην;
ὄλβιος Εὐφρήτης, ὅτι μὴ λάχε κέντρον Ἐρώτων.
ζῆλον ἔχω καὶ δεῖμα μεμιγμένον· ὑδατόεις γὰρ
ἱμερτῆι παρίαυε τάχα Κρονίδης Ἀρεθούσηι·

38 (21C) πρωτοπαγῆ ποίησε διάσματα, φάρεος ἀρχήν,
ἱστῶι δ' ἀμφὶς ἕλισσεν· ὕφαινε δὲ κερκίδι κούρη Nonnus
πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀμφὶ δὲ πέπλωι
γνωτὴν ἱστοτέλειαν ἑὴν ἐλέγαινεν Ἀθήνην.
παρθένε Περσεφόνεια, σὺ δ' οὐ γάμον εὗρες ἀλύξαι,
ἀλλὰ δρακοντείοισιν ἐνυμφεύθης ὑμεναίοις,
Ζεὺς ὅτε πουλυέλικτος ἀμειβομένοιο προσώπου
νυμφίος ἱμερόεντι δράκων κυκλούμενος ὁλκῶι
εἰς μυχὸν ὀρφναίοιο διέστιχε παρθενεῶνος,
σείων δαυλὰ γένεια· παρισταμένων δὲ θυρέτρωι
εὔνασεν ἰσοτύπων πεφορημένος ὄμμα δρακόντων {…}
καὶ γαμίαις γενύεσσι δέμας λιχμάζετο κούρης
Περσεφόνης γονόεντι τόκωι κυμαίνετο γαστήρ,
μείλιχος. αἰθερίων δὲ δρακοντείων ὑμεναίων
Ζαγρέα γειναμένη, κερόεν βρέφος, ὃς Διὸς ἕδρης
μοῦνος ἐπουρανίης ἐπεβήσατο, χειρὶ δὲ βαιῆι
ἀστεροπὴν ἐλέλιζε· νεηγενέος δὲ φορῆος
νηπιάχοις παλάμηισιν ἐλαφρίζοντο κεραυνοί.
οὐδὲ Διὸς θρόνον εἶχεν ἐπὶ χρόνον· ἀλλά ἑ γύψωι
κερδαλέηι χρισθέντες ἐπίκλοπα κύκλα προσώπου
δαίμονος ἀστόργοιο χόλωι βαρυμήνιος Ἥρης
Ταρταρίηι Τιτῆνες ἐδηλήσαντο μαχαίρηι
ἀντιτύπωι νόθον εἶδος ὀπιπεύοντα κατόπτρω.
ἔνθα διχαζομένων μελέων Τιτῆνι σιδήρωι
τέρμα βίου Διόνυσος ἔχων παλινάγρετον ἀρχὴν
ἀλλοφυὴς μορφοῦτο πολυσπερὲς εἶδος ἀμείβων, L3[O]
πῆι μὲν ἅτε Κρονίδης δόλιος νέος αἰγίδα σείων,
πῆι δὲ γέρων βαρύγουνος ἅτε Κρόνος ὄμβρον ἰάλλων·
ἄλλοτε ποικιλόμορφον ἔην βρέφος, ἄλλοτε κούρωι
εἴκελος οἰστρηθέντι, νέον δέ οἱ ἄνθος ἰούλων
ἀκροκελαινιόωντα κατέγραφε κύκλα προσώπου·
4 (1C) πῆι δὲ χόλωι δασπλῆτι λέων μιμηλὸς ἰάλλων
φρικαλέον βρύχημα σεσηρότι μαίνετο λαιμῶι,
ὀρθώσας πυκινῆισι κατάσκιον αὐχένα χαίταις,
ἀμφελελιζομένης λασιότριχος ὑψόθι νώτου
αὐτομάτηι μάστιγι περιστίζων δέμας οὐρῆς·
ἔνθα λεοντείοιο λιπὼν ἴνδαλμα προσώπου
ὑψιλόφωι χρεμετισμὸν ὁμοίιον ἔβρεμεν ἵππωι
5 ἄζυγι, γαῦρον ὀδόντα μετοχμάζοντι χαλινοῦ,
καὶ πολιῶι λεύκαινε περιτρίβων γένυν ἀφρῶι·
ἄλλοτε ῥοιζήεντα χέων συριγμὸν ὑπήνης
ἀμφιλαφὴς φολίδεσσι δράκων ἐλέλικτο κεράστης,
γλῶσσαν ἔχων προβλῆτα κεχηνότος ἀνθερεῶνος,
καὶ βλοσυρῶι Τιτῆνος ἐπεσκίρτησε καρήνωι
ὁρμὸν ἐχιδνήεντα περίπλοκον αὐχένι δήσας·
καὶ δέμας ἑρπηστῆρος ἀειδίνητον ἐάσας
τίγρις ἔην, στίξας δέμας αἰόλον· ἄλλοτε ταύρωι
ἰσοφυής, στομάτων δὲ νόθον μυκηθμὸν ἰάλλων
θηγαλέηι Τιτῆνας ἀνεστυφέλιξε κεραίηι.
καὶ ψυχῆς προμάχιζεν, ἕως ζηλήμονι λαιμῶι

τρηχαλέον μύκημα δι' ἠέρος ἔβρεμεν Ἥρη,
μητρυιὴ βαρύμηνις, ἰσοφθόγγωι δὲ θεαίνηι
αἰθέριον κελάδημα πύλαι κανάχιζον Ὀλύμπου,
καὶ θρασὺς ὤκλασε ταῦρος· ἀμοιβαίηι δὲ φονῆες
ταυροφυῆ Διόνυσον ἐμιστύλλοντο μαχαίρηι.
Ζεὺς δὲ πατήρ, προτέροιο δαϊζομένου Διονύσου
γινώσκων σκιόεντα τύπον δολίοιο κατόπτρου,
μητέρα Τιτήνων ἐλάσας ποινήτορι πυρσῶι
Ζαγρέος εὐκεράοιο κατεκλήισσε φονῆας
Ταρταρίωι πυλεῶνι· καὶ αἰθομένων ἀπὸ δένδρων
θερμὰ βαρυνομένης ἐμαραίνετο βόστρυχα γαίης.
ἀντολίην δ' ἔφλεξε, καὶ αἰθαλόεντι βελέμνωι
αἴθετο Βάκτριον οὖδας ἑώιον, ἀγχιπόροις δὲ
κύμασιν Ἀσσυρίοισιν ἐδαίετο Κάσπιον ὕδωρ,
Ἰνδῶιοί τε τένοντες· Ἐρυθραίοιο δὲ κόλπου,
ἔμπυρα κυμαίνοντος Ἄραψ θερμαίνετο Νηρεύς.
καὶ δύσιν ἀντικέλευθον ἑῶι πρήνιξε κεραυνῶι
Ζεὺς πυρόεις φιλότεκνος· ὑπὸ Ζεφύροιο δὲ ταρσῶι
ἡμιδαὴς σέλας ὑγρὸν ἀπέπτυεν ἑσπερὶς ἅλμη,
Ἀρκτῶιοί τε τένοντες· ὁμοφλεγέος δὲ καὶ αὐτῆς
πηγνυμένης πάφλαζε Βορήια νῶτα θαλάσσης·
καὶ Νοτίον νιφόεσσαν ὑπὸ κλίσιν Αἰγοκερῆος
θερμοτέρωι σπινθῆρι μεσημβρινὸς ἔζεεν ἀγκών.
καὶ διεροῖς βλεφάροις ποταμήια δάκρυα λείβων
Ὠκεανὸς λιτάνευε χέων ἱκετήσιον ὕδωρ·
L3[I] Ζεὺς δὲ χόλον πρήυνε, μαραινομένην δὲ κεραυνῶι
γαῖαν ἰδὼν ἐλέαιρε, καὶ ἤθελεν ὕδατι νίψαι
λύματα τεφρήεντα καὶ ἔμπυρον ἕλκος ἀρούρης.
καὶ τότε γαῖαν ἅπασαν ἐπέκλυσεν ὑέτιος Ζεὺς
πυκνώσας νεφέεσσιν ὅλον πόλον, οὐρανίη δὲ
βρονταίοις πατάγοισι Διὸς μυκήσατο σάλπιγξ,
ἀστέρες ὁππότε πάντες ἐνὶ σφετέροισι μελάθροις
κεκριμένοι δρόμον εἶχον, ἐπεὶ τετράζυγι δίφρωι
Ἠέλιος σελάγιζε λεοντείων ἐπὶ νώτων
ἱππεύων ἑὸν οἶκον· ἐπιτροχόωσα δὲ δίφρωι
Καρκίνον ὀκταπόδην τριφυῆς κυκλοῦτο Σελήνη,
καὶ δροσερὴν ὑπὸ πέζαν ἰσημερίωι παρὰ κύκλωι
◆ Κύπρις ἀπὸ Κριοῖο μεταστήσασα κεραίης
εἰαρινὸν δόμον εἶχεν, ἀχείμονα Ταῦρον Ὀλύμπου,
γείτων δ' Ἠελίοιο προάγγελον Ἱστοβοῆος
Σκορπίον εἶχεν Ἄρης, μιτρούμενον αἴθοπι Ταύρωι,
δόχμιος ἀντικέλευθον ὀπιπεύων Ἀφροδίτην,
καὶ τελέων λυκάβαντα δυωδεκάμηνος ὁδίτης
Ἰχθύας ἀστερόεντας ἐπέτρεχεν ἀκρόνυχος Ζεύς,
δεξιτερὴν τρίπλευρον ἔχων ἑλικώδεα Μήνην,
καὶ Κρόνος ὄμβρια νῶτα διέστιχεν Αἰγοκερῆος
φέγγεϊ παχνήεντι διάβροχος, ἀμφὶ δὲ φαιδρῆι
Παρθενικῆι πτερύγεσσιν ἔην ὑψούμενος Ἑρμῆς,
ὅττι Δίκην δόμον εἶχε δικασπόλος. ἑπταπόρου δὲ
αἰθέρος ὑδατόεντες ἀνωίχθησαν ὀχῆες
39 (22C) Ζηνὸς ἐπομβρήσαντος· ἐριφλοίσβοιο δὲ κόλπου
κρουνοῖς πλειοτέροισιν ἐμυκήσαντο χαράδραι,
ὑδρηλαὶ δὲ θύγατρες ἀποσπάδες Ὠκεανοῖο
λίμναι ἐκουφίζοντο, καὶ ἠέρι νέρτερον ὕδωρ
κρουνοὶ ἀκοντιστῆρες ἀνέβλυον Ὠκεανοῖο,
καὶ σκοπιαὶ ῥαθάμιζον, ὀρεσσιχύτωι δὲ ῥεέθρωι
διψαλέαι ποταμηδὸν ἐμορμύροντο κολῶναι·
ὑψώθη δὲ θάλασσα, καὶ εἰς ὄρος ὑψόθι λόχμης
Νηρεΐδες γεγάασιν Ὀρειάδες. ἆ μέγα δειλή,
χερσὶν ἀπειρήτοισιν ἐνήχετο παρθένος Ἠχὼ
ἀρχαίης φόβον ἄλλον ἀμειβομένη περὶ μίτρης,
μή ποτε Πᾶνα φυγοῦσα Ποσειδάωνι μιγείη.
ποντοπόροι δὲ λέοντες ἀήθεος ἔνδοθι πέτρης
χερσαίων ἐχόρευον ἐνὶ σπήλυγγι λεόντων
μυδαλέοις μελέεσσι· χαραδραίωι δ' ἐνὶ κόλπωι
εἰναλίωι δελφῖνι συνήντετο κάπρος ἀλήτης·
καὶ ξυνοῖς ῥοθίοισιν ὀρεσσιχύτου νιφετοῖο
θῆρες ἐναυτίλλοντο σὺν ἰχθύσιν· εἰλικόεις δὲ
πούλυπος οὐρεσίφοιτος ἐπεσκίρτησε λαγωῶι.
καὶ διεροὶ Τρίτωνες ὑπὸ σφυρὰ φωλάδος ὕλης
ἔγχλοον αἰθύσσοντες ἐπ' ἰξύι δίπτυχον οὐρὴν
Πανὸς ὀρεσσαύλοισιν ἐνεκρύπτοντο μελάθροις,
σύμπλοον ἠερίοισιν ἐπιτρέψαντες ἀήταις
στικτὴν ἠθάδα κόχλον· ἐν εὐύδρωι δὲ κολώνηι
Πανὶ φιλοσκοπέλωι μετανάστιος ἤντετο Νηρεύς,
μυδαλέην σύριγγα διαπλώουσσαν ἐλάσσας· L3[I]
καὶ ναέτης πετραῖος ὄρος μετὰ πόντον ἀμείβων
ἰκμαλέον σπέος εἶχεν ὑπωροφίης δόμον Ἠχοῦς.
καὶ διερῶι τότε φῶτες ἀνοιδαίνοντες ὀλέθρωι
ὕδασι τυμβεύοντο, πολὺς δέ τις ἄλλος ἐπ' ἄλλωι
πλώετο κυματόεντι νέκυς πεφορημένος ὁλκῶι·
5 (2C) καὶ νιφετῶι κελάδοντι κεχηνότος ἀνθερεῶνος
χανδὸν ἀπὸ σκοπέλοιο πιὼν ὀρεσίδρομον ὕδωρ
πῖπτε λέων, πέσε κάπρος. ὁμοζεύκτωι δὲ ῥεέθρωι
λίμναι ὁμοῦ ποταμοῖσι, Διὸς ῥόος, ὕδατα πόντου
ἀλλήλοις κεκέραστο, καὶ εἰν ἑνὶ τέσσαρες αὖραι
συμμιγέων ἀνέμων ἐπεμάστιον ἄκριτον ὕδωρ.
καὶ διερὴν χθόνα πᾶσαν ἰδὼν ὑπὸ μείζονι παλμῶι
6 μοῦνον ἀπειλητῆρι τινασσομένην Διὸς ὄμβρωι
πόντιος ἐννοσίγαιος ἑὴν ἔρριψεν ἀκωκὴν
ἀσχαλόων, τίνα γαῖαν ἀνοχλίσσειε τριαίνηι.
Νηρεΐδων δὲ φάλαγγες ἐπέπλεον ἄβρομον ὕδωρ·
καὶ χλοερῆς Θέτιν εἶχεν ἐπ' ἰξύος ὑγρὸς ὁδίτης,
Τρίτων εὐρυγένειος, ἐπ' ἰχθυόεντι δὲ νώτωι
πομπίλον ἡνιόχευεν ἐν ἠέρι φοιτὰς Ἀγαύη,
καὶ λόφον ὑδατόεντι φέρων κυκλούμενον ὁλκῶι,
Δωρίδα κουφίζων, ματανάστιος ἔτρεχε δελφίς.
καὶ βυθίη φάλλαινα περισκαίρουσα κολώναις
πλάζετο, μαστεύουσα χαμευνάδος ἄντρα λεαίνης.
καὶ τότε κυματόεσσαν ἰδὼν ὑπὸ γείτονα πέτρην

ὄμμασιν ἀπλανέεσσιν ἴδεν πανεπόψιος Ἥρη
Nonnus Μύστιδος ἀφράστοιο μυχῶι πεφυλαγμένον οἶκον·
καὶ Στυγὸς ὑστερόποινον ἐπώμνυε νέρτερον ὕδωρ
παντοίηι κακότητι κατακλύζειν δόμον Ἰνοῦς.
καί νύ κεν ἠμάλδυνε Διὸς γόνον· ἀλλά μιν Ἑρμῆς
ἁρπάξας ἐκόμισσε Κυβηλίδος εἰς ῥάχιν ὕλης·
Ἥρη δ' ὠκυπέδιλος ἐπέδραμεν εὔποδι ταρσῶι
ὑψόθεν ἀστήρικτος· ὁ δὲ δρόμον ἔφθασεν Ἥρης,
πρωτογόνου δὲ Φάνητος ἀτέρμονα δύσατο μορφήν·
καὶ θεὸν ἁζομένη πρωτόσπορον εἴκαθεν Ἥρη
ψευδομένας ἀκτῖνας ὑποπτήσσουσα προσώπου,
οὐδὲ νόθης ἐνόησε δολοπλόκον εἰκόνα μορφῆς·
κουφοτέροις δὲ πόδεσσιν ὀρειάδα πέζαν ἀμείβων,
χερσὶ περιπλεκέεσσι κερασφόρον υἷα κομίζων,
μητρὶ Διὸς γενέταο λεοντοβότωι πόρε Ῥείηι,
καί τινα μῦθον ἔειπεν ἀριστώδινι θεαίνηι·
“δέξο, θεά, νέον υἷα τεοῦ Διός, ὃς μόθον Ἰνδῶν
ἀθλεύσας μετὰ γαῖαν ἐλεύσεται εἰς πόλον ἄστρων,
Ἥρηι χωομένηι μεγάλη χάρις· οὐ γὰρ ἐώικει,
ὃν Κρονίδης ὤδινεν, ἔχειν κουροτρόφον Ἰνώ·
μαῖα Διωνύσοιο Διὸς γενέτειρα γενέσθω,
μήτηρ Ζηνὸς ἐοῦσα καὶ υἱωνοῖο τυθήνη.”
ὣς εἰπὼν ταχύγουνος ἐς οὐρανὸν ἤλυθεν Ἑρμῆς
κυκλώσας βαλίηισιν ὑπηνέμιον πτερὸν αὔραις·
αὐτογόνου δὲ Φάνητος ὑπέρτερον εἶδος ἀμείψας
L1[O] ἀρχαίην παλίνορσος ἑὴν ἀνεδύσατο μορφὴν
μητέρι παιδοκόμωι παλιναυξέα Βάκχον ἐάσας.
τὸν δὲ θεὰ κομέεσκε καὶ εἰσέτι κοῦρον ἐόντα
ἅρματος ὠμοβόρων ἐπιβήτορα θῆκε λεόντων·
καὶ τροχαλοὶ Κορύβαντες ἔσω θεοδέγμονος αὐλῆς
παιδοκόμωι Διόνυσον ἐμιτρώσαντο χορείηι,
καὶ ξίφεα κτυπέεσκον, ἀμοιβαίηισι δὲ ῥιπαῖς
ἀσπίδας ἐκρούσαντο κυβιστητῆρι σιδήρωι
κουροσύνην κλέπτοντες ἀεξομένου Διονύσου·
καὶ πάις εἰσαΐων σακέων μαιήιον ἠχὼ
πατρῴιαις κομιδῆισιν ἀεξήθη Κορυβάντων.
καὶ νέος ἐνναέτηρος ἔχων θηροκτόνον ἄγρην
ποσσὶ μὲν ὠκυτέροισι παρέστιχεν ἴθμα λαγωοῦ,
χειρὶ δὲ νηπιάχωι μεθέπων κεμαδοσσόον ἀλκὴν
ποικίλον ἠιώρησεν ἐπ' αὐχένι νεβρὸν ἀείρων,
καὶ θρασὺν αἰολόνωτον ἔχων τετανυσμένον ὤμωι
τίγριν ἄνω κούφιζε μετάρσιον ἔκτοθι δεσμοῦ
{…} σκύμνους χερσὶν ἔχων ἐπεδείκνυε μητέρι Ῥείηι,
ἁρπάξας νέα τέκνα πολυγλαγέων ἀπὸ μαζῶν,
σμερδαλέους δὲ λέοντας ἔτι ζώοντας ἐρύσσας
μητέρι δῶρα τίταινεν, ἵνα ζεύξειεν ἀπήνηι
δίζυγας ἀμφοτέρηισι πόδας παλάμηισι πιέζων.
θαμβαλέη δὲ γέλωτι γεγηθότι δέρκετο Ῥείη
ἠνορέην καὶ ἄεθλα νεηγενέος Διονύσου·
9.182 καὶ βλοσυρῶν Ἰόβακχον ἰδὼν ἐλατῆρα λεόντων
ὄμμασι τερπομένοισι πατὴρ ἐγέλασσε Κρονίων.

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The seventh sings of the hoary supplication of Time, and the love of Zeus, and the furtive bed.

NONNUS
DIONYSIACA
BOOK 7

PREVIEW BOOK 9

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 368 lines 3.0
3L 1 - 368

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: **45** to **50**

Ἤδη δ' ἀενάοιο βίου παλιναυξέι καρπῶι
ἄρσενα θηλυτέρηι γόνιμον σπόρον αὔλακι μίξας
ἄσπορον ἤροσε κόσμον Ἔρως, φιλότητος ἀροτρεύς·
καὶ φύσις ἐρρίζωτο, τιθηνήτειρα γενέθλης,
καὶ χθονὶ πῦρ κεράσασα καὶ ἠέρι σύμπλοκον ὕδωρ
ἀνδρομέην μόρφωσε γονὴν τετράζυγι δεσμῶι.
ἀλλὰ βίον μερόπων ἑτερότροπος εἶχεν ἀνίη
ἀρχόμενον καμάτοιο καὶ οὐ λήγοντα μερίμνης.
καὶ Διὶ παμμεδέοντι δυηπαθέων γένος ἀνδρῶν
ἄμμορον εὐφροσύνης ἐπεδείκνυε σύντροφος Αἰών·
οὔ πω γὰρ τοκετοῖο λεχώια νήματα λύσας
Βάκχον ἀνηκόντιζε πατὴρ ἐγκύμονι μηρῶι,
ἀνδρομέης ἄμπαυμα μεληδόνος· οὐ τότε λοιβὴ
ἠερίους ἐμέθυσσε πόρους εὐώδεϊ καπνῶι
οἰνοβαφής, στεφάνους δὲ θεῶν λειμωνίδι ποίηι
θυγατέρες λυκάβαντος ἀτερπέες ἔπλεκον Ὧραι·
οἴνου γὰρ χρέος ἦεν· ἀβακχεύτου δὲ χορείης
ἡμιτελὴς ἀνόνητος ἔην χάρις· ἀγρομένων γὰρ
ὄμματα μοῦνον ἔθελγεν, ὅτε στροφάδεσσιν ἐρωαῖς
ὀρχηστὴρ πολύκυκλος ἑλίσσετο λαίλαπι ταρσῶν,
νεύματα μῦθον ἔχων, παλάμην στόμα, δάκτυλα φωνήν.
ἀλλὰ Διὸς πετάσας ἐπὶ γούνασι λευκάδα χαίτην
Αἰὼν ποικιλόμορφος, ἔχων κληῖδα γενέθλης,
ἱκεσίης ὀρέγων κεχαλασμένον ὁλκὸν ὑπήνης,
εἶχε λιτάς· δαπέδωι δὲ καθελκομένοιο καρήνου
ἐκταδίην ἔθλιψε ῥάχιν κυρτούμενος αὐχήν·
καὶ ποδὸς ὀκλάζοντος ἀτέρμονα χεῖρα τιταίνων
ἀενάου βιότοιο γέρων ἐφθέγξατο ποιμήν·
"Ζεῦ ἄνα, καὶ σὺ δόκευε κατηφέος ἄλγεα κόσμου·
οὐχ ὁράαις, ὅτι γαῖαν ὅλην οἴστρησεν Ἐνυὼ
ὥριον ἀμώουσα ταχυφθιμένης στάχυν ἥβης;
οὔ πω λείψανα κεῖνα παρήλυθεν, ἐξ ὅτε φωτῶν
ἔκλυσας ἔθνεα πάντα, καὶ ἠερίου ῥόος ὄμβρου
ἠέρα κυμαίνων ἐπεπάφλασε γείτονι Μήνηι.
χαιρέτω ὠκυμόρων μερόπων βίος, ὧν ἐπὶ πότμωι
οὐρανίους οἴηκας ἀναίνομαι, οὐκέτι κόσμου
πεῖσμα κυβερνήσω· μακάρων δέ τις ἄλλος ἀρείων
πηδάλιον βιότοιο παλιννόστοιο δεχέσθω·
ἄλλος ἐμῶν ἐτέων ἐχέτω δρόμον· αἰνοπαθὲς γὰρ
οἰκτείρων ἐμόγησα πολυτλήτων γένος ἀνδρῶν.
ἄρκιον οὐ πέλε γῆρας, ὅ περ νεότητα μαραίνει
καὶ βραδὺν ἄνδρα τίθησι κάτω νεύοντι καρήνωι,
κυφὸς ὅτε τρομερῇσι περισσοπόδεσσι πορείαις
γηροκόμωι βαρύγουνος ἐρείδεται ἠθάδι βάκτρωι·
ἄρκιος οὐ πέλε πότμος, ὃς ἔκρυφε πολλάκι Λήθηι
νυμφίον ἀρτιχόρευτον ὁμόστολον ἥλικι νύμφηι,
συζυγίης ἀλύτοιο φερέσβια πείσματα λύσας.
οἶδα μέν, ὡς ἐρόεις πέλεται γάμος, ἦχι λιγαίνει
Πανιάδος σύριγγος ὁμόθροος αὐλὸς Ἀθήνης·
ἔμπης, ποῖον ὄνειαρ, ὅτε ζυγίωι παρὰ παστῶι

ἀλλὰ σὺ Νηρεΐδων μία γίνεαι· ἀντὶ δὲ Κάδμου
ἐλπίδι λωιτέρηι καλέσηις Νηρῆα τοκῆα
παιδὶ τεῶι ζώουσα σὺν ἀθανάτωι Μελικέρτηι,
Λευκοθέη, κρατέουσα χυτῆς κληῖδα γαλήνης,
εὐπλοΐης μεδέουσα μετ' Αἰόλον· εὐδιόων δὲ
σοὶ πίσυνος πλεύσειε φιλέμπορος εἰν ἁλὶ ναύτης
βωμὸν ἕνα στήσας ἐνοσίχθονι καὶ Μελικέρτηι,
ῥέζων ἀμφοτέροισι· θαλασσαίοιο δὲ δίφρου
δέξεται ἡνιοχῆα Παλαίμονα κυανοχαίτης."
ὣς εἰπὼν ἀκίχητος ἐς οὐρανὸν ἔδραμεν Ἑρμῆς
ἠέρι δινεύων ἀνεμώδεα ταρσὰ πεδίλων.
Ἰνὼ δ' οὐκ ἀπίθησε, φιλοστόργωι δὲ μενοινῆι
παιδοκόμωι πήχυνεν ἀμήτορα Βάκχον ἀγοστῶι,
πήχεϊ δ' ἁπλώσασα συνωρίδα δίζυγα παίδων
δίζυγα μαζὸν ὄρεξε Παλαίμονι καὶ Διονύσωι·
καὶ βρέφος ἀμφιπόλωι παρεθήκατο Μύστιδι νύμφηι,
Μύστιδι καλλικόμωι Σιδωνίδι, τὴν ἔτι κούρην
Κάδμος ἀνηέξησε πατὴρ θαλαμηπόλον Ἰνοῦς·
ἣ τότε Βάκχον ἑλοῦσα θεοτρεφέων ἀπὸ μαζῶν
ἀπροϊδῆ ζοφόεντι κατεκλήισσε βερέθρωι.
καὶ Διὸς αὐτοβόητος ἀπαγγέλλουσα λοχείην
μαρμαρυγὴ σελάγιζε, καταυγάζουσα προσώπου·
τοῖχοι δ' ἀχλυόεντες ἐλευκαίνοντο μελάθρου,
καὶ ζόφον ἔκρυφε φέγγος ἀθηήτου Διονύσου.
καὶ Βρομίωι παίζοντι παρέζετο πάννυχος Ἰνώ·
πολλάκι δ' ἀστήρικτος ἀναθρώισκων Μελικέρτης
χείλεσιν ἀντιτύποισιν ἀνέσπασε γείτονα θηλὴν
Εὔια παππάζοντι παρερπύζων Διονύσωι.
καὶ θεὸν ἔτρεφε Μύστις ἐξῆς μετὰ μαζὸν ἀνάσσης
ὄμμασιν ἀγρύπνοισι παρεδρήσσουσα Λυαίωι·
καὶ πινυτὴ θεράπαινα φερώνυμα Μύστιδι τέχνηι
ὄργια νυκτελίοιο διδασκομένη Διονύσου
καὶ τελετὴν ἄγρυπνον ἐπεντύνουσα Λυαίωι
πρώτη ῥόπτρον ἔσεισεν, ἐπεπλατάγησε δὲ Βάκχωι
κύμβαλα δινεύρυσα περίκροτα δίζυγι χαλκῶι,
πρώτη νυκτιχόρευτον ἀναψαμένη φλόγα πεύκης
Εὔιον ἐσμαράγησεν ἀκοιμήτωι Διονύσωι,
πρώτη καμπύλον ἄνθος ἀναδρέψασα κορύμβων
ἄπλοκον ἀμπελόεντι κόμην μιτρώσατο δεσμῶι,
αὐτὴ δ' ἔπλεκε θύρσον ὁμόζυγον οἴνοπι κισσῶι,
ἀκροτάτωι δὲ σίδηρον ἐπεσφήκωσε κορύμβωι
κευθόμενον πετάλοισιν, ὅπως μὴ Βάκχον ἀμύξηι·
καὶ φιάλας γυμνοῖσιν ἐπὶ στέρνοισι καθάψαι
χαλκείας ἐνόησε καὶ ἰξύι δέρματα νεβρῶν·
καὶ τελετῆς ζαθέης ἐγκύμονα μύστιδα κίστην
παίγνια κουρίζοντι διδασκομένη Διονύσωι
πρώτη ἐχιδνήεντα κατὰ χροὸς ἧψεν ἱμάντα
σύμπλοκον, εἰλικόεις δὲ δράκων περὶ δίπλακα μίτρην
ἅμματα κυκλώσας ὀφιώδεϊ κάμπτετο δεσμῶι.
τὸν δὲ πολυκλήιστον ὑπὸ σφρηγῖδα μελάθρου

ὕπτιος ἧεν ἄυπνος, ἀμοιβαίῃσι δὲ ῥιπαῖς.
Nonnus ἠέρα λακτίζων διδυμάονι τέρπετο παλμῶι,
καὶ πόλον ἐσκοπίαζεν ἀήθεα, θαμβαλέος δὲ
πατρώιην ἐγέλασσεν ἴτυν δεδοκημένος ἄστρων.
καὶ βρέφος ἀθρήσασα Διὸς μαστίζετο νύμφη·
θυγατέρες δὲ Λάμοιο χόλωι βαρυμήνιος Ἥρης
δαιμονίης κακότητος ἐβακχεύθησαν ἱμάσθληι·
ἐν δὲ δόμωι δμωῇσιν ἐπέχραον, ἐν τριόδοις δὲ
ξεινοφόνωι δαίτρευον ὁδοιπόρον ἄνδρα μαχαίρηι·
φρικαλέαι δ' ἀλάλαζον, ὑπὸ στροφάλιγγι δὲ ῥιπῆι
ὀφθαλμοὺς ἑλέλιζον ἀκοσμήτοιο προσώπου·
πάντηι δ' ἔνθα καὶ ἔνθα νοοπλανέεσσι μενοιναῖς
ἔτρεχον ἀσταθέων τροχαλῶι σκιρτήματι ταρσῶν·
καὶ πλοκάμους βάκχευον ἐς ἠέρα θυιάδες αὖραι
πλαζομένους· κροκόεις δὲ περὶ στέρνοισιν ἑκάστης
ἀφροκόμωι ῥαθάμιγγι χιτὼν λευκαίνετο κούρης.
καί νύ κε φοιταλέης ἑτερόφρονι κύματι λύσσης
9.50 νήπιον εἰσέτι Βάκχον ἐμιστύλλοντο μαχαίρηι,
εἰ μὴ ἀσημάντοιο ποδὸς ληίστορι ταρσῶι
Βάκχον ὑποκλέψας πτερόεις πάλιν ἥρπασεν Ἑρμῆς,
καὶ βρέφος ἀρτικόμιστον ἔχων ζωαρκέι κόλπωι
εἰς δόμον ἀρτιτόκοιο λεχώιον ἤγαγεν Ἰνοῦς.
ἡ μὲν ἀνηέρταζεν ἑῆς προθορόντα λοχείης
νήπιον εἰσέτι κοῦρον, ἐπωλένιον Μελικέρτην,
παιδοκόμοις παλάμῃσιν· ἀνοιδαίνοντο δὲ μαζοὶ
L2[O] θλιβομένοιο γάλακτος ἀναβλύζοντες ἐέρσην.
καὶ φιλίοις στομάτεσσι θεὸς μειλίξατο νύμφην
θέσκελον ὀμφήεντι χέων ἔπος ἀνθερεῶνι·
"δέξο, γύναι, νέον υἷα, τεῶι δ' ἐνικάτθεο κόλπωι
παῖδα κασιγνήτης Σεμέλης σέθεν, ὃν παρὰ παστῶι
οὐ στεροπῆς ἀμάθυνεν ὅλον σέλας, οὐδέ μιν αὐτοὶ
μητροφόνοι σπινθῆρες ἐδηλήσαντο κεραυνοῦ.
καὶ βρέφος ἀχλυόεντι δόμωι πεφυλαγμένον ἔστω,
μηδέ μιν ἀθρήσειεν ἔσω γλαφυροῖο μελάθρου
ἠμάτιον Φαέθοντος ἢ ἔννυχον ὄμμα Σελήνης,
μηδὲ ἑ κουρίζοντα, καὶ εἰ ταυρῶπις ἀκούει,
ζηλήμων βαρύμηνις ἴδηι κεκαλυμμένον Ἥρη.
δέξο κασιγνήτης σέθεν υἱέα· σοὶ δὲ Κρονίων
ἄξια σῶν καμάτων ὀπάσει θρεπτήρια κείνου.
ὀλβίη ἐν πάσῃσι θυγατράσιν ἔπλεο Κάδμου·
ἤδη γὰρ Σεμέλη φλογερῶι δέδμητο βελέμνωι,
Αὐτονόην δὲ θανόντι σὺν υἱέι γαῖα καλύψει,
ἀμφοτέροις δ' ἕνα τύμβον ἀναστήσειε Κιθαιρών,
καὶ μόρον οὐρεσίφοιτος ἐσαθρήσειεν Ἀγαύη
Πενθέος ὀλλυμένοιο, νόθης ψαύσασα κονίης,
παιδοφόνος γεγαυῖα λιπόπτολις· ἀλλὰ σὺ μούνη
ἔσσεαι αὐχήεσσα, τόσης ναέτειρα θαλάσσης,
οἶκον ἀμειβομένη Ποσιδήιον, εἰναλίη δὲ
ὡς Θέτις, ὡς Γαλάτεια φατίζεαι Ὑδριὰς Ἰνώ·
9.82 οὐ χθονίωι κενεῶνι κατακρύψει σε Κιθαιρών,

41 ἑπτατόνου φόρμιγγος ἀράσσεται ὄρθιος ἠχώ;
πηκτίδες οὐ λύουσι μεληδόνας· ἀλλὰ καὶ αὐτὸς Nonnus
νυμφιδίην ἀχόρευτος Ἔρως ἀπεσείσατο πεύκην
τερπωλῆς χατέοντας ὀπιπεύων ὑμεναίους.
ἀλλὰ πολυκμήτων μερόπων ἐπίληθον ἀνίης
φάρμακον ἐρρίζωτο βιοσσόον· οὐράνιον γὰρ
οὐκ ὄφελέν ποτε κεῖνο πίθου κρήδεμνον ἀνοῖξαι
ἀνδράσι Πανδώρη γλυκερὸν κακόν. ἀλλὰ καὶ αὐτὸς
ἀνδρομέης κακότητος ἐπαίτιός ἐστι Προμηθεύς,
ὃς μογερῶν μερόπων ἐπικήδεται· ἀρχεκάκου γὰρ
ἀντὶ πυρὸς γλυκὺ νέκταρ, ὅ περ μακάρων φρένα τέρπει,
κλέψαι μᾶλλον ὄφελλε καὶ ἀνδράσι δῶρον ὀπάσσαι,
ὄφρα τεῶι σκεδάσειε ποτῶι μελεδήματα κόσμου.
ἀλλὰ λιπὼν βιότοιο πολυφλοίσβοιο μερίμνας
σὰς τελετὰς σκοπίαζε κατηφέας· ἦ ῥά σε θέλγει
ἀσπόνδων θυέων ἀνεμώλιος ἀτμὸς ἀλήτης;"
ὣς φαμένοιο γέροντος ἐπὶ χρόνον ἔμφρονι σιγῆι
μῆτιν ἑὴν ἑλέλιζεν ἀτέρμονα μητίετα Ζεύς·
καὶ φρενὸς ἡνία λῦσεν· ἐπασσυτέρῃσι δὲ βουλαῖς
ἐγκεφάλου γονόεντος ἐδινεύοντο μενοιναί.
καὶ Κρονίδης Αἰῶνι θεηγόρον ἴαχε φωνὴν
ἄξονος ὀμφήεντος ὑπέρτερα θέσφατα φαίνων·
"ὦ πάτερ, ἀενάων ἐτέων αὐτόσπορε ποιμήν,
μὴ νεμέσα· βροτέη γὰρ ἀώριος οὔ ποτε λήγει
πληθομένη μινύθουσα φύσις, μίμημα σελήνης.
νέκταρ ἔα μακάρεσσι, καὶ ἀνδράσιν ἄλκαρ ἀνίης L2[O]
αὐτοχύτωι γλυκὺν οἶνον ἐοικότα νέκταρι δώσω·
ἄλλο ποτὸν μερόπεσσιν ἐφάρμενον· ἀρχέγονος δὲ
ἄχνυται εἰσέτι κόσμος, ἕως ἕνα παῖδα λοχεύσω.
τίκτω ἐγὼ γενέτης, καὶ τλήσομαι ἄρσενι μηρῶι
θηλυτέρας ὠδῖνας, ὅπως ὠδῖνα σαώσω.
2 χθιζὰ μὲν εὐρυάλωος ἐμῆς ὑπὸ νεύματι Δηοῦς
γαῖα χαρασσομένη σταχύων μνηστῆρι σιδήρωι
ξηρὸν ἀμαλλοτόκοιο λοχεύσατο καρπὸν ἀρούρης
ἤδη δ' ἀγλαόδωρος ἐμὸς πάις ἐν χθονὶ πήξει
ὑγρὸν ἀκεσσιπόνοιο θυώδεα καρπὸν ὀπώρης,
νηπενθὴς Διόνυσος, ἀπενθέα βότρυν ἀέξων,
ἀντίπαλος Δήμητρι· καὶ αἰνήσεις με δοκεύων
3 ἄμπελον οἰνοτόκοισιν ἐρευθιόωσαν ἐέρσαις
εὐφροσύνης κήρυκα, καὶ ἀγρονόμους παρὰ ληνῶι
ποσσὶ βαρυνομένοισιν ἐπιθλίβοντας ὀπώρην,
Βασσαρίδων τε φάλαγγα φιλεύιον ὑψόθεν ὤμων
ἄπλοκον αἰθύσσουσαν ἐς ἠέρα λυσσάδα χαίτην·
καὶ φρένα βακχεύσαντες ἀμοιβαίοισι κυπέλλοις
πάντες ἀνευάξουσιν ἐπ' εὐκελάδοιο τραπέζης
ἀνδρομέης Διόνυσον ἀλεξητῆρα γενέθλης·
τοῦτον ἀεθλεύσαντα μετὰ χθόνα σύνδρομον ἄστρων,
Γηγενέων μετὰ δῆριν, ὁμοῦ μετὰ φύλοπιν Ἰνδῶν
Ζηνὶ συναστράπτοντα δεδέξεται αἰόλος αἰθήρ.
47 καὶ θεὸς ἡμερίδων ἐπικείμενον οἴνοπι κισσῶι **7**.100

ὡς στέφος ἑρπηστῆρα περὶ πλοκάμοισιν ἑλίξας
σῆμα νέης θεότητος ἔχων ὀφιώδεα μίτρην·
καὶ μακάρων ὁμότιμος ἐπώνυμος ἀνδράσιν ἔσται
ἀμπελόεις Διόνυσος, ἅτε χρυσόρραπις Ἑρμῆς,
χάλκεος ὥς περ Ἄρης, ἑκατηβόλος ὥς περ Ἀπόλλων."
εἶπε πατήρ· Μοῖραι δὲ συνῄνεον· ἀμφὶ δὲ μύθωι
ἐσσομένων κήρυκες ἐπέπταρον εὔποδες Ὧραι.
καὶ τὰ μὲν ὣς εἰπόντε διέτμαγεν, ὃς μὲν ἱκάνων
οἶκον ἐς Ἁρμονίης, ὁ δὲ ποικίλον εἰς δόμον Ἥρης.
καὶ σοφὸς αὐτοδίδακτος Ἔρως αἰῶνα νομεύων,
πρωτογόνου Χάεος ζοφεροὺς πυλεῶνας ἀράξας
ἰοδόκην ἐκόμισσε θεήλατον, ἧι ἔνι μούνηι
εἰς πόθον ἀλλοπρόσαλλον ἐπιχθονίων ὑμεναίων
Ζηνὶ πυριτρεφέες πεφυλαγμένοι ἦσαν ὀιστοὶ
δώδεκα, καὶ χρύσειον ἔπος μετρηδὸν ἑκάστωι
ἔγραφεν εἰς μέσα νῶτα ποθοβλήτοιο φαρέτρης·
'πρῶτος ἄγει Κρονίωνα βοώπιδος εἰς λέχος Ἰοῦς·'
'δεύτερος Εὐρώπην μνηστεύεται ἅρπαγι ταύρωι·'
'Πλουτοῦς εἰς ὑμέναιον ἄγει τρίτος ἀρχὸν Ὀλύμπου·'
'τέτρατος εἰς Δανάην καλέει χρύσειον ἀκοίτην·'
'πέμπτος ἐπευτύνει Σεμέληι φλογεροὺς ὑμεναίους·'
'αἰετὸν Αἰγίνηι πρόμον αἰθέρος ἕκτος ὀπάζει·'
'ἕβδομος Ἀντιόπην Σατύρωι δολόεντι συνάπτει·'
'ὄγδοος ἔμφρονα κύκνον ἄγει γυμνόχροϊ Λήδηι·'
'εἴνατος ἵππια λέκτρα φέρει Περραιβίδι Δίηι·'
'θέλγεται Ἀλκμήνης δεκάτωι τρισέληνος ἀκοίτης·'
'ἑνδέκατος μεθέπει νυμφεύματα Λαοδαμείης·'
'δωδέκατος τρισέλικτον Ὀλυμπιάδος πόσιν ἕλκει.'
ἀλλ' ὅτε πάντας ὄπωπεν Ἔρως στοιχηδὸν ἀφάσσων,
ἄλλους μὲν μεθέηκε πυριγλώχινας ὀιστούς,
χειρὶ δὲ πέμπτον ἄειρε καὶ ἥρμοσεν αἴθοπι νευρῆι
κισσὸν ἐπὶ γλωχῖνι βαλὼν πτερόεντος ὀιστοῦ,
δαίμονος ἀμπελόεντος ἵνα στέφος ἄρμενον εἴη,
νεκταρέου κρητῆρος ὅλον βέλος ἰκμάδι βάψας,
νεκταρέην ἵνα Βάκχος ἀεξήσειεν ὀπώρην.
ὄφρα μὲν εἰς Διὸς οἶκον Ἔρως κουφίζετο παλμῶι,
τόφρα δὲ καὶ Σεμέλη ῥοδοειδέι σύνδρομος ὄρθρωι
ἀργυρέης ἐτίταινε δι' ἄστεος ἦχον ἱμάσθλης
ἡμιόνους ἐλάουσα, καὶ ὄρθιος ἄκρα κονίης
λεπτὸς ἐυκνήμιδος ἐπέγραφεν ὁλκὸς ἀπήνης·
ὄμμασι γὰρ Ληθαῖον ἐμεργομένη πτερὸν Ὕπνου
ἀντιτύπωι πόμπευεν ἀλήμονα θυμὸν ὀνείρωι
θέσφατα ποικίλλοντι, καὶ ἀρτιγόνοισι κορύμβοις
ἔλπετο καλλιπέτηλον ἰδεῖν φυτὸν ἔνδοθι κήπου
ἔγχλοον, οἰδαλέωι βεβαρημένον ὄμφακι καρπῶι,
νιφόμενον Κρονίωνος ἀεξιφύτοισιν ἐέρσαις·
ἐξαπίνης δὲ πεσοῦσα δι' αἰθέρος οὐρανίη φλὸξ
δένδρον ὅλον πρήνιξεν, ἑοῦ δ' οὐχ ἥπτετο καρποῦ·
ἀλλά μιν ἁρπάξας τανυσίπτερος ὄρνις ἀλήτης
ἡμιτελῆ χατέοντα τελεσσιγόνοιο λοχείης
ἐλπίσιν ἐσσομένηισι παρηγορέων ἔο νύμφην·
"εἰμί, γύναι, Κρονίδης σέο νυμφίος· αἰθερίωι μὲν
αὐχένα γαῦρον ἄειρε συναπτομένη παρακοίτηι,
μείζονα δὲ βροτέης μὴ δίζεο μέτρα γενέθλης.
οὔ σοι ἐριδμαίνει Δανάης γάμος· ἀλλὰ καὶ αὐτῆς
πατροκασιγνήτης βοέων ὑμέναιον Ἐρώτων
ἔκρυφες· Εὐρώπη γὰρ ἀγαλλομένη Διὸς εὐνῆι
ἤλυθεν εἰς Κρήτην, Σεμέλη δ' ἐς Ὄλυμπον ἱκάνει.
τί πλέον ἤθελες ἄλλο μετ' αἰθέρα καὶ πόλον ἄστρων;
καί ποτέ τις λέξειεν, ὅτι Κρονίδης πόρε τιμὴν
νερτερίωι Μίνωι καὶ οὐρανίωι Διονύσωι.
ἀλλὰ μετ' Αὐτονόης βροτὸν υἱέα καὶ τόκον Ἰνοῦς,
τὸν μὲν ἑοῖς σκυλάκεσσι δεδουπότα, τὸν δὲ τοκῆος
παιδοφόνου μέλλοντα θανεῖν πτερόεντι βελέμνωι,
καὶ μετὰ λυσσαλέης μινυώριον υἱὸν Ἀγαύης
ἄφθιτον υἷα λόχευε, καὶ ἀθανάτην σὲ καλέσσω·
ὀλβίη, ὅττι θεοῖσι καὶ ἀνδράσι χάρμα λοχεύσεις
υἱέα κυσαμένη βροτέης ἐπίληθον ἀνίης."

Ζεὺς δὲ πατὴρ Σεμέλης φλογερῶν νωμήτορα κόλπων
ἡμιτελῆ λοχίοιο διαθρώσκοντα κεραυνοῦ
δεξάμενος Διόνυσον ἐπέρραφεν ἄρσενι μηρῶι,
μαρμαρυγὴν δ' ἀνέμιμνε τελεσσιγόνοιο Σελήνης·
καὶ παλάμη Κρονίδαο κυβερνήτειρα λοχείης
αὐτομάτη πέλε μαῖα πολυρραφέος τοχετοῖο,
παιδοτόκου λύσασα μογοστόκα νήματα μηροῦ.
καὶ Διὸς ὠδίνοντος ἴτυς θηλύνετο μηροῦ,
καὶ πάις ἠλιτόμηνος ἀμήτορι τίκτετο θεσμῶι
ἄρσενα θηλυτέρην μετὰ γαστέρα γαστέρα βαίνων.
τὸν μὲν ὑπερκύψαντα θεηγενέος τοκετοῖο
στέμματι κισσήεντι λεχωίδες ἔστεφον Ὧραι
ἐσσομένων κήρυκες, ἐπ' ἀνθοκόμωι δὲ καρήνωι
εὐκεράων σκολιῆισιν ὑπὸ σπείρηισι δρακόντων
ταυροφυῆ Διόνυσον ἐμιτρώσαντο κεράστην.
καί μιν ἔσω Δρακάνοιο λεχώιον ἀμφὶ κολώνην
πήχεϊ κολπωθέντι λαβὼν Μαιήιος Ἑρμῆς
ἠερόθεν πεπότητο· λοχευομένωι δὲ Λυαίωι
πατρώιην ἐπέθηκεν ἐπωνυμίην τοκετοῖο
κικλήσκων Διόνυσον, ἐπεὶ ποδὶ φόρτον ἀείρων
ἤιε χωλαίνων Κρονίδης βεβριθότι μηρῶι,
νῦσος ὅτι γλώσσηι Συρακοσσίδι χωλὸς ἀκούει·
καὶ θεὸν ἀρτιλόχευτον ἐφήμισαν Εἰραφιώτην,
ὅττί μιν εὐώδινι πατὴρ ἐρράψατο μηρῶι.
καί μιν ἀχυτλώτοιο διαΐσσοντα λοχείης
πήχεϊ κοῦρον ἄδακρυν ἐκούφισε σύγγονος Ἑρμῆς.
καὶ βρέφος εὐκεράοιο φυῆς ἴνδαλμα Σελήνης
ὤπασε θυγατέρεσσι Λάμου ποταμηίσι Νύμφαις,
παῖδα Διὸς κομέειν σταφυληκόμον· αἱ δὲ λαβοῦσαι
Βάκχον ἐπηχύναντο, καὶ εἰς στόμα παιδὸς ἑκάστη
ἀθλιβέων γλαγόεσσαν ἀνέβλυεν ἰκμάδα μαζῶν.
καὶ πάις ἀντικέλευθον ἐς οὐρανὸν ὄμμα τιταίνων

σῆς Κλυμένης ἀπόναιο, καὶ εἰς Σεμέλην ταχὺς ἔλθω.
Nonnus ζεῦξον ἐμοὶ τεὸν ἅρμα, φαεσφόρε καὶ σὺ Σελήνη,
μαρμαρυγὴν πέμπουσα φυτηκόμον, ὅττι γενέθλην
θεσπίζει γάμος οὗτος ἀεξιφύτου Διονύσου,
καὶ Σεμέλης ἐρατοῖσιν ἐπαντέλλουσα μελάθροις
λάμψον ἐμοὶ ποθέοντι σὺν ἀστέρι Κυπρογενείης,
καὶ γλυκερὴν μήκυνε Διὸς θαλαμηπόλον ὄρφνην."
τοῖα πατὴρ ἀγόρευε, τά περ πόθος οἶδε κελεῦσαι.
ἀλλ ὅτε οἱ σπεύδοντι χαμαιγενὲς ἄλμα τιταίνων
ἀκροτενὴς περίμετρος ἀνέδραμε κῶνος ὀμίχλης,
δυομένης ζόφον ὑγρὸν ἄγων ἀντίσκιον Ἠοῦς,
ἀστερόεν τότε δῶμα παρέστιχεν ἠέριος Ζεὺς
εἰς Σεμέλης ὑμέναιον, ἀτεκμάρτωι δὲ πεδίλωι
ἄλμα θορὼν πρώτιστον ὅλην παρεμέτρεε ταρσῶι
ἀτραπὸν ἠερίην· τὸ δὲ δεύτερον ἵκετο Θήβην
ὡς πτερὸν ἠὲ νόημα· διεσσυμένωι δὲ μελάθρου
αὐτόματοι πυλεῶνος ἀνωίχθησαν ὀχῆες.
◆ καὶ Σεμέλην φιλίωι παλάμης ἠγκάσσατο δεσμῶι.
πῆι μὲν ὑπὲρ λεχέων βοέην μυκώμενος ἠχώ,
ἀνδρομέοις μελέεσσιν ἔχων κερόεσσαν ὀπωπήν,
ἰσοφυὲς μίμημα βοοκραίρου Διονύσου,
πῆι δὲ λεοντείην πυκινότριχα δύσατο μορφήν,
ἄλλοτε πόρδαλις ἦεν, ἅτε θρασὺν υἷα φυτεύων,
πορδαλίων ἐλατῆρα καὶ ἡνιοχῆα λεόντων·
ἄλλοτε μιτρωθεῖσαν ὑπὸ σπείρηισι δρακόντων
L3[O] νυμφίος ἀμπελόεντι κόμην ἐσφίγγετο δεσμῶι,
οἴνοπα δινεύων ἑλικώδεα κισσὸν ἐθείρης,
Βάκχου πλεκτὸν ἄγαλμα· δράκων δέ τις ἀγκύλος ἕρπων
ταρβαλέης λιχμᾶτο ῥοδόχροον αὐχένα νύμφης
χείλεσι μειλιχίοισι, κατὰ στέρνοιο δὲ βαίνων
ἀκλινέων τροχόεσσαν ἴτυν μιτρώσατο μαζῶν,
συρίζων ὑμέναιον, ἐυσμήνοιο μελίσσης
ἡδὺ μέλι προχέων, οὐ λοίγιον ἰὸν ἐχίδνης.
Ζεὺς δὲ γάμωι δήθυνε, καὶ ὡς παρὰ γείτονι ληνῶι
Εὔιον ἐσμαράγησε, φιλεύιον υἷα φυτεύων·
καὶ στόματι στόμα πῆξεν ἐρωμανές, ἱμερόεν δὲ
νέκταρ ἀναβλύζων Σεμέλην ἐμέθυσσεν ἀκοίτης,
νεκταρέης ἵνα παῖδα τέκηι σκηπτοῦχον ὀπώρης,
ἄγγελον ἐσσομένων λαθικηδέα βότρυν ἀείρων,
πυρσοφόρωι νάρθηκι καταχθέα πῆχυν ἐρείσας·
ἄλλοτε θύρσον ἄειρε πολύπλοκον οἴνοπι κισσῶι,
δέρμα φέρων ἐλάφοιο· γυναιμανέος δὲ φορῆος
λαιῶι ποικιλόνωτος ἐσείετο νεβρὶς ἀγοστῶι.
γαῖα δὲ πᾶσα γέλασσε, καὶ αὐτοφύτοισι πετήλοις
ὄρχατος ἀμπελόεις Σεμέλης περιδέδρομεν εὐνήν,
καὶ δροσεροῦ λειμῶνος ἀνέβρυον ἄνθεα τοῖχοι
ἀμφὶ γονῆι Βρομίοιο, καὶ ἀννεφέλων ἐπὶ λέκτρων
βρονταίοις πατάγοισιν ἐπέκτυπεν ἐνδόμυχος Ζεὺς
τύμπανα νυκτελίοιο προθεσπίζων Διονύσου.
καὶ Σεμέλην μετὰ λέκτρα φίλωι προσπτύξατο μύθωι

43 (23C) ὤρεγε μὲν Κρονίωνι· πατὴρ δέ μιν ἠδέι κόλπωι
δέκτο λαβών, μηρῶι δὲ συνέρραφεν· ἀντὶ δὲ καρποῦ Nonnus
ταυροφυὴς κερόεντι τύπωι μορφούμενος ἀνὴρ
αὐτοτελὴς βλάστησεν ὑπὲρ βουβῶνα τοκῆος·
καὶ Σεμέλη φυτὸν ἦεν. ὑπερφρίσσουσα δὲ κούρη
ἐκ λεχέων ἀνέπαλτο καὶ ἐπτοίησε τοκῆα
εὐπετάλων ἐνέπουσα σελασφόρον ἀτμὸν ὀνείρων.
καὶ Σεμέλης δεδόνητο φυτὸν πυρίκαυτον ἀκούων
Κάδμος ἄναξ· καλέσας δὲ θεηγόρον υἷα Χαρικλοῦς
πρώιος αὐθαλόεντας ἐπέφραδε παιδὸς ὀνείρους.
καὶ τότε Τειρεσίαο δεδεγμένος ἔνθεον ὀμφὴν
παῖδα πατὴρ προέηκεν ἐς ἠθάδα νειὸν Ἀθήνης
Ζηνὶ θυηπολέουσαν ἀκοντιστῆρι κεραυνοῦ
ταῦρον ὁμοκραίροιο φυῆς ἴνδαλμα Λυαίου,
καὶ τράγον ἐσσομένης σταφυλητόμον ἐχθρὸν ὀπώρης.
ἔνθεν ἔβη πρὸ πόληος, ὅπως Διὶ βωμὸν ἀνάψηι,
ἀστεροπῆς μεδέοντι· παρισταμένη δὲ θυηλαῖς
αἵματι κόλπον ἔδευσε, φόνωι δ' ἐρραίνετο κούρη·
καὶ πλοκάμους ἐδίηναν ἀφειδέες αἵματος ὁλκοί,
καὶ βοέαις λιβάδεσσιν ἐπορφύροντο χιτῶνες·
καὶ δρόμον ἰθύνουσα βαθυσχοίνωι παρὰ ποίηι
γείτονος Ἀσωποῖο μετέστιχε πάτριον ὕδωρ
παρθένος αἰολόπεπλος, ἵνα σμήξειε ῥεέθροις
στικτὰ πολυρραθάμιγγι δεδευμένα φάρεα λύθρωι.
καὶ φόβον ἄλλον ἔδεκτο, καὶ ὑψόθι γείτονος ὄχθης
ἠώιην παρὰ πέζαν ἀλεξικάκου Διονύσου L3[O]
εἰς ῥόον, εἰς ἀνέμους ἀπεσείσατο τάρβος ὀνείρων.
οὐκ ἀθεεὶ δὲ ῥέεθρα μετήιεν, ἀλλά ἑ κείνου
εἰς προχοὰς ποταμοῖο προμάντιες ἤγαγον Ὧραι.
καὶ Σεμέλην ὁρόωσα παρ' Ἀσωποῖο ῥεέθροις
λουομένην ἐγέλασσεν ἐν ἠέρι φοιτὰς Ἐρινὺς
4 (1C) μνησαμένη Κρονίωνος, ὅτι ξυνήονι πότμωι
ἀμφοτέρους ἤμελλε βαλεῖν φλογόεντι κεραυνῶι {…}
κεῖθι δέμας φαίδρυνε, σὺν ἀμφιπόλοισι δὲ γυμνὴ
χεῖρας ἐρετμώσασα δι' ὕδατος ἔτρεχε κούρη·
καὶ κεφαλὴν ἀδίαντον ἐκούφισεν ἴδμονι τέχνηι
ὑψι τιταινομένην ὑπὲρ οἴδματος, ἄχρι κομάων
ὑγροβαφής, καὶ στέρνον ἐπιστορέσασα ῥεέθρωι
5 ποσσὶν ἀμοιβαίοισιν ὀπίστερον ὤθεεν ὕδωρ.
οὐδὲ Διὸς λάθεν ὄμμα πανόψιον· ἀμφὶ δὲ κούρηι
ὑψιφανὴς ἐλέλιζεν ἀτέρμονα κύκλον ὀπωπῆς.
καὶ βιοτῆς ἐπίκουρον ἐν ἠέρι τόξον ἀνέλκων
πατρὸς ὀπιπευτῆρος Ἔρως ἀντώπιος ἔστη,
τοξευτὴρ ἀκίχητος· ἐπ' ἀνθοκόμωι δὲ βελέμνωι
νευρὴ μὲν σελάγιζεν, ὀπισθοτόνοιο δὲ τόξου
ἑλκομένου ῥοίζησε σοφὸν βέλος Εὔιον ἠχώ.
Ζεὺς δὲ πατὴρ σκοπὸς ἦεν ὁ τηλίκος· οὐτιδανῶι δὲ
αὐχένα κάμψεν Ἔρωτι· καὶ εἴκελος ἀστέρος ὁλκῶι
συριγμῶι γαμίωι δεδονημένος ἰὸς Ἐρώτων
εἰς κραδίην Διὸς ἦλθε παράτροπος ἔμφρονι παλμῶι,

ἀκροτάταις γλυφίδεσσιν ἐπιγράψας πτύχα μηροῦ,
ἐσσομένου τοκετοῖο προάγγελος. ἔνθα Κρονίων
ἄστατον ὄμμα φέρων γαμίης ὀχετηγὸν ἀνάγκης
παρθενικῆς ἐς ἔρωτα πόθου μαστίζετο κεστῷ·
καὶ Σεμέλην ὁρόων ἀνεπάλλετο, μὴ σχεδὸν ὄχθης
Εὐρώπην ἐνόησε τὸ δεύτερον· ἐν κραδίῃ δὲ
κάμνε πάλιν Φοίνικα φέρων πόθον· ἀγλαΐης γὰρ
τῆς αὐτῆς τύπον εἶχεν, ἀεὶ δέ οἱ ἀμφὶ προσώπῳ
πατροκασιγνήτης ἀμαρύσσετο σύγγονος αἴγλη.
Ζεὺς δὲ πατὴρ δολόεσσαν ἑὴν ἠλλάξατο μορφήν,
καὶ Σεμέλης δι' ἔρωτα προώριος αἰετὸς ἔπτη
ὑψόθεν Ἀσωποῖο, θυγατρογόνου ποταμοῖο,
Αἰγίνης ἅτε μάντις εὐπτερύγων ὑμεναίων
ὀξυφαὲς μίμημα φέρων ὄρνιθος ὀπωπῆς·
αἰθέρα δὲ προλέλοιπε καὶ ἀγχιπόρου σχεδὸν ὄχθης
γυμνὸν ἐυπλοκάμοιο δέμας διεμέτρεε κούρης·
οὐ γὰρ ἰδεῖν μενέαινεν ἀπόπροθεν, ἀλλὰ δοκεύειν
ἀγχιφανὴς πάνλευκον ὅλον δέμας ἤθελε νύμφης,
ὅττι τόσον καὶ τοῖον ἀτέρμονα πάντοθι πέμπων
ὀφθαλμὸν περίμετρον, ὅλου θηήτορα κόσμου,
ἄρκιον οὐ δοκέεσκεν ἰδεῖν μίαν ἄζυγα κούρην.
καὶ ῥοδέοις μελέεσσιν ἐφοινίχθη μέλαν ὕδωρ,
καὶ ῥόος ἱμερόεις ποταμήιος ἔπλετο λειμὼν
ἀστράπτων Χαρίτεσσιν. ὀπιπεύουσα δὲ νύμφην
Νηιὰς ἀκρήδεμνος ἀνήρυγε θαύματι φωνήν·
L3[I] "μὴ προτέρην μετὰ Κύπριν ἀμερσιγάμῳ Κρόνος ἅρπῃ
μήδεα πατρὸς ἔτεμνεν, ἕως πάλιν ἀφρὸς ἐχέφρων
εἰς τόκον αὐτοτέλεστον ἄγων μορφούμενον ὕδωρ.
ὁπλοτέρην ὤδινε θαλασσαίην Ἀφροδίτην;
μὴ ποταμὸς μετὰ πόντον ὁμοζήλοισι λοχείαις
κύματος αὐτογόνοιο λεχώιον ὁλκὸν ἑλίσσων
ἄλλην Κύπριν ἔτικτε, καὶ οὐχ ὑπόειξε θαλάσσῃ;
μὴ μία Μουσάων τις ἐμὸν πατρώιον ὕδωρ
γείτονος ἐξ Ἑλικῶνος ἐδύσατο, καί τινι πηγῆς
Πηγασίδος προλέλοιπε μελισταγὲς ἵππιον ὕδωρ
ἢ ῥόον Ὀλμειοῖο; τιταινομένην δὲ ῥεέθροις
παρθένον ἀργυρόπεζαν ἔσω ποταμοῖο δοκεύω·
πείθομαι, ὡς ἐθέλουσα μολεῖν ἐπὶ Λάτμιον εὐνὴν
εἰς λέχος Ἐνδυμίωνος, ἀκοιμήτοιο νομῆος,
λούεται Ἀονίῃσιν ἐνὶ προχοῇσι Σελήνη·
εἰ δὲ δέμας φαίδρυνε χάριν γλυκεροῖο νομῆος,
τί χρέος Ἀσωποῖο μετὰ ῥόον Ὠκεανοῖο;
εἰ δὲ καὶ αἰθερίην μεθέπει χιονώδεα μορφήν,
Μήνης ποῖον ἔχει σημήιον; ἀστομίων γὰρ
οὐρήων ζυγόδεσμα καὶ ἀργυρόκυκλος ἀπήνη
αἰγιαλῷ παρέασιν, ὑποζεῦξαι δὲ λεπάδνῳ
ἡμιόνους οὐκ οἶδε βοῶν ἐλάτειρα Σελήνη.
εἰ δέ τις οὐρανίη θεὸς ἤλυθε — παρθενικῆς γὰρ
γλαυκὰ γαληναίων βλεφάρων ἀμαρύγματα λεύσσω —,
καὶ τάχα Τειρεσίαο παλαιοτέρην μετὰ νείκην
44 (24C) λούσατο δέρμα βαλοῦσα πάλιν γλαυκῶπις Ἀθήνη.
κούρη μὲν ῥοδόπηχυς ἔχει θεοειδέα μορφήν·
εἰ δέ μιν ἀγλαόφορτος ἐπιχθονίη τέκε γαστήρ,
αἰθερίων Κρονίωνος ἐπάξιος ἔπλετο λέκτρων."
τοῖα μὲν ἐν ῥοθίοισιν ὑποβρυχίη φάτο φωνή.
Ζεὺς δὲ πυριγλώχινι πόθου δεδονημένος οἴστρῳ
νηχομένης πάπταινε ῥοδόχροα δάκτυλα κούρης·
ἀσταθέος δ' ἐλέλιζεν ἀλήμονα κύκλον ὀπωπῆς,
πῇ μὲν ὀπιπεύων ῥοδέου σπινθῆρα προσώπου,
πῇ δὲ βοογλήνων βλεφάρων σέλας, ἄλλοτε χαίτην
πλαζομένην ἀνέμοισι, παρελκομένων δὲ κομάων
ἀσκεπέος σχοπίαζεν ἐλεύθερον αὐχένα κούρης·
στέρνα δὲ μᾶλλον ὄπωπε, κατὰ Κρονίδαο δὲ γυμνοὶ
μαζοὶ ἐθωρήχθησαν ἀκοντιστῆρες Ἐρώτων·
καὶ χρόα πάντα δόκευεν· ἀθηήτοιο δὲ μούνου
ὄμμασιν αἰδομένοισι παρήλυθεν ὄργια κόλπου.
καὶ Διὸς αἰθερίοιο νόος μετανάστιος ἕρπων
νηχομένῃ Σεμέλῃ συνενήχετο· θελγομένῳ δὲ
ἡδυμανῆ σπινθῆρα δεδεγμένος ἠθάδι θυμῷ
παιδὶ πατὴρ ὑπόειξεν· ἀκιδνοτάτῳ δὲ βελέμνῳ
βαιὸς Ἔρως ἔφλεξεν ὀιστευτῆρα κεραυνοῦ·
οὐδὲ χύσις νιφετοῖο, καὶ οὐ φλογόεντι φορῆι
ἀστεροπὴ χραίσμησεν, ἐνικήθη δὲ καὶ αὐτὴ
ἀπτολέμου Παφίης ὀλίγῳ πυρὶ τοσσατίη φλὸξ
οὐρανίη· καὶ βαιὸς Ἔρως λασιότριχι ῥινῷ,
αἰγίδι κεστὸς ἔριζεν, ἐρωτοτόκῳ δὲ φαρέτρῃ L3[I]
βρονταίης βαρύδουπος ἐδουλώθη κτύπος ἠχοῦς.
καὶ Σεμέλης δεδόνητο πόθου φρενοθελγέι κέντρῳ
θάμβος ἔχων· φιλίῳ γὰρ ἔρως πέλε θαύματι γείτων.
καὶ μόγις εἰς πόλον ἦλθε δολοπλόκος ὑψιμέδων Ζεὺς
ἔνθεον ἀμφιέπων παλινάγρετον εἶδος ὀπωπῆς.
5 (2C) καὶ νυχίης ἐθέλων Σεμέλης ἐπιβήμεναι εὐνῆς
εἰς δύσιν ὄμμα τίταινε, πότε γλυκὺς Ἕσπερος ἔλθῃ·
καὶ δολιχὴν Φαέθοντος ἐμέμφετο δείελον ὥρην,
καὶ φιλίοις στομάτεσσι δυσίμερον ἴαχε φωνήν·
"ἔννεπε, Νὺξ χρονίη, φθονερὴ πότε δύεται Ἠώς;
ἀλλὰ σὺ δαλὸν ἄειρε Διὸς προκέλευθον Ἐρώτων,
λαμπάδα νυκτιπόλοιο προθεσπίζουσα Λυαίου.
6 ζηλήμων Φαέθων με βιάζεται· ἦ ῥα καὶ αὐτὸς
ἱμείρει Σεμέλης καὶ ἐμοὶ ποθέοντι μεγαίρει;
Ἠέλιε, κλονέεις με, καὶ εἰ μάθες οἶστρον Ἐρώτων·
φειδομένῃ μάστιγι πόθεν βραδὺν ἵππον ἱμάσσεις;
οἶδα καὶ ὀξυτάτην ἑτέρην δύσιν· ἣν ἐθελήσω,
καὶ σὲ καὶ ἠριγένειαν ἐμοῖς νεφέεσσι καλύψω,
καὶ σέο κευθομένοιο φανήσεται ἠματίη Νὺξ
Ζηνὸς ἐπειγομένοιο γαμοστόλος, ὄφρα φαείνῃ
ἄστρα μεσημβρίζοντα, καὶ ἠθάδα πομπὸν Ἐρώτων
Ἕσπερον ἀντέλλοντα καὶ οὐ δύνοντα τελέσσω.
ἀλλὰ τεὸν προκέλευθον Ἑωσφόρον εἰς δύσιν ἕλκων
50 σοὶ καὶ ἐμοὶ ποθέοντι χαρίζεο, παννύχιος δὲ

Nonnus

παιδὶ φιλοθρήνωι κινυρὴν βρυχήσατο φωνήν,
μεμφομένη Κρονίωνα καὶ ἄγγελον υἱέα Μαίης·
“καλά μοι, ἀργικέραυνε, πόρες θρεπτήρια Βάκχου·
ἡμιδαῆ σκοπίαζε συνήλικα παῖδα Λυαίωι·
ἣν ἐθέλῃς, πρήνιξον ἀφειδέι σεῖο κεραυνῶι
μητέρα καὶ νέον υἷα, τὸν ἔτρεφον εἰν ἑνὶ κόλπωι
σύντροφον ὑμετέροιο θεηγενέος Διονύσου.
τέκνον, Ἀναγκαίη μεγάλη θεός· εἰς τίνα φεύγεις;
ποῖον ὄρος δέχεταί σε πεφυγμένον ἐγγύθι πόντου;
τίς σκοτίωι κενεῶνι κατακρύψει σὲ Κιθαιρών;
τίς βροτὸς οἰκτείρει σε, τὸν οὐ γενέτης ἐλεαίρει;
ἢ ξίφος ἤ σε θάλασσα δεδέξεται· εἴ περ ἀνάγκη,
λώιον ἐν πελάγεσσι δαμήμεναι ἠὲ μαχαίρηι.
οἶδα, πόθεν τόδε πῆμα τεῆι κεκύλιστο τεκούσηι,
οἶδα, πόθεν· Νεφέλη γὰρ Ἐρινύας εἰς ἐμὲ πέμπει,
ὄφρα θάνω κατὰ πόντον, ὅπηι πέσε παρθένος Ἕλλη.
ἔκλυον ἠερόθεν πεφορημένον εἰς χθόνα Κόλχων
ἅρπαγος ἀρνειοῖο μετήορον ἡνιοχῆα
Φρίξον ἔτι ζώειν μετανάστιον· αἴθε καὶ αὐτὸς
χρυσοπόκου κριοῖο μετάρσιον οἶμον ὁδεύοι
υἱὸς ἐμὸς λιπόπατρις ἀλυσκάζων Μελικέρτης·
αἶθε δὲ καὶ μετὰ Φοῖβον ἐποικτείρων σέθεν Ἰνὼ
ξεινοδόκος Γλαύκοιο Ποσειδάων σε σαώσηι.
δείδια, μὴ μετὰ πότμον ἀτυμβεύτοιο Λεάρχου
νεκρὸν ἄθαπτον ἄδακρυν ὀλωλότα καὶ σὲ νοήσω
L1[O] αἱμαλέηι γενετῆρος ἐπισπαίροντα μαχαίρηι.
σπεῦδε φυγεῖν Ἀθάμαντα μεμηνότα, μηδὲ νοήσῃς
παιδοφόνον γενετῆρα τεῆς ὀλετῆρα τεκούσης.
δέξό με καὶ σύ, θάλασσα, μετὰ χθόνα· δέχνυσο, Νηρεῦ,
χειρὶ φιλοξείνωι μετὰ Περσέα καὶ Μελικέρτην·
δέχνυσο καὶ Δανάης μετὰ λάρνακα σύμπλοον Ἰνώ.
ἄξια δυσσεβίης καὶ ἐγὼ πάθον, ὅττι καὶ αὐτὴν
ἄσπορον ἡμετέρην γενεὴν ποίησε Κρονίων,
ἄσπορον ὡς ἐτέλεσσα φερέσβιον αὔλακα γαίης·
μητρυιή τις ἐοῦσα νόθην Ἀθαμαντίδα φύτλην
ἀμῆσαι προβέβουλα, καὶ εἰς ἐμὲ χώεται Ἥρη
μητρυιὴ γεγαυῖα νεοτρεφέος Διονύσου.”
ὣς φαμένη τρομεροῖσιν ὑπ’ ἴχνεσιν ἥλατο πόντωι,
κραιπνὰ κυβιστήσασα σὺν υἱέι· Λευκοθέην δὲ
πεπταμέναις παλάμῃσιν ἐδέξατο κυανοχαίτης
δαίμοσιν ὑγροπόροισιν ὁμέστιον· ἔνθεν ἀρήγει
ναύταις πλαζομένοισι, καὶ ἔπλετο ποντιὰς Ἰνὼ
Νηρεῒς ἀφλοίσβοιο κυβερνήτειρα γαλήνης.
τὴν μὲν ἄναξ Κρονίδης ἐπεδείκνυε μητρὶ Λυαίου,
ὅττι χάριν Βρομίοιο θεὰ πέλεν· ἡ δὲ χαρεῖσα
γνωτῆι ποντοπόρωι φιλοκέρτομον ἴαχε φωνήν·
“Ἰνώ, πόντον ἔχεις, Σεμέλη λάχε κύκλον Ὀλύμπου·
εἶξον ἐμοί· Κρονίδην γὰρ ἐμῆς ἀροτῆρα γενέθλης
ἀθάνατον πόσιν ἔσχον, ἐμῆς ὠδῖνα λοχείης
10.132 ἀντ’ ἐμέθεν τίκτοντα, σὺ δὲ χθονίωι παρακοίτῃ
νυμφεύθης Ἀθάμαντι, τεῆς ὀλετῆρι γενέθλης.

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The eighth has a changeful tale, the fierce jeolousy of Hera, and Semele's fiery nuptials, and Zeus the slayer.

NONNUS

DIONYSIACA

BOOK 8

PREVIEW BOOK 10

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 418 lines 3.0
3L 1 - 418

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: **51** to **56**

Ὣς εἰπὼν ἐς Ὄλυμπον ἔβη θεός· ἐν δὲ μελάθρωι
ὑψορόφωι νόον εἶχεν ἀλώμενον ἐγγύθι νύμφης,
Θήβης οἶστρον ἔχων πλέον αἰθέρος· ἱμερόεις γὰρ
οὐρανὸς ἦν Κρονίδηι Σεμέλης δόμος, ἀμφὶ δὲ παστῶι
ἀμφίπολοι Καδμοιο Διὸς πέλον εὔποδες Ὧραι.
  καὶ γαμίηι ῥαθάμιγγι Διιπετέων ὑμεναίων
ὄγκωι θλιβομένη Σεμέλης κυμαίνετο γαστήρ·
μαρτυρίηι δὲ τόκοιο φιλοστεφάνου Διονύσου
στέμματι θυμὸν ἔτερπεν, ἐπ’ ἀνθοκόμωι δὲ καρήνωι
θυιάδος αὐτοέλικτον ἀνέπλεκε κισσὸν ἐθείρης
Βασσαρίδων ἅτε μάντις, ἐπεσσομένηισι δὲ νύμφαις
ὄψιμον ἀγχιτόκοισιν ἐπωνυμίην πόρε κισσοῦ.
καὶ βαρὺν ὄγκον ἔχουσα θεηγενέος τοκετοῖο,
εἴ ποτέ τις σύριγγι γέρων ἐμελίζετο ποιμήν,
γείτονος εἰσαΐουσα φιλαγραύλου μέλος Ἠχοῦς,
οἰοχίτων θαλάμοιο διέστιχε θυιάδι ῥιπῆι·
εἰ κτύπος οὐρεσίφοιτος ἀκούετο δίζυγος αὐλοῦ,
ὑψορόφων ἀπέδιλος ἀναθρώισκουσα μελάθρων
εἰς ῥάχιν αὐτοκέλευστος ἐρημάδος ἔστιχεν ὕλης·
κύμβαλον εἰ πλατάγησε, ποδῶν ἐλελίζετο παλμῶι,
λοξῶι καμπύλον ἴχνος ὑποσκαίρουσαι πεδίλωι·
εἰ δὲ τανυκραίροιο μεμυκότος ἔκλυε ταύρου,
ἀντίτυπον μίμημα βοὸς μυκήσατο λαιμῶι·
πολλάκι ποιμενίην ὑπὸ δειράδα θυιάδι φωνῆι
Πανὶ μέλος συνάειδε καὶ ἔπλετο σύνθροος Ἠχώ,
καὶ νόμιον κερόεντος ἀμειβομένη κτύπον αὐλοῦ
εἰς χορὸν ἴχνος ἔκαμψε· πάις δ’ ἀλόχευτος ἐχέφρων
ἅλμασιν ἐνδομύχοισι συνεσκίρτησε τεκούσηι
αὐλομανὲς μίμημα, καὶ αὐτοδίδακτον ἀοιδὴν
ἡμιτελὴς κελάδησε χέων ὑποκόλπιον ἠχώ.
ὣς ὁ μὲν ἀρσενόπαιδος ἀέξετο γαστέρος ὄγκωι
ἄγγελος εὐφροσύνης, νοερὸν βρέφος· ἀμφὶ δὲ κούρωι
ἀμφίπολοι Κρονίωνος ἐπέστεφον οὐρανὸν Ὧραι.
  καὶ Φθόνος ὑψιμέδοντος ὀπιπεύων Διὸς εὐνὴν
καὶ Σεμέλης ὠδῖνα θεηγενέος τοκετοῖο
Βάκχου ζῆλον ἔδεκτο καὶ ἔνδοθι γαστρὸς ἐόντος,
αὐτοπαθὴς ἄστοργος ἑῶι βεβολημένος ἰῶι.
καὶ φρενὶ κερδαλέηι σκολιὴν ἐφράσσατο βουλὴν
Ἄρεος ἀντιτύποιο φέρων ψευδήμονα μορφὴν
ἔντεσι μιμηλοῖσι, καὶ οἷά περ αἵματος ὁλκῶι
ἄνθεϊ φαρμακόεντι **κατέγραφε** νῶτα βοείης
ποιητῆι ῥαθάμιγγι, καὶ ὡς κταμένων ἀπὸ φωτῶν
βάψας ἰσοτύπωι δεδολωμένα δάκτυλα μίλτωι
χεῖρας ἐρευθιόωντι νόθωι φοινίσσετο λύθρωι·
καὶ κτύπον ἐννεάχιλον ἀνήρυγεν ἀνθερεῶνος
σμερδαλέοις στομάτεσσι χέων ῥηξήνορα φωνήν·
κλεψινόοις δ’ ὀάροισιν ἀνεπτοίησεν Ἀθήνην,
καὶ φθονερὴν οἴστρησεν ἔτι πλέον εἰς χόλον Ἥρην·
ἀμφοτέρας δ’ ἐρέθιζε· τόσωι δ’ ἠνίπαπε μύθωι·
  “δίζεό σοι νέον ἄλλον ἐν αἰθέρι νυμφίον, Ἥρη,

Εὐμενίδων, καὶ γλῶσσα βαρύνετο θυιάδι φωνῆι·
παπταίνων δ’ ἑλικηδὸν ὑπὸ στροφάλιγγι προσώπου
ἀλλοφυὲς νόθον εἶδος ἀθηήτοιο Μεγαίρης
οἰστρομανὴς Ἀθάμας ἑτερόφρονι σείετο παλμῶι·
καὶ βλοσυρῆς ἀπὸ χειρὸς ἀμερσινόοιο θεαίνης
ἁρπάξαι μενέαινεν ἐχιδνήεσσαν ἱμάσθλην·
γυμνώσας δὲ μάχαιραν Ἐρινύος ἀντία κόρσης
ἤθελε Τισιφόνης ὀφιώδεα βόστρυχα τέμνειν.
καὶ κενεοῖς ὀάροισιν ὁμίλεε γείτονι τοίχωι
παπταίνων σκιόεσσαν ἐπίκλοπον εἰκόνα μορφῆς
Ἀρτέμιδος, καὶ κοῦφον ἰδὼν εἴδωλον ὀπωπαῖς
φάσμασιν ἀντιτύποισιν ἐς ἵμερον ἤλυθεν ἄγρης.
  ὀψὲ δὲ ποικιλόδακρυς ἔτος μέτα τέτρατον Ἰνὼ
νόστιμος εἰς δόμον ἦλθεν· ὀπιπεύουσα δὲ νύμφη
καὶ πόσιν οἰστρηθέντα καὶ ἀρσενόπαιδα Θεμιστὼ
διπλόον ἄλγος ἔδεκτο. καὶ οὐ γίνωσκεν ἀκοίτης
εὐνέτιν ἀθρήσας χρονίην παλινάγρετον Ἰνώ·
ἀλλὰ πόθον ταχύγουνος ἔχων κεμαδοσσόον ἄγρης
εἰς σκοπιὰς ἤιξε θυελλήεντι πεδίλωι,
υἱὸν ἰδὼν ἅτε θῆρα κερασφόρον· ἰθυτενὲς δὲ
τόξον ἔχων ἀκίχητος ἐπεσκίρτησε Λεάρχωι,
ὑψίκερων ἔλαφον δοκέων ψευδήμονι μορφῆι,
θηρείοις μελέεσσιν ὁμοίιον· αὐτὰρ ὁ φεύγων
ταρβήεις πεπότητο θοώτερα γούνατα πάλλων.
χερσὶ δὲ λυσσαλέηισιν ὑπηνέμιον βέλος ἕλκων
παιδοφόνωι νέον υἷα πατὴρ ἐπέδησε βελέμνωι·
καὶ κεφαλὴν ἄγνωστον ἀπηλοίησε μαχαίρηι
φάσματι νεβρωθεῖσαν· ἀσημάντου δὲ προσώπου
αἱμαλέης ἐγέλασσε γενειάδος ἄκρον ἀφάσσων,
ἀμφαφόων ἅτε θῆρα, καὶ ἔδραμεν ἅλματι λύσσης,
παιδὸς ἔτι σπαίροντος ἀτυμβεύτοιο Λεάρχου,
μητέρα μαστεύων, στροφάδας δ’ ἐλέλιζεν ὀπωπάς.
οὐδέ τις ἀμφιπόλων σχεδὸν ἤιε· φοιταλέος δὲ
ἑπταμύχου θαλάμοιο διέστιχεν ὠκέι ταρσῶι
κικλήσκων ἑὸν υἷα, τὸν ἔκτανεν. ἐν δὲ μελάθρωι
νήπιον ἀρτικόμιστον ἐσαθρήσας Μελικέρτην,
στηρίξας δὲ λέβητα πυρίπνοον ἐσχαρεῶνι,
εἰς μέσον υἱέα θῆκεν· ἀναπτομένοιο δὲ πυρσοῦ,
φοίνιος ὑδατόεντι λέβης ἐπεπάφλασεν ἀτμῶι.
  παππάζων δ’ ἰάχησεν ἑὸς πάις, οὐδέ τις αὐτῶι
ἀμφιπόλων χραίσμησεν· ἀελλήεσσα δὲ μήτηρ
ἡμιδαῆ πυρίκαυτον ἀφαρπάξασα λεβήτων
ἅλμασι φοιταλέοισι ποδήνεμος ἔτρεχεν Ἰνώ·
καὶ Λευκοῦ πεδίοιο διατμήγουσα κονίην
Λευκοθέη πεφάτιστο φερώνυμος. ἐκ δὲ μελάθρου
αἰνομανὴς Ἀθάμας ἀνεμώδεα γούνατα πάλλων
ὠκυτέρην ἐδίωκε μάτην ὀρεσίδρομον Ἰνώ.
ἀλλ’ ὅτε οἱ σχεδὸν ἦλθε πολυπτοίητος ἀκοίτης
ἄστατον ἴχνος ἔχων σφαλερῶι ποδί, δὴ τότε δειλὴ
ἀγχιπόρωι στήσασα διαινόμενον πόδα πόντωι

ἄσθμασι φειδομένοισιν ἐχυτλώσαντο κεραυνοί· 46
Nonnus καὶ Σεμέλη πυρόεσσαν ἐσαθρήσασα τελευτὴν
ὤλετο τερπομένη λόχιον μόρον· ἦν δὲ νοῆσαι
Ἵμερον, Εἰλείθυιαν, Ἐρινύας εἰν ἑνὶ παστῷ.
καὶ βρέφος ἡμιτέλεστον ἑῷ γενετῆρι λοχεῦσαι
οὐρανίῳ πυρὶ γυῖα λελουμένον ἤγαγεν Ἑρμῆς.
Ζεὺς δὲ βαρυζήλοιο μετατρέψας νόον Ἥρης
ἄγριον ἐπρήυνε παλίλλυτον ὄγκον ἀπειλῆς,
καὶ φλογερὴν Σεμέλην μετανάστιον εἰς πόλον ἄστρων
οὐρανὸν οἶκον ἔχουσαν ἀνήγαγε μητέρα Βάκχου
αἰθερίοις ναέτῃσιν ὁμέστιον, ὡς γένος Ἥρης,
ὡς τόκον Ἁρμονίης ἐξ Ἄρεος, ἐξ Ἀφροδίτης·
καὶ καθαρῷ λούσασα νέον δέμας αἴθοπι πυρσῷ
{…} καὶ βίον ἄφθιτον ἔσχεν Ὀλύμπιον· ἀντὶ δὲ Κάδμου
καὶ χθονίου δαπέδοιο καὶ Αὐτονόης καὶ Ἀγαύης
σύνθρονον Ἄρτεμιν εὗρε καὶ ὡμίλησεν Ἀθήνῃ
καὶ πόλον ἔδνον ἔδεκτο, μιῆς ψαύουσα τραπέζης
8.418 ✦ Ζηνὶ καὶ Ἑρμάωνι καὶ Ἄρεϊ καὶ Κυθερείῃ.

10.1 Ὣς ἡ μὲν φονίη παιδοκτόνος ἔπλετο μήτηρ
μαινομένη· τεκέων δὲ πατὴρ ὑπὸ μάρτυρι ποινῇ,
ὅττι γονῆς ὀλέτειραν ὁμέστιον εἶχε Θεμιστώ,
οἰστρηθεὶς Ἀθάμας μανιώδεϊ Πανὸς ἱμάσθλῃ
ποίμνης εἰς μέσον ἦλθε, καὶ ὡς θεράποντας ἱμάσσων
εἰροπόκων ἐδίωκεν ἀναίτια πώεα μήλων·
καὶ μίαν ἠέρταζεν, ἑὴν ἅτε σύζυγα νύμφην,
L2[O] σὺν διδύμοις βρεφέεσσι νεογλαγέων ἐπὶ μαζῶν
αἶγα λαβών· λασίους δὲ πόδας σφηκώσατο δεσμῷ
διχθαδίῳ· λύσας δὲ παρ' ἰξύι κυκλάδα μίτρην
σφιγγομένης μάστιζε δέμας ψευδήμονος Ἰνοῦς,
μὴ νοέων νόθον εἶδος. ἀεὶ δέ οἱ ἔνδον ἀκουῆς
Πανιάδος Κρονίης ἐπεβόμβεε δοῦπος ἱμάσθλης·
πολλάκι δ' ἀστήρικτος ἐὼν ἀνεπάλλετο θώκων 2
οὔασι ταρβαλέοισι δεδεγμένος ἄσθμα δρακόντων.
πυκνὰ δὲ τόξα τίταινε, βέλος δ' ἐπὶ κυκλάδι νευρῇ
εἰς κενεὸν σκοπὸν εἶλκεν ἀνούτατον ἠέρα βάλλων.
Ταρταρίης δ' ὀφιῶδες ἰδὼν ἴνδαλμα θεαίνης
πάλλετο δειμαίνων ἑτερόχροα φάσματα μορφῆς,
ἀφρὸν ἀκοντίζων χιονώδεα, μάρτυρα λύσσης,
ὀφθαλμοὺς μεθύοντας ἀπειλητῆρας ἑλίσσων. 3
καί οἱ ὀπιπεύοντι πολυπλανέεσσιν ἐρωαῖς
ὄμματα φοινίσσοντο· διὰ κροτάφοιο δὲ λεπταὶ
ἀσταθέος μήνιγγες ἐδινεύοντο καρήνου.
ὤλετο δὲ ψυχῆς τρίτατον λάχος· ἀπλανέες γὰρ
ἄφρονος ἐγκεφάλοιο μετατρωπῶντο μενοιναί,
καὶ σφαλεραῖς ἑλίκεσσιν ἐβακχεύθησαν ὀπωπαὶ
ἀνέρος οἰστρηθέντος· ἀπεπλάζοντο δὲ χαῖται
σειόμεναι περὶ νῶτον ἀκερσικόμοιο καρήνου.
✦ καὶ στόμα οἱ βάμβαινε, καὶ ἠέρι χείλεα λύσας
πέμπεν ἀσημάντων ἐπέων ἑτερόθροον ἠχώ.
10.32 καὶ βροτέας βιότοιο μεληδόνας ἥρπασαν αὖραι 53

ἄλλον, ἐπεὶ Σεμέλη τεὸν ἥρπασεν, ἧς χάριν εὐνῆς
Θήβης ἑπταπύλοιο γαμήλιον οὖδας ἀμείβων Nonnus
οὐρανὸν ἑπτάζωνον ἀναίνεται· ἀντὶ σέθεν δὲ
τέρπεται ἀγκὰς ἔχων χθονίην ἐγκύμονα νύμφην.
πῆι μοι ζῆλος ἔβη μητρώιος; ἦ ῥα καὶ αὐτῆς
εἰς Σεμέλης ὑμέναιον ἐθηλύνθη χόλος Ἥρης;
πῆι σέο κέντρα μύωπος ἀφειδέος; οὐκέτι πόντῳ
πόρτις ἀλιπτοίητος ἐλαύνεται; οὐκέτι βούτης
Ἄργος ἀκοιμήτοισι πολυσπερέεσσιν ὀπωπαῖς
κλεψιγάμου Κρονίδαο νεώτερα λέκτρα φυλάσσει;
ἀλλὰ τί μοι δόμος οὗτος Ὀλύμπιος; εἰς χθόνα βαίνων
αἰθέρα καλλείψω πατρώιον, ἡμετέρην δὲ
Θρήικην ναιετάων οὐ μητέρος ἄλγεα λεύσσω
ἀχνυμένης, οὐ Ζῆνα γαμοκλόπον· εἰ δέ ποτ' ἔλθῃ
γαῖαν ἐς ἡμετέρην ποθέων Βιστωνίδα κούρην,
γνώσεται, οἷος Ἄρης, ὅτε χώεται· ἡμετέρην γὰρ
Τιτήνων ὀλέτειραν ἔχων θανατηφόρον αἰχμὴν
ἐκ Θρῄκης Κρονίωνα γυναιμανέοντα διώξω·
καὶ πρόφασιν μεθέπων, ὅτι παρθένον εἰς λέχος ἕλκει,
ἔσσομαι αὐτοκέλευστος ἐμῆς τιμήορος εὐνῆς,
ὅττι χαμαιγενέεσσιν ὁμιλήσας ὑμεναίοις
αἰθέρα ποικιλόνωτον ἑῶν ἔπλησεν ἐρώτων.
οὐρανὸς ἱλήκοι, μερόπων δόμος· ἄξονα βαίνω;
Καλλιστὼ κατ' Ὄλυμπον ἑλίσσεται, ἧχι φαείνει
κύκλος ἀερσιλόφοιο φερώνυμος Ἀρκάδος Ἄρκτου.
Πλειάδος ἑπταπόρου στυγέω δρόμον· ἐν γὰρ Ὀλύμπῳ L2[O]
Ἠλέκτρη κλονέει με συναστράπτουσα Σελήνῃ.
νῦν πόθεν ἠρεμέεις; ὑποκόλπιον υἱέα Λητοῦς
ἤκαχες Ἀπόλλωνα, καὶ οὐ Διόνυσον ὀρίνεις;
τικτομένης, Ἥφαιστε, μογοστόκε Τριτογενείης,
υἷα νόθης ἀλόχοιο λοχεύσεται αὐτοτόκος Ζεὺς
ὠδίνων τόκον ἄλλον ὑπέρτερον ἄρσενι μηρῷ,
οὐδὲ τεοῦ βουπλῆγος ἔτι χρέος. εἶξον, Ἀθήνη,
λῆγε Διὸς βοόωσα λεχώιον ἄντυγα κόρσης,
ὅττι σοφὴν ὠδῖνα τελεσσιγόνοιο καρήνου
αἰσχύνει Διόνυσος, ὅτι χθονίης ἀπὸ φύτλης
ἔσσεται αὐτολόχευτος Ὀλύμπιος, ὥς περ Ἀθήνη,
κρύπτων Παλλάδος εὖχος ἀμήτορος. ἀλλὰ καὶ αὐτὸς
αἰδέομαι πολὺ μᾶλλον, ὅταν μερόπων τις ἐνίψῃ·
'Ζεὺς πόρε δῆριν Ἄρηι καὶ εὐφροσύνην Διονύσῳ.'
ἀλλὰ πόλον Κρονίδαο νόθοις τεκέεσσιν ἐάσας
ἵξομαι οὐρανόθεν μετανάστιος· ὑγροπαγὴς δὲ
Ἴστρος ἐὸν σκηπτοῦχον ἀλητεύοντα δεχέσθω,
πρὶν Διὸς οἰνοχόον Γανυμήδεα δεῦρο νοήσω,
βουκόλον εὐχαίτην, μετὰ Πέργαμον ἀστὸν Ὀλύμπου,
οὐρανίης ἄψαυστον ἀμειβόμενον δέπας Ἥβης,
πρὶν Σεμέλην καὶ Βάκχον ἴδω ναετῆρας Ὀλύμπου,
καὶ στέφος ἀστερόφοιτον ἐπιχθονίης Ἀριάδνης
σύνδρομον Ἠελίοιο, συνέμπορον ἠριγενείης.
κεῖθι μένω, μὴ Κῆτος ἴδω, μὴ Περσέος ἅρπην, 8.100

μὴ τύπον Ἀνδρομέδης, μὴ Γοργόνος ὄμμα Μεδούσης,
οὓς Κρονίδης μετόπισθεν ἐνιστήσειεν Ὀλύμπωι.”
εἶπε, καὶ αὐτογόνοιο νόον συνέχευεν Ἀθήνης,
καὶ πλέον ἠέξησε βαρυζήλου χόλον Ἥρης.
καὶ Φθόνος ὀξὺς ὄρουσε, καὶ ἀγκύλα γούνατα πάλλων
ἤιε λοξὰ κέλευθα δι’ ἠέρος· ἀνδρομέοις δὲ
ὄμμασι καὶ πραπίδεσσιν ὁμοίιος ἔσσυτο καπνῶι,
εἰς δόλον, εἰς κακότητα νόον τελχῖνα κορύσσων.
οὐδὲ Διὸς βαρύμηνις ἐλώφεεν εὐνέτις Ἥρη·
ἀλλὰ θυελλήεντι παραΐξασα πεδίλωι
ποικίλον εὐφαέεσσι κεκασμένον οὐρανὸν ἄστροις
ἄσπετα φοιτητῆρι διέδραμεν ἄστεα ταρσῶι,
κερδαλέην Ἀπάτην διζημένη, εἴ που ἐφεύροι.
ἀλλ’ ὅτε Δικταίης Κορυβαντίδος ὑψόθι πέτρης
γείτονος Ἀμνισοῖο λεχώιον ἔδρακεν ὕδωρ,
ἔνθά οἱ ἀλλοπρόσαλλος ὀρεστιὰς ἤντετο δαίμων·
καὶ γὰρ ἀεὶ παρέμιμνε Διὸς ψευδήμονι τύμβωι
◆ τερπομένη Κρήτεσσιν, ἐπεὶ πέλον ἠπεροπῆες.
ἀμφὶ δέ οἱ λαγόνεσσι Κυδωνιὰς ἔρρεε μίτρη,
τῆι ἔνι δαίδαλα πάντα βροτῶν θελκτήρια κεῖται·
ἐν μὲν ἐπικλοπίη πολυμήχανος, ἐν δ’ ὀαριστὺς
πάρφασις, ἐν δὲ δόλοι πολυειδέες, ἐν δὲ καὶ αὐτὸς
σύνδρομος ἠερίοις ἀπατήλιος ὅρκος ἀήταις.
καὶ δολίην Ἀπάτην δολίωι μειλέξατο μύθωι
Ἥρη ποικιλόμητις, ἀμυνομένη παρακοίτην·
L2[I] “χαῖρε, θεὰ δολόμητι δολοπλανές· οὔ σε καὶ αὐτὸς
κλεψινόοις ὀάροισι παρέρχεται αἱμύλος Ἑρμῆς·
δὸς καὶ ἐμοὶ ζωστῆρα παναίολον, ὅν ποτε Ῥείη
δῆσεν ἑαῖς λαγόνεσσιν, ἕως ἀπάφησεν ἀκοίτην.
οὐ μὲν ἐγὼ Κρονίωνι φέρω πετρώδεα μορφήν,
οὐδὲ λίθωι δολόεντι παρακλέπτω παρακοίτην,
ἀλλὰ γυνὴ χθονίη με βιάζεται, ἧς χάριν εὐνῆς
θοῦρος Ἄρης βαρύμηνις ἀναίνεται αἰθέρα ναίειν.
τί πλέον, εἰ γενόμην θεὸς ἄμβροτος; οὐτιδανὴ γὰρ
θνητὴ ἐμὸν πόσιν ἔσχε, τὸν οὐ θεὸς ἥρπασε Λητώ·
οὐ Δανάηι παρίαυε τὸ δεύτερον ὑέτιος Ζεύς,
ἀλλὰ σιδηροφόροιο μετὰ σφρηγῖδα μελάθρου
μεμφομένη χρυσέοισι γάμοις ναυτίλλετο νύμφη,
καὶ λάχεν ἕδνον Ἔρωτος ὕδωρ ἁλός· ἐν δὲ θαλάσσηι
σύμπλοος ἀσταθέεσσιν ἐνήχετο χηλὸς ἀήταις.
οὐδὲ μετὰ Κρήτην πάλιν ἔπλεε ταῦρος Ὀλύμπου,
οὐκ ἴδεν Εὐρώπην μετὰ δέμνιον· ὑγροβαφὴς δὲ
οἰστρηθεῖσα μύωπι κερασφόρος ἔπλεεν Ἰώ.
οὐδὲ θεὰ γάμον εἶχεν ἐλεύθερον, ἀλλὰ καὶ αὐτὴ
γαστέρι φόρτον ἔχουσα πολύστροφος ἔτρεχε Λητώ,
ἄστατα παπταίνουσα πολυπλανέων σφυρὰ νήσων
καὶ ῥόον οὐ μίμνοντα κακοξείνοιο θαλάσσης,
καὶ λοχίης μόγις εἶδεν ἐλεύθερον ἔρνος ἐλαίης.
Λητὼ τόσσα μόγησε, καὶ οὐ χραίσμησεν ἀκοίτης·
θνητῆς δ’ ὠκυμόροιο μιῆς διὰ δέμνια νύμφης

47 (25c) Ζεὺς δὲ πατὴρ αἴων φθονεραῖς ἐπεμέμφετο Μοίραις,
καὶ Σεμέλην ἐλέαιρεν ἀώριον· ἀμφὶ δὲ Βάκχωι
κερδαλέον γίνωσκεν ἀμειλίκτου χόλον Ἥρης.
Ἑρμείηι δὲ κέλευεν ἀπὸ φλογεροῖο κεραυνοῦ
ἁρπάξαι νέον υἷα πυριβλήτοιο Θυώνης.
καί τινα μῦθον ἔλεξε πατὴρ ὑψαύχενι κούρηι·
“ὦ γύναι, ἦ σε δόλοις φθονερὸς νόος ἤπαφεν Ἥρης·
ἦ ῥα, γύναι, δοκέεις, ὅτι μείλιχοί εἰσι κεραυνοί;
τλῆθι μένειν χρόνον ἄλλον, ἕως ἔτι φόρτον ἀείρεις,
τλῆθι μένειν χρόνον ἄλλον, ἕως ἐμὸν υἷα λοχεύεις·
μὴ πρὸ τόκου πυρόεντας ἀπαιτίζηις με φονῆας·
οὐ στεροπὴν μεθέπων Δανάης σύλησα κορείην,
οὐ βροντῆς κελάδημα, καὶ οὐ Τυρίης σέο νύμφης
Εὐρώπης ὑμέναιον ἐνυμφεύσαντο κεραυνοί,
οὐκ ἴδεν Ἰναχίη δαμάλη σέλας· ἀλλὰ σὺ μούνη
θνητὴ ἀπαιτίζεις με, τὰ μὴ θεὸς ἤιτεε Λητώ.”
τοῖον ἔπος κατέλεξε καὶ οὐ μενέαινεν ἐρίζειν
νήμασι Μοιριδίοισι· δι’ αἰθερίοιο δὲ κόλπου
ἀστράπτων πεφόρητο καὶ ἱκεσίην ἕο νύμφης
οὐκ ἐθέλων ἐτέλεσσε πόσις στεροπηγερέτα Ζεύς,
εἰς Σεμέλην δ’ ἐχόρευε κατηφέι χειρὶ τιταίνων
νυμφιδίους σπινθῆρας ἀμερσιγάμοιο κεραυνοῦ·
καὶ θάλαμος στεροπῆισιν ἐλάμπετο, καὶ πυρὸς ἀτμῶι
Ἰσμηνὸς σελάγιζεν, ὅλη δ’ ἀμαρύσσετο Θήβη.
καὶ Σεμέλη φλογόεντας ἑοὺς ὁρόωσα φονῆας
αὐχένα γαῦρον ἄειρε καὶ ὑψινόωι φάτο φωνῆι· L2[I]
“πηκτίδος οὐ χατέω λιγυηχέος, οὐ χρέος αὐλοῦ·
βρονταὶ ἐμοὶ γεγάασι Διὸς σύριγγες Ἐρώτων,
αὐλὸς ἐμοὶ κτύπος οὗτος Ὀλύμπιος, αἰθερίης δὲ
δαλὸς ἐμῶν θαλάμων στεροπῆς σέλας· οὐτιδανῶν δὲ
οὐκ ἀλέγω δαΐδων· δαΐδες δέ μοί εἰσι κεραυνοί.
3 (1c) εἰμὶ δάμαρ Κρονίωνος, Ἐχίονός ἐστιν Ἀγαύη,
Αὐτονόην καλέσωσιν Ἀρισταίοιο γυναῖκα·
Ἰνὼ ἔχει Νεφέλην, Σεμέλη λάχε σύγγαμον Ἥρην.
οὐ γενόμην Ἀθάμαντος ἐγὼ δάμαρ, ὠκύμορον δὲ
οὐ τέκον Ἀκταίωνα κυνοσπάδα, σύννομον ὕλης.
οὐ χατέω φόρμιγγος ὀλίζονος· οὐρανίη γὰρ
ἀστραίη Κιθάρη Σεμέλης ὑμέναιον ἀείδει.”
4 ἔννεπε κυδιόωσα καὶ ἤθελε χερσὶν ἀφάσσειν
ἀστεροπὴν ὀλέτειραν, ἀφειδήσασα δὲ Μοίρης
τολμηρῆι παλάμηι φονίων ἔψαυσε κεραυνῶν·
καὶ γάμος ἦν Σεμέλης θανατηφόρος, ἧς ἐνὶ θεσμῶι
πυρκαϊὴν καὶ τύμβον ἐθήκατο παστὸν Ἐρινύς·
καὶ λοχίαις ἀκτῖσι γαμήλιον ἄσθμα κεραυνοῦ
Ζηνὸς ἀφειδήσαντος ὅλην τεφρώσατο νύμφην·
καὶ στεροπὴ πέλε μαῖα, καὶ Εἰλείθυια κεραυνοί·
κόλπου δ’ αἰθομένοιο διαθρώισκοντα τεκούσης
Βάκχον ἐπουρανίη μαιώσατο φειδομένη φλόξ,
μητροφόνωι σπινθῆρι μαραινομένων ὑμεναίων·
καὶ βρέφος ἠλιτόμηνον ἀδηλήτου τοκετοῖο

οὐκ ἐθέλω γέρας ἶσον, ὅ περ χθονίη λάχε νύμφη. 48 (26C)
Nonnus Εὐρώπηι λίπε ταῦρον, ἔα Δανάηι χύσιν ὄμβρου·
Ἥρης μοῦνος ἔχει με γάμων φθόνος. εἴ με γεραίρεις,
παστὸν ἐμὸν κόσμησον ἐπουρανίωι σέο πυρσῶι
αἰθύσσων νεφέων ἐρόεν σέλας, ἀστεροπὴν δὲ
ἕδνον ἐμῆς φιλότητος ἀπειθέι δεῖξον Ἀγαύηι·
Αὐτονόη φρίξειεν ἐμῶι παρὰ γείτονι παστῶι
νυμφοκόμων ἀίουσα μέλος βρονταῖον Ἐρώτων,
σύμβολον αὐτοβόητον ἀκηρύκτων σέο λέκτρων.
δὸς δέ, περιπτύξαιμι φίλην φλόγα καὶ φρένα τέρψω
ἀστεροπῆς ψαύουσα καὶ ἀμφαφόωσα κεραυνούς.
δός μοι σῶν θαλάμων ζυγίην φλόγα· πᾶσα δὲ νύμφη
πυρσὸν ἔχει πομπῆα τελεσσιγάμων ὑμεναίων.
ἦ ῥα τεῶν γαμίων οὐκ ἄξιός εἰμι κεραυνῶν
Ἄρεος αἷμα φέρουσα καὶ ὑμετέρης Ἀφροδίτης;
δειλὴ ἐγώ; Σεμέλης μὲν ἔχει γάμος ὠκύμορον πῦρ
καὶ χθονίους λαμπτῆρας, ἐφαπτομένη δὲ κεραυνοῦ
✦ καὶ στεροπῆς ψαύουσα τεὴ νυμφεύεται Ἥρη.
νυμφίε τερπικέραυνε, σὺ μὲν πολυφεγγέι παστῶι
ἔνθεον εἶδος ἔχων ἐπὶ δέμνιον ἔρχεαι Ἥρης
ἀστεροπαῖς γαμίηισι καταυγάζων σέο νύμφην
Ζεὺς πυρόεις, Σεμέληι δὲ δράκων ἢ ταῦρος ἱκάνεις·
κείνη μὲν βαρύδουπον Ὀλύμπιον ἦχον Ἐρώτων
εἰσαΐει, Σεμέλη δὲ τύπωι σκιοειδέι μορφῆς
ταύρου ψευδαλέοιο νόθον μυκηθμὸν ἀκούει·
L3[O] ἄψοφος εἰς ἐμὰ λέκτρα κατέρχεται ἀννέφελος Ζεύς,
καὶ νεφεληγερέτης ὑψαύχενι μίγνυται Ἥρηι.
κούρης δ᾽ αἰνογάμοιο πατὴρ ἐμὸς αἴσχεα φεύγων
ἐνδόμυχος σέο Κάδμος ἀλυσκάζει πάτον ἀνδρῶν,
αἰδόμενος ναέτηισι φανήμεναι, ὅττι πολῖται
πάντες ἐφυβρίζουσι τεοῖς κρυφίοις ὑμεναίοις
μεμφόμενοι Σεμέλην, ὅτι φώριον ἔσχεν ἀκοίτην. 4 (2C)
καλὸν ἐμοὶ πόρες ἕδνον ὀνείδεα θηλυτεράων·
καὶ χορὸς ἀμφιπόλων ἐμὲ μέμφεται, ἔξοχα δ᾽ ἄλλων
δειμαίνω στόμα λάβρον ἀσιγήτοιο τιθήνης.
μνώεο, τίς Τυφῶνι δολόφρονα πότμον ὑφαίνων
σοὶ πόρεν ἁρπαμένοιο πάλιν σπινθῆρα κεραυνοῦ·
δεῖξον ἐμῶι γενετῆρι, τά περ πόρε· γηραλέος γὰρ
Κάδμος ἀπαιτίζει με τεῆς σημήιον εὐνῆς. 5
οὔ πω ἐγὼ Κρονίωνος ἀληθέος εἶδον ὀπωπήν,
οὐ βλεφάρων ἀκτῖνα σελασφόρον, οὐδὲ προσώπου
μαρμαρυγὰς ἐνόησα καὶ ἀστράπτουσαν ὑπήνην·
οὔ πω ἴδον τεὸν εἶδος Ὀλύμπιον, ἀλλὰ δοκεύω
πόρδαλιν ἠὲ λέοντα, θεὸν δ᾽ οὐκ εἶδον ἀκοίτην.
ὡς βροτὸν εἰσορόω σε θεὸν μέλλουσα λοχεύειν.
ἄλλον ἐγὼ πυθόμην φλογερὸν γάμον· Ἠέλιος γὰρ
σὺν πυρὶ νυμφιδίωι Κλυμένην ἠγκάσσατο νύμφην."
ἔννεπεν αἰτίζουσα φίλον μόρον· ἶσα γὰρ Ἥρηι
εἰς γάμον ἀθρῆσαι μινυώριος ἔλπετο νύμφη
μειλίχιον σπινθῆρα γαληναίοιο κεραυνοῦ.

οὐρανίης ἀπέειπε κασιγνήτης λέχος Ἥρης.
δείδια, μὴ Κρονίδης με πόσις καὶ γνωτὸς ἀκούων Nonnus
αἰθέρος ἐξελάσειε γυναικείης χάριν εὐνῆς,
μὴ Σεμέλην τελέσειεν ἑοῦ βασίλειαν Ὀλύμπου.
εἰ δὲ Διὶ Κρονίωνι χαρίζεαι, ἠέ περ Ἥρηι,
μηδὲ τεὴν ὀπάσειας ἐμοὶ πανθελγέα μίτρην,
ὄφρα μόληι πρὸς Ὄλυμπον ἐμὸς πάλιν υἱὸς ἀλήτης,
ὑστατίην ἐπὶ πέζαν ἐλεύσομαι Ὠκεανοῖο
αἰθέρα καλλείψασα χάριν βροτέων ὑμεναίων
Τηθύος ἀρχεγόνοιο συνέστιος· ἔνθεν ἱκάνω
εἰς δόμον Ἁρμονίης, καὶ Ὀφίονος ἐγγύθι μίμνω.
ἀλλὰ σύ, κυδαίνουσα Διὸς παμμήτορα νύμφην,
δός μοι ἔχειν ζωστῆρα βοηθόον, ὄφρα φυγόντα
θέλξω θοῦρον Ἄρηα τὸ δεύτερον αἰθέρα ναίειν."
ὣς φαμένης ἀπάμειπτο θεὰ πειθήμονι μύθωι·
"μῆτερ Ἐνυαλίοιο, Διὸς πρωτόθρονε νύμφη,
δώσω ἐμὸν ζωστῆρα, καὶ εἰ πλέον ἄλλο κελεύεις·
πείθομαι, ὅττι θεοῖσι μετὰ Κρονίωνος ἀνάσσεις.
δέχνυσο τοῦτον ἱμάντα· περισφίγξασα δὲ κόλπωι
Ἄρεα μὲν κομίσειας ἐς οὐρανόν· ἢν δ᾽ ἐθελήσηις,
θέλγε νόον Κρονίδαο καί, εἰ χρέος, Ὠκεανοῖο
χωομένου· χθονίων δὲ λιπὼν ὑμέναιον Ἐρώτων
ἵξεται αὐτοκέλευστος ἐς οὐρανὸν ὑψιμέδων Ζεὺς
ἡμετέρωι δολόεντι περιγνάμψας φρένα κεστῶι·
οὗτος ἐμῆς Παφίης φρενοθελγέα κεστὸν ἐλέγχει."
ὣς φαμένη δολόμητις ὑπηνέμιος φύγε δαίμων L3[O]
ἠέρα πωτήεντι διαστείχουσα πεδίλωι.
Δικταίης δὲ λιποῦσα σακέσπαλον ἄντρον ἐρίπνης
καὶ λοχίην σπήλυγγα τελεσσιγόνοιο θεαίνης
εἰς θάλαμον Σεμέλης ἀπατήλιος ἤλυθεν Ἥρη,
ζήλωι φυσιόωσα· μελιγλώσσωι δὲ γεραιῆι
ἰσοφανὴς φιλόπαιδι δέμας μορφοῦτο τιθήνηι
παιδοκόμωι, τὴν αὐτὸς ἀνηέξησεν Ἀγήνωρ,
καί οἱ κλῆρον ἔδωκε, καὶ ὤπασεν ἀνδρὶ γυναῖκα
οἷα πατήρ· κομιδῆς δὲ χάριν τίνουσα καὶ αὐτὴ
νήπιον εἰσέτι Κάδμον ἑῶι μαιώσατο μαζῶι
καὶ βρέφος Εὐρώπην φιλίωι πήχυνεν ἀγοστῶι.
τῆι δέμας ἶσον ἔχουσα διέστιχεν εἰς δόμον Ἥρη
χωομένη Σεμέληι καὶ Κύπριδι καὶ Διονύσωι
μή πω φέγγος ἰδόντι, καὶ ἀρτιγάμωι παρὰ παστῶι
τοῖχον ἐς ἀντικέλευθον ἑὴν ἔκλινεν ὀπωπὴν
ὄμμα παρατρέψασα, Διὸς μὴ λέκτρα νοήσηι.
τὴν μὲν Πεισιάνασσα καθίζανεν ὑψόθι δίφρου
ἀμφίπολος Σεμέλης, Τυρίης βλάστημα γενέθλης,
Θελξινόη δὲ τάπητας ἐνήρμοσεν ἤνοπι δίφρωι.
ἔνθα θεὰ σχεδὸν ἧστο δολοπλόκος· εὗρε δὲ κούρην
βριθομένην ὠδῖνι πεπαινομένου τοκετοῖο·
καὶ τόκον, οὐ ψαύοντα τελεσσιγόνοιο Σελήνης,
γαστρὸς ἀσημάντου χλοερὴ κήρυξε παρειὴ
καὶ χλόος οἰνώπων μελέων πάρος· ἐζομένης δὲ

Ἥρης ψευδομένης δολόεν δέμας ἔτρεμε παλμῶι
ἀντιτύπωι, καὶ νέρθεν ἐπὶ χθόνα κάμπτετο νεύων
ὤμοις θλιβομένοισι γέρων κυρτούμενος αὐχήν.
καὶ πρόφασιν μόγις εὗρεν· ἐπεστενάχιζε δὲ μύθωι
δάκρυον εὐποίητον ἀποψήσασα προσώπου,
καὶ δολόεν κατέλεξεν ἔπος φρενοθελγέν φωνῆι·
"εἰπέ, πόθεν, βασίλεια, τεαὶ χλοάουσι παρειαί;
πῆι σέο κάλλος ἐκεῖνο; τίς εἴδεϊ σεῖο μεγαίρων
πορφυρέους σπινθῆρας ἀπημάλδυνε προσώπου;
καὶ ῥόδα τίς μετάμειψεν ἐς ὠκυμόρους ἀνεμώνας;
καὶ σὺ κατηφιόωσα τί τήκεαι; ἦ ῥα καὶ αὐτὴ
ἔκλυες αἴσχεα κεῖνα, τά περ βοόωσι πολῖται;
ἐρρέτω ἀρχεκάκων ὀλοὸν στόμα θηλυτεράων.
εἰπὲ δέ μοι, μὴ κρύπτε τεῆς συλήτορα μίτρης·
τίς σε θεῶν ἐμίηνε; τίς ἥρπασε σεῖο κορείην;
εἰ μὲν Ἄρης λαθραῖος ἐμὴν νυμφεύσατο κούρην
καὶ Σεμέληι παρίανεν ἀφειδήσας Ἀφροδίτης,
✦ ἐλθέτω εἰς σέο λέκτρα γαμήλιον ἔγχος ἀφάσσων·
γινώσκει μενέχαρμον ἑὸν γενέτην σέο μήτηρ.
εἰ δέ σοι ὠκυπέδιλος ἐκώμασε νυμφίος Ἑρμῆς
καὶ Σεμέλης διὰ κάλλος ἑὴν ἠρνήσατο Πειθώ,
ῥάβδον ἑὴν ὀπάσειε τεῆς αὐτάγγελον εὐνῆς,
ἠέ σε κοσμήσειεν ἑοῖς χρυσέοισι πεδίλοις
δῶρον ἄγων λεχέων σέθεν ἄξιον, ὄφρα καὶ αὐτὴ
εἴης χρυσοπέδιλος, ἅ περ Διὸς εὐνέτις Ἥρη.
L3[I] εἰ δέ σοι οὐρανόθεν πόσις ἤλυθε καλὸς Ἀπόλλων
καὶ Σεμέλης ὑπ᾽ ἔρωτι λελασμένος ἔπλετο Δάφνης,
νόσφι δόλου κρυφίοιο δι᾽ ἠέρος εἰς σὲ χορεύσηι
ἁβρὸς ἀσιγήτων ἐποχημένος ἅρματι κύκνων,
ἔδνα τεῆς φιλότητος ἑὴν φόρμιγγα κομίζων,
πιστὸν ἐῶν θαλάμων σημήιον· εἰσορόων γὰρ
Κάδμος ἐπουρανίην κιθάρην Φοίβοιο νοήσει,
ἣν ἴδεν αἰολόφωνον ἑῆς παρὰ δεῖπνα τραπέζης
Ἁρμονίης μέλπουσαν ἐπιχθονίους ὑμεναίους.
εἰ δὲ γυναιμανέων σε βιήσατο κυανοχαίτης,
καί σε σοφῆς προβέβουλεν ἀειδομένης Μελανίππης,
ἀμφαδὰ κωμάσσειε, παρὰ προπύλαια δὲ Κάδμου
νυμφιδίης πήξειεν ἑῆς γλωχῖνα τριαίνης,
ξυνώσας γέρας ἶσον ἐχιδνοκόμωι παρὰ Δίρκηι,
οἷα παρ᾽ Ἀργείοισι λεοντοβότωι παρὰ Λέρνηι,
σῆμα γάμων ἔστησεν Ἀμυμώνης, ὅθι νύμφης
Λερναίης ἔτι χῶρος ἐπώνυμός ἐστι τριαίνης.
ἀλλὰ τί κικλήσκω σε παρευνέτιν ἐννοσιγαίου;
ποῖα Ποσειδάωνος ἔχεις σημήια λέκτρων;
ὑδρηλαῖς παλάμηισι χυθεὶς ἠγκάσσατο Τυρὼ
παφλάζων δολόεντι ῥόωι μιμηλὸς Ἐνιπεύς.
εἰ δὲ καί, ὡς ἐνέπεις, σέο νυμφίος ἐστὶ Κρονίων,
ἐλθέτωι εἰς σέο λέκτρα σὺν ἱμερόεντι κεραυνῶι,
ἀστεροπῆι γαμίηι κεκορυθμένος, ὄφρά τις εἴπηι·
'Ἥρης καὶ Σεμέλης νυμφοστόλοι εἰσὶ κεραυνοί.'

49 (27C) ζηλήμων περ ἐοῦσα Διὸς δάμαρ οὔ σε χαλέψει·
οὐ γὰρ ἐπιτρέψειε τεὸς μητρώιος Ἄρης.
ὀλβίη Εὐρώπη Σεμέλης πλέον, ἣν ὑπὲρ ὤμων
Ζεὺς κερόεις ἀνάειρε· ποθοβλήτοιο δὲ ταύρου
ἄβροχος ἀκροτάτοιο δι᾽ ὕδατος ἔτρεχε χηλή,
καὶ σκάφος ἦεν Ἔρωτος ὁ τηλίκος. ἆ μέγα θαῦμα,
παρθένος ἡνιόχευε τὸν αἰθέρος ἡνιοχῆα.
ὀλβίζω Δανάην Σεμέλης πλέον, ἧς διὰ κόλπου
χρύσεος ἐξ ὀρόφοιο κατέρρεεν ὑέτιος Ζεὺς
ἀφνειῆι ῥαθάμιγγι γυναιμανέος νιφετοῖο·
οὐ μὲν χρύσεα δῶρα μακαρτάτη ἤιτεε νύμφη·
εἶχε γὰρ ἕδνον Ἔρωτος ὅλον πόσιν. ἀλλά τις εἴη
σιγὴ ἐφ᾽ ἡμείων, γενέτης μὴ Κάδμος ἀκούσηι."
ὣς φαμένη λίπε δῶμα καὶ ἀχνυμένην ἔτι νύμφην,
Ἥρης ζῆλον ἔχουσαν ἀμιμήτων ὑμεναίων,
μεμφομένην Κρονίωνι· παλιννόστωι δὲ κελεύθωι
αἰθέρος ἔνδον ἵκανε, καὶ οὐρανίωι παρὰ θώκωι
κείμενα δερκομένη Διὸς ἔντεα νόσφι φορῆος,
οἷά περ εἰσαΐοντα, φίλωι μειλίξατο μύθωι·
"βροντή, καὶ σὲ λέλοιπεν ἐμὸς νεφεληγερέτα Ζεύς;
τίς πάλιν ἁρπάξας σε τεὸν γύμνωσε φορῆα;
βροντή, ἐσυλήθης — οὐκ αἴτιός ἐστι Τυφωεύς —
Ἥρης ξυνὰ παθοῦσα παρήγορε· νυμφοκόμος γὰρ
ἡμέας ἀμφοτέρους ἀπαναίνεται ὑέτιος Ζεύς.
οὐ νιφετοῖς ἔτι γαῖα παλύνεται, ὑγροχύτου δὲ
ὄμβρου λειπομένου περιβόσκεται αὐχμὸς ἀρούρης L3[I]
αὔλακα, καρπὸν ἔχων ἀχρήιον· ἀγρονόμοις δὲ
ἀντὶ κελαινεφέος κικλήσκεται ἀννέφελος Ζεύς.
ἀστεροπαί, Κρονίωνι πυρώδεα ῥήξατε φωνήν,
Ζηνὶ γυναιμανέοντι, φίλοι, φθέγξασθε, κεραυνοί.
ἀλλὰ βαρυζήλων ἀχέων ποινήτορες Ἥρης
5 (3C) εἰς Σεμέλην ἔρχεσθε γαμοστόλοι, ἔνδα δὲ μίτρης
λισσομένη φλογόεντας ἑοὺς δέξαιτο φονῆας."
τοῖα μὲν ἀφθόγγοις Διὸς ἔντεσιν ἴαχεν Ἥρη
ἀχνυμένη, φθονερῶι δὲ χόλωι κυμαίνετο δαίμων.
καὶ Σεμέλη βαρύδεσμος ἑῶι νεοπενθέι θυμῶι
ἀστεροπὴν ποθέουσα, πυραυγέα πομπὸν Ἐρώτων,
μεμφομένοις στομάτεσσιν ἑὸν λιτάνευεν ἀκοίτην,
6 Ἡραίης ἐθέλουσα πυριστεφέος τύπον εὐνῆς·
"πρὸς Δανάης λίτομαί σε ῥυηφενέων ὑμεναίων,
δὸς χάριν, Εὐρώπης κερόεις πόσις· αἰδέομαι γὰρ
κικλήσκειν Σεμέλης σε, τὸν ὡς ὄναρ εἶδον, ἀκοίτην.
Ἀκρίσιος Καδμοιο μακάρτερος· ἀλλὰ καὶ αὐτὴ
ἤθελον, εἰ χρύσειον ἴδον γάμον, ὑέτιε Ζεῦ,
εἰ μὴ τοῦτο γέρας σέο Περσέος ἥρπασε μήτηρ·
ἤθελον, εἴ μὲ κόμισσας ἐν ὕδασι ταῦρος ὁδίτης
ὤμοις ὑμετέροισιν, ἵνα πλάζοιτο καὶ αὐτὸς
γνωτὸς ἐμὸς Πολύδωρος, ἀλήμονος ἅρπαγα νύμφης
μαστεύων, ἅτε Κάδμος, ἐμὸν Κρονίωνα φορῆα.
ἀλλὰ τί μοι βοέοιο γάμου τύπος ἢ νιφετοῖο;

Ἰνοῦς τλησιπόνοιο καὶ ἁρπαμένου Διονύσου.
Nonnus οὐ μὲν ἄναξ Ἀθάμας κινυρὴν ὠδύρετο νύμφην,
ἀλλὰ λιπὼν ἄμνηστον ἀκηρύκτου πόθον Ἰνοῦς
δισσοτόκου Νεφέλης προτέρης μετὰ δέμνια νύμφης
ἁβρὰ βαθυζώνοιο μετέστιχε λέκτρα Θεμιστοῦς,
καὶ τρίτον εἰς ὑμέναιον ἄγων Ὑψηίδα κούρην
Ἰνοῦς ῥῖψεν ἔρωτα· καὶ ὡς τροφὸς ἁβρὸν ἀθύρων.
ὑψιπόρωι στροφάλιγγι μετάρσιον ἠέρι πέμπων,
κούφισε παππάζοντα παρηγορέων Μελικέρτην·
καί οἱ δακρυχέοντι γαλακτοφόρου περὶ θηλῆς
ἄρσενα μαζὸν ὄρεξε, πόθον δ' ἀνέκοψε τεκούσης.
ἐκ λεχέων δ' Ἀθάμαντος ἀνηέξησε Θεμιστὼ
υἱέας εὐθώρηκας, ἀλεξητῆρας Ἐννοῦς,
Σχοινέα καὶ Λεύκωνα, νέην εὐήνορα φύτλην,
πρωτοτόκοις ὠδῖσιν· ἐπ' ἀμφοτέροισι δὲ μήτηρ
ξυνῆς δισσὰ γένεθλα μιῆς βλάστημα λοχείης
γείνατο Πορφυρέωνα καὶ ἔτρεφε πίονι μαζῶι
Πτοῖον, ἀλεξικάκοιο θάλος παιδήιον ἥβης,
ἄμφω τηλυγέτους καὶ ὁμήλικας, οὓς ποτε μήτηρ
μητρυιῆς ἅτε παῖδας ἀπηλοίησε Θεμιστώ,
9.321 ✦ δίπτυχον ἀγλαόπαιδος ὀιομένη γένος Ἰνοῦς.
11.1 Αὗτο δ' ἀγών· ἐρόεις δὲ νέος φιλοπαίγμονι νίκηι
κυδιόων σκίρτησεν ὁμέψιος ἥλικι Βάκχωι
εἱλιπόδην περὶ κύκλον ἀλήμονα ταρσὸν ἀμείβων,
δεξιτερὴν πάνλευκον ἐπικλίνων Διονύσωι·
L1[O] καί μιν ἰδὼν Ἰόβακχος ἀγήνορα δίζυγι νίκηι
ποσσὶ περισκαίροντα φίλωι μειλίξατο μύθωι·
“σπεῦδε πάλιν, φίλε κοῦρε, ποδωκείης μετὰ νίκην
καὶ μετὰ πεζὸν ἄεθλον ἔχειν τρίτον ἄλλον ἀγῶνα,
νηχομένωι δ' ἀκίχητος ὁμήλικι νήχεο Βάκχωι.
Ἄμπελε, νικήσας με παρὰ ψαμάθοισι παλαίων,
ἔσσο καὶ ἐν προχοῆισιν ἐλαφρότερος Διονύσου,
καὶ Σατύρους παίζοντας ἔτι σκαρθμοῖσιν ἐάσας
εἰς τρίτατον πάλιν ἄλλον ἐπείγεο μοῦνος ἀγῶνα·
ἐν χθονὶ νικήσαις καὶ ἐν ὕδασι, καὶ μετὰ νίκην
σοὺς ἐρατοὺς πλοκάμους διδύμοις στέψαιμι κορύμβοις
διπλόα νικηθέντος ἀνικήτοιο Λυαίου.
ἔπρεπέ σοι ῥόος οὗτος ἐπήρατος, ἔπρεπε μούνωι
κάλλεϊ σῶν μελέων, ἵνα διπλόος Ἄμπελος εἴη
χρυσείηι παλάμηι χρυσαυγέα ῥεύματα τέμνων·
καὶ γυμνοῖς μελέεσσι τιταινομένου περὶ νίκης
✦ κοσμήσει σέο κάλλος ὅλον Πακτώλιον ὕδωρ.
δὸς ποταμῶι γέρας ἶσον Ὀλύμπιον, ὅττι καὶ αὐτὸς
Ὠκεανῶι Φαέθων ῥοδέας ἀκτῖνας ἰάλλει·
Πακτωλῶι πόρε καὶ σὺ τεὸν σέλας, ὄφρα φανείη
Ἄμπελος ἀντέλλων ἅτε Φωσφόρος· ἀμφότερον γὰρ
ἀστράπτει ῥόος οὗτος ἐρευθιόωντι μετάλλωι
ὡς σὺ τεοῖς μελέεσσι· βαθυπλούτωι δὲ ῥεέθρωι
σύγχροον εἶδος ἔχοντα καὶ ἡβητῆρα δεχέσθω
11.29 μίξας κάλλεϊ κάλλος, ὅπως Σατύροισι βοήσω·
‘πῶς ῥόδον εἰς ῥόδον ἦλθε; πόθεν μία κίρναται αἴγλη

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

Look into the ninth, and you will see the son of Maia, and the daughters of Lamos, and Mystis, and the flight of Ino.

NONNUS

DIONYSIACA

BOOK 9

PREVIEW BOOK 11

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 321 lines 3.0
2L 1 - 321

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: **57** to **60**

Ζεὺς δὲ πατὴρ Σεμέλης φλογερῶν νωμήτορα κόλπων
ἡμιτελῆ λοχίοιο διαθρώισκοντα κεραυνοῦ
δεξάμενος Διόνυσον ἐπέρραφεν ἄρσενι μηρῶι,
μαρμαρυγὴν δ᾽ ἀνέμιμνε τελεσσιγόνοιο Σελήνης·
καὶ παλάμη Κρονίδαο κυβερνήτειρα λοχείης
αὐτομάτη πέλε μαῖα πολυρραφέος τοχετοῖο,
παιδοτόκου λύσασα μογοστόκα νήματα μηροῦ.
καὶ Διὸς ὠδίνοντος ἴτυς θηλύνετο μηροῦ,
καὶ πάις ἠλιτόμηνος ἀμήτορι τίκτετο θεσμῶι
ἄρσενα θηλυτέρην μετὰ γαστέρα γαστέρα βαίνων.
τὸν μὲν ὑπερκύψαντα θεηγενέος τοκετοῖο
στέμματι κισσήεντι λεχωίδες ἔστεφον Ὧραι
ἐσσομένων κήρυκες, ἐπ᾽ ἀνθοκόμωι δὲ καρήνωι
εὐκεράων σκολιῆισιν ὑπὸ σπείρηισι δρακόντων
ταυροφυῆ Διόνυσον ἐμιτρώσαντο κεράστην.
καί μιν ἔσω Δρακάνοιο λεχώιον ἀμφὶ κολώνην
πήχεϊ κολπωθέντι λαβὼν Μαιήιος Ἑρμῆς
ἠερόθεν πεπότητο· λοχευομένωι δὲ Λυαίωι
πατρώιην ἐπέθηκεν ἐπωνυμίην τοκετοῖο
κικλήσκων Διόνυσον, ἐπεὶ ποδὶ φόρτον ἀείρων
ἤιε χωλαίνων Κρονίδης βεβριθότι μηρῶι,
νῦσος ὅτι γλώσσηι Συρακοσσίδι χωλὸς ἀκούει·
καὶ θεὸν ἀρτιλόχευτον ἐφήμισαν Εἰραφιώτην,
ὅττί μιν εὐώδινι πατὴρ ἐρράψατο μηρῶι.
καί μιν ἀχυτλώτοιο διαΐσσοντα λοχείης
L1[I]
πήχεϊ κοῦρον ἄδακρυν ἐκούφισε σύγγονος Ἑρμῆς.
καὶ βρέφος εὐκεράοιο φυῆς ἴνδαλμα Σελήνης
ὤπασε θυγατέρεσσι Λάμου ποταμηίσι Νύμφαις,
παῖδα Διὸς κομέειν σταφυληκόμον· αἱ δὲ λαβοῦσαι
Βάκχον ἐπηχύναντο, καὶ εἰς στόμα παιδὸς ἑκάστη
ἀθλιβέων γλαγόεσσαν ἀνέβλυεν ἰκμάδα μαζῶν.
καὶ πάις ἀντικέλευθον ἐς οὐρανὸν ὄμμα τιταίνων
ὕπτιος ἦεν ἄυπνος, ἀμοιβαίηισι δὲ ῥιπαῖς
ἠέρα λακτίζων διδυμάονι τέρπετο παλμῶι,
καὶ πόλον ἐσκοπίαζεν ἀήθεα, θαμβαλέος δὲ
πατρώιην ἐγέλασσεν ἴτυν δεδοκημένος ἄστρων.
καὶ βρέφος ἀθρήσασα Διὸς μαστίζετο νύμφη·
θυγατέρες δὲ Λάμοιο χόλωι βαρυμήνιος Ἥρης
δαιμονίης κακότητος ἐβακχεύθησαν ἱμάσθληι·
ἐν δὲ δόμωι δμωῆισιν ἐπέχραον, ἐν τριόδοις δὲ
ξεινοφόνωι δαίτρευον ὁδοιπόρον ἄνδρα μαχαίρηι·
φρικαλέαι δ᾽ ἀλάλαζον, ὑπὸ στροφάλιγγι δὲ ῥιπῆι
ὀφθαλμοὺς ἑλέλιζον ἀκοσμήτοιο προσώπου·
πάντηι δ᾽ ἔνθα καὶ ἔνθα νοοπλανέεσσι μενοιναῖς
ἔτρεχον ἀσταθέων τροχαλῶι σκιρτήματι ταρσῶν·
καὶ πλοκάμους βάκχευον ἐς ἠέρα θυιάδες αὖραι
πλαζομένους· κροκόεις δὲ περὶ στέρνοισιν ἑκάστης
ἀφροκόμωι ῥαθάμιγγι χιτὼν λευκαίνετο κούρης.
καί νύ κε φοιταλέης ἑτερόφρονι κύματι λύσσης
νήπιον εἰσέτι Βάκχον ἐμιστύλλοντο μαχαίρηι,

51 (28C)
ἄχρι χαραδρήεσσαν ἐδύσατο Δελφίδα Πυθώ·
καὶ μόγις ἴχνος ἔκαμψε δρακοντοβότωι παρὰ λόχμηι
ἄσχετα παιφάσσουσα· κατὰ στέρνοιο δὲ γυμνοῦ
πενθαλέον κήρυκα διαρρήξασα χιτῶνα
αἰνομανὴς πεφόρητο· νοοπλάγκτοιο δὲ νύμφης
οἰμωγὴν ἀίων ἑτερόθροον ἔτρεμε ποιμήν.
πολλάκι θεσπεσίηι τριποδηίδι σύμπλοκον ἕδρηι
αὐχμηραῖς τριέλικτον ὄφιν σπειρηδὸν ἐθείραις
ἥρμοσε, λεπταλέω δὲ περισφίγξασα καρήνωι
μηκεδανὴν μίτρωσε δρακοντείωι τρίχα δεσμῶι·
παρθενικὰς δ᾽ ἐδίωκε θεωρίδας. οὐ τότε λοιβή,
οὐδὲ θυηπολίη μεταδήμιος, οὐ παρὰ νηῶι
Δελφὸς ἀνὴρ ἐχόρευε· τανυπλέκτοιο δὲ κισσοῦ
γυιοβόροις ἑλίκεσσιν ἐμαστίζοντο γυναῖκες.
θηρητὴρ δ᾽ ἀλέεινεν ἰδὼν ὀρεσίδρομον Ἰνώ,
καλλείψας σταλίκων λίνεον δόλον· ὑψιλόφου δὲ
αἰπόλος ἤλασεν αἶγας ὑπὸ πτύχα φωλάδα πέτρης·
καὶ βόας ἱδρώοντας ὑπὸ ζυγόδεσμον ἐλαύνων
ἄλμασιν Ἰνώιοισι γέρων ἔφριξεν ἀροτρεύς.
καὶ χθονίης σφίγξασα βοῆς ἀλλόθροον Ἠχὼ
Πυθιὰς ὀμφήεσσα δι᾽ οὔρεος ἔτρεχε κούρη,
ἠθάδα σεισαμένη κεφαλῆι Πανοπηίδα δάφνην·
δυσαμένη δὲ κάρηνα βαθυκνήμιδος ἐρίπνης
Δελφικὸν ἄντρον ἔναιε φόβωι λυσσώδεος Ἰνοῦς.
ἀλλὰ διεσσυμένη πολυκαμπέος ἔνδιον ὕλης
οὐ λάθεν Ἀπόλλωνα πανόψιον· ἄγχι δὲ λόχμης L1[I]
οἰκτείρων ταχὺς ἦλθε, καὶ εἰς βροτὸν εἶδος ἀμείψας
νύμφης ἐγγὺς ἵκανε, καὶ ἀκρότατον δέμας Ἰνοῦς
φειδομέναις παλάμηισι σοφῆς ἐπλέξατο Δάφνης,
καί οἱ νήδυμον ὕπνον ἐπήγαγεν· ἀμβροσίηι δὲ
ὑπναλέης ἔχρισεν ὅλον χρόα πενθάδος Ἰνοῦς
2 (1C)
λυσιπόνωι ῥαθάμιγγι μεμηνότα γυῖα διαίνων.
καὶ χρόνον αὐτόθι μίμνεν ἔσω Παρνησίδος ὕλης
τέτρατον εἰς λυκάβαντα, καὶ ὀμφαίηι παρὰ πέτρηι
εἰσέτι νηπιάχοιο χοροὺς ἱδρύσατο Βάκχου
Φοίβου μαντοσύνηισι· σὺν ἀγρύπνοισι δὲ πεύκαις
Κωρυκίδες θυόεντα μετέστιχον ὄργια Βάκχαι,
καὶ ζαθέαις παλάμηισιν ἀλεξητήρια λύσσης
2
φάρμακα συλλέξαντο καὶ ἰήσαντο γυναῖκα.
κεκλομένου δ᾽ Ἀθάμαντος ὀπάονες ἦσαν ἀλῆται
πάντοθι μαστεύοντες· ὀριπλανέες δὲ καὶ αὐταὶ
δμωίδες ἐστιχόωντο πολυστρέπτοισι πορείαις
διζόμεναι περίφοιτον ἀπευθέος ἴχνος ἀνάσσης
πλαζομένης ἀκίχητα· φιλοθρήνων δὲ γυναικῶν
στυγνὸς ἐρευθιόωσαν ὄνυξ ἤμυσσε παρειήν,
καὶ ῥοδέοις ἐκόρυσσαν ἑκούσια δάκτυλα μαζοῖς·
καὶ πολὺν οἰμωγῆισι δι᾽ ἄστεος ἦχον ἰάλλων
πενθαλέης ὀλόλυξε βεβυσμένος οἶκος ἀνίης·
καὶ πλέον αἰολόμητις ἐδέχνυτο Μύστις ἀνάγκην,
εἶχε δὲ διπλόον ἄλγος ἀλωομένης ἔτι δειλῆς

ἀρτιθαλὴς ἔτι κοῦρος ὀρίτροφος. ἀμφὶ δὲ πέτραις
Nonnus Πᾶνες ἐκυκλώσαντο χοροίτυπον υἷα Θυώνης,
ποσσὶ δασυκνήμοισι περισκαίροντες ἐρίπναις,
Βάκχον ἀνευάζοντες· ἑλισσομένων δὲ χορείηι
αἰγείη κροτάλιζε ποδῶν σκιρτήματι χηλή.
καὶ Σεμέλη κατ᾽ Ὄλυμπον ἔτι πνείουσα κεραυνοῦ
αὐχένα γαῦρον ἄειρε καὶ ὑψινόωι φάτο φωνῆι·
"Ἥρη, ἐσυλήθης· Σεμέλης τόκος ἐστὶν ἀρείων·
Ζεὺς ἐμὸν υἷα λόχευσε καὶ ἀντ᾽ ἐμέθεν πέλε μήτηρ,
σπεῖρε πατὴρ καὶ ἔτικτε, τὸν ἤροσεν, αὐτοτόκωι δὲ
γαστρὶ νόθηι τέκε παῖδα, φύσιν δ᾽ ἤλλαξεν ἀνάγκηι.
Βάκχος Ἐνυαλίου πέλε φέρτερος· ὑμέτερον γὰρ
ἤροσε μοῦνον Ἄρηα καὶ οὐ τεκνώσατο μηρῶι.
Θήβη δ᾽ Ὀρτυγίης κλέος ἔκρυφεν· οὐρανίη γὰρ
λάθριον Ἀπόλλωνα διωκομένη τέκε Λητώ·
Λητὼ Φοῖβον ἔτικτε, καὶ οὐκ ὤδινε Κρονίων·
Ἑρμείαν τέκε Μαῖα, καὶ οὐκ ἐλόχευσεν ἀκοίτης·
ἀμφαδίην δ᾽ ἐμὸν υἷα πατὴρ τέκεν. ἆ μέγα θαῦμα,
δέρκεο σῆς Διόνυσον ἐν ἀγκαλίδεσσι τεκούσης
πήχεϊ παιδοκόμωι περικείμενον· ἀενάου δὲ
✦ ἡ ταμίη κόσμοιο, θεῶν πρωτόσπορος ἀρχή,
παμμήτωρ, Βρομίου τροφὸς ἔπλετο· νηπιάχωι γὰρ
Βάκχωι μαζὸν ὄρεξε, τὸν ἔσπασεν ὑψιμέδων Ζεύς.
τίς Κρονίδης ὤδινε, τίς ἔτρεφεν Ἄρεα Ῥείη
παῖδα τεόν; Κυβέλη δὲ φατιζομένη σέο μήτηρ
L2[O] Ζῆνα τέκεν καὶ Βάκχον ἀνέτρεφεν εἰν ἑνὶ κόλπωι·
ἀμφοτέρους ἤειρε καὶ υἱέα καὶ γενετῆρα.
οὐδὲ τόκωι Σεμέλης ἀπάτωρ Ἥφαιστος ἐρίζοι
ἄσπορος ἐκ γενετῆρος, ὃν αὐτόγονος τέκεν Ἥρη
λεπταλέων σκάζοντα ποδῶν ἑτεραλκέι ταρσῶι,
μητρώιην ἀτέλεστον ὑποκλέπτοντα λοχείην.
οὐ Σεμέληι πέλε Μαῖα πανείκελος, ἧς πάις Ἑρμῆς
ἰσοφανὴς δολόεις, κεκορυθμένος οἷά περ Ἄρης,
Ἥρην ἠπερόπευσεν, ἕως γλάγος ἔσπασε μαζῶν.
εἴξατέ μοι· Σεμέλη γὰρ ἑὸν πόσιν ἔλλαχε μούνη
τὴν αὐτὴν ἀρόωντα καὶ ὠδίνοντα γενέθλην.
ὀλβίστη Σεμέλη χάριν υἱέος· ἡμέτερος γὰρ
νόσφι δόλου Διόνυσος ἐλεύσεται εἰς χορὸν ἄστρων
αἰθέρα ναιετάων πατρώιον, ὅττι θεαίνης
τοσσατίης ὑπέδεκτο θεοτρεφέος γάλα θηλῆς·
ἵξεται αὐτοκέλευστος ἐς οὐρανόν, οὐδὲ χατίζει
Ἡραίοιο γάλακτος ἀρείονα μαζὸν ἀμέλξας."
εἶπεν ἀγαλλομένη καὶ ἐν αἰθέρι· χωομένη δὲ
Ζηνὸς ἀνεπτοίησε δάμαρ μετανάστιον Ἰνώ,
ἀπροϊδὴς Ἀθάμαντος ἐπιβρίσασα μελάθρωι,
εἰσέτι κουρίζοντι χολωομένη Διονύσωι.
ἐκ θαλάμου δὲ φυγοῦσα διέδραμε δύσγαμος Ἰνώ,
τρηχαλέας ἀπέδιλος ἐπισκαίρουσα κολώνας,
ἴχνος ἀκηρύκτοιο μετεσσυμένη Διονύσου·
φοιταλέη δὲ βέβηκε δι᾽ οὔρεος οὔρεα νύμφη,

52 (29C) εἰ μὴ ἀσημάντοιο ποδὸς ληίστορι ταρσῶι
Βάκχον ὑποκλέψας πτερόεις πάλιν ἥρπασεν Ἑρμῆς, Nonnus
καὶ βρέφος ἀρτικόμιστον ἔχων ζωαρκέι κόλπωι
εἰς δόμον ἀρτιτόκοιο λεχώιον ἤγαγεν Ἰνοῦς.
ἡ μὲν ἀνηέρταζεν ἑῆς προθορόντα λοχείης
νήπιον εἰσέτι κοῦρον, ἐπωλένιον Μελικέρτην,
παιδοκόμοις παλάμῃσιν· ἀνοιδαίνοντο δὲ μαζοὶ
θλιβομένοιο γάλακτος ἀναβλύζοντες ἐέρσην.
καὶ φιλίοις στομάτεσσι θεὸς μειλίξατο νύμφην
θέσκελον ὀμφήεντι χέων ἔπος ἀνθερεῶνι·
"δέξο, γύναι, νέον υἷα, τεῶι δ᾽ ἐνικάτθεο κόλπωι
παῖδα κασιγνήτης Σεμέλης σέθεν, ὃν παρὰ παστῶι
οὐ στεροπῆς ἀμάθυνεν ὅλον σέλας, οὐδέ μιν αὐτοὶ
μητροφόνοι σπινθῆρες ἐδηλήσαντο κεραυνοῦ.
καὶ βρέφος ἀχλυόεντι δόμωι πεφυλαγμένον ἔστω,
μηδέ μιν ἀθρήσειεν ἔσω γλαφυροῖο μελάθρου
ἠμάτιον Φαέθοντος ἢ ἔννυχον ὄμμα Σελήνης,
μηδὲ ἑ κουρίζοντα, καὶ εἰ ταυρῶπις ἀκούει,
ζηλήμων βαρύμηνις ἴδηι κεκαλυμμένον Ἥρη.
δέξο κασιγνήτης σέθεν υἱέα· σοὶ δὲ Κρονίων
ἄξια σῶν καμάτων ὀπάσει θρεπτήρια κείνου.
ὀλβίη ἐν πάσῃσι θυγατράσιν ἔπλεο Κάδμου·
ἤδη γὰρ Σεμέλη φλογερῶι δέδμητο βελέμνωι,
Αὐτονόην δὲ θανόντι σὺν υἱέι γαῖα καλύψει,
ἀμφοτέροις δ᾽ ἕνα τύμβον ἀναστήσειε Κιθαιρών,
καὶ μόρον οὐρεσίφοιτος ἐσαθρήσειεν Ἀγαύη L2[O]
Πενθέος ὀλλυμένοιο, νόθης ψαύσασα κονίης,
παιδοφόνος γεγαυῖα λιπόπτολις· ἀλλὰ σὺ μούνη
ἔσσεαι αὐχήεσσα, τόσης ναέτειρα θαλάσσης,
οἶκον ἀμειβομένη Ποσιδήιον, εἰναλίη δὲ
ὡς Θέτις, ὡς Γαλάτεια φατίζεαι Ὑδριὰς Ἰνώ·
3 (2C) οὐ χθονίωι κενεῶνι κατακρύψει σε Κιθαιρών,
ἀλλὰ σὺ Νηρεΐδων μία γίνεαι· ἀντὶ δὲ Κάδμου
ἐλπίδι λωιτέρηι καλέσῃς Νηρῆα τοκῆα
παιδὶ τεῶι ζώουσα σὺν ἀθανάτωι Μελικέρτηι,
Λευκοθέη, κρατέουσα χυτῆς κληῖδα γαλήνης,
εὐπλοΐης μεδέουσα μετ᾽ Αἰόλον· εὐδιόων δὲ
σοὶ πίσυνος πλεύσειε φιλέμπορος εἰν ἁλὶ ναύτης
3 βωμὸν ἕνα στήσας ἐνοσίχθονι καὶ Μελικέρτηι,
ῥέζων ἀμφοτέροισι· θαλασσαίοιο δὲ δίφρου
δέξεται ἡνιοχῆα Παλαίμονα κυανοχαίτης."
ὣς εἰπὼν ἀκίχητος ἐς οὐρανὸν ἔδραμεν Ἑρμῆς
ἠέρι δινεύων ἀνεμώδεα ταρσὰ πεδίλων.
Ἰνὼ δ᾽ οὐκ ἀπίθησε, φιλοστόργωι δὲ μενοινῆι
παιδοκόμωι πήχυνεν ἀμήτορα Βάκχον ἀγοστῶι,
πήχεϊ δ᾽ ἁπλώσασα συνωρίδα δίζυγα παίδων
δίζυγα μαζὸν ὄρεξε Παλαίμονι καὶ Διονύσωι·
καὶ βρέφος ἀμφιπόλωι παρεθήκατο Μύστιδι νύμφηι,
Μύστιδι καλλικόμωι Σιδωνίδι, τὴν ἔτι κούρην
Κάδμος ἀνηέξησε πατὴρ θαλαμηπόλον Ἰνοῦς·

ἢ τότε Βάκχον ἑλοῦσα θεοτρεφέων ἀπὸ μαζῶν 53 (30C)
ἀπροϊδῆ ζοφόεντι κατεκλήισσε βερέθρωι.
καὶ Διὸς αὐτοβόητος ἀπαγγέλλουσα λοχείην
μαρμαρυγὴ σελάγιζε, καταυγάζουσα προσώπου·
τοῖχοι δ' ἀχλυόεντες ἐλευκαίνοντο μελάθρου,
καὶ ζόφον ἔκρυφε φέγγος ἀθηήτου Διονύσου.
καὶ Βρομίωι παίζοντι παρέζετο πάννυχος Ἰνώ·
πολλάκι δ' ἀστήρικτος ἀναθρώισκων Μελικέρτης
χείλεσιν ἀντιτύποισιν ἀνέσπασε γείτονα θηλὴν
Εὔια παππάζοντι παρερπύζων Διονύσωι.
καὶ θεὸν ἔτρεφε Μύστις ἑξῆς μετὰ μαζὸν ἀνάσσης
ὄμμασιν ἀγρύπνοισι παρεδρήσσουσα Λυαίωι·
καὶ πινυτὴ θεράπαινα φερώνυμα Μύστιδι τέχνηι
ὄργια νυκτελίοιο διδασκομένη Διονύσου
καὶ τελετὴν ἄγρυπνον ἐπεντύνουσα Λυαίωι
πρώτη ῥόπτρον ἔσεισεν, ἐπεπλατάγησε δὲ Βάκχωι
κύμβαλα δινεύρυσα περίκροτα δίζυγι χαλκῶι,
πρώτη νυκτιχόρευτον ἀναψαμένη φλόγα πεύκης
Εὔιον ἐσμαράγησεν ἀκοιμήτωι Διονύσωι,
πρώτη καμπύλον ἄνθος ἀναδρέψασα κορύμβων
✦ ἄπλοκον ἀμπελόεντι κόμην μιτρώσατο δεσμῶι,
αὐτὴ δ' ἔπλεκε θύρσον ὁμόζυγον οἴνοπι κισσῶι,
ἀκροτάτωι δὲ σίδηρον ἐπεσφήκωσε κορύμβωι
κευθόμενον πετάλοισιν, ὅπως μὴ Βάκχον ἀμύξηι·
καὶ φιάλας γυμνοῖσιν ἐπὶ στέρνοισι καθάψαι
L2[I] χαλκείας ἐνόησε καὶ ἰξύι δέρματα νεβρῶν·
καὶ τελετῆς ζαθέης ἐγκύμονα μύστιδα κίστην
παίγνια κουρίζοντι διδασκομένη Διονύσωι
πρώτη ἐχιδνήεντα κατὰ χροὸς ἧψεν ἱμάντα
σύμπλοκον, εἰλικόεις δὲ δράκων περὶ δίπλακα μίτρην
ἅμματα κυκλώσας ὀφιώδεϊ κάμπτετο δεσμῶι.
τὸν δὲ πολυκλήιστον ὑπὸ σφρηγῖδα μελάθρου 4 (3C)
ὄμμασιν ἀπλανέεσσιν ἴδεν πανεπόψιος Ἥρη
Μύστιδος ἀφράστοιο μυχῶι πεφυλαγμένον οἴκου·
καὶ Στυγὸς ὑστερόποινον ἐπώμνυε νέρτερον ὕδωρ
παντοίηι κακότητι κατακλύζειν δόμον Ἰνοῦς.
καί νύ κεν ἠμάλδυνε Διὸς γόνον· ἀλλά μιν Ἑρμῆς
ἁρπάξας ἐκόμισσε Κυβηλίδος εἰς ῥάχιν ὕλης·
Ἥρη δ' ὠκυπέδιλος ἐπέδραμεν εὔποδι ταρσῶι 4
ὑψόθεν ἀστήρικτος· ὁ δὲ δρόμον ἔφθασεν Ἥρης,
πρωτογόνου δὲ Φάνητος ἀτέρμονα δύσατο μορφήν·
καὶ θεὸν ἁζομένη πρωτόσπορον εἴκαθεν Ἥρη
ψευδομένας ἀκτῖνας ὑποπτήσσουσα προσώπου,
οὐδὲ νόθης ἐνόησε δολοπλόκον εἰκόνα μορφῆς·
κουφοτέροις δὲ πόδεσσιν ὀρειάδα πέζαν ἀμείβων,
χερσὶ περιπλεκέεσσι κερασφόρον υἷα κομίζων,
μητρὶ Διὸς γενέταο λεοντοβότωι πόρε Ῥείηι,
καί τινα μῦθον ἔειπεν ἀριστώδινι θεαίνηι·
"δέξο, θεά, νέον υἷα τεοῦ Διός, ὃς μόθον Ἰνδῶν
ἀθλεύσας μετὰ γαῖαν ἐλεύσεται εἰς πόλον ἄστρων,
Ἥρηι χωομένηι μεγάλη χάρις· οὐ γὰρ ἐώικει,
ὃν Κρονίδης ὤδινεν, ἔχειν κουροτρόφον Ἰνώ·
μαῖα Διωνύσοιο Διὸς γενέτειρα γενέσθω,
μήτηρ Ζηνὸς ἐοῦσα καὶ υἱωνοῖο τιθήνη."
ὣς εἰπὼν ταχύγουνος ἐς οὐρανὸν ἤλυθεν Ἑρμῆς
κυκλώσας βαλίῃσιν ὑπηνέμιον πτερὸν αὔραις·
αὐτογόνου δὲ Φάνητος ὑπέρτερον εἶδος ἀμείψας
ἀρχαίην παλίνορσος ἑὴν ἀνεδύσατο μορφὴν
μητέρι παιδοκόμωι παλιναυξέα Βάκχον ἐάσας.
τὸν δὲ θεὰ κομέεσκε καὶ εἰσέτι κοῦρον ἐόντα
ἅρματος ὠμοβόρων ἐπιβήτορα θῆκε λεόντων·
καὶ τροχαλοὶ Κορύβαντες ἔσω θεοδέγμονος αὐλῆς
παιδοκόμωι Διόνυσον ἐμιτρώσαντο χορείηι,
καὶ ξίφεα κτυπέεσκον, ἀμοιβαίηισι δὲ ῥιπαῖς
ἀσπίδας ἐκρούσαντο κυβιστητῆρι σιδήρωι
κουροσύνην κλέπτοντες ἀεξομένου Διονύσου·
καὶ πάις εἰσαΐων σακέων μαιήιον ἠχὼ
πατρῴιαις κομιδῆισιν ἀεξήθη Κορυβάντων.
καὶ νέος ἐνναέτηρος ἔχων θηροκτόνον ἄγρην
ποσσὶ μὲν ὠκυτέροισι παρέστιχεν ἴθμα λαγωοῦ,
χειρὶ δὲ νηπιάχωι μεθέπων κεμαδοσσόον ἀλκὴν
ποικίλον ἠιώρησεν ἐπ' αὐχένι νεβρὸν ἀείρων,
καὶ θρασὺν αἰολόνωτον ἔχων τετανυσμένον ὤμωι
τίγριν ἄνω κούφιζε μετάρσιον ἔκτοθι δεσμοῦ {...}
σκύμνους χερσὶν ἔχων ἐπεδείκνυε μητέρι Ῥείηι,
ἁρπάξας νέα τέκνα πολυγλαγέων ἀπὸ μαζῶν, L2[I]
σμερδαλέους δὲ λέοντας ἔτι ζώοντας ἐρύσσας
μητέρι δῶρα τίταινεν, ἵνα ζεύξειεν ἀπήνηι
δίζυγας ἀμφοτέρηισι πόδας παλάμηισι πιέζων.
θαμβαλέη δὲ γέλωτι γεγηθότι δέρκετο Ῥείη
ἠνορέην καὶ ἄεθλα νεηγενέος Διονύσου·
καὶ βλοσυρῶν Ἰόβακχον ἰδὼν ἐλατῆρα λεόντων
ὄμμασι τερπομένοισι πατὴρ ἐγέλασσε Κρονίων.
καὶ χροῒ λαχνήεντας ἀνεχλαίνωσε χιτῶνας
Εὔιος ἀρτιτέλεστον ἔχων παιδήιον ἥβην,
δαιδαλέην ἐλάφοιο φέρων ὤμοισι καλύπτρην,
αἰθερίων μιμηλὸν ἔχων τύπον αἰόλον ἄστρων·
καὶ Φρυγίης ὑπὸ πέζαν ἐς αὔλια λύγκας ἐλάσσας
στικτοῖς πορδαλίεσσιν ἑὴν ἔζευξεν ἀπήνην,
οἷά τε πατρῴων δαπέδων ἴνδαλμα γεραίρων·
πολλάκι δ' ἀθανάτης ἐποχημένος ἅρματι Ῥείης,
βαιῆι χειρὶ φέρων ἁπαλόχροϊ κύκλα χαλινοῦ,
κραιπνὸν ἐπειγομένων ἀνεσείρασεν ἅρμα λεόντων·
καὶ Διὸς ὑψιμέδοντος ἐνὶ φρεσὶ θάρσος ἀέξων
δεξιτερὴν ἐτίταινεν ἐπὶ στόμα λυσσάδος ἄρκτου,
σμερδαλέαις γενύεσσιν ἀταρβέα δάκτυλα βάλλων,
δάκτυλα κουρίζοντα· καὶ ἵστατο μειλιχίη θὴρ
νηπιάχωι στόμα δοῦλον ἐπιτρέψασα Λυαίωι,
καὶ κύσε καρχαλέοισι φιλήμασι δάκτυλα Βάκχου.
ὣς ὁ μὲν ἠέξητο φιλοσκοπέλωι παρὰ Ῥείηι

Nonnus

φαιδρὸν ἔχων βλεφάρων τύπον αἰόλον· ἀλλὰ καὶ αὐτὴ
Ἁρπαλύκη μετὰ λέκτρον ἀλιτροβίων ὑμεναίων
υἱέα δαιτρεύσασα θυγατρογάμωι γενετῆρι
ἠερίην πτερόεσσαν ἐρετμώσειε πορείην
ὄρνις ἀελλήεσσα· καὶ ἱστοπόνος Φιλομήλη
ἔσσεται αἰολόδειρος ὑποτρύζουσα χελιδών,
μαρτυρίην βοόωσα λιπογλώσσοιο σιωπῆς,
δαίδαλα φωνήεντα σοφῶι γράψασα χιτῶνι·
καὶ Νιόβη Σιπύλοιο παρὰ σφυρὰ πέτρος ἐχέφρων
δάκρυσι λαϊνέοισιν ὀδυρομένη στίχα παίδων
στήσεται οἰκτρὸν ἄγαλμ· καὶ ἔσσεται αὐτόθι γείτων
Πύρρος ἐρωμανέων Φρύγιος λίθος, εἰσέτι Ῥείης
οἶστρον ἔχων ἀθέμιστον ἀνυμφεύτων ὑμεναίων,
Θίσβη δ' ὑγρὸν ὕδωρ καὶ Πύραμος, ἥλικες ἄμφω,
ἀλλήλους ποθέοντες· ἐυστεφάνοιο δὲ κούρης
Μίλακος ἱμείρων Κρόκος ἔσσεται ἄνθος Ἐρώτων·
καὶ γαμίην μετὰ νύσσαν ἀελλοπόδων Ὑμεναίων
καὶ Παφίης μετὰ μῆλα λεοντείην ἐπὶ μορφὴν
Ἄρτεμις οἰστρήσειεν ἀμειβομένην Ἀταλάντην."
καὶ τὰ μὲν εἰν ἑνὶ πάντα παρέστιχεν ἄστατος Ὥρη,
εἰσόκε χῶρον ἵκανεν, ὅπηι πυρόεις Ὑπερίων
σύμβολα μαντοσύνης ἀνεμώδεϊ πέφραδε κούρηι,
ἧχι Λέων ἐτέτυκτο σελασφόρος, ἧχι καὶ αὐτὴ
Παρθένος ἀστερόεσσα νόθηι ποικίλλετο μορφῆι
οἴνοπα βότρυν ἔχουσα, θερειγενὲς ἄνθος ὀπώρης·
L1[O] κεῖθι Χρόνου θυγάτηρ πόδας εὔνασε, ταῦτα δ' ἀνέγνω·
"Κισσὸς ἀερσιπότης, ἐρόεις νέος, εἰς φυτὸν ἕρπων
ἔσται κισσὸς ἕλιξ καὶ ἐν ἔρνεσιν· ἠνθέου δὲ
ὄρθιος ἐκ Καλάμοιο δόναξ κυρτούμενος αὔραις
λεπτὸν ἀεξιφύτοιο φανήσεται ἔρνος ἀρούρης,
ἡμερίδων στήριγμα· καὶ εἰς φυτὸν εἶδος ἀμείψας
Ἄμπελος ἀμπελόεντι χαρίζεται οὔνομα καρπῶι."
ἀλλ' ὅτε θέσφατα ταῦτα θαλυσιὰς ἔδρακε κούρη,
δίζετο χῶρον ἐκεῖνον, ὅπηι παρὰ γείτονι τοίχωι
ποιητῶι κεχάρακτο τύπωι Γανυμήδεος εἰκὼν
ἰκμάδα νεκταρέην χρυσέωι στάζουσα κυπέλλωι,
ἧχι χαρασσομένων ἐπέων τετράζυγος ὀμφή·
κεῖθι θεὰ φιλόβοτρυς ἐκώμασεν, εὗρε δὲ νύμφη
θέσφατα κισσοφόρωι πεφυλαγμένα ταῦτα Λυαίωι·
"Φοίβωι Ζεὺς ἐπένευσεν ἔχειν μαντώδεα δάφνην,
καὶ ῥόδα φοινίσσοντα ῥοδόχροϊ Κυπρογενείηι,
γλαυκὸν Ἀθηναίηι γλαυκώπιδι θαλλὸν ἐλαίης,
καὶ στάχυας Δήμητρι, καὶ ἡμερίδας Διονύσωι."
τοῖα μὲν ἐν γραφίδεσσι φιλεύιος ἔδρακε κούρη·
τερπομένη δ' ἤιξε, κασιγνήτας δὲ λαβοῦσα
εἰς ῥόον ἠώιοιο διέστιχεν Ὠκεανοῖο
ἱπποσύνηι Φαέθοντος ὁμόδρομος. — οὐ δὲ Λυαίωι
φάρμακον ἦν ἑτάροιο δεδουπότος, οὐδὲ χορείης
μνῆστις ἔην· φιλίωι δὲ νόον δεδονημένος οἴστρωι
αἴλινα πικρὰ λίγαινεν, ἀκηδέστωι δὲ σιωπῆι
χάλκεα νῶτα λέλοιπεν ἀδουπήτοιο βοείης·

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the tenth also, you will see the madness of Athamas and Ino's flight, how she fled int the swell of the sea with newborn Melicertes.

NONNUS

DIONYSIACA

BOOK 10

PREVIEW BOOK 12

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 430 lines 3.0
3L 1 - 430

PRINT 2-SIDED: **61** to **66**

Ὣς ἡ μὲν φονίη παιδοκτόνος ἔπλετο μήτηρ
μαινομένη· τεκέων δὲ πατὴρ ὑπὸ μάρτυρι ποινῆι,
ὅττι γονῆς ὀλέτειραν ὁμέστιον εἶχε Θεμιστώ,
οἰστρηθεὶς Ἀθάμας μανιώδεϊ Πανὸς ἱμάσθληι
ποίμνης εἰς μέσον ἦλθε, καὶ ὡς θεράποντας ἱμάσσων
εἰροπόκων ἐδίωκεν ἀναίτια πώεα μήλων·
καὶ μίαν ἠέρταζεν, ἑὴν ἅτε σύζυγα νύμφην,
σὺν διδύμοις βρεφέεσσι νεογλαγέων ἐπὶ μαζῶν
αἶγα λαβών· λασίους δὲ πόδας σφηκώσατο δεσμῶι
διχθαδίωι· λύσας δὲ παρ' ἰξύι κυκλάδα μίτρην
σφιγγομένης μάστιζε δέμας ψευδήμονος Ἰνοῦς,
μὴ νοέων νόθον εἶδος. ἀεὶ δέ οἱ ἔνδον ἀκουῆς
Πανιάδος Κρονίης ἐπεβόμβεε δοῦπος ἱμάσθλης·
πολλάκι δ' ἀστήρικτος ἐὼν ἀνεπάλλετο θώκων
οὔασι ταρβαλέοισι δεδεγμένος ἄσθμα δρακόντων.
πυκνὰ δὲ τόξα τίταινε, βέλος δ' ἐπὶ κυκλάδι νευρῆι
εἰς κενεὸν σκοπὸν εἷλκεν ἀνούτατον ἠέρα βάλλων.
Ταρταρίης δ' ὀφιῶδες ἰδὼν ἴνδαλμα θεαίνης
πάλλετο δειμαίνων ἑτερόχροα φάσματα μορφῆς,
ἀφρὸν ἀκοντίζων χιονώδεα, μάρτυρα λύσσης,
ὀφθαλμοὺς μεθύοντας ἀπειλητῆρας ἑλίσσων.
καί οἱ ὀπιπεύοντι πολυπλανέεσσιν ἐρωαῖς
ὄμματα φοινίσσοντο· διὰ κροτάφοιο δὲ λεπταὶ
ἀσταθέος μήνιγγες ἐδινεύοντο καρήνου.
ὤλετο δὲ ψυχῆς τρίτατον λάχος· ἀπλανέες γὰρ
ἄφρονος ἐγκεφάλοιο μετατρωπῶντο μενοιναί,
καὶ σφαλεραῖς ἑλίκεσσιν ἐβακχεύθησαν ὀπωπαὶ
ἀνέρος οἰστρηθέντος· ἀπεπλάζοντο δὲ χαῖται
σειόμεναι περὶ νῶτον ἀκερσικόμοιο καρήνου.
καὶ στόμα οἱ βάμβαινε, καὶ ἠέρι χείλεα λύσας
πέμπεν ἀσημάντων ἐπέων ἑτερόθροον ἠχώ.
καὶ βροτέας βιότοιο μεληδόνας ἥρπασαν αὖραι
Εὐμενίδων, καὶ γλῶσσα βαρύνετο θυιάδι φωνῆι·
παπταίνων δ' ἑλικηδὸν ὑπὸ στροφάλιγγι προσώπου
ἀλλοφυὲς νόθον εἶδος ἀθηήτοιο Μεγαίρης
οἰστρομανὴς Ἀθάμας ἑτερόφρονι σείετο παλμῶι·
καὶ βλοσυρῆς ἀπὸ χειρὸς ἀμερσινόοιο θεαίνης
ἁρπάξαι μενέαινεν ἐχιδνήεσσαν ἱμάσθλην·
γυμνώσας δὲ μάχαιραν Ἐρινύος ἀντία κόρσης
ἤθελε Τισιφόνης ὀφιώδεα βόστρυχα τέμνειν.
καὶ κενεοῖς ὀάροισιν ὁμίλεε γείτονι τοίχωι
παπταίνων σκιόεσσαν ἐπίκλοπον εἰκόνα μορφῆς
Ἀρτέμιδος, καὶ κοῦφον ἰδὼν εἴδωλον ὀπωπαῖς
φάσμασιν ἀντιτύποισιν ἐς ἵμερον ἤλυθεν ἄγρης.
ὀψὲ δὲ ποικιλόδακρυς ἔτος μέτα τέτρατον Ἰνὼ
νόστιμος εἰς δόμον ἦλθεν· ὀπιπεύουσα δὲ νύμφη
καὶ πόσιν οἰστρηθέντα καὶ ἀρσενόπαιδα Θεμιστὼ
διπλόον ἄλγος ἔδεκτο. καὶ οὐ γίνωσκεν ἀκοίτης
εὐνέτιν ἀθρήσας χρονίην παλινάγρετον Ἰνώ·
ἀλλὰ πόθον ταχύγουνος ἔχων κεμαδοσσόον ἄγρης

καί οἱ ἀνηΰτησεν ἔπος σταφυληκόμος Ὥρη
μάρτυρον ἱκεσίης σχομένη φθινοπωρίδος ἅρπην·
"Ἠέλιε ζείδωρε, φυτηκόμε, κοίρανε καρπῶν,
οἰνοτόκον πότε βότρυν ἀεξήσουσιν ἀλωαί;
καὶ μακάρων τίνι τοῦτο γέρας μνηστεύεται Αἰών;
ναί, λίτομαι, μὴ κρύπτε, κασιγνήτων ὅτι μούνη
πασάων ἀγέραστος ἐγὼ πέλον· οὐ γὰρ ὀπώρην,
οὐ στάχυν, οὐ λειμῶνα, καὶ οὐ Διὸς ὄμβρον ἀέξω."
ἔννεπεν· ἐσσομένης δὲ τιθηνήτειραν ὀπώρης
Ἠέλιος θάρσυνε, καὶ ἀντιπόρωι παρὰ τοίχωι
δάκτυλον ὀρθώσας ἐπεδείκνυε κυκλάδι κούρηι
κύρβιας Ἁρμονίης ἑτερόζυγας, αἷς ἔνι κεῖται
εἰν ἑνὶ θέσφατα πάντα, τά περ πεπρωμένα κόσμωι
πρωτογόνοιο Φάνητος ἐπέγραφε μαντιπόλος χείρ,
καὶ γραφίδων ποίκιλλεν ἐφάρμενον οἶκον ἑκάστηι.
καί τινα μῦθον ἔειπε πυρὸς ταμίης Ὑπερίων·
"κύρβιδι μὲν τριτάτηι, πόθεν ἔσσεται οἰνὰς ὀπώρη,
γνώσεαι, ἦχι Λέων καὶ Παρθένος· ἐν δὲ τετάρτηι,
τίς σταφυλῆς σκηπτοῦχος, ὅπηι γλυκὺ νέκταρ ἀφύσσων
γραπτῆι χειρὶ κύπελλον ἀερτάζει Γανυμήδης."
τοῖα θεοῦ φαμένοιο, φιλάμπελος ἔτρεχε κούρη
ὄμματα δινεύουσα, καὶ ὀμφαίωι παρὰ τοίχωι
πρώτην κύρβιν ὄπωπεν ἀτέρμονος ἥλικα κόσμου
εἰν ἑνὶ πάντα φέρουσαν, ὅσα σκηπτοῦχος Ὀφίων
ἤνυσεν, ὅσσα τέλεσσε γέρων Κρόνος, ὁππότε τέμνων
ἄρσενα πατρὸς ἄροτρα λεχώιον ἤροσεν ὕδωρ,
σπείρων ἄσπορα νῶτα θυγατρογόνοιο θαλάσσης,
ὅς ποτε λάινον υἷα κεχηνότι δέξατο λαιμῶι
Ζηνὸς ψευδομένοιο νόθον δέμας εἰλαπινάζων·
καὶ λίθος ἐνδομύχων τεκέων μαιώσατο φύτλην
φόρτον ἀκοντίζων ἐγκύμονος ἀνθερεῶνος.
1 ἀλλ ὅτε μαρναμένοιο Διὸς πυριλαμπέα νίκην
καὶ Κρονίου νιφετοῖο χαλαζήεσσαν Ἐνυὼ
ἀμφίπολος Φαέθοντος ἀελλόπος ἔδρακεν Ὥρη,
γείτονα δέρκετο κύρβιν ἀμοιβαδίς· εἶχε δὲ κείνη,
πῶς βροτέην ὤδινε γονὴν πίτυς, ἢ πόθεν ἄφνω
δενδρείην γονόεσσαν ἀναπτύξασα λοχείην
ἄσπορον αὐτοτέλεστον ἀνήρυγεν υἱέα πεύκη,
2 καὶ πόθεν ἄστεα πάντα κατέκλυσεν ὑέτιος Ζεὺς
ἠλιβάτοις πελάγεσσιν ἄγων ὑψούμενον ὕδωρ,
πῶς Νότος ἐκ Βορέαο, καὶ ἐκ Λιβὸς Εὖρος ἱμάσσων
λάρνακα Δευκαλίωνος ἀλήμονα, γείτονα Μήνης,
εἰς πλόον ἠερόφοιτον ἐκούφισεν ἄμμορον ὅρμου.
καὶ τριτάτην ὅτε κύρβιν ἐπέδραμεν εὔποδι ταρσῶι
μυστιπόλος Λυκάβαντος, ἕλιξ στηρίζετο κούρη,
μόρσιμα παπταίνουσα πολύτροπα θέσφατα κόσμου,
γράμματα φοινίσσοντα, σοφῆι κεχαραγμένα μίλτωι,
ὁππόσα ποικιλόμυθος ἐπέγραφεν ἀρχέγονος φρήν,
τοῖα προθεσπίζοντα, καὶ ἐν πινάκεσσιν ἀνέγνω·
"Ἥρης βουκόλος Ἄργος ἐς ὄρνεον εἶδος ἀμείψει
φαιδρὸν ἔχων βλεφάρων τύπον αἰόλον· ἀλλὰ καὶ αὐτὴ

Nonnus

Κισσὸς ἀερσιπόδης καὶ ἐπήρατος Ἄμπελος ἔστη·
καὶ ποδὸς ἰθυπόροιο πεποιθότες ὠκέι ταρσῶι
κεκριμένοι στοιχηδὸν ἐφέστασαν· ἐκ δαπέδου δὲ
ἄκρα χαρασσομένοιο μετάρσιον ἴχνος ἀείρας
Κισσὸς ἀελλήεντι ποδῶν κουφίζετο παλμῶι·
τοῦ μὲν ἐπειγομένοιο μετάφρενον ἄσθματι θάλπων
Ληνεὺς ἠερίησιν ἐπέτρεχε σύνδρομος αὔραις,
ἀγχιφανὴς προθέοντος, ὀπισθοπόροιο δὲ ταρσοῦ
ἴχνεσιν ἴχνια τύψε χυτῆς ψαύοντα κονίης·
καὶ τόσος ἀμφοτέρων ἀπελείπετο μέσσον ὁρίζων,
ὁππόσον ἱστοπόνοιο κανὼν πρὸς στήθεϊ κούρης
μεσσοφανὴς λάχε χῶρον ἀκαμπέι γείτονα μαζῶι.
καὶ τρίτος Ἄμπελος ἦεν ὀπίστερος· εἰσορόων δὲ
ζηλήμων Διόνυσος ἐτήκετο λοξὰ δοκεύων
διχθαδίους προθέοντας ἀεθλητῆρας ἀγώνων,
μή ποτε νικήσωσι καὶ Ἄσμπελος ὕστερος ἔλθηι·
ἀλλὰ θεὸς χραίσμησεν, ἐνιπνεύσας δέ οἱ ἀλκὴν
κοῦρον ἐυτροχάλοιο ταχίονα θῆκεν ἀέλλης·
καὶ διδύμων πρώτιστος ἀεθλοφόρων ἐν ἀγῶνι
σπερχομένων, διερῆι μὲν ἐπ' ἠιόνι γούνατα πάλλων,
Κισσὸς ἐπωλίσθησε πεσὼν ψαμαθώδεϊ πηλῶι,
καὶ σφαλερὴ Ληνῆος ἐσύρετο γούνατος ὁρμὴ
ἂψ ἀνασειράζουσα ποδῶν δρόμον· ἀθλοφόροι δὲ
ἀμφότεροι λείποντο, καὶ Ἄμπελος ἥρπασε νίκην.
Σειληνοὶ δὲ γέροντες ἀνίαχον Εὔιον ἠχὼ
L2[O] νίκην ἠιθέοιο τεθηπότες· ἁβροκόμης δὲ
δέκτο νέος τὰ πρῶτα, τὰ δεύτερα δέχνυτο Ληνεὺς
ζῆλον ἔχων, φθονερὸν δὲ δόλον γίνωσκε Λυαίου
καὶ πόθον· αἰδομένηι δὲ συνήλικας εἶδεν ὀπωπῆι
10.430 ◆ λοίσθια Κισσὸς ἄεθλα κατηφέι χειρὶ κομίζων.
12.1 Ὣς αἱ μὲν δυτικοῖο παρ' ὀφρύσιν Ὠκεανοῖο
Ἠελίου γονόεντος ἐναντίλλοντο μελάθροις.
τῆισι δὲ νισσομένηισι συνήντεεν Ἕσπερος ἀστὴρ
θρώισκων ἐκ μεγάροιο· διεσσυμένη δὲ καὶ αὐτὴ
ἀρτιφανὴς ἀνέτελλε βοῶν ἐλάτειρα Σελήνη.
αἱ δὲ φερεζώοιο παρ' ὄμμασιν Ἡνιοχῆος
κάρπιμον ἴχνος ἔκαμψαν. ὁ μὲν δρόμον ἄρτι τελέσσας
ἠερόθεν νόστησε· πυριγλήνου δ' ἐλατῆρος
Φωσφόρος αἰγλήεις τετράζυγος ἐγγύθι δίφρου
θήκατο θερμὰ λέπαδνα καὶ ἀστερόεσσαν ἱμάσθλην,
γείτονος Ὠκεανοῖο παρὰ προχοῆισι καθήρας
μυδαλέων ἱδρῶτι πυριτρεφέων δέμας ἵππων·
πῶλοι δ' αὐχενίας νοτερὰς δονέοντες ἐθείρας
μαρμαρέοις ὀνύχεσσιν ἐπέκτυπον αἴθοπι φάτνηι.
θυγατέρας δὲ Χρόνοιο πέριξ φλογεροῖο θοώκου
ἱπταμένας στεφανηδὸν ἀτειρέος Ἡνιοχῆος
τέσσαρας ἠσπάζοντο δυώδεκα κυκλάδες Ὧραι,
δμωίδες Ἠελίοιο, συνήλυδες αἴθοπι δίφρωι,
μυστιπόλοι Λυκάβαντος ἀμοιβάδες· Ὠγυγίωι γὰρ
12.20 αὐχένα δοῦλον ἔκαμψαν ὅλον νωμήτορι κόσμου.

εἰς σκοπιὰς ἤιξε θυελλήεντι πεδίλωι,
υἱὸν ἰδὼν ἅτε θῆρα κερασφόρον· ἰθυτενὲς δὲ Nonnus
τόξον ἔχων ἀκίχητος ἐπεσκίρτησε Λεάρχωι,
ὑψίκερων ἔλαφον δοκέων ψευδήμονι μορφῆι,
θηρείοις μελέεσσιν ὁμοίιον· αὐτὰρ ὁ φεύγων
ταρβήεις πεπότητο θοώτερα γούνατα πάλλων.
χερσὶ δὲ λυσσαλέηισιν ὑπηνέμιον βέλος ἕλκων
παιδοφόνωι νέον υἷα πατὴρ ἐπέδησε βελέμνωι·
καὶ κεφαλὴν ἄγνωστον ἀπηλοίησε μαχαίρηι
φάσματι νεβρωθεῖσαν· ἀσημάντου δὲ προσώπου
αἱμαλέης ἐγέλασσε γενειάδος ἄκρον ἀφάσσων,
ἀμφαφόων ἅτε θῆρα, καὶ ἔδραμεν ἅλματι λύσσης,
παιδὸς ἔτι σπαίροντος ἀτυμβεύτοιο Λεάρχου,
μητέρα μαστεύων, στροφάδας δ' ἐλέλιζεν ὀπωπάς.
οὐδέ τις ἀμφιπόλων σχεδὸν ἤιε· φοιταλέος δὲ
ἑπταμύχου θαλάμοιο διέστιχεν ὠκέι ταρσῶι
κικλήσκων ἑὸν υἷα, τὸν ἔκτανεν. ἐν δὲ μελάθρωι
νήπιον ἀρτικόμιστον ἐσαθρήσας Μελικέρτην,
στηρίξας δὲ λέβητα πυρίπνοον ἐσχαρεῶνι,
εἰς μέσον υἱέα θῆκεν· ἀναπτομένοιο δὲ πυρσοῦ,
φοίνιος ὑδατόεντι λέβης ἐπεπάφλασεν ἀτμῶι.
παππάζων δ' ἰάχησεν ἑὸς πάις, οὐδέ τις αὐτῶι
ἀμφιπόλων χραίσμησεν· ἀελλήεσσα δὲ μήτηρ
ἡμιδαῆ πυρίκαυτον ἀφαρπάξασα λεβήτων
ἅλμασι φοιταλέοισι ποδήνεμος ἔτρεχεν Ἰνώ·
καὶ Λευκοῦ πεδίοιο διατμήγουσα κονίην L2[O]
Λευκοθέη πεφάτιστο φερώνυμος. ἐκ δὲ μελάθρου
αἰνομανὴς Ἀθάμας ἀνεμώδεα γούνατα πάλλων
ὠκυτέρην ἐδίωκε μάτην ὀρεσίδρομον Ἰνώ.
ἀλλ' ὅτε οἱ σχεδὸν ἦλθε πολυπτοίητος ἀκοίτης
ἄστατον ἴχνος ἔχων σφαλερῶι ποδί, δὴ τότε δειλὴ
ἀγχιπόρωι στήσασα διαινόμενον πόδα πόντωι
παιδὶ φιλοθρήνωι κινυρὴν βρυχήσατο φωνήν,
μεμφομένη Κρονίωνα καὶ ἄγγελον υἱέα Μαίης·
"καλά μοι, ἀργικέραυνε, πόρες θρεπτήρια Βάκχου·
ἡμιδαῆ σκοπίαζε συνήλικα παῖδα Λυαίωι·
ἢν ἐθέλῃς, πρήνιξον ἀφειδέι σεῖο κεραυνῶι
μητέρα καὶ νέον υἷα, τὸν ἔτρεφον εἰν ἐνὶ κόλπωι
σύντροφον ὑμετέροιο θεηγενέος Διονύσου.
τέκνον, Ἀναγκαίη μεγάλη θεός· εἰς τίνα φεύγεις;
ποῖον ὄρος δέχεταί σε πεφυγμένον ἐγγύθι πόντου;
τίς σκοτίωι κενεῶνι κατακρύψει σε Κιθαιρών;
τίς βροτὸς οἰκτείρει σε, τὸν οὐ γενέτης ἐλεαίρει;
ἢ ξίφος ἤ σε θάλασσα δεδέξεται· εἴ περ ἀνάγκη,
λώιον ἐν πελάγεσσι δαμήμεναι ἠὲ μαχαίρηι.
οἶδα, πόθεν τόδε πῆμα τεῆι κεκύλιστο τεκούσηι,
οἶδα, πόθεν· Νεφέλη γὰρ Ἐρινύας εἰς ἐμὲ πέμπει,
ὄφρα θάνω κατὰ πόντον, ὅπηι πέσε παρθένος Ἕλλη.
ἔκλυον ἠερόθεν πεφορημένον εἰς χθόνα Κόλχων
ἅρπαγος ἀρνειοῖο μετήορον ἡνιοχῆα **10.**100

Φρίξον ἔτι ζώειν μετανάστιον· αἴθε καὶ αὐτὸς
χρυσοπόκου κριοῖο μετάρσιον οἶμον ὁδεύοι
υἱὸς ἐμὸς λιπόπατρις ἀλυσκάζων Μελικέρτης·
αἴθε δὲ καὶ μετὰ Φοῖβον ἐποικτείρων σέθεν Ἰνὼ
ξεινοδόκος Γλαύκοιο Ποσειδάων σε σαώσῃ.
δείδια, μὴ μετὰ πότμον ἀτυμβεύτοιο Λεάρχου
νεκρὸν ἄθαπτον ἄδακρυν ὀλωλότα καὶ σὲ νοήσω
αἱμαλέῃ γενετῆρος ἐπισπαίροντα μαχαίρῃ.
σπεῦδε φυγεῖν Ἀθάμαντα μεμηνότα, μηδὲ νοήσῃς
παιδοφόνον γενετῆρα τεῆς ὀλετῆρα τεκούσης.
δέξό με καὶ σύ, θάλασσα, μετὰ χθόνα· δέχνυσο, Νηρεῦ,
χειρὶ φιλοξείνῳ μετὰ Περσέα καὶ Μελικέρτην·
δέχνυσο καὶ Δανάης μετὰ λάρνακα σύμπλοον Ἰνώ.
ἄξια δυσσεβίης καὶ ἐγὼ πάθον, ὅττι καὶ αὐτὴν
ἄσπορον ἡμετέρην γενεὴν ποίησε Κρονίων,
ἄσπορον ὡς ἐτέλεσσα φερέσβιον αὔλακα γαίης·
μητρυιή τις ἐοῦσα νόθην Ἀθαμαντίδα φύτλην
ἀμῆσαι προβέβουλα, καὶ εἰς ἐμὲ χώεται Ἥρη
μητρυιὴ γεγαυῖα νεοτρεφέος Διονύσου."
ὣς φαμένη τρομεροῖσιν ὑπ' ἴχνεσιν ἥλατο πόντῳ,
κραιπνὰ κυβιστήσασα σὺν υἱέι· Λευκοθέην δὲ
πεπταμέναις παλάμῃσιν ἐδέξατο κυανοχαίτης
δαίμοσιν ὑγροπόροισιν ὁμέστιον· ἔνθεν ἀρήγει
ναύταις πλαζομένοισι, καὶ ἔπλετο ποντιὰς Ἰνὼ
Νηρέϊς ἀφλοίσβοιο κυβερνήτειρα γαλήνης.
L2[I] τὴν μὲν ἄναξ Κρονίδης ἐπεδείκνυε μητρὶ Λυαίου,
ὅττι χάριν Βρομίοιο θεὰ πέλεν· ἡ δὲ χαρεῖσα
γνωτῇ ποντοπόρῳ φιλοκέρτομον ἴαχε φωνήν·
"Ἰνώ, πόντον ἔχεις, Σεμέλη λάχε κύκλον Ὀλύμπου·
εἶξον ἐμοί· Κρονίδην γὰρ ἐμῆς ἀροτῆρα γενέθλης
ἀθάνατον πόσιν ἔσχον, ἐμῆς ὠδῖνα λοχείης
ἀντ' ἐμέθεν τίκτοντα, σὺ δὲ χθονίῳ παρακοίτῃ
νυμφεύθης Ἀθάμαντι, τεῆς ὀλετῆρι γενέθλης.
σὸς πάις ἔλλαχε πόντον, ἐμὸς τόκος αἰθέρα ναίειν
ἵξεται εἰς Διὸς οἶκον ὑπέρτερον· οὐ γὰρ ἐίσκω
οὐράνιον Διόνυσον ὑποβρυχίῳ Μελικέρτῃ."
τοῖα μὲν αἰθερίη Σεμέλη μυκήσατο νύμφη
γνωτῆς κερτομέουσα θαλασσονόμον βίον Ἰνοῦς.
τόφρα δὲ καὶ Διόνυσος ὑπὸ κλίμα Λυδὸν ἀρούρης,
Εὔια δινεύων Κυβεληίδος ὄργανα Ῥείης,
ἤνθεε μῆκος ἔχων, ὅσον ἤθελεν· ὑψιπόρου δὲ
φεύγων Ἠελίοιο μεσημβρίζουσαν ἱμάσθλην
ἥσυχα παφλάζοντι δέμας φαίδρυνε λοετρῷ
Μηιονίου ποταμοῖο, χαριζόμενος δὲ Λυαίῳ
Πακτωλὸς κελάρυζε, χέων χρυσόσπορον ὕδωρ
πορφυρέαις ψαμάθοισι, βαθυπλούτων δὲ μετάλλων
ἀφνειῷ κεκύλιστο βυθῷ χρυσούμενος ἰχθύς.
καὶ Σάτυροι παίζοντες, ἐν ἠέρι ταρσὰ μεθέντες,
εἰς ποταμὸν προχέοντο κυβιστητῆρι καρήνῳ,
ὧν ὁ μὲν αὐτοφόρητος ἐνήχετο χερσὶν ἐρέσσων,

56 (31C) ἔνθα μὲν ἡβητῆρος ἐπ' ἰξύι χεῖρας ἑλίσσων,
Βάκχος ἐρωμανέεσσι δέμας παλάμῃσι πιέζων,
Ἄμπελον ἠέρταζεν, ὁ δὲ Βρομίοιο τυχήσας
κόψε ποδὸς κώληπα· καὶ Εὔιος ἡδὺ γελάσσας,
ἥλικος ἠιθέοιο τυπεὶς ἁπαλόχροϊ ταρσῷ,
ὕπτιος αὐτοκύλιστος ἐπωλίσθησε κονίῃ·
καὶ χθονὶ κεκλιμένοιο θελήμονος ὑψόθι Βάκχου
γυμνῇ νηδύι κοῦρος ἐφίζανεν· αὐτὰρ ὁ χαίρων
ἐκταδὸν ἔνθα καὶ ἔνθα χυθεὶς ἐπεκέκλιτο γαίῃ
γαστέρι κουφίζων γλυκερὸν βάρος· ἰθυτενὲς δὲ
ἄκρον ὑπὲρ ψαμάθοιο πεδοτριβὲς ἴχνος ἐρείσας
νῶτον ἀνηιώρησε μετάτροπον, ἠνορέην δὲ
φειδομένην ἀνέφηνεν, ἁμιλλητῆρι δὲ παλμῷ
χειρὸς ἀναινομένης ἀπεσείσατο φόρτον Ἐρώτων·
πλευρὰ δὲ δοχμώσας, πελάσας δ' ἀγκῶνα κονίῃ,
ἡβητὴρ πολύιδρις ἐπ' ἀντιπάλου θόρε νώτου
λοξὸς ἐπὶ πλευρῇσιν, ὑπὲρ λαγόνων δὲ καθάψας
ἄκρα ποδὸς κώληπι, παρὰ σφυρὸν ἴχνος ἐρείσας,
γαστέρα διχθαδίῳ μεσάτην μιτρώσατο δεσμῷ,
πλευρὰ περιθλίβων, ὑπὸ γούνατι ταρσὸν ἑλίξας
ὄρθιον ἀπλωθέντα· κυλινδομένων δὲ κονίῃ
ἀμφοτέρων καμάτοιο προάγγελος ἔρρεεν ἱδρώς.
ὀψὲ δὲ νικηθέντος, ἀνικήτου περ ἐόντος,
Ζηνὸς ἀεθλητῆρος ἔχων μίμημα τοκῆος
νικήθη Διόνυσος ἑκούσιος, ὅττι καὶ αὐτὸς
Ζεὺς μέγας αὐτοκύλιστος ἐπ' Ἀλφειοῖο παλαίων L2[I]
ὤκλασεν, Ἡρακλῆι θελήμονα γούνατα κάμψας.
τοῖος ἀγὼν τετέλεστο φιλέψιος· ἠιθέου δὲ
δίθροον αὐλὸν ἄεθλον ἐκούφισε τερπομένη χείρ.
καὶ νέος ἱδρώων φαιδρύνετο γυῖα ῥεέθρῳ
καὶ κόνιν ἰκμαλέην ἀπενίψατο· λουομένου δὲ
3 (1C) ἐκ χροὸς ἱδρώοντος ἐπήρατος ἔρρεεν αἴγλη.
οὐδὲ παλαισμοσύνης τελέσας γυιαλκέα νίκην
σύννομος ἡβητῆρος ἐπαύετο Βάκχος ἀθύρων,
ἀλλὰ ποδωκείης ἀνεμώδεα θῆκεν ἀγῶνα.
καὶ βαλίους ἐς ἔρωτα φέρων μνηστῆρας ἀγῶνος
πρώτῳ μὲν θέτο δῶρα Κυβηλίδος ὄργανα Ῥείης
κύμβαλα χαλκεόνωτα καὶ αἰόλα δέρματα νεβρῶν·
4 νίκης δ' ἦεν ἄεθλα τὰ δεύτερα Πανὸς ἑταίρη,
σύριγξ ἡδυέπεια καὶ ἠχήεσσα βοείη
χαλκοβαρής· τριτάτῳ δὲ τίθει Διόνυσος ἀθύρων
ψάμμον ἐρευθιόωσαν ἑτοιμοτάτου ποταμοῖο.
καὶ Βρόμιος σταδίῳ μεμερισμένον οὖδας ὁρίζων
δισσὰ τιταινομένης διεμέτρεεν ἄκρα κελεύθου,
ὀρθώσας δεκάδωρον ἐπὶ χθονὶ σῆμα πορείης,
στήσας τέρμα δρόμου ταναὸν ξύλον· ἀντιπόρου δὲ
πῆξε τύπον βαλβῖδος ἐπ' ἠιόνι θύρσον ἀείρας·
καὶ Σατύρους ὤτρυνεν ἀεθλεύειν περὶ νίκης.
ὀξὺ δὲ κεκλομένοιο φιλοσκάρθμοιο Λυαίου
Ληνεὺς πρῶτος ὄρουσε ποδήνεμος, ἀμφὶ δ' ἄρ' αὐτῷ

Ἄρης σῶν νεφέων ἐχέτω θώρηκα καλύπτρην, 57 (32C)
Nonnus δὸς χάριν Ἑρμάωνι Διιπετέος χύσιν ὄμβρου,
καὶ στεροπὴν γενετῆρος ἀερτάζοι καὶ Ἀπόλλων·
μεῖον ἐμοί, φίλε, λῆμα, φιλοσκάρθμωι Διονύσωι·
καλὸν ἐμοὶ Σεμέλης στεροπὴν ἐλάχειαν ἀείρειν,
μητροφόνοι σπινθῆρες ἀτερπέες εἰσὶ κεραυνοῦ.
ναίω Μαιονίην· τί γὰρ αἰθέρι καὶ Διονύσωι;
κάλλος ἐμοῦ Σατύροιο φιλαίτερόν ἐστιν Ὀλύμπου.
εἰπέ, πάτερ, μὴ κρύπτε· τεὸς νέος ὅρκιος ἔστω·
αἰετὸς ὁππότε κοῦρον ὑπὸ σφυρὰ Τευκρίδος Ἴδης
φειδομένωι κούφιζες ἐς οὐρανὸν ἅρπαγι ταρσῶι,
τηλίκον ἔλλαχε κάλλος ὁ βουκόλος, ὃν σὺ τραπέζηι
αἰθερίηι ξύνωσας ἔτι πνείοντα βοαύλων;
Ζεῦ πάτερ, ἱλήκοις, τανυσίπτερε· μή μοι ἐνίψηις
Τρώιον οἰνοχοῆα τεῶν δρηστῆρα κυπέλλων,
ὅττι φαεινοτέροιο φέρων ἀμάρυγμα προσώπου
Ἄμπελος ἱμερόεις Γανυμήδεος εἶδος ἐλέγχει·
Τμώλιος Ἰδαίου πέλε φέρτερος. εἰσὶ δὲ πολλαὶ
ἄλλων ἠιθέων ἐραταὶ στίχες, οὓς ἅμα πάντας,
ἢν ἐθέληις, ἀγάπαζε λιπὼν ἕνα παῖδα Λυαίωι."
τοῖον ἔπος κατέλεξε πόθου δεδονημένος οἴστρωι·
οὐχ οὕτω λασίης Μαγνησσίδος ἔνδοθεν ὕλης
βουκόλος Ἀδμήτοιο βόας ποίμαινεν Ἀπόλλων,
παιδὸς ἐρωτοτόκου βεβολημένος ἡδέι κέντρωι,
ὅσσον ἐπ' ἠιθέωι φρένα τέρπετο Βάκχος ἀθύρων.
L3[O] ἄμφω δ' ἐψιόωντο συνήλυδες ἔνδοθι λόχμης,
πῆι μὲν ἀκοντίζοντες ἐς ἠέρα θύρσον ἀλήτην,
πῆι δὲ παρὰ πλαταμῶνα λιπόσκιον, ἄλλοτε πέτραις
ἔστιχον ἀγρώσσοντες ὀρίτροφα τέκνα λεόντων·
✦ καί ποτε μουνωθέντες ἐρημάδος ὑψόθεν ὄχθης,
ἐν ψαμάθοις παίζοντες ἐυκροκάλου ποταμοῖο,
ἀμφὶ παλαισμοσύνης φιλοπαίγμονος εἶχον ἀγῶνα· 4 (2C)
τοῖσι μὲν οὐ τρίπος ἦεν ἀέθλιον, οὐδ' ἐπὶ νίκηι
ἀνθεμόεις παρέκειτο λέβης, οὐ φορβάδες ἵπποι,
ἀλλὰ λιγυφθόγγων διδυμόθροος αὐλὸς Ἐρώτων.
ἀμφοτέροις δ' ἔρις ἦεν ἐπήρατος· ἐν δ' ἄρα μέσσωι
ἵστατο μάργος Ἔρως, πτερόεις ἐναγώνιος Ἑρμῆς,
στέμμα πόθου νάρκισσον ἐπιπλέξας ὑακίνθωι.
ἄμφω δ' εἰς μέσον ἦλθον ἀεθλητῆρες Ἐρώτων, 5
καὶ παλάμας στεφανηδὸν ἑλιξάμενοι διὰ νώτου,
ἀμφοτέρων σφίγξαντες ἐπ' ἰξύι δεσμὸν ἀγοστῶν,
πλευρὰ διεσφήκωσαν ὁμόζυγι πήχεος ὁλκῶι,
καὶ δέμας ἀλλήλων ἀνεκούφισαν ὑψόθι γαίης
χερσὶν ἀμοιβαίηισι· καὶ ἥπτετο Βάκχος Ὀλύμπου
ἀμφὶ παλαισμοσύνης μελιηδέος, εἶχε δὲ δισσὴν
τερπωλὴν ἐρόεσσαν, ἀειρόμενος καὶ ἀείρων
{…} καὶ παλάμην Βρομίου παλάμης περὶ καρπὸν ἑλίξας,
χερσὶ συναπτομέναις ἑτερόζυγον ἅμμα πιέζων,
διχθαδίωι συνέεργεν ἀρηρότα δάκτυλα δεσμῶι,
δεξιτερὴν ἐθέλοντος ἐπισφίγγων Διονύσου.

πρηνὴς δ' ἐν ῥοθίοισι καὶ οἴδμασιν ἴχνος ἐρείσας
ποσσὶν ὀπισθοτόνοισι ῥυηφενὲς ἔσχισεν ὕδωρ· Nonnus
καί τις ὑποβρυχίων κατεδύσατο βένθος ἐναύλων
νειόθι μαστεύων νεπόδων ἑτερόχροον ἄγρην,
τυφλὴν νηχομένοισιν ἐπ' ἰχθύσι χεῖρα τιταίνων,
καὶ βυθὸν αὖτις ἔλειπε, καὶ ἰχθύας ὤρεγε Βάκχωι
ἰλύι φοινίσσοντας ἐχεκτεάνου ποταμοῖο·
συμπλέγδην δὲ πόδεσσιν ἀρηρότα ταρσὰ συνάπτων
κυφὸς ἐριδμαίνων Σατύρωι Σειληνὸς ἀλήτης
κύμβαχος αὐτοκύλιστος ἐπεσκίρτησε ῥεέθρωι
ὑψόθεν εἰς βαθὺ λαῖτμα, καὶ ἰλύος ἥπτετο χαίτη,
καὶ διδύμους στίλβοντι πόδας στηρίξατο πηλῶι
ὄλβον ἐυψήφιδα μεταλλεύων ποταμοῖο·
καί τις ἐνὶ προχοῆισι μετάφρενον ἠέρι φαίνων
ἄβροχον ὦμον ἔλειπε δι' ὕδατος, ἰσχία βάπτων
ἀγχιβαθὴς ἀτένακτος· ὁ δ' οὔατα γυμνὰ τιταίνων
χεύματι μαρμαρέωι λασίους ἐδιήνατο μηρούς,
καὶ ῥόον αὐτοέλικτος ἐμάστιε σύμφυτος οὐρή.
καὶ θεὸς ὀρθώσας κεφαλὴν καὶ στέρνα πετάσσας,
χεῖρας ἐρετμώσας, χρυσέην ἐχάραξε γαλήνην·
καὶ ῥόδον αὐτοτέλεστον ἀκύμονες ἔπτυον ὄχθαι,
καὶ κρίνον ἐβλάστησε, καὶ ἠιόνας ἔστεφον Ὧραι
Βάκχου λουομένοιο, καὶ ἀστράπτοντι ῥεέθρωι
ἄπλοκα κυανέης ἐρυθαίνετο βόστρυχα χαίτης.
καί ποτε θηρεύων ὑπὸ φωλάδα δάσκιον ὕλην
ἥλικος ἠιθέοιο ῥοδώπιδι θέλγετο μορφῆι. L3[O]
ἤδη γὰρ Φρυγίης ὑπὸ δειράδα κοῦρος ἀθύρων
Ἄμπελος ἠέξητο, νεοτρεφὲς ἔρνος Ἐρώτων·
οὐδέ οἱ ἁβρὸς ἴουλος ἐρευθομένοιο γενείου
ἄχνοα χιονέης ἐχαράσσετο κύκλα παρειῆς,
ἥβης χρύσεον ἄνθος· ὀπισθοπόροιο δὲ χαίτης
βότρυες εἱλικόεντες ἐπ' ἀργυφέων θέον ὤμων
ἀπλεκέες, λιγυρῶι δὲ συναιθύσσοντες ἀήτηι
ἄσθματι κουφίζοντο· παρελκομένων δὲ κομάων
ἀκροφανὴς ἀνέτελλε μέσος γυμνούμενος αὐχὴν
καὶ σέλας ἠκόντιζε λιπόσκιος, οἷά τε λάμπει
μεσσοφανὴς νέφος ὑγρὸν ἀνασχίζουσα Σελήνη·
καὶ στόματος ῥοδέοιο μελίπνοος ἔρρεε φωνή·
ἐκ μελέων δ' ὅλον εἶαρ ἐφαίνετο· νισσομένου δὲ
ἐκ ποδὸς ἀργυφέοιο ῥόδων ἐρυθαίνετο λειμών·
εἰ δὲ βοογλήνων φαέων εὐφεγγέι κύκλωι
ὀφθαλμοὺς ἐλέλιζεν, ὅλη σελάγιζε Σελήνη.
τὸν μὲν ἔχων Διόνυσος ὁμέψιον, ἁβρὸν ἀθύρων,
εἴρετο θαμβαλέην προχέων ἐπὶ κάλλεϊ φωνὴν
ὡς βροτός, ἀθανάτην δὲ δολοπλόκος ἔκρυφε μορφήν·
"τίς σε πατὴρ ἐφύτευσε; τίς οὐρανίη τέκε γαστήρ;
τίς Χαρίτων σε λόχευσε; τίς ἤροσε καλὸς Ἀπόλλων;
εἰπέ, φίλος, μὴ κρύπτε τεὸν γένος· εἰ μὲν ἱκάνεις
ἄπτερος ἄλλος Ἔρως βελέων δίχα, νόσφι φαρέτρης,
τίς μακάρων σε φύτευσε παρευνάζων Ἀφροδίτηι;

καὶ γὰρ ἐγὼ τρομέω σέο μητέρα Κύπριν ἐνίψαι,
μὴ γενέτην Ἥφαιστον ἢ Ἄρεα σεῖο καλέσσω.
εἰ δὲ σύ, τὸν καλέουσιν, ἀπ' αἰθέρος ἤλυθες Ἑρμῆς,
δεῖξον ἐμοὶ πτερὰ κοῦφα καὶ ἔμπνοα ταρσὰ πεδίλων.
πῶς μεθέπεις ἄτμητον ἐπήορον αὐχένι χαίτην;
μὴ σύ μοι αὐτὸς ἵκανες ἄτερ κιθάρης, δίχα τόξου,
Φοῖβος ἀκερσικόμης κεχαλασμένα βόστρυχα σείων;
εἰ Κρονίδης μὲ φύτευσε, σὺ δὲ χθονίης ἀπὸ φύτλης
βουκεράων Σατύρων μινυώριον αἷμα κομίζεις,
ἶσον ἐμοὶ βασίλευε, θεῶι βροτός· οὐ γὰρ ἐλέγξει
οὐράνιον τεὸν εἶδος Ὀλύμπιον αἷμα Λυαίου.
ἀλλὰ τί κικλήσκω σε μινυνθαδίης ἀπὸ φύτλης;
γινώσκω τεὸν αἷμα, καὶ εἰ κρύπτειν μενεαίνεις·
Ἠελίωι σε λόχευσε παρευνηθεῖσα Σελήνη
Ναρκίσσωι χαρίεντι πανείκελον· αἰθέριον γὰρ
εἴκελον εἶδος ἔχεις, κεραῆς ἴνδαλμα Σελήνης."
τοῖον ἔπος κατέλεξε· νέος δ' ἠγάλλετο μύθωι
κυδιόων, ὅτι κάλλος ὑπέρβαλεν ἥλικος ἥβης
εἴδεϊ φαιδροτέρωι. καὶ ὀρειάδος ἔνδοθι λόχμης
εἰ μέλος ἔπλεκε κοῦρος, ἐτέρπετο Βάκχος ἀκούων·
εἰ νέος ἐκτὸς ἔμιμνεν, ἀμειδέας ἔσχε παρειάς·
εἰ Σάτυρος παρὰ δαῖτα φιλοσκάρθμοιο τραπέζης
τύμπανα χερσὶν ἔτυπτε περίκροτον ἦχον ἀράσσων,
καὶ νέος ἐκτὸς ἔην μεθέπων ἐλαφηβόλον ἄγρην,
κούρου μὴ παρεόντος ἀναίνετο δίκτυπον ἠχώ·
L3[I] εἴ ποτε Πακτωλοῖο παρ' ἀνθεμόεντι ῥεέθρωι
δηθύνων ἀνέμιμνεν, ὅπως ἐπιδόρπιον εἴη
αὐτὸς ἑῶι βασιλῆι φέρων γλυκερώτερον ὕδωρ,
κούρου νόσφι μένοντος ἱμάσσετο Βάκχος ἀνίηι·
✦ εἰ θρασὺν αὐλὸν ἄειρε, Λιβυστίδος ὄργανον Ἠχοῦς.
οἰδαλέηι φύσημα παρηίδι λεπτὸν ἰάλλων,
Μυγδόνος αὐλητῆρος ὀίετο Βάκχος ἀκούειν,
ὃν τέκε θεῖος Ὕαγνις, ὃς εἰς κακὸν ἤρισε Φοίβωι
τρητὸν ἐπιθλίβων διδυμόθροον αὐλὸν Ἀθήνης·
εἰ δὲ σὺν ἡβητῆρι μιῆς ἔψαυσε τραπέζης,
κούρου φθεγγομένου πολυτερπέας εἶχεν ἀκουάς,
παυομένου δὲ νέοιο κατηφέας εἶχεν παρειάς·
εἰ δὲ βαθυσκάρθμοιο πόθου πεφορημένος οἴστρωι
Ἄμπελος ὀρχηστῆρι ποδῶν ἐλελίζετο παλμῶι,
καὶ Σατύρωι παίζοντι συνέπλεκε χεῖρα χορεύων,
δόχμιον ἐκ ταρσοῖο μετήλυδα ταρσὸν ἀμείβων,
Βάκχος ὀπιπεύων φθονερῆι δεδόνητο μερίμνηι.
εἴ ποτε Σειληνοῖσιν ὁμίλεεν, εἴ τινι κούρωι
ἥλικι θηρητῆρι συνέτρεχεν εἰς δρόμον ἄγρης,
ζηλήμων Διόνυσος ἐρήτυε, μή τις ὀιστῶι
βλήμενος ἰσοτύπωι φρενοθελγέι λάτρις Ἐρώτων
παιδὸς ἐλαφρονόοιο παραπλάγξειε μενοινήν,
καὶ νέον ἱμερόεντα μεταστήσειε Λυαίου,
ἀρτιθαλὴς ἅτε κοῦρος ὁμόχρονον ἥλικα τέρπων.
ἀλλ' ὅτε θύρσον ἄειρε καταντία λυσσάδος ἄρκτου
58 (33C) ἢ βριαρῶι νάρθηκι κατηκόντιζε λεαίνης,
εἰς δύσιν ὄμμα τίταινεν ἐς ἠέρα λοξὰ δοκεύων,
μὴ Ζεφύρου πνεύσειε πάλιν θανατηφόρος αὔρη,
ὡς πάρος ἡβητῆρα κατέκτανε πικρὸς ἀήτης
δίσκον ἀκοντιστῆρα καταστρέψας Ὑακίνθου·
δείδιε, μὴ Κρονίδης ἐρασίπτερος ὄρνις Ἐρώτων
ἀπροϊδὴς ἀκίχητος ὑπὲρ Τμώλοιο φανείη
φειδομένοις ὀνύχεσσιν ἐς ἠέρα παῖδα κομίζων,
Τρώιον οἷά τε κοῦρον ἑῶν δρηστῆρα κυπέλλων·
ἔτρεμε καὶ δυσέρωτα κυβερνητῆρα θαλάσσης,
μὴ μετὰ Ταντάλιδην χρυσέων ἐπιβήτορα δίφρων
εἰς δρόμον ἠερόφοιτον ἄγων πτερόεσσαν ἀπήνην
Ἄμπελον ἁρπάξειεν ἐρωμανέων ἐνοσίχθων.
καὶ γλυκὺν εἶχεν ὄνειρον ὀνειροτόκων ἐπὶ λέκτρων,
καὶ φιλίους ὀάριζε νέωι ψευδήμονι μύθους
μιμηλῆς ὀρόων σκιοειδέα φάσματα μορφῆς.
εἰ δέ τί οἱ δύσμορφον ἐπήρατος εἶχεν ὀπωπή,
ἱμερόεν πέλε τοῦτο ποθοβλήτωι Διονύσωι,
φίλτερον ἡβητῆρος ὅλου χροός· εἰ δέ οἱ ἄκρη
συμφερτὴ κεχάλαστο δι' ἰξύος ὄρθιος οὐρή,
καὶ μέλιτος γλυκεροῖο μελιχροτέρη πέλε Βάκχωι·
καὶ πλόκαμοι ῥυπόωντες ἀκηδέστοιο καρήνου
αὐτοὶ μᾶλλον ἔτερπον ἐρωμανέοντος ὀπωπήν.
ἤματι μὲν κεχάρητο συνέμπορος· ἄχνυτο δ' αἰεὶ
νυκτὸς ἐπερχομένης, ὅτε μηκέτι παιδὸς ἀκούων
οὔασι θελγομένοισιν ἐθήμονα δέχνυτο φωνήν, L3[I]
Ῥείης ὀβριμόπαιδος ἐνὶ σπήεσσιν ἰαύων.
καί μιν ἰδὼν Σατύρων τις ἐθέλγετο θέσπιδι μορφῆι,
καὶ κρυφίην ἐρόεσσαν ὑποκλέπτων φάτο φωνήν·
"ἀνδρομέης κραδίης ταμίη, φιλοτήσιε Πειθώ,
μοῦνος ἐμοὶ νέος οὗτος ἐπήρατος ἵλαος εἴη·
5 (3C) καί μιν ἔχων, ἅτε Βάκχος, ὁμέψιον οὐ μενεαίνω
αἰθέρα ναιετάειν μετανάστιος, οὐ θεὸς εἶναι
ἤθελον, οὐ Φαέθων φαεσίμβροτος, οὐ πόθον ἕλκω
νέκταρος, ἀμβροσίης δ' οὐ δεύομαι· οὐκ ἀλεγίζω,
Ἄμπελος εἰ φιλέει μὲ καὶ ἐχθαίρει μὲ Κρονίων."
ὣς ὁ μὲν ἀμφιέπων ὑποκάρδιον ἰὸν Ἐρώτων
κρυπτὸν ἀνηΰτησεν ἔπος ζηλήμονι φωνῆι,
6 θαύματι φίλτρον ἔχων κεκερασμένον. ἀλλὰ καὶ αὐτὸς
Εὔιος, ἠιθέου βεβολημένος ἡδέι κέντρωι,
ἴαχε μειδιόων Κρονίδηι, δυσέρωτι τοκῆι·
"νεῦσον ἐμοὶ φιλέοντι μίαν χάριν, ὦ Φρύγιε Ζεῦ·
νηπιάχωι μὲν ἔειπεν ἐμὴ τροφὸς εἰσέτι Ῥείη,
ὡς στεροπὴν Ζαγρῆι πόρες, προτέρωι Διονύσωι
εἰσέτι παππάζοντι, τεὴν πυρόεσσαν ἀκωκήν,
καὶ βροντῆς κελάδημα καὶ ἠερίου χύσιν ὄμβρου,
καὶ πέλε δεύτερος ἄλλος ἔτι βρέφος ὑέτιος Ζεύς·
σεῖο δ' ἐγὼ πρηστῆρος ἀναίνομαι αἰθέριον πῦρ,
οὐ νέφος, οὐ βροντῆς ἐθέλω κτύπον· ἣν δ' ἐθελήσῃς,
Ἡφαίστωι πυρόεντι δίδου σπινθῆρα κεραυνοῦ,

Nonnus

ἄλλη ἅμα γνωτῇισι θαλυσιὰς ἔστιχεν Ὥρη,
καὶ στάχυν ἀκροκόμοισι περιφρίσσοντα κορύμβοις
δεξιτερῇι κούφιζε καὶ ὀξυτόμου γένυν ἅρπης
ἄγγελον ἀμητοῖο, δέμας δ' ἐσφίγγετο κούρη
ἀργενναῖς ὀθόνῃσιν, ἑλισσομένης δὲ χορείῃ
φαίνετο λεπταλέοιο δι' εἵματος ὄργια μηρῶν,
καὶ νοτεροὺς ἱδρῶτας ἀνιεμένοιο προσώπου
θερμοτέρωι Φαέθοντι καθικμαίνοντο παρειαί·
ἄλλη δ' εὐαρότοιο προηγήτειρα χορείης
θαλλὸν ἐλαιήεντα λιπότριχι δήσατο κόρσηι
ἑπταπόρου ποταμοῖο διάβροχον ὕδασι Νείλου,
καὶ ψεδνὴν μεθέπουσα μαραινομένην τρίχα κόρσης
καρφαλέον δέμας εἶχεν, ἐπεὶ φθινοπωρὶς ἐοῦσα
φυλλοχόοις ἀνέμοις ἀπεκείρατο δενδράδα χαίτην·
οὔ πω γὰρ χρυσέων ἑλίκων πλεκτοῖσι κορύμβοις
βότρυες ἀμπελόεντες ἐπέρρεον αὐχένι νύμφης,
οὐδέ μιν οἰνωθεῖσα φιλακρήτωι παρὰ ληνῶι
πορφυρέης ἐμέθυσσε Μαρωνίδος ἰκμὰς ἐέρσης,
οὐδὲ παλινδίνητος ἀνέδραμε κισσὸς ἀλήτης·
ἀλλὰ τότε χρόνος ἦλθε μεμορμένος, οὗ χάριν αὐταὶ
11.521 ✦ εἰς δόμον Ἠελίοιο συνήλυδες ἔδραμον Ὧραι.

13.1 Ζεὺς δὲ πατὴρ προέηκεν ἐς αὔλια θέσκελα Ῥείης
Ἶριν ἀπαγγέλλουσαν ἐγερσιμόθωι Διονύσωι,
ὄφρα δίκης ἀδίδακτον ὑπερφιάλων γένος Ἰνδῶν
Ἀσίδος ἐξελάσειεν ἑῶι ποινήτορι θύρσωι,
L1[O] ναύμαχον ἀμήσας ποταμήιον υἷα κεράστην,
Δηριάδην βασιλῆα, καὶ ἔθνεα πάντα διδάξηι
ὄργια νυκτιχόρευτα καὶ οἴνοπα καρπὸν ὀπώρης.
ἡ μὲν ἐρεσσομένων πτερύγων ἀνεμώδεϊ ῥιπῇι
δυσαμένη κελάδοντα λεοντοκόμου μυχὸν ἄντρου
ἄψοφον ἴχνος ἔπηξεν, ἀφωνήτωι δὲ σιωπῇι
σφιγξαμένη στόμα δοῦλον ὀρειάδος ἐγγὺς ἀνάσσης (1)
ἵστατο κυρτωθεῖσα, καθελκομένου δὲ καρήνου
χείλεσιν ἱκεσίοισι πόδας προσπτύξατο Ῥείης.
καὶ τὴν μὲν Κορύβαντες ἀμειδέι νεύματι Ῥείης
θεσπεσίης ἀρέσαντο παρὰ κρητῆρι τραπέζης·
θαμβαλέη δὲ πιοῦσα νεηγενέος χύσιν οἴνου
τέρπετο βακχευθεῖσα· καρηβαρέουσα δὲ δαίμων
✦ παιδὶ Διὸς παρεόντι Διὸς μυκήσατο βουλήν· (1)
"ἀλκήεις Διόνυσε, τεὸς γενέτης σε κελεύει
εὐσεβίης ἀδίδακτον ἀιστῶσαι γενος Ἰνδῶν·
ἀλλὰ τεαῖς παλάμῃσι μαχήμονα θύρσον ἀείρων
αἰθέρος ἄξια ῥέξον, ἐπεὶ Διὸς ἄμβροτος αὐλὴ
οὔ σε πόνων ἀπάνευθε δεδέξεται, οὐδέ σοι Ὧραι
μή πω ἀεθλεύσαντι πύλας πετάσωσιν Ὀλύμπου·
Ἑρμείας μόγις ἦλθεν ἐς οὐρανόν, ὁππότε ῥάβδωι
ὄμμασιν ἀστράπτοντα ποδῶν ἄπο μέχρι κομάων
βουκόλον Ἄργον ἔπεφνε, καὶ Ἄρεα λύσατο δεσμῶν·
Δελφύνην δ' ἐδάμασσε καὶ αἰθέρα ναῖεν Ἀπόλλων·
13.29 οὐδὲ τεὸς γενέτης, μακάρων πρόμος, ὑψιμέδων Ζεὺς
νόσφι πόνων ἀνέβαινεν ἐς οὐρανόν, ὄρχαμος ἄστρων,

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

See the eleventh, and you will find lovely Ampelos carried off by the manslaying robber bull.

NONNUS

DIONYSIACA

BOOK 11

PREVIEW BOOK 13

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 521 lines 3.0
3L 1 - 521

PRINT 2-SIDED: 67 to 72

Λῦτο δ' ἀγών· ἐρόεις δὲ νέος φιλοπαίγμονι νίκηι
κυδιόων σκίρτησεν ὁμέψιος ἥλικι Βάκχωι
εἰλιπόδην περὶ κύκλον ἀλήμονα ταρσὸν ἀμείβων,
δεξιτερὴν πάνλευκον ἐπικλίνων Διονύσωι·
καί μιν ἰδὼν Ἰόβακχος ἀγήνορα δίζυγι νίκηι
ποσσὶ περισκαίροντα φίλωι μειλίξατο μύθωι·
"σπεῦδε πάλιν, φίλε κοῦρε, ποδωκείης μετὰ νίκην
καὶ μετὰ πεζὸν ἄεθλον ἔχειν τρίτον ἄλλον ἀγῶνα,
νηχομένωι δ' ἀκίχητος ὁμήλικι νήχεο Βάκχωι.
Ἄμπελε, νικήσας με παρὰ ψαμάθοισι παλαίων,
ἔσσο καὶ ἐν προχοῇσιν ἐλαφρότερος Διονύσου,
καὶ Σατύρους παίζοντας ἔτι σκαρθμοῖσιν ἐάσας
εἰς τρίτατον πάλιν ἄλλον ἐπείγεο μοῦνος ἀγῶνα·
ἐν χθονὶ νικήσαις καὶ ἐν ὕδασι, καὶ μετὰ νίκην
σοὺς ἐρατοὺς πλοκάμους διδύμοις στέψαιμι κορύμβοις
διπλόα νικηθέντος ἀνικήτοιο Λυαίου.
ἔπρεπέ σοι ῥόος οὗτος ἐπήρατος, ἔπρεπε μούνωι
κάλλεϊ σῶν μελέων, ἵνα διπλόος Ἄμπελος εἴη
χρυσείηι παλάμηι χρυσαυγέα ῥεύματα τέμνων·
καὶ γυμνοῖς μελέεσσι τιταινομένου περὶ νίκης
✦ κοσμήσει σέο κάλλος ὅλον Πακτώλιον ὕδωρ.
δὸς ποταμῶι γέρας ἶσον Ὀλύμπιον, ὅττι καὶ αὐτὸς
Ὠκεανῶι Φαέθων ῥοδέας ἀκτῖνας ἰάλλει·
Πακτωλῶι πόρε καὶ σὺ τεὸν σέλας, ὄφρα φανείη
Ἄμπελος ἀντέλλων ἅτε Φωσφόρος· ἀμφότερον γὰρ
L1[I] ἀστράπτει ῥόος οὗτος ἐρευθιόωντι μετάλλωι
ὡς σὺ τεοῖς μελέεσσι· βαθυπλούτωι δὲ ῥεέθρωι
σύγχροον εἶδος ἔχοντα καὶ ἡβητῆρα δεχέσθω
μίξας κάλλεϊ κάλλος, ὅπως Σατύροισι βοήσω·
'πῶς ῥόδον εἰς ῥόδον ἦλθε; πόθεν μία κίρναται αἴγλη
καὶ χροϊ φοινίσσοντι καὶ ἀστράπτοντι ῥεέθρωι;'
αἴθε καὶ ἐνθάδε, κοῦρε, πέλεν ῥόος Ἠριδανοῖο,
Ἡλιάδων ὅθι δάκρυ ῥυηφενές, ὄφρά κεν ἄμφω
καὶ χρυσῶι σέο γυῖα καὶ ἠλέκτροισι λοέσσω.
ἀλλ' ἐπεὶ Ἑσπερίου ποταμοῦ μάλα τηλόθι ναίω,
ἵξομαι εἰς Ἀλύβην ἀγχίπτολιν, ὁππόθι γείτων
Γεῦδις ἐχεκτεάνων ὑδάτων λευκαίνεται ὁλκῶι,
ὄφρά σε Πακτωλοῖο λελουμένον ἐκ ποταμοῖο,
Ἄμπελε, φαιδρύνοιμι καὶ ἀργυρέοισι ῥεέθροις.
Ἕρμος ἐυρρείτης ἑτέροις Σατύροισι μελέσθω·
οὐ γὰρ ἀπὸ χρυσοῖο φέρει ῥόον· ἀλλὰ σὺ μοῦνος
χρύσεος ἔπλεο κοῦρος, ἔχοις καὶ χρύσεον ὕδωρ."
ὣς εἰπὼν πεφόρητο δι' ὕδατος· ἐκ δαπέδου δὲ
Ἄμπελος ἠιώρητο καὶ ὡμάρτησε Λυαίωι·
καὶ γλυκὺς ἀμφοτέροισιν ἔην δρόμος ἄκρον ἀπ' ἄκρον
νηχομένοις ἑλικηδὸν ἐρικτεάνου ποταμοῖο.
καὶ θεὸς ὑδατόεντα φέρων ταχυτῆτος ἀγῶνα
ἔτρεχεν ἀστήρικτος ἐν ὕδασι, γυμνὰ ῥεέθροις
στέρνα βαλών, δονέων δὲ πόδας καὶ χεῖρας ἐρέσσων
ἀφνειῆς ἀτίνακτα κατέγραφε νῶτα γαλήνης,

60 (34C) γνωτῆς ἡμετέρης γαμίων ὑμέναιος Ἐρώτων,
εἰπέ, καὶ ἐν προχοῇσιν ἐγὼ σέο παστὸν ἀνάψω.
Καρπέ, παραπλώεις με λελασμένος ἠθάδος ὄχθης;
κάμνον ἐγὼ καλέων σε, καὶ οὐ βοόωντος ἀκούεις.
εἰ Νότος, εἰ θρασὺς Εὖρος ἐπέπνεεν, αὐτὸς ἀλάσθω
νηλειὴς ἀχόρευτος, ἀτάσθαλος ἐχθρὸς Ἐρώτων·
εἰ Βορέης σε δάμασσεν, ἐς Ὠρείθυιαν ἱκάνω.
εἰ δὲ σε κῦμα κάλυψε καὶ οὐκ ἠιδέσσατο μορφήν,
καί σε πατὴρ ἐμὸς εἷλεν ἀφειδέι κύματος ὁλκῶι,
ὕδασιν ἀνδροφόνοισιν ἐὸν καὶ παῖδα δεχέσθω,
καὶ Κάλαμον κρύψειεν ὀλωλότος ἐγγύθι Καρποῦ.
ἀλλὰ πεσὼν προκάρηνος, ὅπηι θάνε Καρπὸς ἀλήτης,
σβέσσω θερμὸν ἔρωτα πιὼν Ἀχερούσιον ὕδωρ.'
εἶπεν ἀναβλύζων βλεφάρων ῥόον· ἀμφὶ δὲ νεκρῶι
κυανέην πλοκαμῖδα κατηφέι τάμνε σιδήρωι,
ἣν τρέφεν, ἣν κομέεσκε, καὶ ὤρεγε πενθάδα χαίτην
Μαιάνδρωι γενετῆρι, καὶ ὑστατίην φάτο φωνήν·
'δέξο μετὰ πλοκάμους καὶ ἐμὸν δέμας· οὐ δύναμαι γὰρ
εἰς μίαν ἠριγένειαν ἰδεῖν φάος ἔκτοθι Καρποῦ·
Καρπῶι καὶ Καλάμωι βιοτὴ μία, καὶ λάχον ἄμφω
εἴκελον οἶστρον Ἔρωτος ἐπὶ χθονός· ὑδατόεις δὲ
εἷς μόρος ἀμφοτέροισι καὶ ἐν προχοῇσι γενέσθω.
τεύξατε, Νηιάδες, ποταμηίδος ὑψόθεν ὄχθης
ἄκριτον ἀμφοτέροισι κενήριον, ἀμφὶ δὲ τύμβωι
γράμμασι πενθαλέοισιν ἔπος κεχαραγμένον ἔστω·
'Καρποῦ καὶ Καλάμοιο πέλω τάφος, οὓς πάρος ἄμφω L1[I]
ἀλλήλους ποθέοντας ἀμείλιχον ἔκτανεν ὕδωρ.'
εἶπε, καὶ αὐτοκύλιστος ἐπωλίσθησε ῥεέθρωι
πατρὸς ἀναινομένοιο πιὼν παιδοκτόνον ὕδωρ.
καὶ Κάλαμος καλάμοισιν ἐπώνυμον ὤπασε μορφὴν
ἰσοφυῆ, καὶ Καρπὸς ἀέξετο καρπὸς ἀρούρης."
2 (1C) τοῖα παρηγορέων φιλίωι μειλίξατο μύθωι
θοῦρος Ἔρως, γλυκὺ κέντρον ἐλαφρίζων Διονύσωι.
καὶ κινυρῆι πολὺ μᾶλλον ἱμάσσετο θυμὸν ἀνίηι
ἠιθέου διὰ πότμον ἀώριον. — ἀσταθέος δὲ
θυγατέρες Λυκάβαντος, ἀελλοπόδοιο τοκῆος,
εἰς δόμον Ἠελίοιο ῥοδώπιδες ἤιον Ὧραι·
ὧν ἡ μὲν νιφόεντι κατάσκιον ἀμφὶ προσώπωι
2 λεπταλέον πέμπουσα κελαινεφέος σέλας αἴγλης
ψυχρὰ χαλαζήεντι συνήρμοσε ταρσὰ πεδίλωι,
καὶ διερῶι πλοκαμῖδας ἐπισφίγξασα καρήνωι
ὀμβροτόκον κρήδεμνον ἐπεσφήκωσε μετώπωι,
καὶ χλοερὸν στέφος εἶχε καρήατι, χιονέηι δὲ
στήθεα παχνήεντα κατέσκεπε λευκάδι μίτρηι·
ἡ δὲ χελιδονίων ἀνέμων τερψίμβροτον αὔρην
ἔπτυε φυσιόωσα, φιλοζεφύρου δὲ καρήνου
εἰαρινὴν δροσόεντι κόμην μιτρώσατο δεσμῶι,
ἀνθεμόεν γελόωσα, διαιθύσσουσα δὲ πέπλον
ὄρθριον οἰγομένοιο ῥόδου δολιχόσκιον ὀδμὴν
διπλόον ἔπλεκε κῶμον Ἀδώνιδι καὶ Κυθερείηι·

ἦεν ἔρις· Κάλαμος μὲν ἐπέτρεχεν εἴκελος αὔραις,
Nonnus καὶ πτελέην βαλβῖδα φέρων καὶ νύσσαν ἐλαίην
ἠιόνας ποταμοῖο διέδραμεν ἄκρον ἀπ' ἄκρου
{…} καὶ Κάλαμος ταχύγουννος ἑκούσιος ἤριπε γαίηι,
καὶ Καρπῶι χαρίεντι θελήμονα κάλλιπε νίκην.
παιδὶ δὲ λουομένωι συνελούετο κοῦρος ἀθύρων,
καὶ πάλιν εἴκελον ἄλλον ἐν ὕδασιν εἶχον ἀγῶνα,
καὶ βραδὺς ἐν προχοῇσιν ἐνήχετο Καρπὸν ἐάσας
πρόσθε μολεῖν, ἵνα χερσὶν ὀπίστερος οἴδματα τέμνων
Καρποῦ νηχομένοιο παρὰ σφυρὰ δεύτερος ἔλθηι
ἠιθέου προθέοντος ἐλεύθερα νῶτα δοκεύων.
καὶ διερῆς βαλβῖδος ἔην δρόμος· ἤρισαν ἄμφω,
τίς τίνα νικήσειεν, ὅπως παλινόστιμος ἔλθηι
ὄχθης ἀμφοτέρης διδυμάονα νύσσαν ἀμείβων
γαῖαν ἐς ἀντιπέραιαν ἐρεσσομένων παλαμάων·
καὶ προχοὴν ὁδὸν εἶχεν· ἀεὶ δέ οἱ ἐγγὺς ἱκάνων
κοῦρος ἐπειγομένης παλάμης πεφιδημένος ὁρμῆς
νηχομένων σκοπίαζε ῥοδόχροα δάκτυλα χειρῶν·
καὶ Κάλαμος προκέλευθος ἑὴν ἀνεσείρασεν ὁρμήν,
ἠιθέωι δ' ὑπόειξε· καὶ ἔδραμε χεῖρας ἐρέσσων
◆ κοῦρος ἀελλήεις, ὑπὲρ οἴδματος αὐχένα τείνων·
καί νύ κεν ἐκ ῥοθίων ἐπεβήσατο Καρπὸς ἀρούρης,
καὶ μετὰ χερσαίην ποταμηίδα δύσατο νίκην,
ἀλλά μιν ἀντικέλευθος ἀνεστυφέλιξεν Ἀήτης,
καὶ γλυκὺν ἔκτανε κοῦρον ἀμείλιχος· ἠιθέου γὰρ
L2[O] οἰγομένωι νήριθμον ὕδωρ ἐπεσύρετο λαιμῶι.
καὶ Κάλαμος φθονεροῖο φυγὼν ἀνέμοιο θυέλλας
ἔκτοθεν ἡβητῆρος ἐδύσατο γείτονας ἀκτάς·
καὶ φίλον οὐ παρεόντα καὶ οὐκ ἀίοντα νοήσας
ἱμερόεν στενάχων κινυρῆι βουχήσατο φωνῆι·
'Νηιάδες, φθέγξασθε, τίς ἥρπασε Καρπὸν Ἀήτης;
ναί, λίτομαι, πυμάτην δότε μοι χάριν, ἔλθετε πηγὴν
εἰς ἑτέρην, καὶ πατρὸς ἐμοῦ θανατηφόρον ὕδωρ
φεύγετε, μηδὲ πίητε ῥόον Καρποῖο φονῆα.
οὐ μὲν ἐμὸς γενέτης νέον ἔκτανεν· ἀλλὰ μεγαίρων
καὶ Καλάμωι μετὰ Φοῖβον ἀπώλεσε Καρπὸν Ἀήτης,
καὶ τάχα μιν ποθέων ζηλήμονι τύψεν ἀέλληι,
ἠιθέωι μετὰ δίσκον ἄγων ἀντίπνοον αὔρην.
οὔ πω ἐμὸς προχοῇσι λελουμένος ἄνθορεν ἀστήρ,
οὔ πω ἐμὸς σελάγιζεν Ἑωσφόρος· ἀλλὰ ῥεέθροις
Καρποῦ δυομένοιο, τί μοι φάος εἰσέτι λεύσσειν;
Νηιάδες, φθέγξασθε, τίς ἔσβεσε φέγγος Ἐρώτων;
καὶ Καλάμωι δυσέρωτι, κασιγνήτωι περ ἐόντι,
βαιὸν ἕνα θνήσκοντι δαΐξατε βότρυν ἐθείρης,
καὶ πλοκάμους ξύμπαντας ὀλωλότι κείρατε Καρπῶι.'
δηθύνεις ἔτι, κοῦρε; τί σοι τόσον εὔαδεν ὕδωρ;
κρείσσονα μὴ φίλον εὗρες ἐν ὕδασι, τῶι παραμίμνων
δειλαίου Καλάμοιο πόθους ἔρριψας ἀήταις;
εἰ μία Νηιάδων σε δυσίμερος ἥρπασε Νύμφη,
ἔννεπε, καὶ πάσῃσι κορύσσομαι· εἰ δέ σε τέρπει

61 (35C) πῆι μὲν ἔχων ὁμόφοιτον ἑὸν δρόμον ἥλικι κούρωι,
πῆι δὲ παραΐσσων πεφυλαγμένος, ὅσσον ἐάσηι Nonnus
Ἄμπελον ἀγχικέλευθον ὁμήλυδα γείτονι Βάκχωι·
ἄλλοτε κυκλώσας παλάμας, ἅτε κύματι κάμνων,
ὑγροπόρωι ταχύγουννος ἑκούσιος ὤπασε νίκην.
καὶ ποταμοῦ μετὰ χεῦμα μετήιεν ἔνδια λόχμης
Ἄμπελος αὐχένα γαῦρον ἔχων ποταμηίδι νίκηι.
καὶ πλοκάμους μίτρωσεν ἐχιδνήεντι κορύμβωι
φρικτὸν ἔχων μίμημα δρακοντοκόμοιο Λυαίου·
πολλάκι δ' αἰολόνωτον ἰδὼν Βρομίοιο χιτῶνα,
δαιδαλέην μελέεσσι νόθην ἐσθῆτα καθάψας,
πορφυρέωι πόδα κοῦφον ἐπεσφήκωσε κοθόρνωι,
στικτὸν ἔχων χροῒ πέπλον· ὀρεσσαύλωι δ' ἐνὶ δίφρωι
πορδαλίων Ἰόβακχον ὀπιπεύων ἐλατῆρα
γαῦρα φιλοσκοπέλων ἐπεδείκνυε παίγνια θηρῶν·
πῆι μὲν ὀρεστιάδος λοφιῆς ἐπιβήμενος ἄρκτου
θηρὸς ἐπειγομένης βλοσυρὴν ἀνεσείρασε χαίτην,
πῆι δὲ λεοντείην λασίην ἐπεμάστιε δειρήν,
ἄλλοτε, δαιδαλέων ἐποχημένος ὑψόθι νώτων,
ἀστεμφὴς ἀχάλινον ἐτέρπετο τίγριν ἐλαύνων.
καί μιν ἰδὼν Διόνυσος, ἔχων πρηεῖαν ἀπειλήν,
εἶπε παρηγορέων φιλίωι μαντώδεϊ μύθωι,
μεμφομένοις στομάτεσσι χέων οἰκτίρμονα φωνήν·
"πῆι φέρεαι, φίλε κοῦρε; τί σοι τόσον εὔαδεν ὕλη;
μίμνέ μοι ἀγρώσσοντι συναγρώσσων Διονύσωι·
εἰλαπίνης ψαύοντι συνειλαπίναζε Λυαίωι L2[O]
κωμάζων, ὅτε κῶμον ἐγὼ Σατύροισιν ἐγείρω.
πόρδαλις οὐ κλονέει με καὶ ἀγροτέρης γένυς ἄρκτου,
μὴ τρομέοις στόμα λάβρον ὀρεσσινόμοιο λεαίνης·
μοῦνον ἀμειλίκτοιο κεράατα δείδιθι ταύρου."
ἔννεπεν οἰκτείρων θρασὺν Ἄμπελον· ἠΐθεος δὲ
3 (2C) οὔασι μῦθον ἄκουε, νόος δέ οἱ ἔνδοθι παίζων {…}
ἔνθα φάνη μέγα σῆμα φιλοστόργωι Διονύσωι
Ἄμπελον ἀγγέλλον μινυώριον· ἐκ σκοπέλου γὰρ
ἀρτιθαλῆ τινα νεβρὸν ὑπὲρ νώτοιο κομίζων
ἀμφιλαφὴς φολίδεσσι δράκων ἀνέτελλε κεράστης,
καί μιν ὑπὲρ βωμοῖο φέρων ἐφύπερθε θεμέθλων
σμερδαλέηι πρήνιξεν ἀλοιηθέντα κεραίηι
3 κύμβαχον αὐτοκύλιστον, ὀρεσσινόμοιο δὲ νεβροῦ
ὀξὺ μέλος κλάγξαντος ἀπέπτατο θυμὸς ἀλήτης·
σπονδῆς δ' ἐσσομένης αὐτάγγελος αἵματος ὁλκῶι
λάινος αἱμαλέαις ἐρυθαίνετο βωμὸς ἐέρσαις,
οἴνου λειβομένοιο φέρων τύπον. εἰσορόων δὲ
Εὔιος ἑρπηστῆρα, κερασφόρον ἅρπαγα νεβροῦ,
ἄφρονος ἠιθέοιο μαθὼν ὀλετῆρα κεράστην
πένθει μῖξε γέλωτα, καὶ ἄστατον εἶχε μενοινὴν
διχθαδίην, κραδίηι δὲ μερίζετο, γείτονα πότμον
ἡβητὴν στενάχων, γελόων χάριν ἡδέος οἴνου.
ἔμπης δ' ἱμερόεντι συνέμπορος ἤιε κούρωι
εἰς ὄρος, εἰς πλαταμῶνα, καὶ εἰς δρόμον ἠθάδος ἄγρης.

62 (36C)

καί μὲν ἰδὼν ἔτι Βάκχος ἐτέρπετο· καὶ γὰρ ὀπωπαὶ
οὔ ποτε δερκομένοισι κόρον τίκτουσιν ἐρώτων.
πολλάκι καὶ Βρομίοιο παρεζομένοιο τραπέζηι
ἠίθεος σύριζεν ἀήθεα Μοῦσαν ἀμείβων,
καὶ δονάκων συνέχευεν ὅλον μέλος· οἷα δὲ κούρου
καλὰ μελιζομένοιο, καὶ εἰ τόνον ἔκλασε μολπῆς,
Βάκχος ὑπὲρ δαπέδοιο θορὼν ἀνεμώδεϊ παλμῶι
χερσὶ συνεπλατάγησε πολύκροτος, ἠιθέου δὲ
εἰσέτι μελπομένοιο περὶ στόμα χεῖλος ἐρείσας
ἁρμονίης πρόφασιν φιλίωι προσπτύξατο δεσμῶι·
ὤμοσε καὶ Κρονίδην, ὅτι τηλίκον ὑμνοπόλος Πὰν
οὔ ποτε ῥυθμὸν ἄεισε, καὶ οὐ λιγύφωνος Ἀπόλλων.
καὶ θρασὺν εἰσορόωσα νέον θανατηφόρος Ἄτη
οὔρεσιν ἀγρώσσοντος ἀποπλαγχθέντα Λυαίου,
ἠιθέου χαρίεντος ὁμοίιος ἥλικι κούρωι
Ἄμπελον ἠπεροπῆι τόσωι μειλίξατο μύθωι,
μητρυιῆι Φρυγίοιο χαριζομένη Διονύσου·
“σὸς φίλος, ἄτρομε κοῦρε, μάτην Διόνυσος ἀκούει·
ποῖον ἑταιρείης γέρας ἔλλαχες; οὐ σὺ Λυαίου
θέσκελον ἅρμα φέρεις, οὐ πόρδαλιν ἡνιοχεύεις.
✦ δίφρα τεοῦ Βρομίοιο Μάρων λάχε, χεῖρα τιταίνων
θηρονόμωι μάστιγι καὶ εὐλάιγγι χαλινῶι·
ποῖον ἔχεις τόδε δῶρον ἀπ’ εὐθύρσοιο Λυαίου;
πηκτίδα Πᾶνες ἔχουσι καὶ εὐκελάδων θρόον αὐλῶν,
καὶ Σατύροις πόρε κύκλον ἐρισμαράγοιο βοείης
L2[I] σὸς ταμίης Διόνυσος, ὀρεστιάδες δὲ καὶ αὐταὶ
Βασσαρίδες ῥαχίηισιν ἐφεδρήσσουσι λεόντων.
ποῖα τεῆς φιλότητος ἐπάξια δῶρα κομίζεις,
πορδαλέων ἐλατῆρι μάτην πεφιλημένε Βάκχωι;
πολλάκι Φοιβείοιο καθήμενος ὑψόθι δίφρου
ὑψιφανὴς ἤλαυνεν Ἀτύμνιος ἠέρα τέμνων·
ἔκλυες αὐτὸν Ἄβαριν, ὃν εἰς δρόμον ἠεροφοίτην 4 (3C)
ἱπταμένωι πόμπευεν ἀλήμονι Φοῖβος ὀιστῶι.
αἰετὸν ἡνιόχευεν ἐν αἰθέρι καὶ Γανυμήδης
Ζῆνα νόθον πτερόεντα, τεοῦ γενετῆρα Λυαίου·
Ἄμπελον οὔ ποτε Βάκχος ἐκούφισεν, ὄρνις Ἐρώτων,
σὺν δέμας ἁδρύπτοισιν ἑοῖς ὀνύχεσσιν ἀείρων.
Τρώιος οἰνοχόος πέλε φέρτερος, ὃς Διὸς αὐλὴν
οἶκον ἔχει. σὺ δέ, κοῦρε, φέρων πόθον εἰσέτι δίφρου 4
εἰς δρόμον ἀστήρικτον ἀναίνεο πῶλον ἐλαύνειν,
ὅττι ταχυστροφάλιγγι ποδῶν δεδονημένος ὁλκῶι
ἵππος ἀελλήεις ἀποσείεται ἡνιοχῆα·
Γλαῦκον ἀπεστυφέλιξαν ἐπὶ χθόνα λυσσάδες ἵπποι,
καὶ ξυνῆς μεθέπων Ποσιδήιον αἷμα γενέθλης
ἠερόθεν προκάρηνον ἀπόσπορον ἐννοσιγαίου
Πήγασος ὠκυπέτης ἀπεσείσατο Βελλεροφόντην.
δεῦρό μοι εἰς ἀγέλην, λιγυηχέες ἧχι νομῆες
καὶ βόες ἱμερόεντες, ἐφεδρήσσοντα δὲ ταύρωι
ὑψιφανῆ τελέσω σε βοοσσόον ἡνιοχῆα·
σὸς γὰρ ἄναξ πολὺ μᾶλλον ἐπαινήσει σε δοκεύων,

ὣς ὁ μὲν ἐστενάχιζεν. Ἔρως δέ οἱ ἐγγύθεν ἔστη
Σειληνοῦ λασίοιο φέρων κεραελκέα μορφήν,
θύρσον ἔχων, καὶ στικτὸν ἐπὶ χροῒ δέρμα καθάψας
γηροκόμωι νάρθηκι δέμας στηρίζετο βάκτρωι·
καὶ Βρομίωι γοόωντι παρήγορον ἴαχε φωνήν·
“ἄλλωι λῦσον ἔρωτι τεῶν σπινθῆρας ἐρώτων
εἰς νέον ἡβητῆρα μετάτροπον οἶστρον ἀμείψας,
λησάμενος φθιμένοιο· παλαιοτέροιο γὰρ αἰεὶ
φάρμακόν ἐστιν ἔρωτος ἔρως νέος· οὐ γὰρ ὀλέσσαι
ὁ χρόνος οἶδεν ἔρωτα, καὶ εἰ μάθε πάντα καλύπτειν.
εἰ δὲ τεῆς ἐθέλεις ὀδυνήφατον ἄλκαρ ἀνίης,
φέρτερον ἄμφεπε παῖδα· πόθος πόθον οἶδε μαραίνειν.
καὶ Ζέφυρον κλονέεσκε Λάκων νέος· ἀλλὰ θανόντος
ἡβητὴν Κυπάρισσον ἰδὼν ἐρατεινὸς Ἀήτης
εὗρεν Ἀμυκλαίοιο παραιφασίην Ὑακίνθου.
ἢν ἐθέλῃς, ἐρέεινε φυτηκόμον· ἐν δαπέδωι γὰρ
κείμενον ἀθρήσας κεκονιμένον ἄνθος ἀροτρεὺς
φάρμακον ὀλλυμένοιο νεώτερον ἄλλο φυτεύει.
κλῦθι, παλαιγενέων μερόπων ἵνα μῦθον ἐνίψω·
ἁβρὸς ἔην ποτὲ κοῦρος, ὑπέρτερος ἥλικος ἥβης,
Μαιάνδρου παρὰ χεῦμα πολυσχιδέος ποταμοῖο,
εἴδεϊ λεπταλέωι ταναός, πόδας ὀξύς, ἐθείρας
ἰθυτενής, ἀνίουλος· ἐπ’ ἀμφοτέραις δὲ παρειαῖς
αὐτοφυὴς Χάρις ἦεν ἐπισκαίρουσα προσώπωι
ὄμμασιν αἰδομένοισιν, ἀπὸ βλεφάρων δέ οἱ αἰεὶ
κάλλος ὀιστεύοντος ἐκηβόλος ἔρρεεν αἴγλη· L2[I]
καὶ δέμας εἶχε γάλακτι πανείκελον, ἀμφὶ δὲ λευκῶι
ἀκροφανὲς πόρφυρε ῥόδον διδυμόχροϊ πυρσῶι.
τὸν Κάλαμον καλέεσκε πατὴρ φίλος, ὃς διὰ γαίης
νειόθι κυμαίνων σκολιὸν ῥόον εἰς φάος ἕλκων,
ἑρπύζων δ’ ἀίδηλος, ὑπὸ χθόνα λοξὸς ὁδίτης,
ὀξὺς ἀναθρώισκων ὑπερίσχεται αὐχένα γαίης,
ἐνδόμυχος Μαίανδρος ἄγων ὑποκόλπιον ὕδωρ.
τοῖος ἔην ἐρόεις Κάλαμος ταχύς. ἠίθεος δὲ
ἱμερτῶι ῥοδόπηχυς ὁμήλικι τέρπετο Καρπῶι,
ὃς τόσον ἔλλαχε κάλλος, ὃ μὴ βροτὸς ἔλλαχεν ἀνήρ·
εἰ γὰρ ἔην νέος οὗτος ἐπὶ προτέρων ποτὲ φωτῶν,
καί κεν ἐυσμήριγγος ἐγίνετο νυμφίος Ἠοῦς,
φέρτερον εἶδος ἔχων, ῥοδέω χροῒ μοῦνος ἐλέγξας
ἀγλαΐην Κεφάλοιο καὶ Ὠρίωνος ὀπωπήν·
οὐδέ κεν εὐκάρπωι παλάμηι πηχύνατο Δηὼ
νυμφίον Ἰασίωνα, καὶ Ἐνδυμίωνα Σελήνη·
ἀλλὰ νέος τάχα κεῖνος ἀρείονος εἵνεκα μορφῆς
εἰς πόσις ἀμφοτέρων νυμφεύσατο λέκτρα θεάων,
Δηοῦς ξανθοκόμου μεθέπων πολυλήιον εὐνήν,
καὶ ξυνὴν ὁμόλεκτρον ἔχων ζηλήμονα Μήνην.
τοῖος ἔην ἐρόεις Καλάμωι φίλος, ἄνθος Ἐρώτων,
κάλλος ἔχων· ἄμφω δὲ συνήλικες ὑψόθεν ὄχθης
γείτονος ἑψιόωντο πολυγνάμπτου ποταμοῖο.
τοῖσι μὲν ἔσκε δίαυλος ἕλιξ δρόμος, ἀμφοτέροις δὲ

οὐκέτι σὺν Σατύροισιν ἐποίνιον ὕμνον ἀείδεις;
Nonnus οὐκέτι Βασσαρίδεσσι φιλοκροτάλοισι κελεύεις,
οὐκέτι θηρεύοντι συναγρώσσεις Διονύσωι.
ὤμοι, ὅτ᾽ οὐκ Ἀίδης πέλεν ἤπιος, οὐδ᾽ ἐπὶ νεκρῶι
δέχνυται ἀγλαὰ δῶρα βαθυπλούτοιο μετάλλου,
Ἄμπελον ὄφρα θανόντα πάλιν ζώοντα τελέσσω·
ὤμοι, ὅτ᾽ οὐκ Ἀίδης ποτὲ πείθεται· ἢν δ᾽ ἐθελήσηι,
ὄλβον ὅλον στίλβοντα χαρίζομαι Ἠριδανοῖο
δένδρεα συλήσας ποταμήια, μαρμαρέην δὲ
ἄξομαι ἀστράπτουσαν Ἐρυθραίην λίθον Ἰνδῶν
ἀφνενῆς τ᾽ Ἀλύβης ὅλον ἄργυρον, ἀντὶ δὲ νεκροῦ
παιδὸς ἐμοῦ χρύσειον ὅλον Πακτωλὸν ὀπάσσω.”
ὣς εἰπὼν στενάχιζε νέκυν γλυκύν· ἐν δὲ κονίηι
κείμενον εἰσορόων πάλιν ἴαχε πενθάδι φωνῆι·
“Ζεῦ πάτερ, εἰ φιλέεις με, καὶ εἰ πόνον οἶδας ἐρώτων,
Ἄμπελον αὐδήεντα τίθει πάλιν εἰς μίαν ὥρην,
ὑστάτιον καὶ μοῦνον ὅπως ἕνα μῦθον ἐνίψηι·
‘τί στενάχεις, Διόνυσε, τὸν οὐ στοναχῆισιν ἐγείρεις;
οὔατά μοι παρέασι, καὶ οὐ βοόωντος ἀκούω,
ὄμματά μοι παρέασι, καὶ οὐ στενάχοντα δοκεύω·
◆ νηπενθὴς Διόνυσος, ἐμοὶ μὴ δάκρυα λείβηις,
ἀλλὰ τεὸν λίπε πένθος, ἐπεὶ φονίηι παρὰ πηγῆι
Νηιάδες στενάχουσι καὶ οὐ Νάρκισσος ἀκούει,
Ἡλιάδων Φαέθων κινυρὴν οὐκ οἶδεν ἀνίην.’
ὤμοι, ὅτ᾽ οὔ με φύτευσε πατὴρ βροτόν, ὄφρά κεν εἴην
L3[O] σύννομος ἠιθέωι καὶ ἐν Ἄιδι, μηδ᾽ ἐνὶ Λήθηι
Ἄμπελον ἱμερόεντα δεδουπότα μοῦνον ἐάσω.
εἰς πόθον ἠιθέοιο μακάρτερός ἐστιν Ἀπόλλων
οὔνομα παιδὸς ἔχων πεφιλημένον· αἴθε καὶ αὐτὸς
εἴην Ἀμπελόεις, Ὑακίνθιος ὥς περ Ἀπόλλων.
ὑπνώεις τέο μέχρι, καὶ οὐκέτι, κοῦρε, χορεύεις;
εἰς προχοὰς ποταμοῖο τί σήμερον οὐκέτι βαίνεις
κάλπιν ἔχων εὔυδρον; ὀρεσσαύλωι δ᾽ ἐνὶ λόχμηι
ἠθάδος ὀρχηθμοῖο τεὴ πάλιν ἤλυθεν ὥρη.
εἰ κοτέεις, φίλε κοῦρε, ποθοβλήτωι Διονύσωι,
φθέγγεο Σειληνοῖσιν, ὅπως σέο μῦθον ἀκούσω.
εἰ σε λέων ἐδάμασσεν, ἐγὼ ξύμπαντας ὀλέσσω,
πάντας, ὅσους Τμώλοιο φέρει λέπας, οὐδὲ λεόντων
Ῥείης ἡμετέρης ποτὲ φείσομαι, ἀλλὰ δαμάσσω,
εἰ βλοσυραῖς γενύεσσι τεοὶ γεγάασι φονῆες·
πόρδαλις εἰ πρήνιξε τεὸν δέμας, ἄνθος Ἐρώτων,
οὐκέτι πορδαλίων δέμας αἰόλον ἡνιοχεύσω·
ἄλλοι θῆρες ἔασιν, ὅλης δ᾽ ἐπιήρανος ἄγρης
Ἄρτεμις ἐξ ἐλάφων κεραελκέα δίφρον ἐλαύνει·
νεβρίδα πέπλον ἔχων ἐποχήσομαι ἅρματι νεβρῶν·
εἴ σε σύες κατέπεφνον ἀναιδέες, εἰν ἑνὶ μάρψας
πάντας ἐγὼ κτείνοιμι, καὶ οὐχ ἕνα μοῦνον ἐάσω
κάπρον ἔτι ζώοντα λελειμμένον ἰοχεαίρηι·
εἰ δέ σε ταῦρος ἔπεφνεν ἀτάσθαλος, ὀξέι θύρσωι
ταυρείην προθέλυμνον ἀιστώσαιμι γενέθλην.”

63 (37C) ταυροφυὴς Διόνυσος, ἐφήμενον ἰξύι ταύρου.
νόσφι φόβου δρόμος οὗτος, ἐπεὶ καὶ θῆλυς ἐοῦσα Nonnus
παρθένος Εὐρώπη βοέων ἐπεβήσατο νώτων,
χερσὶ κέρας κρατέουσα καὶ οὐ χατέουσα χαλινοῦ.”
ὣς φαμένη παρέπεισε, καὶ ἠέρα δύσατο δαίμων.
καί τις ἀπὸ σκοπέλοιο κατέδραμε ταῦρος ἀλήτης
ἀπροϊδής, καὶ γλῶσσαν, ἑῆς ἐπιμάρτυρα δίψης,
χείλεσιν οἰγομένοισι προΐσχανεν ἀνθερεῶνος,
καὶ πίεν· ἀμφὶ δὲ κοῦρον, ἅ περ παρεόντα νομῆα,
ἵστατο γινώσκοντι πανείκελος· οὐδὲ μετώπου
λοξὸν ἐὸν κέρας εἶχεν· ἀμαιμακέτοιο δὲ ταύρου
πυκνὸν ἐρευγομένοιο ποτὸν πολυχανδέι λαιμῶι
ἡβητὴν ἐδίηνε κατάρρυτος ἰκμὰς ἐέρσης,
ἐσσομένων ἅτε μάντις, ὅτι χθονίωι βόες ὁλκῶι
ἀμφὶ μιῆι μογέοντες ἀτέρμονι κυκλάδι νύσσηι
ὕδασιν ἀμπελόεσσαν ἐπαρδεύουσιν ὀπώρην.
καὶ θρασὺς ἵστατο κοῦρος ὑπὲρ βοέοιο μετώπου
ἀμφαφόων ἐπίκυρτον ἀταρβέι χειρὶ κεραίην·
καὶ βοὸς ὑλονόμοιο τεθηγμένος ἡδέι κέντρωι
ἤθελεν ἄζυγα ταῦρον ὀρίδρομον ἡνιοχεύειν.
δρεψάμενος δὲ πέτηλα βαθυσχοίνωι παρὰ ποίηι
ψευδαλέην χλοεροῖσι λύγοις ἔπλεξεν ἱμάσθλην
μόσχοις ὀξυτέροισι, πολυστρέπτωι δὲ κορύμβωι
γνάμψας ἀγκύλα κύκλα τύπον ποίησε χαλινοῦ·
καὶ δροσεροῖς πετάλοισι δέμας διεκόσμεε ταύρου,
καὶ ῥόδα φοινίσσοντα πέριξ ἐπεδήσατο νώτωι, L3[O]
καὶ κρίνα καὶ νάρκισσον ἐπηιώρησε μετώπωι,
αὐχένι πορφύρουσαν ἐπικρεμάσας ἀνεμώνην·
καὶ διδύμην ἑκάτερθε κατεχρύσωσε κεραίην
χερσὶ βαθυνομέναις ξανθόχροα πηλὸν ἀφύσσων
γείτονος ἐκ ποταμοῖο. καὶ αἰόλον ὑψόθι νώτου
5 (4C) δέρμα περιστορέσας ῥαχίης ἐπεβήσατο ταύρου·
καὶ βοέαις πλευρῆισι νόθην μάστιγα τιταίνων,
εὐχαίτην ἅτε πῶλον, ἐὸν μάστιζε φορῆα.
καὶ θρασὺς ἠύτησεν ἔπος ταυρώπιδι Μήνηι·
“εἶξον ἐμοί, κερόεσσα βοῶν ἐλάτειρα Σελήνη·
ἄμφω γὰρ κερόεις γενόμην καὶ ταῦρον ἐλαύνω.”
τοῖον ἐπαυχήσας ἔπος ἴαχε κυκλάδι Μήνηι.
5 καὶ φθονερῆς σκοπίαζε δι᾽ ἠέρος ὄμμα Σελήνης
Ἄμπελον ἀνδροφόνωι πεφορημένον ἅρπαγι ταύρωι,
καί οἱ πέμπε μύωπα βοοσσόον· αὐτὰρ ὁ πικρῶι
ἄστατα φοιτητῆρι δέμας κεχαραγμένος οἴστρωι
δύσβατον ἀμφὶ τένοντα κατέτρεχεν εἴκελος ἵππωι.
καὶ νέος ἄζυγα ταῦρον ἰδὼν λυσσώδεϊ κέντρωι
ἴχνος ἀερσιλόφοισιν ἐπιρρήσσοντα κολώναις,
ταρβαλέος πρὸ μόροιο γοήμονι λίσσετο φωνῆι·
“σήμερον ἵστασο, ταῦρε, καὶ αὔριον ὠκὺς ὁδεύσεις·
μή με κατακτείνειας ἐρημάδος ὑψόθι πέτρης,
πότμον ἐμὸν νήπυστον ὅπως μὴ Βάκχος ἀκούσηι.
μὴ κοτέηις, ὅτι, ταῦρε, τεὴν χρύσωσα κεραίην·

μὴ φθονέῃς, ὅτι Βάκχος ἐμὴν φιλότητα φυλάσσει. 64 (38C)
εἰ δὲ κατακτείνεις με καὶ οὐκ ἀλέγεις Διονύσου,
οὐδέ τις οἶκτος ἔχει σε γοήμονος ἡνιοχῆος,
ὅττι νέος γενόμην, ὅτι καὶ φίλος εἰμὶ Λυαίου,
εἰς Σατύρους μὲ κόμιζε καὶ αὐτόθι, ταῦρε, δαμάσσεις,
ὄφρα τύχω μετὰ πότμον ἐρικλαύτοιο κονίης·
ναί, λίτομαι, φίλε ταῦρε· παραιφασίην δὲ νοήσω,
πότμον ἐμὸν στενάχοντος ἀδακρύτου Διονύσου.
εἰ τεὸν ἡνιοχῆα κερασφόρον ἠεροπεύεις
εἴκελον εἶδος ἔχοντα τεῆι ταυρώπιδι μορφῆι,
γίνεο φωνήεις καὶ ἐμὸν μόρον εἰπὲ Λυαίωι·
ταῦρε, τεῆς Δήμητρος ἀνάρσιε καὶ Διονύσου,
ἀχνυμένου Βρομίοιο συνάχνυται ὄμπνια Δηώ."
τοῖον ἔπος ῥοδόεις νέος ἔννεπεν Ἄϊδι γείτων
δύσμορος· ἀΐσσων δὲ ποδῶν διδυμάονι χηλῆι
οὔρεος ἄκρα κάρηνα δυσέμβατα λυσσαλέος βοῦς
ἡβητὴν προκάρηνον ἑῶν ἀπεσείσατο νώτων·
ἤριπε δ' αὐτοκύλιστος· ἐπ' ἀστραγάλου δὲ πεσόντος
λεπτὸν ὑποτρίζων ἐδιχάζετο δόχμιος αὐχήν·
καί μιν ὑπὲρ δαπέδοιο παλινδίνητον ἑλίξας
✦ θηγαλέηι γλωχῖνι κατεπρήνιξε κεραίης.
καὶ νέκυς ἦν ἀκάρηνος· ἀτυμβεύτοιο δὲ νεκροῦ
λευκὸν ἐρευθιόωντι δέμας φοινίσσετο λύθρωι.
καί τις, ἰδὼν Σατύρων κεκονιμένον ὑψόθι γαίης
Ἄμπελον ἱμερόεντα, δυσάγγελος ἤλυθε Βάκχωι.
L3[I] καὶ θεὸς εἰσαΐων ταχὺς ἔδραμεν εἴκελος αὔραις·
οὐ τόσον Ἡρακλέης δρόμον ἤνυεν, ὁππότε Νύμφαι
ἁβρὸν Ὕλαν φθονεροῖσι κατεκρύψαντο ῥεέθροις
νυμφίον ἱκμαλέηι πεφυλαγμένον ἅρπαγι κούρηι,
ὡς τότε Βάκχος ὄρουσεν ὀρίδρομος· ἐν δὲ κονίηι
κείμενον ἔστενε κοῦρον ἅτε ζώοντα δοκεύων.
καί μιν ἀνεχλαίνωσε τὸν ἄπνοον, ὑψόθεν ὤμου 6 (5C)
νεβρίδα καὶ ψυχροῖσιν ἐπὶ στέρνοισι καθάψας,
καί, νέκυός περ ἐόντος, ἐδήσατο ταρσὰ κοθόρνοις·
καὶ ῥόδα καὶ κρίνα πάσσε κατὰ χροός, ἀμφὶ δὲ χαίταις,
οἷα μινυνθαδίοιο δεδουπότος ὀξέι κέντρωι,
ἄνθος ἀνηιώρησε ταχυφθιμένης ἀνεμώνης·
καὶ παλάμηι πόρε θύρσον, ἑῶι δέ μὲν ἔσκεπε πέπλωι
πορφυρέωι· καὶ δῶρον ἀκερσικόμοιο καρήνου 6
πλοχμὸν ἕνα τμήξας ἐπεθήκατο μάρτυρι νεκρῶι
λοίσθιον· ἀμβροσίην δὲ λαβὼν παρὰ μητέρι Ῥείηι
ὠτειλαῖς ἐπέχευεν, ὅθεν νέος εἶδος ἀμείψας
ἀμβροσίην εὔοδμον ἑῆι μετέθηκεν ὀπώρηι.
καὶ νέκυος χαρίεντος ὑπὲρ δαπέδοιο ταθέντος
οὐ χλόος ἀμφεχύθη ῥοδόεν δέμας· ὠκυμόρου δὲ
καὶ πλόκαμοι χαρίεντες ἐρωτοτόκοιο καρήνου
αὔραις φειδομένῃσιν ἐπαιθύσσοντο προσώπωι·
ἦν δέ τις ἱμερόεις κεκονιμένος. ἀμφὶ δὲ νεκρῶι
Σειληνοὶ στενάχιζον, ἐπωδύροντο δὲ Βάκχοι.
οὐδὲ ἑ κάλλος ἔλειπε, καὶ εἰ θάνεν· ὡς Σάτυρος δὲ
κεῖτο νέκυς, γελόωντι πανείκελος, οἷά περ αἰεὶ
χείλεσιν ἀφθόγγοισι χέων μελιηδέα φωνήν.
καὶ νέκυν εἰσορόων κινυρὴν ἀνενείκατο φωνὴν
νηπενθὴς Διόνυσος, ἔχων ἀγέλαστον ὀπωπήν·
"Μοιράων πεσέτω φθονερὸν λίνον· ἦ ῥα καὶ αὐτοὶ
ταῦροι ἐπ' ἠιθέοις ζηλήμονες ὥς περ ἀῆται;
τίς Ζέφυρος μετὰ Φοῖβον ἐπέχραε καὶ Διονύσωι;
ὄλβιος ἔπλετο Φοῖβος Ἀτύμνιος· ἠιθέου γὰρ
ἔλλαχεν οὔνομα τοῦτο· Θεραπναίου δὲ καὶ αὐτοῦ
φάρμακον ἡβητῆρος ἐπώνυμον ἄνθος ἀείρει,
αἴλινον ἐν πετάλοισιν ἐπιγράψας ὑακίνθου·
ποῖον ἔχω πλοκάμοις καὶ ἐγὼ στέφος, ἢ τίνα πάλλω
ἄνθεα φωνήεντα, παρήγορα παιδὸς ἀνίης;
ἀλλὰ τεοῦ θανάτου τιμήορος εἰς φόνον ἕλκων
ἄξομαι εἰς σέο τύμβον, ἀώριε, ταῦρον ἀλήτην.
οὐ μὲν ἐγὼ βουπλῆγι τεὸν κτείνοιμι φονῆα,
ὄφρα λάχηι μόρον ἶσον ἀρασσομένοιο μετώπου
ταύροις σφαζομένοισιν, ἀναρρήξαιμι δὲ πικρὴν
ταύρου γαστέρα πᾶσαν ἐμῆς γλωχῖνι κεραίης,
ὅττι τανυκραίρωι σε κατεπρήνιξεν ἀκωκῆι.
ὄλβιος ἐννοσίγαιος, ἐπεί τινα γείτονα πάτρης
παιδὸς ἐμοῦ Φρύγα κοῦρον ἐφίλατο, τὸν δὲ κομίζων
χρύσεον εἰς Διὸς οἶκον ἀνήγαγεν ἀστὸν Ὀλύμπου,
καί οἱ, ὅτε σπεύδεσκεν ἐς ἱπποσύνην Ἀφροδίτης,
ὤπασεν ἄβροχον ἅρμα γαμοστόλον Ἱπποδαμείης.
μοῦνος ἐγὼ νέον ἔσχον ἀώριον· ἱμερόεις γὰρ L3[I]
Ἄμπελος οὐ γάμον εἶδε βιοσσόον, οὐδ' ἐπὶ παστῶι
νυμφιδίην νέος οὗτος ἐμὴν ἔζευξεν ἀπήνην,
ἀλλὰ θανὼν λίπε πένθος ἀπενθήτωι Δισονύσωι.
οὔ πώ μοι, φίλε κοῦρε, τεὸν στόμα κάλλιπε Πειθώ,
ἀλλὰ σέθεν φθιμένοιο καὶ ἄπνοα χείλεα ναίει·
καὶ νέκυός περ ἐόντος ἔτι στίλβουσι παρειαί,
ὀφθαλμοὶ γελόωσι καὶ εἰσέτι, διχθαδίης δὲ
εἰσέτι σῆς παλάμης χιονώδεές εἰσιν ἀγοστοί,
σοὺς δ' ἐρατοὺς πλοκάμους λιγυροὶ δονέουσιν ἀῆται·
οὐ ῥόδα σῶν μελέων θανατηφόρος ἔσβεσεν ὥρη,
ἀλλ' ἔτι σοι τάδε πάντα φυλάσσεται. ὤμοι Ἐρώτων,
τί χρέος ἦν, ἵνα ταῦρον ἀμείλιχον ἡνιοχεύσηις;
εἴ σε διεπτοίησεν ἀελλοπόδων πόθος ἵππων,
τίπτέ μοι οὐκ ἀγόρευες, ὅπως ἀπὸ γείτονος Ἴδης
ἐνθάδε δίφρον ἄγοιμι, καὶ ἀρχαίης ἀπὸ φύτλης
Τρώιον εἰς σὲ κόμιζον ἐπουρανίων γένος ἵππων
πατρίδα συλήσας Γανυμήδεος, ὃν τρέφεν Ἴδη
σοὶ δέμας ἶσον ἔχοντα, τὸν ἀνδροφόνων ἀπὸ ταύρων
φειδομένοις ὀνύχεσσιν ἐκούφισεν ὑψιπέτης Ζεύς·
εἰ ἐτεὸν μενέαινες ἐν οὔρεσι θῆρας ἐναίρειν,
τίπτέ μοι οὐ κατέλεξας, ὅτι χρέος ἔπλετο δίφρου;
καί κεν ἐμῆς ἤλαυνες ἀπήμονα κύκλον ἀπήνης,
καί κεν ἐμῆς ἄψαυστα δεδεγμένος ἡνία Ῥείης
μειλιχίων ἀδόνητος ἐμάστιες ἅρμα δρακόντων.

πουλυγάμων Σατύρων διφυὴς ἀνέτελλε γενέθλη.
Nonnus καὶ Σατύρους κερόεντας ἐκόσμεον ἡγεμονῆες
Ποιμένιος Θιασός τε καὶ Ὑψίκερως καὶ Ὀρέστης,
καὶ κεραῶι Φλεγραῖος ἐφωμάρτησε Ναπαίωι·
ἦλθε Γέμων, κεκόρυστο Λύκων θρασύς· ἀκροπότηι δὲ
Πετραίωι γελόωντι φιλέψιος ἕσπετο Φηρεύς,
καὶ Λάμις οὐρεσίφοιτος ὁμόστολον εἷχε πορείην
Ληνοβίωι, καὶ Σκιρτὸς ἐκώμασε σύνδρομος Οἴστρωι,
σὺν δὲ Φερεσπόνδωι Λύκος ἤιεν, ἠχέτα κῆρυξ,
καὶ Πρόνομος πραπίδεσσι κεκασμένος, οὓς τέκον Ἑρμῆς
Ἰφθίμην κρυφίοισιν ὑποζεύξας ὑμεναίοις,
τήν ποτε Δῶρος ἔτικτε, Διὸς βλάστημα γενέθλης,
ῥίζα γονῆς Ἕλληνος, ἀπ᾽ ἀρχεγόνοιο δὲ Δώρου
Δωρίδος ἐβλάστησεν Ἀχαιικὸν αἷμα γενέθλης·
τοῖσι γέρας καὶ σκῆπτρον ἐπέτρεπεν Εἰραφιώτης
οὐρανίου κήρυκος, ἀεξινόοιο τοκῆος.
αἰεὶ μὲν μεθύουσα φιλακρήτοισι κυπέλλοις
πᾶσα γονὴ Σατύρων θρασυκάρδιος, ἐν δὲ κυδοιμῶι
μοῦνον ἀπειλητῆρες ἀεὶ φεύγοντες Ἐνυώ,
νόσφι μόθοιο λέοντες, ἐνὶ πτολέμοις δὲ λαγωοί,
ἴδμονες ὀρχηστῆρες, ἐπιστάμενοι πλέον ἄλλων
οἰνοδόκου μέθυ λαρὸν ἀπὸ κρητῆρος ἀφύσσειν·
τῶν ὀλίγοι γεγάασι μαχήμονες, οὓς θρασὺς Ἄρης
παντοίην ἐδίδαξε μεληδόνα δηιοτῆτος,
κοσμῆσαι δὲ φάλαγγα· κορυσσομένου δὲ Λυαίου
L1[O] οἱ μὲν ἀδεψήτοισι δέμας κρύψαντο βοείαις,
οἱ δὲ δοραῖς λασίῃσιν ἐκαρτύνοντο λεόντων,
ἄλλοι πορδαλίων βλοσυρὰς δύσαντο καλύπτρας,
οἱ δὲ τανυπτόρθοισιν ἐθωρήσσοντο κορύμβοις,
οἱ δὲ τανυκραίρων ἐλάφων ἀντίρροπον ἄστρων
ποικίλον ἐν στέρνοισιν ἀνεζώννυντο χιτῶνα·
τοῖς μὲν ἐπὶ κροτάφοις διδυμάονες ἀμφὶ μετώπωι
ὀξυτενεῖς γλωχῖνες ἐμηκύνοντο κεραίης,
◆ ψεδνὴ δ᾽ ὀκριόεντι καρήατι φύετο χαίτη
ἀκροφανὴς σκολιοῖσιν ἐπ᾽ ὄμμασιν, οὔατα δ᾽ ἄμφω
νισσομένων πτερόεντες ἀνερρίπιζον ἀῆται
ἰθυτενῆ, λασίοισιν ἐπικτυπέοντα γενείοις
ἐκταδόν, ἱππείη δὲ τιταινομένη διὰ νώτου
ὄρθιος ἀμφιέλικτος ἀπ᾽ ἰξύος ἔρρεεν οὐρή. 1
@ ἀλλοφυὴς δ᾽ ἑτέρη Κενταυριὰς ἵκετο φύτλη,
Φηρῶν εὐκεράων λάσιον γένος, οἷς πόρεν Ἥρη
ἀνδροφυὲς δέμας ἄλλο κερασφόρον· ὑγρογόνων γὰρ
Νηιάδων ποτὲ παῖδες ἔσαν βροτοειδέι μορφῆι,
ἃς Ὑάδας καλέουσι, Λάμου ποταμηίδα φύτλην,
καὶ Διὸς εὐώδινα τιθηνήσαντο γενέθλην,
Βάκχον ἔτι πνείοντα πολυρραφέος τοκετοῖο,
14.150 παιδοκόμοι ῥυτῆρες ἀθηήτου Διονύσου,
οὐ ξένον εἶδος ἔχοντες· ἐνὶ σκοτίωι δὲ μελάθρωι
πολλάκι πηχύναντο κεκυφότι κοῦρον ἀγοστῶι,
14.153 αἰθέρα παππάζοντα, Διὸς πατρώιον ἕδρην,
εἰσέτι κουρίζοντα, σοφὸν βρέφος. ἀρτιτόκωι δὲ

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

With the twelfth, delight your heart, where Ampelos has shot up his own shape, a new flower of love, into the fruit of the vine.

NONNUS

DIONYSIACA

BOOK 12

PREVIEW BOOK 14

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 397 lines 3.0
3L 1 - 397

PRINT 2-SIDED: 73 to 78

Ὣς αἱ μὲν δυτικοῖο παρ' ὀφρύσιν Ὠκεανοῖο
Ἠελίου γονόεντος ἐναντίλλοντο μελάθροις.
τῇσι δὲ νισσομένῃσι συνήντεεν Ἕσπερος ἀστὴρ
θρῴσκων ἐκ μεγάροιο· διεσσυμένη δὲ καὶ αὐτὴ
ἀρτιφανὴς ἀνέτελλε βοῶν ἐλάτειρα Σελήνη.
αἱ δὲ φερεζῴοιο παρ' ὄμμασιν Ἡνιοχῆος
κάρπιμον ἴχνος ἔκαμψαν. ὁ μὲν δρόμον ἄρτι τελέσσας
ἠερόθεν νόστησε· πυριγλήνου δ' ἐλατῆρος
Φωσφόρος αἰγλήεις τετράζυγος ἐγγύθι δίφρου
θήκατο θερμὰ λέπαδνα καὶ ἀστερόεσσαν ἱμάσθλην,
γείτονος Ὠκεανοῖο παρὰ προχοῇσι καθήρας
μυδαλέων ἱδρῶτι πυριτρεφέων δέμας ἵππων·
πῶλοι δ' αὐχενίας νοτερὰς δονέοντες ἐθείρας
μαρμαρέοις ὀνύχεσσιν ἐπέκτυπον αἴθοπι φάτνῃ.
θυγατέρας δὲ Χρόνοιο πέριξ φλογεροῖο θοώκου
ἱπταμένας στεφανηδὸν ἀτειρέος Ἡνιοχῆος
τέσσαρας ἠσπάζοντο δυώδεκα κυκλάδες Ὧραι,
δμωίδες Ἠελίοιο, συνήλυδες αἴθοπι δίφρῳ,
μυστιπόλοι Λυκάβαντος ἀμοιβάδες· Ὠγυγίῳ γὰρ
αὐχένα δοῦλον ἔκαμψαν ὅλον νωμήτορι κόσμον.
καί οἱ ἀνηΰτησεν ἔπος σταφυληκόμος Ὥρη
μάρτυρον ἱκεσίης σχομένη φθινοπωρίδος ἅρπην·
"Ἠέλιε ζείδωρε, φυτηκόμε, κοίρανε καρπῶν,
οἰνοτόκον πότε βότρυν ἀεξήσουσιν ἀλωαί;
καὶ μακάρων τίνι τοῦτο γέρας μνηστεύεται Αἰών;
ναί, λίτομαι, μὴ κρύπτε, κασιγνήτων ὅτι μούνη
πασάων ἀγέραστος ἐγὼ πέλον· οὐ γὰρ ὀπώρην,
οὐ στάχυν, οὐ λειμῶνα, καὶ οὐ Διὸς ὄμβρον ἀέξω."
ἔννεπεν· ἐσσομένης δὲ τιθηνήτειραν ὀπώρης
Ἠέλιος θάρσυνε, καὶ ἀντιπόρῳ παρὰ τοίχῳ
δάκτυλον ὀρθώσας ἐπεδείκνυε κυκλάδι κούρῃ
κύρβιας Ἁρμονίης ἑτερόζυγας, αἷς ἔνι κεῖται
εἰν ἑνὶ θέσφατα πάντα, τά περ πεπρωμένα κόσμῳ
πρωτογόνοιο Φάνητος ἐπέγραφε μαντιπόλος χείρ,
καὶ γραφίδων ποίκιλλεν ἐφάρμενον οἶκον ἑκάστῃ.
καί τινα μῦθον ἔειπε πυρὸς ταμίης Ὑπερίων·
"κύρβιδι μὲν τριτάτῃ, πόθεν ἔσσεται οἰνὰς ὀπώρη,
γνώσεαι, ἧχι Λέων καὶ Παρθένος· ἐν δὲ τετάρτῃ,
τίς σταφυλῆς σκηπτοῦχος, ὅπῃ γλυκὺ νέκταρ ἀφύσσων
γραπτῇ χειρὶ κύπελλον ἀερτάζει Γανυμήδης."
τοῖα θεοῦ φαμένοιο, φιλάμπελος ἔτρεχε κούρη
ὄμματα δινεύουσα, καὶ ὀμφαίῳ παρὰ τοίχῳ
πρώτην κύρβιν ὄπωπεν ἀτέρμονος ἥλικα κόσμου
εἰν ἑνὶ πάντα φέρουσαν, ὅσα σκηπτοῦχος Ὀφίων
ἤνυσεν, ὅσσα τέλεσσε γέρων Κρόνος, ὁππότε τέμνων
ἄρσενα πατρὸς ἄροτρα λεχώιον ἤροσεν ὕδωρ,
σπείρων ἄσπορα νῶτα θυγατρογόνοιο θαλάσσης,
ὅς ποτε λάινον υἷα κεχηνότι δέξατο λαιμῷ
Ζηνὸς ψευδομένοιο νόθον δέμας εἰλαπινάζων·
καὶ λίθος ἐνδομύχων τεκέων μαιώσατο φύτλην

ἔγχεα πετρήεντα, καὶ ἀσπίδες ἦσαν ἐρίπναι,
καὶ σκοπιὴ λοφόεσσα χαραδραίη πέλε πήληξ,
καὶ Σικελοὶ σπινθῆρες ἔσαν φλογόεντες ὀιστοί·
καὶ σέλας αἰθύσσοντες ἐθήμονος ἐσχαρεῶνος
πυρσοφόροις παλάμῃσιν ἐθωρήσσοντο μαχηταί,
Βρόντης τε Στερόπης τε καὶ Εὐρύαλος καὶ Ἐλατρεὺς
Ἄργης τε Τραχιός τε καὶ αὐχήεις Ἁλιμήδης.
ἀλλὰ τόσος καὶ τοῖος ἐλείπετο μοῦνος Ἐννοῦς
ἀγχινεφὴς Πολύφημος, ἀπόσπορος ἐννοσιγαίου,
ὅττί μιν ὑγροκέλευθος ἐρήτυεν αὐτόθι μίμνειν
ἄλλος Ἔρως πολέμοιο φιλαίτερος· εἰσορόων γὰρ
ἡμιφανῆ Γαλάτειαν ἐπέκτυπε γείτονι πόντῳ,
νυμφιδίῃ σύριγγι χέων φιλοπάρθενον ἠχώ.
καὶ σκοπέλων ναετῆρες ἀπ' αὐτορόφοιο μελάθρου,
οὔνομα Πανὸς ἔχοντες, ἐρημονόμου γενετῆρος,
Πᾶνες ἐθωρήχθησαν ὁμήλυδες, ὧν ἐπὶ μορφῇ
ἀνδρομέῃ κεκέραστο δασύτριχος αἰγὸς ὀπωπή·
καὶ νόθον εἶδος ἔχοντες ἐυχραίροιο καρήνου
δώδεκα Πᾶνες ἔσαν κεραελκέες, ἀρχεγόνου δὲ
Πανὸς ἑνὸς γεγάασιν ὀρεσσαύλοιο τοκῆος.
τὸν μὲν ἐφημίξαντο Κελαινέα μάρτυρι μορφῇ,
τὸν δὲ φυῆς Ἀργεννὸν ὁμώνυμον· Αἰγικόρῳ δὲ
ἄρμενον οὔνομα θῆκαν, ἐπεὶ νομίῃ παρὰ ποίμνῃ
αἰγείων κεκόρητο περιθλίβων γάλα μαζῶν·
ἄλλος δ' Ἠυγένειος ἀκούετο θεσπέσιος Πὰν
ἀμφιλαφῆ πλοκάμοισιν ἔχων λειμῶνα γενείου·
καὶ νομίῳ κεκόρυστο σὺν Ὠμηστῆρι Δαφοινεύς·
καὶ Φόβος ὡμάρτησε δασυκνήμιδι Φιλάμνῳ·
Ξάνθῳ Γλαῦκος ἵκανεν ὁμόστολος· ἀντιτύποις γὰρ
Γλαῦκος ἑοῖς μελέεσσιν ὁμόχροος ἔσκε θαλάσσῃ
γλαυκιόων, καὶ Ξάνθος ἔχων ξανθόχροα χαίτην
οὔνομα τοῖον ἔδεκτο κερασφόρος ἀστὸς ἐρίπνης·
καὶ θρασὺς Ἄργος ἵκανε φέρων χιονώδεα χαίτην.
τοῖσιν ἔσαν δύο Πᾶνες ὁμήλυδες, οὓς τέκεν Ἑρμῆς
κεκριμένῃ φιλότητι μιγεὶς διδυμάοσι Νύμφαις·
τὸν μὲν ὀρεστιάδος Σώσης μετανεύμενος εὐνὴν
μαντιπόλου σπέρμηνε θεηγόρον ἔμπλεον ὀμφῆς,
Ἀγρέα θηροφόνῳ μελέτῃ πεπυκασμένον ἄγρης·
τὸν δὲ νομαῖς ὀίων Νόμιον φίλον, ὁππότε Νύμφης
δέμνιον ἀγραύλοιο διέστιχε Πηνελοπείης,
ποιμενίῃ σύριγγι μεμηλότα. τοῖς ἅμα Φόρβας
ὠμηστὴς ἀκόρητος ὁμόστολον εἶχε πορείην.
καὶ παλάμην νάρθηκι γέρων Σειληνὸς ἐρείσας
δισσοφυὴς κεκόρυστο κερασφόρος υἱὸς ἀρούρης,
τρισσοὺς παῖδας ἄγων θιασώδεας· εἰς ἐνοπὴν γὰρ
Ἀστραῖος κεκόρυστο, Μάρων κίεν, ἕσπετο Ληνεύς,
χεῖρας ἐλαφρίζοντες ὀριπλανέος γενετῆρος
γηροκόμοις ῥοπάλοισι· λιποσθενέων δὲ γερόντων
νωχελὲς ἀμπελόεντι δέμας κουφίζετο βάκτρῳ,
ὧν μάλα πουλυέτηρος ἔην χρόνος, ὧν ἄπο θερμὴ

66

ἠερίους κενεῶνας ἐρετμώσασα πεδίλωι·
Nonnus θεσπεσίας δὲ φάλαγγας ἀολλίζουσα Λυαίωι
ὡς πτερὸν ἠὲ νόημα διέστιχεν ἕδρανα κόσμου
εἰς Νότον, εἰς Βορέην, εἰς Ἕσπερον, εἰς κλίσιν Ἠοῦς·
καὶ δρυσὶ καὶ ποταμοῖσι μίαν ξυνώσατο φωνὴν
Νηιάδας καλέουσα καὶ Ἀδρυάδας στίχας ὕλης.
δαιμονίη δ᾽ ἀΐουσα γονὴ Κυβεληΐδος ἠχοῦς,
πάντοθεν ἠγερέθοντο. καὶ ὑψόθεν εἰς χθόνα Λυδῶν
ἀπλανὲς ἴχνος ἄγουσα μετάρσιος ἵκετο Ῥείη·
καὶ νυχίην παλίνορσος ἐκούφισε μύστιδα πεύκην
Μυγδόνι θερμαίνουσα τὸ δεύτερον ἠέρα πυρσῶι.
ἀλλὰ μετὰ βροτέην προμάχων ἡρωίδα φύτλην
καὶ στρατιὴν ζαθέην με διδάξατε, Φοιβάδες αὖραι.
πρῶτα μὲν ἐκ Λήμνοιο πυριγλώχινος ἐρίπνης
φήμη ἀελλήεσσα Σάμου παρὰ μύστιδι πεύκηι
υἱέας Ἡφαίστοιο δύω θώρηξε Καβείρους,
οὔνομα μητρὸς ἔχοντας ὁμόγνιον, οὓς πάρος ἄμφω
οὐρανίωι χαλκῆι τέκε Θρήισσα Καβειρώ·
Ἄλκων Εὐρυμέδων τε, δαήμονες ἐσχαρεῶνος.
καὶ βλοσυροὶ Κρήτηθεν ἀολλίζοντο μαχηταὶ
Δάκτυλοι Ἰδαῖοι, κραναῆς ναετῆρες ἐρίπνης,
Γηγενέες Κορύβαντες ὁμήλυδες, ὧν ποτε Ῥείηι
ἐκ χθονὸς αὐτοτέλεστος ἀνεβλάστησε γενέθλη·
οἳ βρέφος ἀρτιλόχευτον ἀεξιτόκωι παρὰ πέτρηι
Ζῆνα φερεσσακέεσσιν ἐμιτρώσαντο χορείαις,
L2[O] κῶμον ἀνακρούοντες ὀρίκτυπον ἠεροπῆα,
ἠέρα βακχεύοντες· ἀρασσομένοιο δὲ χαλκοῦ
ἀγχινεφὴς Κρονίοισιν ἐπέβρεμεν οὔασιν ἠχὼ
κουροσύνην Κρονίωνος ὑποκλέπτουσα βοείαις·
καὶ πρόμος ἡγεμόνευε χοροπλεκέων Κορυβάντων
Πύρριχος Ἰδαῖός τε σακέσπαλος, οἷς ἅμα βαίνων
Κνώσσιος αἰόλα φῦλα παρώνυμος ὥπλισε Κύρβας. 2
καὶ φθονεροὶ Τελχῖνες ἐπήλυδες εἰς μόθον Ἰνδῶν
ἐκ βυθίου κενεῶνος ἀολλίζοντο θαλάσσης·
καὶ δολιχῆι παλάμηι δονέων περιμήκετον αἰχμὴν
ἦλθε Λύκος, καὶ Σκέλμις ἐφέσπετο Δαμναμενῆι
πάτριον ἰθύνων Ποσιδήιον ἅρμα θαλάσσης,
Τληπολέμου μετὰ γαῖαν ἁλιπλανέες μετανάσται,
δαίμονες ὑγρονόμοι μανιώδεες, οὓς πάρος αὐτοὶ 3
πατρώιης ἀέκοντας ἀποτμήξαντες ἀρούρης.
Θρῖναξ σὺν Μακαρῆι καὶ ἀγλαὸς ἤλασεν Αὔγης,
υἱέες Ἠελίοιο· διωκόμενοι δὲ τιθήνης
χερσὶ βαρυζήλοισιν ἀρνύμενοι Στυγὸς ὕδωρ
ἄσπορον εὐκάρποιο Ῥόδου ποίησαν ἀλωήν,
ὕδασι Ταρταρίοισι περιρραίνοντες ἀρούρας.
τοῖς ἔπι Κενταύρων διφυὴς πρηεῖα γενέθλη·
ἵππιον εἶδος ἔχοντι Φόλωι συνομάρτεε Χείρων
ἀλλοφυής, ἀδάμαστος, ἔχων ἀχάλινον ὑπήνην.
Κυκλώπων δὲ φάλαγγες ἐπέρρεον· ὧν ἐνὶ χάρμηι
14.53 χερσὶν ἀθωρήκτοισιν ἀκοντίζοντο κολῶναι

φόρτον ἀκοντίζων ἐγκύμονος ἀνθερεῶνος.
ἀλλ ὅτε μαρναμένοιο Διὸς πυριλαμπέα νίκην Nonnus
καὶ Κρονίου νιφετοῖο χαλαζήεσσαν Ἐνυὼ
ἀμφίπολος Φαέθοντος ἀελλόπος ἔδρακεν Ὥρη,
γείτονα δέρκετο κύρβιν ἀμοιβαδίς· εἶχε δὲ κείνη,
πῶς βροτέην ὤδινε γονὴν πίτυς, ἢ πόθεν ἄφνω
δενδρείην γονόεσσαν ἀναπτύξασα λοχείην
ἄσπορον αὐτοτέλεστον ἀνήρυγεν υἱέα πεύκη,
καὶ πόθεν ἄστεα πάντα κατέκλυσεν ὑέτιος Ζεὺς
ἠλιβάτοις πελάγεσσιν ἄγων ὑψούμενον ὕδωρ,
πῶς Νότος ἐκ Βορέαο, καὶ ἐκ Λιβὸς Εὖρος ἱμάσσων
λάρνακα Δευκαλίωνος ἀλήμονα, γείτονα Μήνης,
εἰς πλόον ἠερόφοιτον ἐκούφισεν ἄμμορον ὅρμου.
καὶ τριτάτην ὅτε κύρβιν ἐπέδραμεν εὔποδι ταρσῶι
μυστιπόλος Λυκάβαντος, ἕλιξ στηρίζετο κούρη,
μόρσιμα παπταίνουσα πολύτροπα θέσφατα κόσμου,
γράμματα φοινίσσοντα, σοφῆι κεχαραγμένα μίλτωι,
ὁππόσα ποικιλόμυθος ἐπέγραφεν ἀρχέγονος φρήν,
τοῖα προθεσπίζοντα, καὶ ἐν πινάκεσσιν ἀνέγνω·
“Ἥρης βουκόλος Ἄργος ἐς ὄρνεον εἶδος ἀμείψει
φαιδρὸν ἔχων βλεφάρων τύπον αἰόλον· ἀλλὰ καὶ αὐτὴ
Ἁρπαλύκη μετὰ λέκτρον ἀλιτροβίων ὑμεναίων
υἱέα δαιτρεύσασα θυγατρογάμωι γενετῆρι
ἠερίην πτερόεσσαν ἐρετμώσειε πορείην
ὄρνις ἀελλήεσσα· καὶ ἱστοπόνος Φιλομήλη
ἔσσεται αἰολόδειρος ὑποτρύζουσα χελιδών, L2[O]
μαρτυρίην βοόωσα λιπογλώσσοιο σιωπῆς,
δαίδαλα φωνήεντα σοφῶι **γράψασα** χιτῶνι·
καὶ Νιόβη Σιπύλοιο παρὰ σφυρὰ πέτρος ἐχέφρων
δάκρυσι λαϊνέοισιν ὀδυρομένη στίχα παίδων
στήσεται οἰκτρὸν ἄγαλμ· καὶ ἔσσεται αὐτόθι γείτων
Πύρρος ἐρωμανέων Φρύγιος λίθος, εἰσέτι Ῥείης
οἶστρον ἔχων ἀθέμιστον ἀνυμφεύτων ὑμεναίων,
Θίσβη δ᾽ ὑγρὸν ὕδωρ καὶ Πύραμος, ἥλικες ἄμφω,
ἀλλήλους ποθέοντες· ἐυστεφάνοιο δὲ κούρης
Μίλακος ἱμείρων Κρόκος ἔσσεται ἄνθος Ἐρώτων·
καὶ γαμίην μετὰ νύσσαν ἀελλοπόδων Ὑμεναίων
καὶ Παφίης μετὰ μῆλα λεοντείην ἐπὶ μορφὴν
Ἄρτεμις οἰστρήσειεν ἀμειβομένην Ἀταλάντην.”
καὶ τὰ μὲν εἰν ἑνὶ πάντα παρέστιχεν ἄστατος Ὥρη,
εἰσόκε χῶρον ἵκανεν, ὅπηι πυρόεις Ὑπερίων
σύμβολα μαντοσύνης ἀνεμώδεϊ πέφραδε κούρηι,
ἧχι Λέων ἐτέτυκτο σελασφόρος, ἧχι καὶ αὐτὴ
Παρθένος ἀστερόεσσα νόθηι ποικίλλετο μορφῆι
οἴνοπα βότρυν ἔχουσα, θερειγενὲς ἄνθος ὀπώρης·
κεῖθι Χρόνου θυγάτηρ πόδας εὔνασε, ταῦτα δ᾽ ἀνέγνω·
“Κισσὸς ἀερσιπότης, ἐρόεις νέος, εἰς φυτὸν ἕρπων
ἔσται κισσὸς ἕλιξ καὶ ἐν ἕρνεσιν· ἠνθέου δὲ
ὄρθιος ἐκ Καλάμοιο δόναξ κυρτούμενος αὔραις
λεπτὸν ἀεξιφύτοιο φανήσεται ἔρνος ἀρούρης,

ἡμερίδων στήριγμα· καὶ εἰς φυτὸν εἶδος ἀμείψας
Ἄμπελος ἀμπελόεντι χαρίζεται οὔνομα καρπῶι.”
ἀλλ᾽ ὅτε θέσφατα ταῦτα θαλυσιὰς ἔδρακε κούρη,
δίζετο χῶρον ἐκεῖνον, ὅπηι παρὰ γείτονι τοίχωι
ποιητῶι κεχάρακτο τύπωι Γανυμήδεος εἰκὼν
ἰκμάδα νεκταρέην χρυσέωι στάζουσα κυπέλλωι,
ἧχι χαρασσομένων ἐπέων τετράζυγος ὀμφή·
κεῖθι θεὰ φιλόβοτρυς ἐκώμασεν, εὗρε δὲ νύμφη
θέσφατα κισσοφόρωι πεφυλαγμένα ταῦτα Λυαίωι·
“Φοίβωι Ζεὺς ἐπένευσεν ἔχειν μαντώδεα δάφνην,
καὶ ῥόδα φοινίσσοντα ῥοδόχροϊ Κυπρογενείηι,
γλαυκὸν Ἀθηναίηι γλαυκώπιδι θαλλὸν ἐλαίης,
καὶ στάχυας Δήμητρι, καὶ ἡμερίδας Διονύσωι.”
τοῖα μὲν ἐν γραφίδεσσι φιλεύιος ἔδρακε κούρη·
τερπομένη δ᾽ ἤιξε, κασιγνήτας δὲ λαβοῦσα
εἰς ῥόον ἠώιοιο διέστιχεν Ὠκεανοῖο
ἱπποσύνηι Φαέθοντος ὁμόδρομος. — οὐ δὲ Λυαίωι
φάρμακον ἦν ἑτάροιο δεδουπότος, οὐδὲ χορείης
μνῆστις ἔην· φιλίωι δὲ νόον δεδονημένος οἴστρωι
αἴλινα πικρὰ λίγαινεν, ἀκηδέστωι δὲ σιωπῆι
χάλκεα νῶτα λέλοιπεν ἀδουπήτοιο βοείης·
οὐδέ ἑ πηκτὶς ἔτερπεν. ἀμειδήτωι δὲ προσώπωι
οἰκτρὰ κινυρομένοιο φιλοστόργου Διονύσου,
ἔσχετο μὲν Λυδοῖο ῥόος δονακώδεος Ἕρμου
κραιπνὰ κυλινδομένου προχοῆς ἀνεμώδεϊ παλμῶι,
οὐδὲ ῥέειν μενέαινε· βαθυκτεάνωι δὲ ῥεέθρωι
Πακτωλὸς κροκόεις ἀνεσείρασε πένθιμον ὕδωρ
ἀνδρὸς ἔχων μίμημα κατηφέος· ἀμφὶ δὲ νεκρῶι
πηγαίων ἀνέκοψε παλίσσυτον ὁλκὸν ἐναύλων
Σαγγάριος προχέων Φρύγιον ῥόον· αἰνοτόκου δὲ
Ταντᾰλίδος στοναχῆισι διάβροχος ἄπνοος εἰκὼν
διπλόα δάκρυα χεῦεν, ὀδυρομένου Διονύσου·
καὶ πίτυς αἰάζουσα συνέμπορος ἥλικι πεύκηι
λεπταλέον ψιθύριζεν· ἀκερσικόμου δὲ καὶ αὐτὴ
Φοίβου δένδρον ἐοῦσα κόμην ἀπεσείσατο δάφνη
πενθαλέοις ἀνέμοις· λιπαρὴ δ᾽ ἄτμητος ἐλαίη
φύλλα χαμαὶ κατέχευε, καὶ εἰ φυτὸν ἦεν Ἀθήνης.
τοῖα πόθωι στενάχοντος ἀδακρύτου Διονύσου
φρικτὰ μετετρέψαντο παλίλλυτα νήματα Μοίρης·
καὶ γόον ἀχνυμένοιο παραιφαμένη Διονύσου
Ἄτροπος ἐμπεδόμυθος ἀνήρυγεν ἔνθεον ὀμφήν·
“ζώει τοι, Διόνυσε, τεὸς νέος, οὐδὲ περήσει
πικρὸν ὕδωρ Ἀχέροντος· ἀκαμπέα δ᾽ εὗρεν ὀλέσσαι
σὸς γόος ἀτρέπτου παλινάγρετα νήματα Μοίρης·
Ἄμπελος οὐ τέθνηκε, καὶ εἰ θάνεν· ἱμερόεν γὰρ
εἰς ποτόν, εἰς γλυκὺ νέκταρ ἐγὼ σέο κοῦρον ἀμείψω·
τὸν μὲν ἐυτροχάλου παλάμης βητάρμονι παλμῶι
δόρπιον ἁρμονίην διδυμόθροος αὐλὸς ἀράσσων
ὑμνήσει, Φρύγα ῥυθμὸν ἔχων ἢ Δωρίδα μολπήν·
ἤέ μιν ἐν θυμέλησιν ἀνὴρ εὔρυθμος ἀείσει

καὶ Σάτυροι σείοντες ἐς ἠέρα θυιάδα χαίτην,
ἰσοφυὲς μίμημα διδασκόμενοι Διονύσου,
στικτὰ περισφίγξαντες ἐπωμίδι δέρματα νεβρῶν,
Βακχείης ἀλάλαζον ὁμογλώσσον μέλος ἠχοῦς,
ποσσὶ πολυσκάρθμοισι περιθλίβοντες ὀπώρην,
Εὔιον ἀείδοντες· ἐρισταφύλοιο δὲ κόλπου
οἴνου ἀναβλύζοντος ἐπορφύροντο χαράδραι·
στεινομένη δὲ πόδεσσιν ἀμοιβαίοισιν ὀπώρη
λευκὸν ἐρευθαλέης ἀνεκήκιεν ἀφρὸν ἐέρσης.
καὶ βοέοις ἀρύοντο κεράασιν ἀντὶ κυπέλλων
μή πω φαινομένων, ὅθεν ὕστερον ἐξέτι κείνου
θέσκελον οὔνομα τοῦτο κεραννυμένωι πέλεν οἴνωι.
καί τις ἀναβλύζων φρενοθελγέος ἰκμάδα Βάκχου
καμπύλον ἴχνος ἔκαμψε ποδῶν ἑλικώδεϊ παλμῶι,
δεξιὸν ἐκ λαιοῖο μετήλυδα ταρσὸν ἀμείβων,
καὶ λασίας ἐδίηνε γενειάδας ἰκμάδι Βάκχου·
ἄλλος ἀνεσκίρτησε, μέθης δεδονημένος οἴστρωι,
φρικτὸν ἀρασσομένης ἀΐων μύκημα βοείης·
καί τις ἀκεσσιπόνοιο πιὼν ῥόον ἄσχετον οἴνου
κυανέην ῥοδόεντι ποτῶι πόρφυρεν ὑπήνην·
ἄλλος ἄνω τανύων σφαλερὴν ἐπὶ δένδρον ὀπωπὴν
ἡμιφανῆ σκοπίαζεν ἀνάμπυκα γείτονα Νύμφην,
καί νύ κεν ὑψιπέτηλον ὀρειάδος εἰς φυτὸν ὕλης
εἷρπεν ὀλισθηροῖο ποδὸς γαμψώνυχι ταρσῶι,
εἰ μή μιν Διόνυσος ἐρήτυεν· ἀμφὶ δὲ πηγὰς
ἄλλος ἐγερσινόοιο μέθης ἑτερόφρονι παλμῶι
ὑδρηλὴν ἐδίωκεν ἀνείμονα Νηίδα κούρην,
καί νύ κε νηχομένην λασίωι πήχυνεν ἀγοστῶι,
εἰ μή μιν φθαμένη βυθίωι κεκάλυπτο ῥεεθρῶι.
μούνωι δ᾽ οἰνοποτῆρι Διωνύσωι πόρε Ῥείη
λυσσαλέης ἀμέθυστον ἀλεξήτειραν ἀνάγκης.
πολλοὶ δ᾽ εὐκεράων Σατύρων φιλοπαίγμονι ταρσῶι
εἰς χορὸν οἰστρηθέντες ἐκώμασαν· ὧν ὁ μὲν αὐτῶν
θερμὸν ἔχων νέον οἶστρον ὑπὸ φρένα, πομπὸν Ἐρώτων,
πήχεϊ λαχνήεντι μέσην ἠγκάσσατο Βάκχην·
ὃς δὲ νοοπλάγκτοιο μέθης δεδονημένος οἴστρωι
παρθενικῆς ἀγάμοιο σαόφρονος ἥψατο μίτρης,
αὖ ἐρύων ἐπὶ Κύπριν ἀπειθέος εἵματα νύμφης,
χειρὶ δ᾽ ὀπισθοβόλωι ῥοδέων ἐπαφήσατο μηρῶν·
καί τις ἀναινομένην ἀνεσείρασε Μύστιδα κούρην
λαμπάδα νυκτιχόρευτον ἀναπτομένην Διονύσωι·
ὃς δὲ περὶ στέρνοις πεφιδημένα δάκτυλα βάλλων
οἰδαλέην ἔθλιψεν ἀκαμπέος ἄντυγα μαζοῦ.
καὶ γλυκερῆς Διόνυσος ἑῆς μετὰ κῶμον ὀπώρης
δύσατο κυδιόων Κυβεληίδος ἄντρα θεαίνης,
κλήματα βοτρυόεντα φιλανθέι χειρὶ τιταίνων,
Μαιονίην δ᾽ ἐδίδαξεν ἑὴν ἄγρυπνον ἑορτήν.

Ῥείη δ᾽ ὠκυπέδιλος, ὀρεσσαύλωι παρὰ φάτνηι
αὐχένα λαχνήεντα περισφίγξασα λεόντων,
σύνδρομον ἠιώρησεν ὑπηνέμιον σφυρὸν αὔραις

Nonnus

ὑγρὸν ἀναβλύζουσα βεβυσμένον ὄγκον ἐέρσης·
καὶ πολὺς ὄρχατος ἦεν, ὅπηι, στοιχηδὸν ἀνέρπων,
σείετο φοινίσσων ἐπὶ βότρυϊ βότρυς ἀλήτης·
ὧν ὁ μὲν ἡμιτέλεστος ἑὰς ὠδῖνας ἀέξων,
αἰόλα πορφύρων, ἑτερόχροϊ φαίνετο καρπῶι,
ὃς δὲ φαληριόων ἐπεπαίνετο σύγχροος ἀφρῶι,
καὶ πολὺς ὤθεεν ἄλλος ὁμόζυγα γείτονα γείτων
ξανθοφυής, ἕτερος δὲ φυὴν ἰνδάλλετο πίσσηι
περκάζων ὅλον ἄνθος, ἀπ' οἰνοτόκων δὲ πετήλων
σύμφυτον ἀγλαόκαρπον ὅλην ἐμέθυσσεν ἐλαίην·
ἄλλου δ' ἀρτιχάρακτος ἐπέτρεχεν ὄμφακι καρπῶι
βότρυος ἀργυφέοιο μέλας αὐτόσσυτος ἀήρ,
ὄγκωι βοτρυόεντι φέρων σφριγόωσαν ὀπώρην·
καὶ πίτυν ἀντικέλευθον ἕλιξ ἔστεψεν ὀπώρης
συμφερτοῖς σκιόωσα περισκεπὲς ἔρνος ἰάμνοις,
καὶ φρένα Πανὸς ἔτερπε· τινασσομένους δὲ Βορῆι
ἀκρεμόνας πελάσασα παρ' ἀμπελόεντι κορύμβωι
αἱμοβαφὴς ἐλέλιζε κόμην εὐώδεα πεύκη.
ἀμφὶ δέ μιν σκολιῇσι δράκων δινωτὸς ἀκάνθαις,
λαρὸν ἐυρραθάμιγγος ἀμέλγετο νέκταρ ὀπώρης,
καὶ βλοσυραῖς γενύεσσι ποτὸν Βακχεῖον ἀμέλξας,
βότρυος οἰνωθέντος ἐπιστάζων πόμα λαιμῶι,
πορφυρέηι ῥαθάμιγγι δράκων φοίνιξεν ὑπήνην.
καὶ θεὸς οὐρεσίφοιτος ὄφιν θάμβησε δοκεύων
οἰνωπῆι ῥαθάμιγγι πεφυρμένον ἀνθερεῶνα·
L3[O] καὶ στικτοῖς φολίδεσσι μετάτροπον ὁλκὸν ἑλίξας
πετραίην βαθύκολπον ἐδύσατο γείτονα χειήν,
Εὔιον ἀθρήσας, ὄφις αἰόλος. εἰσορόων δὲ
Βάκχος ἐρευθαλέης ἐγκύμονα βότρυν ἐέρσης
ὀμφαίης ἐνόησε παλαίτερα θέσφατα Ῥείης.
καὶ σκοπέλους ἐλάχηνε, πεδοσκαφέος δὲ σιδήρου
θηγαλέηι γλωχῖνι μυχὸν κοιλήνατο πέτρης·
λειήνας δὲ μέτωπα βαθυνομένων κενεώνων
τάφρον ἐυσταφύλοιο τύπον ποιήσατο ληνοῦ,
βότρυας ἀμώων νεοθηλέας ὀξέι θύρσωι,
τεύχων ὀψιγόνοιο τύπον γαμψώνυχος ἅρπης.
καὶ Σατύρων χορὸς ἦεν ὁμόστολος· ὧν ὁ μὲν αὐτῶν
λοξὸς ἔην τρυγόων, ὁ δὲ βότρυας ἄγγεϊ κοίλωι
δέχνυτο τεμνομένους, ὁ δὲ σύμπλοκα φύλλα δαΐζων
χλωρὰ φιλακρήτων ἀπεσείσατο λύματα καρπῶν·
ἄλλος ἄτερ θύρσοιο καὶ εὐθήκτοιο σιδήρου
δεξιτερὴν ἀσίδηρον ἐπ' ἀκρεμόνεσσι τιταίνων
βότρυος εἱλικόεντος ἀπέκλασεν ἄκρα κορύμβου,
ὀκλάζων ἐπίκυρτον, ἐς ἄμπελον ὄμμα τιταίνων·
καὶ γλαφυρῶι κενεῶνι χυτὴν ἔστρωσεν ὀπώρην
ὀγκώσας σταφυλῇσι μεσόμφαλα νῶτα χαράδρης
{...} ◆ βότρυας εἱλικόεντας ἐπασσυτέρους θέτο κόλπωι
ἐκταδὸν ἔνθα καὶ ἔνθα, καὶ ὡς θημῶνας ἀλωῆς
πλήσας κόλπον ἅπαντα συνήγαγε κοιλάδι πέτρηι,
καὶ σταφυλὴν ἐπάτησε ποδῶν βητάρμονι παλμῶι.

68 (39C) Ἀονίου καλάμοιο χέων Ἰσμήνιον ἠχὼ
ἢ ναέταις Μαραθῶνος· ἀνευάζουσι δὲ Μοῦσαι
Ἄμπελον ἱμερόεντα σὺν ἀμπελόεντι Λυαίωι.
καὶ σκολιὴν πλοκάμοιο λιπὼν ὀφιώδεα μίτρην
στέμματα βοτρυόεντα περιπλέξεις σέο χαίτηι,
Φοίβωι ζῆλον ἄγων, ὅτι πένθιμα χειρὶ τιταίνει
αἴλινα δενδρήεντα φιλοκλαύτων ὑακίνθων,
καὶ σὺ ποτὸν μεθέπεις, βροτέης ἄμπαυμα γενέθλης,
νέκταρος οὐρανίου χθόνιον τύπον, ἀνθεμόεν δὲ
παιδὸς Ἀμυκλαίοιο τεὸς νέος εὖχος ἐλέγξει·
εἰ δὲ πόλις κείνοιο μαχήμονα χαλκὸν ἀείρει,
καὶ σέθεν ἠνθέοιο φεραυγέα πατρὶς ἀέξει
ὑγρὸν ἐρευθομένης ποταμηΐδος ὄμβρον ἐέρσης,
χρυσῶι ὅλη κομόωσα, καὶ οὐ χαίρουσα σιδήρωι·
εἰ ποταμοῦ κελάδοντος ἀγάλλεται ἀμφὶ ῥεέθρωι,
φέρτερον Εὐρώταο πέλει Πακτώλιον ὕδωρ.
Ἄμπελε, πένθος ὄπασσας ἀπενθήτωι Διονύσωι,
ὄφρα μελιρραθάμιγγος ἀεξομένου σέθεν οἴνου
τερπωλὴν ὀπάσειας ὅλωι τετράζυγι κόσμωι
καὶ σπονδὴν μακάρεσσι καὶ εὐφροσύνην Διονύσωι·
Βάκχος ἄναξ δάκρυσε, βροτῶν ἵνα δάκρυα λύσηι."
ὣς φαμένη γνωτῇσι συνέμπορος ἔστιχε δαίμων.
καὶ κινυρῶι μέγα θάμβος ἐφαίνετο μάρτυρι Βάκχωι·
καὶ γὰρ ἀναΐξας ἐρύεις νέκυς ὡς ὄφις ἕρπων
Ἄμπελος αὐτοτέλεστος ἑὴν ἠλλάξατο μορφήν,
καὶ πέλε νήδυμον ἄνθος· ἀμειβομένοιο δὲ νεκροῦ L3[O]
γαστὴρ θάμνος ἔην περιμήκετος, ἄκρα δὲ χειρῶν
ἀκρεμόνες βλάστησαν, ἐνερρίζωντο δὲ ταρσοί,
βόστρυχα βότρυες ἦσαν, ἐμορφώθη δὲ καὶ αὐτὴ
νεβρὶς ἀεξομένης πολυδαίδαλον ἄνθος ὀπώρης,
ἀμπελόεις δὲ κόρυμβος ἔην δολιχόσκιος αὐχήν,
4 (1C) ἰσοφυὴς δ' ἀγκῶνι τιταίνετο καμπύλος ὄρπηξ
οἰδαίνων σταφυλῇσιν, ἀμειβομένου δὲ καρήνου
γναμπτῆς κυρτὰ κόρυμβα τύπον μιμεῖτο κεραίης.
κεῖθι φυτῶν στίχες ἦσαν ἀπείρονες· αὐτοτελὴς δὲ
ὄρχατος ἀμπελόεις χλοεροὺς ὄρπηκας ἑλίσσων
οἴνοπι γείτονα δένδρα νέωι μιτρώσατο καρπῶι.
καὶ νέον ἔπλετο θάμβος, ἐπεὶ τότε κοῦρος ἀθύρων,
5 εἰς φυτὸν ὑψιπέτηλον ἑὸν πόδα λοξὸν ἑλίσσων,
Κισσὸς ἀερσιπότητος ἑὴν δενδρώσατο μορφήν,
καὶ πέλεν ἀγκύλον ἔρνος ἐπώνυμον, ἀρτιφυῆ δὲ
ὄρχατον ἡμερίδων σκολιῶι μιτρώσατο δεσμῶι.
καὶ φιλίοις πετάλοισι κατάσκιον ἔσκεπε κόρσην,
καὶ πλοκάμους ἐμέθυσσε φιλακρήτων ἀπὸ φύλλων
κυδιόων Διόνυσος· ἀεξιφύτοιο δὲ κούρου
ἄρτι πεπαινομένης ἐδρέψατο καρπὸν ὀπώρης.
καὶ θεὸς αὐτοδίδακτος ἄτερ ποδὸς ἔκτοθι ληνοῦ,
βότρυν ἐπισφίγγων παλάμης βεβριθότι καρπῶι,
χερσὶ περιπλεκέεσσι μέθης ὠδῖνα πιέζων
πορφυρέης ἀνέφηνε νεόρρυτον ὄγκον ὀπώρης,

καὶ γλυκερὸν ποτὸν εὗρε· καὶ οἰνοχύτου Διονύσου
λευκὰ διαινομένων ἐρυθαίνετο δάκτυλα χειρῶν.
καὶ δέπας ἀγκύλον εἶχε βοὸς κέρας· ἡδυπότου δὲ
χείλεσιν ἀκροτάτοισιν ἐγεύσατο Βάκχος ἐέρσης,
γεύσατο καὶ καρποῖο, καὶ ἀμφοτέροις φρένα τέρπων
μῦθον ἀγηνορέοντος ἀνήρυγεν ἀνθερεῶνος·
"ἀμβροσίην καὶ νέκταρ ἐμοῦ Διός, Ἄμπελε, τίκτεις·
ἔρνεα δισσὰ φέρων πεφιλημένα καρπὸν Ἀπόλλων
οὐ φάγε δαφνήεντα καὶ οὐ πίεν ἐξ ὑακίνθου·
οὐ στάχυς ὠδίνει γλυκερὸν ποτόν· ἵλαθι, Δηώ·
εἶδαρ ἐγὼ μερόπεσσι καὶ οὐ πόμα μοῦνον ὀπάσσω.
Ἄμπελε, καὶ σέο πότμος ἐπήρατος· ἦ ῥα καὶ αὐτῆς
εἰς σὲ καὶ εἰς σέο κάλλος ἐθηλύνθη λίνα Μοίρης,
εἰς σὲ καὶ οἰκτίρμων Ἀίδης πέλεν, εἰς σὲ καὶ αὐτὴ
Περσεφόνη τρηχεῖαν ἑὴν ἤμειψε μενοινήν,
καὶ σὲ νέκυν ζώγρησε κασιγνήτωι Διονύσωι.
οὐ θάνες, ὡς τέθνηκεν Ἀτύμνιος· οὐ Στυγὸς ὕδωρ,
οὐ φλόγα Τισιφόνης, οὐκ ἔδρακες ὄμμα Μεγαίρης·
ζώεις δ' εἰσέτι, κοῦρε, καὶ εἰ θάνες· οὐδέ σε Λήθης
κρύψεν ὕδωρ, οὐ ξυνὸς ἔχει τάφος· ἀλλὰ καὶ αὐτὴ
μορφὴν ὑμετέρην ἠιδέσσατο γαῖα καλύψαι·
ἀλλὰ φυτόν σε τέλεσσε πατὴρ ἐμὸς υἷα γεραίρων,
σὸν δέμας εἰς γλυκὺ νέκταρ ἄναξ ἤμειψε Κρονίων.
οὐ φύσις, ὡς γραπτοῖσι Θεραπναίοισι κορύμβοις,
αἴλινον ἀκλαύτοισι τεοῖς ἐχάραξε πετήλοις·
L3[I] χροιὴν δ' ὑμετέρην καὶ ἐν ἔρνεσι, κοῦρε, φυλάσσεις·
σῶν μελέων ἀκτῖνα τεὴ κήρυξε τελευτή·
οὔ πώ σε προλέλοιπεν ἐρευθαλέη σέο μορφή.
ἀλλὰ τεοῦ θανάτου τιμήορος οὔ ποτε λήξω
θυομένωι τεὸν οἶνον ἐπισπένδων ὀλετῆρι
ἀνδροφόνωι. σὺ δὲ μῶμον Ἀμαδρυάδεσσιν ἀνάπτεις
σοῖς ἐρατοῖς πετάλοισιν· ἀπ' εὐόδμων δὲ κορύμβων
ἰκμάδες ὑμετέρων με περιπνείουσιν Ἐρώτων.
καρπὸν ἐγὼ μήλοιο πότε κρητῆρι κεράσσω;
νεκταρέωι πότε σῦκον ἐπιστάξαιμι κυπέλλωι;
σῦκον ὁμοῦ καὶ μῆλον ἔχει χάριν ἄχρις ὀδόντων.
οὐ δύναται φυτὸν ἄλλο τεαῖς σταφυλῆισιν ἐρίζειν·
οὐ ῥόδον, οὐ νάρκισσος ἐύχροος, οὐκ ἀνεμώνη,
οὐ κρίνον, οὐχ ὑάκινθος ἰσάζεται ἔρνει Βάκχου,
ὅττι πολυτρίπτοιο νέαις λιβάδεσσιν ὀπώρης
σὸν ποτὸν ἄνθεα πάντα δεδέξεται· ἓν ποτὸν ἔσται
μιγνύμενον πάντεσσι, καὶ εἰς μίαν ἵξεται ὀδμὴν
ἄνθεσι παντοίοις κεκερασμένον· εἰαρινὴν γὰρ
κοσμήσει τεὸν ἄνθος ὅλην λειμωνίδα ποίην.
εἶξον ἐμοί, κλυτότοξε, πολυθρήνων ὅτι φύλλων
πενθαλέωι μίτρωσας ἀπενθέα βόστρυχα δεσμῶι·
◆ αἴλινα σοῖς πετάλοισι χαράσσεται· εἰ δ' ἐνὶ κήπωι
στέμμα φέρει κλυτότοξος, ἐγὼ γλυκὺν οἶνον ἀφύσσω,
καὶ στέφος ἱμερόεν περιβάλλομαι, ἡδυπότην δὲ
ἔνδον ἐμῆς κραδίης ὅλον Ἄμπελον αὐτὸν ἀείρω.
69 (40C) εἶξον ἐρισταφύλωι, κορυθαιόλος· αἱματόεις γὰρ
σπένδει λύθρον Ἄρηι, καὶ ἀμπελόεις Διονύσωι
βότρυος οἰνωθέντος ἐρευθιόωσαν ἐέρσην.
Δηώ, ἐσυλήθης μετὰ Παλλάδος· οὐ γὰρ ἐλαῖαι
εὐφροσύνην τίκτουσι, καὶ οὐ στάχυς ἀνέρα θέλγει,
ὄγχνη καρπὸν ἔχει μελιηδέα, μύρτος ἀέξει
ἄνθεα κηώεντα, καὶ οὐ φρενοθελγέι καρπῶι
ἀνδρομέας ἀνέμοισιν ἀκοντίζουσι μερίμνας·
ὑμείων γενόμην πολὺ φέρτερος· ἡμετέρου γὰρ
οἴνου μὴ παρεόντος ἀτερπέα δεῖπνα τραπέζης,
οἴνου μὴ παρεόντος ἀθελγέες εἰσὶ χορεῖαι.
εἰ δύνασαι, γλαυκῶπι, τεῆς πίε καρπὸν ἐλαίης·
σὸν φυτὸν ἀγλαόδωρος ἐμὴ νίκησεν ὀπώρη,
ὅττι τεῶι λιπόωντι δέμας χρίουσιν ἐλαίωι
ἄνδρες ἀεθλητῆρες ἀτερπέες, αἰνοπαθὴς δὲ
εὐνέτιν ἠὲ θύγατρα βαλὼν ξυνήονι πότμωι,
ἢ τεκέων φθιμένων ἢ μητέρος ἢ γενετῆρος
ἀνὴρ πένθος ἔχων, ὅτε γεύσεται ἡδέος οἴνου,
στυγνὸν ἀεξομένης ἀποσείσεται ὄγκον ἀνίης.
Ἄμπελε, καὶ μετὰ πότμον ἐυφραίνεις φρένα Βάκχου·
πᾶσιν ἐμοῖς μελέεσσιν ἐγὼ σέο πῶμα κεράσσω.
ἀμφὶ δὲ δένδρεα πάντα κάτω νεύοντι καρήνωι
εἴκελα λισσομένωι κυρτούμενον αὐχένα κάμπτει,
ὑψιτενὴ δὲ πέτηλα γέρων ἐκλίνατο φοῖνιξ·
ἀμφὶ δὲ μηλείηι τανύεις πόδας, ἀμφὶ δὲ συκῆι
χεῖρας ἐφαπλώσας ἐπερείδεαι, ὑμετέρην δέ, L3[I]
δμοίδες ὣς δέσποιναν, ἐλαφρίζουσιν ὀπώρην,
εὖτε τιταινομένων· πετάλων ἑλικώδεϊ παλμῶι
ἀμφιπόλων ὑπὲρ ὦμον ἀνέρχεαι· ἀγχιφύτων δὲ
ἀβρὰ πολυσπερέων ἑτερόχροα φύλλα κορύμβων,
οἷα σέθεν κνώσσοντος, ἐπαιθύσσουσι προσώπωι
5 (2C) αὔραις φειδομένηισι καταψύχοντες ἀῆται,
λεπταλέην ἅτε λάτρις ἐθήμονα ῥιπίδα σείει,
ψυχρὸν ἑῶι βασιλῆι φέρων ποιητὸν ἀήτην.
εἰ δὲ μεσημβρίζουσαν ἄγεις Φαέθοντος ἀπειλήν,
σῆς σταφυλῆς προκέλευθος ἐτησιὰς ἔρχεται αὔρη
δίψιον εὐνάζουσα πυρώδεος ἀστέρα Μαίρης,
ὁππότε θερμαίνει σε θερειγενέος δρόμος Ὥρης
6 θάλπων Σειριόεντι πεπαινομένην δρόσον ἀτμῶι."
ἔννεπε κυδιόων, προτέρας δ' ἔρριψε μερίμνας
φάρμακον ἡβητῆρος ἔχων εὔοδμον ὀπώρην.
καὶ τὰ μὲν ἀμπελόεντος ἀείδεται ἀμφὶ κορύμβου,
πῶς πέλεν ἡβητῆρος ἐπώνυμος. ὑμνοπόλων δὲ
ἄλλη πρεσβυτέρη πέλεται φάτις, ὥς ποτε γαίηι
οὐρανόθεν φερέκαρπος Ὀλύμπιος ἔρρεεν ἰχὼρ
καὶ τέκε Βακχιάδος σταφυλῆς ποτόν, ἐν σκοπέλοις δὲ
αὐτοφυὴς ἀκόμιστος ἀέξετο καρπὸς ὀπώρης·
οὔ πω δ' ἡμερὶς ἦεν ἐπώνυμος, ἀλλ' ἐνὶ λόχμαις
ἀγριὰς ἡβώουσα πολυγνάμπτοισι σελίνοις
οἰνοτόκων βλάστησε φυτῶν εὐάμπελος ὕλη,

Φοιβείηι φιλότητι λεοντοφόνος τέκε νύμφη,
Nonnus ὁππότε μιν Λιβύηι ψαμαθώδεϊ καλὸς Ἀπόλλων
ἤγαγε νυμφοκόμωι μετανάστιον ἅρπαγι δίφρωι.
καί μιν ἐπισπεύδοντα λιπὼν μαντώδεα δάφνην
αὐτὸς ἑαῖς παλάμηισι πατὴρ θώρηξεν Ἀπόλλων·
παιδὶ δὲ τόξον ἔδωκε, καὶ ἥρμοσε χειρὶ βοείην
δαιδαλέην, γλαφυρὴν δὲ καθιεμένην διὰ νώτου
ὠμαδίωι τελαμῶνι κατεκλήισσε φαρέτρην.
τῶι δ' ἐπὶ Σικελίηθεν ἑκηβόλος ἦλθεν Ἀχάτης,
καί οἱ ἐφωμάρτησαν ὁμήλυδες ἀσπιδιῶται,
Κιλλυρίων τ' Ἐλύμων τε πολὺς στρατός, οἵ τε Παλίκων
ἕδρανον ἀμφενέμοντο, καὶ οἳ Κατάνην πάρα λίμνην
γείτονα Σειρήνων πόλιν ὤικεον, ἃς Ἀχελώιωι
Τερψιχόρη ῥοδόεσσα βοοκραίρων ἀπὸ λέκτρων
τίκτεν ἀελλήεντι συναπτομένη παρακοίτηι·
οἵ τ' εἶχον Καμάριναν, ὅπηι κελάδοντι ῥεέθρωι
Ἵππαρις ἀστήρικτος ἐρεύγεται ἀγκύλον ὕδωρ,
◆ Ὕβλης θ' ἱερὸν ἄστυ, καὶ οἳ σχεδὸν ὤικεον Αἴτνης,
ἧχι πυρὸς κρητῆρες ἀναπτομένης ἀπὸ πέτρης
θερμὸν ἀναβλύζουσι Τυφαονίης σέλας εὐνῆς,
οἵ τε δόμους ἐδάσαντο παρ' ὀφρυόεντι Πελώρωι,
καὶ δάπεδον νησαῖον ἁλιρροίζοιο Παχύνου,
καὶ Σικελὴν Ἀρέθουσαν, ὅπηι μετανάστιος ἕρπει
στέμματι Πισαίωι κομόων Ἀλφειὸς ἀλήτης,
πορθμεύων βατὸν οἶδμα, καὶ ἀκροτάτου διὰ πόντου
L1[O] ἕλκει δοῦλον Ἔρωτος ὑπέρτερον ἄβροχον ὕδωρ,
𝔸 θερμὸν ἔχων ψυχροῖο δι' ὕδατος ἁπτόμενον πῦρ.
τοῖς ἔπι Φαῦνος ἵκανε πυρισφρήγιστον ἐάσας
Σικελίης τριλόφοιο Πελωρίδα πέζαν ἐρίπνης,
τὸν βυθίωι Κρονίωνι συναπτομένη τέκε Κίρκη,
σύγγονος Αἰήταο πολύθρονος, ἣ παρὰ λόχμηι
ὤικεε πετραίοιο βαθύσκια κύκλα μελάθρου.
καὶ Λίβυες στρατόωντο παρ' Ἑσπέριον κλίμα γαίης
ἀγχινεφῆι ναίοντες ἀλήμονος ἄστεα Κάδμου·
κεῖθι γὰρ ἀντιπόρων ἀνέμων πεφορημένος αὔραις
εἰς χρόνον ὤικεε Κάδμος, ἔχων Σιθωνίδα νύμφην
σύμπλοον, Ἁρμονίην ἔτι παρθένον, ἧς διὰ μορφὴν
γείτονας ἀντιβίους πολεμητόκος ὥπλισε φήμη,
ἣν Χάριν ἀντονόμηνε Λίβυς στρατός — ἁβροτέρη γὰρ
Βιστονὶς ἐβλάστησεν ἐπιχθονίη Χάρις ἄλλη,
τῆς ἄπο καὶ Λιβύης Χαρίτων λόφος —, ἧς ἐπὶ μορφῆι
ἅρπαγος ὑσμίνης δεδονημένος ἄφρονι κέντρωι
φρικτὸς ἐρωμανέων ἐκορύσσετο βάρβαρος Ἄρης,
λαὸς ἐρημονόμος Μαυρούσιος· ἀλλὰ τινάσσων
χερσὶ γυναιμανέεσσι Λιβυστίδος ἔγχος Ἀθήνης
Ἁρμονίης πολέμιζε προασπίζων παρακοίτης,
Ἑσπερίων δ' ἐφόβησεν ὅλον γένος Αἰθιοπήων
σὺν Διὶ θωρηχθέντι, σὺν Ἄρεϊ καὶ Κυθερείηι·
κεῖθι καί, ὡς ἐνέπουσι, παρὰ Τριτωνίδι λίμνηι
Ἁρμονίηι παρέλεκτο ῥοδώπιδι Κάδμος ἀλήτης,

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirteenth, I will tell of a host of innumerable, and champion heroes gathering for Dionysos.

NONNUS
DIONYSIACA
BOOK 13

PREVIEW BOOK 15

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 568 lines 3.0
𝔸 2L 1 - 350
𝔹 2L 351 - 568

PRINT 2-SIDED: 79 to 86

Ζεὺς δὲ πατὴρ προέηκεν ἐς αὔλια θέσκελα Ῥείης
Ἶριν ἀπαγγέλλουσαν ἐγερσιμόθωι Διονύσωι,
ὄφρα δίκης ἀδίδακτον ὑπερφιάλων γένος Ἰνδῶν
Ἀσίδος ἐξελάσειεν ἑῶι ποινήτορι θύρσωι,
ναύμαχον ἀμήσας ποταμήιον υἷα κεράστην,
Δηριάδην βασιλῆα, καὶ ἔθνεα πάντα διδάξηι
ὄργια νυκτιχόρευτα καὶ οἴνοπα καρπὸν ὀπώρης.
ἡ μὲν ἐρεσσομένων πτερύγων ἀνεμώδεϊ ῥιπῆι
δυσαμένη κελάδοντα λεοντοκόμου μυχὸν ἄντρου
ἄψοφον ἴχνος ἔπηξεν, ἀφωνήτωι δὲ σιωπῆι
σφιγξαμένη στόμα δοῦλον ὀρειάδος ἐγγὺς ἀνάσσης
ἵστατο κυρτωθεῖσα, καθελκομένου δὲ καρήνου
χείλεσιν ἱκεσίοισι πόδας προσπτύξατο Ῥείης.
καὶ τὴν μὲν Κορύβαντες ἀμειδέι νεύματι Ῥείης
θεσπεσίης ἀρέσαντο παρὰ κρητῆρι τραπέζης·
θαμβαλέη δὲ πιοῦσα νεηγενέος χύσιν οἴνου
τέρπετο βακχευθεῖσα· καρηβαρέουσα δὲ δαίμων
✦ παιδὶ Διὸς παρεόντι Διὸς μυκήσατο βουλήν·
"ἀλκήεις Διόνυσε, τεὸς γενέτης σε κελεύει
εὐσεβίης ἀδίδακτον ἀιστῶσαι γενος Ἰνδῶν·
ἀλλὰ τεαῖς παλάμηισι μαχήμονα θύρσον ἀείρων
αἰθέρος ἄξια ῥέξον, ἐπεὶ Διὸς ἄμβροτος αὐλὴ
οὔ σε πόνων ἀπάνευθε δεδέξεται, οὐδέ σοι Ὧραι
μή πω ἀεθλεύσαντι πύλας πετάσωσιν Ὀλύμπου·
Ἑρμείας μόγις ἦλθεν ἐς οὐρανόν, ὁππότε ῥάβδωι
L1[I] ὄμμασιν ἀστράπτοντα ποδῶν ἄπο μέχρι κομάων
𝔸 βουκόλον Ἄργον ἔπεφνε, καὶ Ἄρεα λύσατο δεσμῶν·
Δελφύνην δ' ἐδάμασσε καὶ αἰθέρα ναῖεν Ἀπόλλων·
οὐδὲ τεὸς γενέτης, μακάρων πρόμος, ὑψιμέδων Ζεὺς
νόσφι πόνων ἀνέβαινεν ἐς οὐρανὸν, ὄρχαμος ἄστρων,
εἰ μὴ πρῶτον ἔδησεν ἀπειλητῆρας Ὀλύμπου
Ταρταρίωι Τιτῆνας ὑποκρύψας κενεῶνι.
καὶ σὺ μετ' Ἀπόλλωνα, μεθ' Ἑρμάωνα, μογήσας
μισθὸν ἔχεις καμάτων πατρώιον αἰθέρα ναίειν."
ὣς φαμένη πρὸς Ὄλυμπον ἔβη θεός· αἶψα δὲ Ῥείη
παμμήτωρ προέηκεν ἀγέστρατον ἀγγελιώτην
Πύρριχον, ὀρχηστῆρα φιλοσμαράγοιο βοείης,
φύλοπιν ἀγγέλλοντα κορυσσομένοιο Λυαίου.
καὶ στρατιὴν πολύμορφον ἀολλίζων Διονύσωι
Πύρριχος ἀενάοιο διέδραμεν ἕδρανα κόσμου·
Εὐρώπης δὲ γένεθλα καὶ Ἀσίδος ἔθνεα γαίης
πάντας ἄγων νόστησεν ἐς ἁβροβίων χθόνα Λυδῶν.
ἀλλὰ πολυσπερέων προμάχων ἡρωίδα φύτλην
καὶ λασίων Σατύρων, Κενταυρίδος αἷμα γενέθλης,
Σειληνῶν τε φάλαγγα δασυκνήμοιο γεραιοῦ
καὶ στίχα Βασσαρίδων Κορυβαντίδες εἴπατε Μοῦσαι·
οὐ γὰρ ἐγὼ τόσα φῦλα δέκα γλώσσηισιν ἀείσω
οὐδὲ δέκα στομάτεσσι χέων χαλκόθροον ἠχώ,
ὁππόσα Βάκχος ἄγειρε δορυσσόος, ἀλλὰ λιγαίνων
ἡγεμόνας καὶ Ὅμηρον ἀοσσητῆρα καλέσσω

71 (41C) πάτριον Ἀμνισοῖο ῥόον Κρηταῖον ἐάσας
αἰδομένοις στομάτεσσι νόθον πίε Φάσιδος ὕδωρ.
μοῦνος Ἀρισταῖος βραδὺς ἤιε λοίσθιος ἄλλων,
ὅσσοι γαῖαν ἔναιον ὁμούριον Ἑλλάδι γαίηι,
ὃς μέλιτος γλυκεροῖο πολυτρήτων ἀπὸ σίμβλων
αὐχένα γαῦρον ἄειρε, καὶ οἰνοχύτωι Διονύσωι
ἤρισεν ἀπρήκτωι μελιηδέος ἐλπίδι νίκης·
ἀμφοτέροις δ' ἐδίκαζον, ὅσοι ναετῆρες Ὀλύμπου·
ἀλλὰ πάις Φοίβοιο νεόρρυτα χεύματα σίμβλων
ἀθανάτοις ὀρέγων μελιηδέος ἤμβροτε νίκης,
ὅττι θεοὶ παχὺ χεῦμα φιλοπτόρθοιο μελίσσης
δεξάμενοι κόρον ὀξὺν ἀτερπέος εἶχον ἐέρσης·
καὶ κόρος ἦν μακάρων τρίτατον δέπας, οὐ δὲ τέταρτον
κιρναμένου γεύσαντο παλιννόστοιο κυπέλλου,
καὶ μάλα διψώοντες· ἀρνυμένοιο δὲ Βάκχου
ὄμβρωι ἐυρραθάμιγγι νόον τέρποντες ἐέρσης
εἰς ὅλον ἦμαρ ἔπινον ἀλωφήτου χύσιν οἴνου·
καὶ μεθύων γλυκὺν οἶνον ἐθάμβεεν ἄλλος ἐπ' ἄλλωι
ἐξ ἑτέρου ποθέων ἕτερον δέπας ἡδέι θυμῶι,
εὐφροσύνην ἀκόρητον ἔχων θελξίφρονος οἴνου·
Ζεὺς δὲ μελιρραθάμιγγος ἐθάμβεεν ἔργα μελίσσης,
δαιδαλέην δ' ὠδῖνα φιλοσμήνου τοκετοῖο,
δῶρον Ἀρισταίοιο, καὶ οἰνοχύτωι Διονύσωι
ὤπασε λυσιπόνοιο φέρειν πρωτάγρια νίκης.
ἔνθεν Ἀρισταῖος βραδὺς ἤιεν εἰς μόθον Ἰνδῶν,
ὄψιμος εὐνήσας πρότερον χόλον ἅρπαγος ἥβης, L1[I]
ἔνδιον Ἑρμείαο λιπὼν Κυλλήνιον ἕδρην· 𝔸
οὔ πω γὰρ προτέρηι Μεροπηίδι νάσσατο νήσωι,
οὔ πω δ' ἀτμὸν ἔπαυσε πυρώδεα διψάδος ὥρης
Ζηνὸς ἀλεξικάκοιο φέρων φυσίζοον αὔρην,
οὐδὲ σιδηροχίτων δεδοκημένος ἀστέρος αἴγλην
2 (1C) Σείριον αἰθαλόεντος ἀναστέλλων πυρετοῖο
ἐννύχιον πρήυνε, τὸν εἰσέτι διψαλέον πῦρ
θερμὸν ἀκοντίζοντα δι' αἰθέρος αἴθοπι λαιμῶι
ἄσθμασι λεπταλέοισι καταψύχουσιν ἀῆται·
ἀλλ' ἔτε Παρρασίης πέδον ᾤκεεν. ἐρχομένωι δὲ
λαὸς ἐθωρήχθη βαλανηφάγος Ἀρκὰς ἀλήτης,
οἵ τ' εἶχον Λασιῶνα καὶ ἄλσεα καλὰ Λυκαίου
2 καὶ κραναὴν Στύμφηλον, ἀειδομένην τὲ πολίχνην
Ῥίπην καὶ Στρατίην καὶ Μαντινέην καὶ Ἐνίσπην
Παρρασίην τ' εὔδενδρον, ὅπηι πέδον ἐστὶ θεαίνης
ἀστιβὲς ἀρχεγόνοιο λεχώιον εἰσέτι Ῥείης,
καὶ δάπεδον Φενεοῖο καὶ ὀρχηθμοῖο τοκῆα,
Ὀρχομενὸν πολύμηλον, ἐδέθλιον Ἀπιδανήων,
οἵ τ' ἔχον Ἀρκαδίην πόλιν Ἀρκάδος, ὃν ποτε μήτηρ
Καλλιστὼ Διὶ τίκτε, πατὴρ δέ μιν εἰς πόλον ἄστρων
στηρίξας ἐκάλεσσε χαλαζήεντα Βοώτην·
τόσσον Ἀρισταῖος στρατὸν ὥπλισεν Ἀρκάδι λόγχηι
ἀνδράσι μαρναμένοις νομάδας κύνας εἰς μόθον ἕλκων,
τόν ποτε Κυρήνη, κεμαδοσσόος Ἄρτεμις ἄλλη,

πατρίδα γαῖαν ἔλειπε καὶ Αἰακός, ὃν νόθος ὄρνις
ἁρπαμένηι σπέρμηνε μιγεὶς Ἀσωπίδι νύμφηι,
αἰετὸς Αἰγίνης πτερόεις πόσις ὑψιπέτης Ζεύς·
ἐκ δὲ γάμου πεφάτιστο καὶ Αἰακός· ἔξοχα δ' ἄλλων
χραισμῆσαι μενέαινε κασιγνήτωι Διονύσωι·
Μυρμιδόνων δὲ φάλαγγας ἐκόσμεεν ἴδμονι τέχνηι,
οἳ πρὶν ἔσαν μύρμηκες ἐφερπύζοντες ἀρούρηι,
ποσσὶ πολυσπερέεσσι μεμηλότες, εἰσόκεν αὐτῶν
ἐκ χροὸς οὐτιδανοῖο χαμαιγενὲς εἶδος ἀμείψας.
φέρτερον εἰς δέμας ἄλλο μετέπλασεν ὑψιμέδων Ζεύς,
καὶ στρατὸς ἐβλάστησεν ἐνόπλιος· ἐξαπίνης γὰρ
ἀλλοφυής, ἄφθογγος, ἀπόσπορος ἑσμὸς ἀρούρης
εἰς βροτὸν αὐδήεντα δέμας μορφώσατο μύρμηξ·
τῶν πρόμος Αἰακὸς ἦρχεν, ἐν εὐτύκτωι δὲ βοείηι
Ζῆνα νόθον σοφὸν ὄρνιν ἐπέγραφε, σῆμα γενέθλης,
φειδομένοις ὀνύχεσσιν ἐλαφρίζοντα γυναῖκα,
καὶ ποταμὸς πυρίκαυστος ἔην σχεδόν, ἄγχι δὲ κούρη
◆ οἰκτρὰ κατηφιόωσα, καὶ εἰ πέλεν ἄπνοος εἰκών,
δόχμιον ὄμμα τίταινεν, ἅτε στενάχουσα τοκῆα
Ἀσωπὸν βαρύγουνον, ἔοικε δὲ τοῦτο βοῆσαι·
'καλὸν ἐμοὶ πόρες ἕδνον ἐμὸν γενετῆρα δαμάσσας.'
Κρήτης δ' ἡγεμόνευε πολυγλώσσων ναετήρων
Ἀστέριος φαιδρωπὸν ἔχων δέμας, ἀμφότερον δὲ
ὅσσον ἔην ἐρόεις, τόσον ἄλκιμος, ὅν ποτε νύμφη
λυσαμένη Μίνωι σαόφρονος ἅμμα κορείης
Φαιστιὰς Ἀνδρογένεια Κυδωναίηι τέκεν εὐνῆι·
ὃς τότε λαὸν ἄγων ἑκατόμπολιν οἴνοπι Βάκχωι
ἵκετο κυδαίνων ἐμφύλιον αἷμα γενέθλης
πατρὸς ἑοῦ· Σεμέλης γὰρ ἀνεψιὸς ἔπλετο Μίνως,
Κάδμου ξυνὰ γένεθλα· πολυσπερέες δὲ μαχηταὶ
πάντες ἐνὶ σπεύδοντι συνέρρεον ἡγεμονῆι,
οἱ μὲν ἀπὸ Κνωσσοῖο μαχήμονες, οἱ δ' ἀπὸ Λύκτου
Μιλήτου στρατιῆισι συνήλυδες· οἷς ἅμα πολλοὶ
ὑψιλόφου Γόρτυνος ἐθωρήσσοντο πολῖται
καὶ ναέται Ῥυτίοιο καὶ εὐκάρποιο Λυκάστου
{…} καὶ χθόνα Νωδαίοιο Διὸς καὶ ἐδέθλια Βοίβης
καὶ δάπεδον Κισάμοιο, καὶ ἄστεα καλὰ Κυταίου.
τοῖος ἀπὸ Κρήτης πρόμος ἤλυθεν· ἐρχομένωι δὲ
θερμοτέραις ἀκτῖσι χέων μαντήιον αἴγλην
Ἀστερίωι σελάγιζεν ὁμώνυμος Ἄρεος ἀστήρ,
νίκης ἐσσομένης πρωτάγγελος· ἀλλ' ἐνὶ χάρμηι
νικήσας νόθον οἶστρον ἀήθεος ἔσχεν ἀρούρης
νηλής· οὐ γὰρ ἔμελλεν ἰδεῖν μετὰ φύλοπιν Ἰνδῶν
πάτριον Ἰδαίης κορυθαιόλον ἄντρον ἐρίπνης,
ἀλλὰ βίον προβέβουλε λιπόπτολιν, ἀντὶ δὲ Δίκτης
Κνώσσιος ἐν Σκυθίηι μετανάστιος ἔσκε πολίτης,
καὶ πολιὸν Μίνωα καὶ Ἀνδρογένειαν ἐάσας
ξεινοφόνων σοφὸς ἦλθεν ἐς ἔθνεα βάρβαρα Κόλχων,
Ἀστερίους δ' ἐκάλεσσε καὶ ὤπασεν οὔνομα Κόλχοις
Κρητικόν, οἷς ξένα θεσμὰ φύσις πόρε, παιδοκόμου δὲ

72 (42C) εὐεπίης ὅλον ὅρμον, ἐπεὶ πλωτῆρες ἀλῆται
πλαγκτοσύνης καλέουσιν ἀρηγόνα κυανοχαίτην.
πρῶτα μέν, εὐθύρσοιο καλεσσαμένου Διονύσου,
Ἀκταίων ταχὺς ἦλθεν ὁμόγνιον αἷμα γεραίρων,
πατρίδος Ἀονίης ἑπτάστομον οὖδας ἐάσας·
Βοιωτῶν δὲ φάλαγγες ἐπέρρεον, οἳ χθόνα Θήβης
ᾤκεον εὐπύργοιο καὶ ἔνδιον ἐννοσιγαίου
Ὀγχηστόν, Πετεῶνα καὶ Ὠκαλέην καὶ Ἐρύθρας,
Ἄρνην βοτρυόεσσαν, ἀγαλλομένην Διονύσωι,
οἵ τε Μίδειαν ἔναιον, ἀειδομένας τε πολίχνας
Εἰλέσιον καὶ Σκῶλον ἁλικρήπιδά τε Θίσβην,
ὅρμον ἐυτρήρωνα θαλασσαίης Ἀφροδίτης,
καὶ δάπεδον Σχοίνοιο καὶ εὐχαίτην Ἐλεῶνα
Κῶπας τ', ἀγλαὸν οὖδας, ὅπηι περίπυστον ἀκούω
ἐγχελύων θρέπτειραν ἐπώνυμον εἰσέτι λίμνην,
καὶ λάσιον Μεδεῶνα, καὶ οἳ λάχον εὔβοτον Ὕλην,
σκυτοτόμου Τυχίοιο τανυκνήμιδα τιθήνην,
καὶ πέδον εὐρυάλω, χθονίηι πεφυλαγμένον ὀμφῆι,
ἅρματος ὀψιγόνοιο φερώνυμον Ἀμφιαράου,
Θεσπιέων τε πόληα βαθυκνήμους τε Πλαταιὰς
ὑδρηλήν θ' Ἁλίαρτον, ὀρεσσιχύτου ποταμοῖο
χεύμασι μεσσατίοισι μεριζομένην Ἑλικῶνος,
οἵ τ' εἶχον πυμάτην Ἀνθηδόνα, γείτονα πόντου,
βαιὴν ἰχθυβολῆος ἀειζώοιο πολίχνην
ὑγροβίου Γλαύκοιο, καὶ οἳ δυσπέμφελον Ἄσκρην,
πατρίδα δαφνήεσσαν ἀσιγήτοιο νομῆος,
Γραίης θ' ἱερὸν ἄστυ καὶ εὐρυχόρου Μυκαλησσοῦ,
Εὐρυάλης μίμημα φερώνυμον ἀνθερεῶνος,
καὶ χθόνα Νισαίην καὶ ἐπώνυμον ἄστυ Κορώνου·
τοῖσι μὲν ἐρχομένοισιν Ἑώιον εἰς κλίμα γαίης
Ἀκταίων πρόμος ἦεν, ἐπ' ἠιθέοιο δὲ νίκηι
3 (2C) πατροπάτωρ δαφναῖος ἐπέπταρε μάντις Ἀπόλλων.
Βοιωτῶν δ' ἑτέροιο προηγεμόνευεν ὁμίλου
εὐχαίτης Ὑμέναιος ἔχων ἀχάρακτον ὑπήνην,
ἀρτιθαλής, Βρομίωι πεφιλημένος· ἐρχομένωι δὲ
κούρωι παιδοκόμος πολιὸς πρόμος οὔνομα Φοῖνιξ,
εἵπετο, Λαοκόωντι πανείκελος, ὃς πάρος Ἀργοῦς,
νηὸς Ἰησονίης, ἐπιβήμενος εἰς χθόνα Κόλχων
3 σύμπλοος ὡμάρτησε κορυσσομένωι Μελεάγρωι.
τοῖος ἐὼν ἔτι κοῦρος, ἔχων παιδήιον ἥβην,
ἀβροκόμης Ὑμέναιος ἐδύσατο φύλοπιν Ἰνδῶν,
δινεύων ἑκάτερθε παρηίδος ἥλικα χαίτην·
καί οἱ ἐφωμάρτησαν ὁμήλυδες ἀσπιδιῶται,
οἵ τ' Ἀσπληδόνος ἄστυ, καὶ ὃν Χάρις οὔ ποτε λείπει
Ὀρχομενὸν Μινύαο, χοροίτυπον ἄλσος Ἐρώτων,
οἵ θ' Ὑρίην ἐνέμοντο, θεηδόχον οὖδας ἀρούρης,
ξεινοδόκου μεθέπουσαν ἐπωνυμίην Ὑριῆος,
ἧχι Γίγας ἀπέλεθρος ἀπειρογάμων ἀπὸ λέκτρων
Ὠρίων τριπάτωρ ἀπὸ μητέρος ἄνθορε Γαίης,
εὖτε θεῶν τριγόνοισιν ἀεξηθεῖσα γενέθλαις

εἰς τόκον αὐτοτέλεστον ἐμορφώθη χύσις οὔρων,
αὔλακα νυμφεύσασα τελεσσιγόνοιο βοείης,
καὶ χθονὸς ἄσπορον υἷα λαγὼν μαιώσατο Γαίης,
οἵ τ' ἔχον ἀγρομένων ξεινηδόκον οὖδας Ἀχαιῶν,
Αὐλίδα πετρήεσσαν, ἐδέθλιον ἰοχεαίρης,
ἧχι θεὰ βαρύμηνις ὀρεσσαύλωι παρὰ βωμῶι
δέκτο θυηπολίην ψευδήμονος Ἰφιγενείης,
καὶ κεμὰς οὐρεσίφοιτος ἀμεμφέι καίετο πυρσῶι
ἁρπαμένης νόθον εἶδος ἀληθέος Ἰφιγενείης,
ἣν Ὀδυσεὺς ἐκόμισσε δολοπλόκος ὡς Ἀχιλῆος
ἐσσομένην πρὸ μόθοιο παρευνέτιν, ἔνθεν ἀκούει
Αὐλὶς ἀνυμφεύτοιο γαμοστόλος Ἰφιγενείης,
ὁλκάσι δ' Ἀργείων ἐπεσύρισε πομπὸς ἀήτης
ἄψοφα μαστίζων ἐχενηίδος ἄκρα γαλήνης,
νεβροφόνωι βασιλῆι φέρων παλινάγρετον αὔρην,
κούρη δ' ὀψὲ μολοῦσα μετάρσιος εἰς χθόνα Ταύρων
φρικτὰ κακοξείνων ἐδιδάσκετο θεσμὰ λεβήτων,
ἀνέρα δαιτρεύουσα, καὶ ἀνδροφόνωι παρὰ βωμῶι
γνωτὸν ἀλιπτοίητον ἀνεζώγρησεν Ὀρέστην.
Βοιωτῶν τόσος ἦλθεν ἀμετρήτων στόλος ἀνδρῶν
Ἰνδώιην ἐπὶ δῆριν ὁμαρτήσας Ὑμεναίωι.

τοῖσι συνεστρατόωντο σοφῆι παρὰ Δελφίδι πέτρηι
ἀγχίποροι Φωκῆες ὁμήλυδες, οἳ Κυπαρίσσου
εἶχον ἕδος καὶ γαῖαν Ὑάμπολιν, ἥν περ ἀκούω
Ἀονίης υἱὸς οὖδας ἐπώνυμον, ἧ περὶ μορφῆς
αὐχένα γαῦρον ἄειρε καὶ ἤρισε Τριτογενείηι·
οἵ τ' ἔλαχον Πυθῶνα καὶ ἀμφίκρημνον ἀλωήν,
Κρῖσαν ἀειδομένην καὶ Δαυλίδα καὶ Πανοπῆα,
γείτονα Βάκχον ἔχοντες, ἐπεὶ δαφναῖος Ἀπόλλων
κλῆρον ἑὸν ξύνωσε κασιγνήτωι Διονύσωι,
Παρνησσὸν δικάρηνον· ἀγειρομένοισι δὲ λαοῖς
Πυθιὰς ὀμφήεσσα θεηγόρος ἔκλαγε πέτρη
καὶ τρίπος αὐτοβόητος, ἀσιγήτοιο δὲ πηγῆς
Κασταλίης λάλον οἶδμα σοφῶι πάφλαζε ῥεέθρωι.

Εὐβοέων δὲ φάλαγγας ἐκόσμεον ἀσπιδιῶται
παιδοκόμοι Κορύβαντες ἀεξομένου Διονύσου,
οἳ Φρύγα κόλπον ἔχοντες ὀρεσσιπόλωι παρὰ Ῥείηι
νήπιον εἰσέτι Βάκχον ἐκυκλώσαντο βοείαις,
τόν ποτε πορφυρέωι κεκαλυμμένον οἴνοπι πέπλωι
εὗρον ἐνὶ σκοπέλοις, κερόεν βρέφος, ἔνθά μιν Ἰνὼ
Μύστιδι παιδοκόμωι παρεκάτθετο μητρὶ Κορύμβου·
οἳ τότε πάντες ἵκανον ἀειδομένης ἀπὸ νήσου,
Πρυμνεὺς εἰλιπόδης τε Μίμας καὶ ὁρίδρομος Ἄκμων
Δαμνεύς τ' Ὠκύθοός τε σακεσπάλος, οἷς ἅμα βαίνων
σύνδρομος Ἰδαίωι κορυθαιόλος ἦλθε Μελισσεύς,
οὓς ποτε δυσσεβίης κεκορυθμένος ἄφρονι κέντρωι
Σῶκος ἀλιζώνοιο πατὴρ νοσφίσσατο πάτρης
Κόμβης ἑπτατόκου μετὰ μητέρος· οἱ δὲ φυγόντες
Κνώσσιον οὖδας ἵκοντο, καὶ ἔμπαλιν ἦσαν ἀλῆται
εἰς Φρυγίην Κρήτηθεν, ἀπὸ Φρυγίης ἐς Ἀθήνας,
ἀλλοδαποὶ ναετῆρες ὁμέστιοι, εἰσόκε Κέκροψ
Σῶκον ἀπηλοίησε Δίκης ποινήτορι χαλκῶι,
καὶ χθόνα καλλείψαντες ἀλικλύστου Μαραθῶνος
νόστιμον ἴχνος ἔκαμψαν ἐς ἱερὸν οὖδας Ἀβάντων,
Κουρήτων προτέρων χθόνιον γένος, οἷς μέλος αὐλῶν,
οἷς βίος εὐκελάδων ξιφέων κτύπος, οἷς τινι ῥυθμῶι
κύκλα ποδῶν μεμέλητο καὶ ἀσπιδόεσσα χορείη.
τοῖσι συνεστρατόωντο μαχήμονες υἷες Ἀβάντων,
οἳ λάχον ὀφρυόεσσαν Ἐρέτριαν, οἳ λάχον ἄμφω,
καὶ Στύρα καὶ Κήρινθον, ἀειδομένης τε Καρύστου
ἕδρανα καὶ Δίου κραναὸν πέδον, οἵ τ' ἔχον ἀκτήν,
ἀκτὴν κυματόεσσαν ἀσιγήτοιο Γεραιστοῦ,
καὶ Στύγα καὶ Κοτυλαῖον ἕδος καὶ Σιρίδος ἕδρην
Μαρμαρίου τε τένοντα καὶ Ὠγυγίης πέδον Αἰγῆς·
τοῖς ἅμα λαὸς ἵκανεν ὁμόστολος, οἷς πέλε πάτρη
Χαλκίς, ὀπισθοκόμων μητρόπτολις Ἐλλοπιήων.
ἑπτὰ μὲν ἡγεμόνες στρατὸν ὥπλισαν, ἀλλ' ἕνα πάντες
θυμὸν ἔχον κατ' Ἄρηα· καὶ ἀστέρας αἴθοπι βωμῶι
Ζωιδιακῆς ναετῆρας ἐμειλίξαντο κελεύθου,
δῆριν ἰσηρίθμοισιν ἐπιτρέψαντες ἀλήταις.

Κεκροπίδας δ' ἐκόρυσσε μόθων ἀκόρητος Ἐρεχθεύς —
χρύσεον ἀγλαόπαιδος Ἐρεχθέος αἷμα κομίζων,
τόν ποτε πυρσοφόροιο κατὰ πτύχα παρθενεῶνος
παρθένος αὐτολόχευτος ἀνέτρεφεν ἄρσενι μαζῶι
παιδοκόμος γλαυκῶπις ἀνήροτος, αἰδομένη δὲ
παρθενίωι πήχυνεν ἀήθεϊ κοῦρον ἀγοστῶι
Ἡφαιστηιάδην, ὅτε δύσγαμος ἀμφιγυήεις
ἀλλοίηι φιλότητι γονὴν ἔσπειρεν ἀρούρηι,
θερμὸν ἀκοντίζων αὐτόσσυτον ἀφρὸν Ἐρώτων·
τοῖος Ἀθηναίων στρατιῆς πρόμος ἦλθεν Ἐρεχθεύς,
Σίφνον ἔχων συνάεθλον, ὁμόπτολιν ἡγεμονῆα —,
οἳ λάχον Οἰνώης γόνιμον πέδον, οἵ τε καρήνων
γείτονος Ὑμήττοιο μελισσήεντας ἐναύλους
καὶ τέμενος βαθύδενδρον ἐλαιοκόμου Μαραθῶνος,
οἵ τε πόλιν Κελεοῖο, καὶ οἳ λάχον ὅρμον Ἀθήνης,
ἀγχίαλον Βραυρῶνα, κενήριον Ἰφιγενείης,
καὶ δάπεδον Θορίκοιο καὶ εὐώδινος Ἀφίδνης,
οἵ τ' ἔχον ἀγλαόπαιδος Ἐλευσινίην χθόνα Δηοῦς,
μυστιπόλοι ταλάροιο καὶ εὐκάρποιο θεαίνης,
Τριπτολέμου γεγαῶτες ἀφ' αἵματος, ὅς ποτε Δηοῦς
δίφρον ἐχιδνήεντα δι' ἠέρος ἡνιοχεύων
στικτὰ φερεσταχύων ἐπεμάστιε νῶτα δρακόντων·
καὶ πολὺς ἔνθα καὶ ἔνθα σιδήρεα τεύχεα πάλλων
παισὶ κορυσσομένοισι γέρων ὤρεξεν Ἀχαρνεύς·
καὶ στίχες Ἀτθίδος ἦλθον ἐπήλυδες, ἐγρεμόθων δὲ
σὺν δορί, σὺν ξιφέεσσιν ἐπειγομένων ναετήρων
εἰς μόθον εὐπήληκες ἐβακχεύθησαν Ἀθῆναι,
ἐσσυμένων δ' ἐς Ἄρηα λιμὴν ἤχησε Φαληρεύς·
καὶ πολὺς ἀγγέλλων προτέρην αὐτόχθονα φύτλην
χρύσεος εὐπλέκτοισι κόμαις ἐσφίγγετο τέττιξ.

καὶ στρατὸν ὀρχηστῆρα περισκαίροντα δοκεύων 74 (44C)
τοῖον ἔπος λέξειας, ὅτι πρόμος ἡγεμονεύει
εἰς χορόν, οὐκ ἐπὶ δῆριν, ἐνόπλιον ἄνδρα κομίζων·
τοῖσι γὰρ ἐρχομένοισιν ἀνακρούουσα χορείην
Μυγδονὶς ἐγρεκύδοιμος ἐπὶ κλόνον ἔβρεμε φόρμιγξ,
ἀντὶ χοροῦ πέμπουσα μόθου λαοσσόον ἠχώ·
καὶ πολέμων σάλπιγγες ἔσαν σύριγγες Ἐρώτων,
καὶ δίδυμοι Βερέκυντες ὁμόζυγες ἔκλαγον αὐλοί,
καὶ κτύπον ἀμφιπλῆγα βαρυσμαράγων ἀπὸ χειρῶν
χαλκείοις πατάγοισιν ἐμυκήσαντο βοεῖαι.
καὶ Φρύγες ἐστρατόωντο παρ' ἐγρεμόθων στίχα Λυδῶν,
οἵ τ' ἔλαχον Βούδειαν, ἀειδομένην τε πολίχνην
δενδροκόμον Τεμένειαν, ἐύσκιον ἄλσος ἀρούρης,
οἳ Δρεσίην ἐνέμοντο καὶ Ὄβριμον, ὅς τε ῥεέθροις
Μαιάνδρου σκολιοῖσιν ἑὸν παραβάλλεται ὕδωρ,
καὶ δάπεδον Δοίαντος ἐπώνυμον, οἵ τε Κελαινὰς
χρυσορόφους ἐνέμοντο καὶ εἰκαστήρια Γοργοῦς·
✦ τοῖσι συνεστρατόωντο καὶ οἳ λάχον ἄστεα ναίειν
γείτονα Σαγγαρίου, καὶ Ἐλέσπιδος ἕδρανα γαίης.
τῶν πρόμος ἡγεμόνευε, λιπὼν ὀφιώδεα Δίρκην,
Πρίασος, Ἀονίης μετανάστιος ἀστὸς ἀρούρης·
ὁππότε γὰρ Φρυγίης πέδον ἔκλυσεν ὑέτιος Ζεύς,
ὀμβρηροῖς πελάγεσσι χέων ὑψίδρομον ὕδωρ,
καὶ δρύες ἐκρύφθησαν, ἀκανθοφόροις τ' ἐνὶ βήσσαις
διψαλέαι ποταμηδὸν ἐκυμαίνοντο κολῶναι,
L3[O] ἰκμαλέον τότε δῶμα λιπὼν κεκαλυμμένον ὄμβρωι
καὶ ῥόον ἠερόφοιτον, ἀκοντιστῆρα μελάθρων,
Πρίασος Ἀονίης μετανάσσατο κόλπον ἀρούρης,
Ζηνὸς ἀλυσκάζων θανατηφόρον ὄμβριον ὕδωρ·
αἰεὶ δ' ἀλλοδαποῖσι παρ' ἀνδράσι δάκρυα λείβων
μνώετο Σαγγαρίοιο καὶ ἠθάδα δίζετο πηγήν,
Ἀονίου ποταμοῖο πιὼν ἀλλότριον ὕδωρ· 5 (4C)
ὀψὲ δὲ δύσνιφον οἶδμα καὶ ὑδατόεσσαν ἀνάγκην
Ζεὺς ὕπατος πρήυνε, καὶ ἐκ Σιπύλοιο καρήνων
κλυζομένης Φρυγίης παλινάγρετον ἤλασεν ὕδωρ·
καὶ ῥόον ἐννοσίγαιος ὅλον μετέθηκε τριαίνηι
εἰς βυθίους κευθμῶνας ἀτεκμάρτοιο θαλάσσης,
καὶ νιφετοῦ κελάδοντος ἐγυμνώθησαν ἐρίπναι·
καὶ τότε Βοιωτοῖο παλίνδρομος οὖδας ἐάσας 5
Πρίασος. ὑστερόμητις ἑὴν ὑπεδύσατο πάτρην,
καὶ γενέτην βαρύγουνον ἀπήμονι πήχεος ὁλκῶι
νόστιμος ἀγκὰς ἔμαρψεν, ὃν εὐσεβέων χάριν ἔργων
Ζεὺς μέγας ὀμβρήεντος ἀνεζώγρησεν ὀλέθρου,
Βρόμβιον ὃν καλέουσιν· ἀπὸ Φρυγίοιο δὲ κόλπου
Πρίασον αὐχήεντες ἐκυκλώσαντο μαχηταί.
Ἀστερίου δ' ἀπάνευθεν ἑοῦ γενέταο μολόντος
ἀρτιθαλὴς Μίλητος ὁμόστολος ἵκετο Βάκχωι
Καῦνον ἔχων συνάεθλον ἀδελφεόν, ὃς τότε Καρῶν
λαὸν ἄγων ἔτι κοῦρος ἐδύσατο φύλοπιν Ἰνδῶν·
οὔ πω γὰρ δυσέρωτα δολοπλόκον ἔπλεκε μολπὴν

Nonnus

Νύμφαι δ' Ἑσπερίδες μέλος ἔπλεκον, ὧν ἀπὸ κήπου
Κύπρις ὁμοῦ καὶ Ἔρωτες ἐκόσμεον εὔγαμον εὐνήν,
χρυσείην θαλάμοισιν ἐπικρεμάσαντες ὀπώρην,
νύμφης ἕδνον ἔρωτος ἐπάξιον, ἧς ἀπὸ φύλλων
Ἁρμονίη καὶ Κάδμος ἐχεκτεάνωι παρὰ παστῶι
βόστρυχον ἀφνειοῖσιν ἐμιτρώσαντο κορύμβοις
ἀντὶ ῥόδου γαμίοιο· καὶ ἁβροτέρη πέλε νύμφη
χρύσεα δῶρα φέρουσα, γέρας χρυσῆς Ἀφροδίτης·
καὶ μέλος ἀστραίης κιθάρης ἐπίκωμον ἐγείρας
μητροπάτωρ σφαιρηδὸν ἑῶι βητάρμονι ταρσῶι
οὐρανὸν ἀμφελέλιζε Λίβυς κυρτούμενος Ἄτλας,
καὶ μέλος ἁρμονίης ἐμελίζετο γείτονι φωνῆι·
καὶ ζυγίης φιλότητος ἑῆς μνημήια νύμφης
δῶκε ποδῶν ἐπίβαθρα Λιβυστίδι Κάδμος ἀρούρηι,
δωμήσας πολίων ἑκατοντάδα, δῶκε δ' ἑκάστηι
δύσβατα λαϊνέοις ὑψούμενα τείχεα πύργοις.
κείνου μνῆστιν ἔχοντες ἐπεστρατόωντο μαχηταὶ
μαρναμένου Βρομίοιο προασπιστῆρες Ἐνυοῦς,
τικτομένης ναίοντες ἐδέθλια γείτονα Μήνης
καὶ Διὸς Ἀσβύσταο μεσημβρίζοντας ἐναύλους,
μαντιπόλου κερόεντος, ὅπηι ποτὲ πολλάκις Ἄμμων
ἀρνειοῦ τριέλικτον ἔχων ἴνδαλμα κεραίης
ὀμφαίοις στομάτεσσιν ἐθέσπισεν Ἑσπέριος Ζεύς·
οἵ τε ῥόον Χρεμέταο καὶ οἳ παρὰ Κίνυφος ὕδωρ
ὤικεον ἀζαλέης ψαμαθώδεα πέζαν ἀρούρης,
Αὐσχῖσαι Βάκαλές τε συνήλυδες, οὓς πλέον ἄλλων L1[O]
Ἄρεϊ τερπομένους Ζεφυρήιος ἔτρεφεν ἀγκών. 𝔹
τόσσος λαὸς ἔην ἑκατόμπολις· ἐρχομένης δὲ
πληθύος ἡγεμόνευε Κραταιγόνος, ὅν ποτε κούρη
Ἀγχιρόη Χρεμέταο παρὰ πλαταμῶνα τοκῆος
Ψύλλου κουφονόοιο μινυνθαδίηι τέκεν εὐνῆι
νυμφίον ἀγκὰς ἔχουσα θεημάχον, οὗ ποτε καρποὺς
ἄσθματι διψαλέωι Νότος ἔφλεγε θερμὸς ἀήτης·
αὐτὰρ ὁ θωρήσσων κορυθαιόλον Ἄρεα νηῶν
ναύμαχον ἑσμὸν ἄγειρεν, ὅπως ποινήτορι θεσμῶι
ἠερίοις ἀνέμοισιν ἀναστήσειεν Ἐνυώ,
ἱέμενος κτεῖναι φλογερὸν Νότον· ἄγχι δὲ νήσου
Αἰολίης στόλος ἦλθε σακέσπαλος, ἀλλὰ μανέντος
ἀνδρὸς ἀκοντιστῆρες ἀελλήεντι κυδοιμῶι
ὁλκάδα μαστίζοντες ἐθωρήχθησαν ἀῆται,
συμφερτὴν δονέοντες ἀρηγόνα σύμπνοον αὔρην,
καὶ στρατιὴν καὶ Ψύλλον ἐτυμβεύσαντο θαλάσσηι.
Θρηικίης δὲ Σάμοιο συνέρρεον ἀσπιδιῶται,
κοίρανος οὓς προΐαλλε βαθυσμήριγγος ὑπήνης,
Ἠμαθίων βαρύγουνος, ἔχων χιονώδεα χαίτην,
Τιτήνων μελέεσσιν ἐοικότας, οἵ τ' ἔχον ἄμφω,
ἀγχίαλον Μύρμηκα καὶ ἀνθεμόεντα Σαώκην,
καὶ χθόνα Τευμερίοιο καὶ εὐλείμωνος ἀρούρης
ἄλσεα Φησιάδαο κατάσκια δενδράδι λόχμηι,
καὶ ζαθέην Ζήρυνθον ἀκοιμήτων Κορυβάντων

κτίσμα φατιζομένης Περσηίδος, ὁππόθι κούρης
μυστιπόλων δαΐδων θιασώδεές εἰσιν ἐρίπναι,
οἵ τε πολυγλώχινος ὑπὸ κρηπῖδος ἀρούρης
Βρόντιον ἀμφενέμοντο, καὶ ἃς ἐπὶ γείτονι πόντωι
Ἀτραπιτοὺς βυθίοιο Ποσειδάωνος ἀκούω.
τόσσαι μὲν στίχες ἦλθον ὁμήλυδες, ἀρχεγόνου δὲ
Ἠλέκτρης ὁμόφυλον ἐπιστώσαντο γενέθλην·
κεῖθι γὰρ Ἡρμονίην γένος αἰθέρος, αἷμα θαλάσσης,
Ἄρης, Ζεύς, Κυθέρεια θεῶν χραισμήτορι Κάδμωι
κουριδίην ἀνάεδνον ἐδωρήσαντο γυναῖκα.
τοῖσι κορυσσομένοισι σὺν εὐθύρσωι Διονύσωι
Ἠλέκτρης ἀνέτελλε δι' αἰθέρος ἕβδομος ἀστὴρ
δεξιὸν ὑσμίνης σημήιον, ἀμφὶ δὲ νίκηι
Πληιάδων κελάδησε βοῆς ἀντίθροος ἠχὼ
γνωτῆς αἷμα φέροντι χαριζομένη Διονύσωι,
καὶ στρατιῆι πόρε θάρσος ὁμοίιον· ἐρχομένων δὲ
Ὤγυρος ἡγεμόνευεν ἐς Ἄρεα δεύτερος Ἄρης,
✦ Ὤγυρος ὑψικάρηνος, ἔχων ἴνδαλμα Γιγάντων·
τοῦ μὲν ἔην ἄγναμπτον ὅλον δέμας, ἐκ δὲ καρήνου
αὐχενίου τε τένοντος ὀπισθοκόμων ἐπὶ νώτων
ἰσοφανεῖς πλοκαμῖδες ἀκανθοφύροισιν ἐχίνοις
ἔρρεον ἰξύος ἄχρι κατήλυδες· εἶχε δὲ δειρὴν
μηκεδανήν, περίμετρον, ὁμοίιον αὐχένι πέτρης,
βάρβαρον ἦθος ἔχων πατρώιον· οὐδέ τις αὐτοῦ
φέρτερος ἄλλος ἵκανεν Ἑώιον εἰς μόθον Ἰνδῶν
L1[I] νόσφι Διωνύσοιο· καὶ ὅρκιον ὤμοσε Νίκην
𝔹 Ἰνδώιην χθόνα πᾶσαν ἑῶι δορὶ μοῦνος ὀλέσσαι.
καὶ θρασὺς υἱὸς Ἄρηος ἑὴν Πίμπλειαν ἐάσας
Βιστονίης Οἴαγρος ἐκώμασεν ἀστὸς ἀρούρης,
Ὀρφέα καλλείψας ἐπὶ γούνασι Καλλιοπείης
νήπιον ἀρτιχύτωι μεμελημένον εἰσέτι μαζῶι.
Κυπριάδας δὲ φάλαγγας ἐκόσμεε Λίτρος ἀγήνωρ 6
εὐχαίτης τε Λάπηθος· ἐθωρήσσοντο δὲ πολλοί,
οἵ τ' ἔλαχον Σφήκειαν, ἁλίκτυπον ἄντυγα νήσου,
Κύπρον ἐυπτερύγων θεοδέγμονα νῆσον Ἐρώτων,
Κύπριδος αὐτογόνοιο φερώνυμον, ἧς ποτε Κύπρου
ἄκρα **περιγράψας** βυθίηι γλωχῖνι τριαίνης
ἰσοφυῆ δελφῖνι τύπον τορνώσατο Νηρεύς —
ὁππότε γὰρ γονόεσσα κατάρρυτος ἄρσενι λύθρωι 6
Οὐρανίη μόρφωσε λεχώιον ἀφρὸν ἐέρση
καὶ Παφίην ὤδινε, Κεραστίδος εἰς χθόνα Κύπρου
ἔμφρονα θυμὸν ἔχων ὑπὲρ οἴδματος ἔτρεχε δελφίς,
ἑζομένην λοφίηισιν ἐλαφρίζων Ἀφροδίτην —,
οἵ τ' ἔχον Ὑλάταο πέδον καὶ ἐδέθλια Σηστοῦ
καὶ Τάμασον καὶ Τέμβρον Ἐρυθραίην τε πολίχνην
καὶ τέμενος βαθύδενδρον ὀρεσσαύλοιο Πανάκρου·
ἐκ δὲ Σόλων κεκόρυστο πολὺς στρατός, ἐκ δὲ Λαπήθου,
ὕστερον ἣν ἐκάλεσσαν ὁμώνυμον ἡγεμονῆος,
ὃς τότε λαὸν ἄγειρεν, ἐν εὐθύρσωι δὲ κυδοιμῶι
κάτθανε καὶ κτερέϊστο καὶ οὔνομα λεῖπε πολίταις·

οὐραίαις ἑλίκεσσιν ἀνέπλεκε κυκλάδα μίτρην·
ταρβαλέοις δὲ πόδεσσι φυγὼν μελανόχροος ἀνὴρ
θερμὸν ἀνυμφεύτων ἀπεσείσατο κέντρον Ἐρώτων,
αὐχένιον φορέων ὀφιώδεος δομὸν ἀκάνθης.
ὄφρα μὲν οἰνωθέντες ἐν οὔρεσιν ἔτρεχον Ἰνδοί,
τόφρα δὲ νήδυμος Ὕπνος ἑὸν πτερὸν οὖλον ἑλίξας
ἀκλινέων σφαλεροῖσιν ἐπέχραεν ὄμμασιν Ἰνδῶν,
εὔνασε δ' οἰστρηθέντας ἀμετρήτωι νόον οἴνωι,
Πασιθέης γενετῆρι χαριζόμενος Διονύσωι·
ὧν ὁ μὲν ὕπτιος εὗδεν ἄνω νεύοντι προσώπωι
ὑπναλέωι μυκτῆρι μεθυσφαλὲς ἆσθμα τιταίνων,
ὃς δὲ βαρυνομένην κεφαλὴν ἐπεθήκατο πέτρωι,
νωθρὸς ἐυκροκάλωι ποταμηίδι κείμενος ὄχθηι,
ἠματίοις δ' ὀάριζε νοοπλανέεσσιν ὀνείροις
ὀρθὰ περὶ κροτάφοισι πεπηγότα δάκτυλα βάλλων·
πρηνὴς δ' ἄλλος ἔην τετανυσμένος, εἶχε δὲ δισσὴν
χεῖρα καθιεμένην ἰσοελκέα δίζυγι μηρῶι·
καί τις ἑῆς παλάμης κεφαλὴν ἐπερείσατο καρπῶι
οἶνον ἀναβλύζων· ὁ δὲ καμπύλα γυῖα συνάπτων,
ὡς ὄφις ἀμφιέλικτος, ἐκέκλιτο, λοξὸς ἰαύων.
καὶ χορὸς ἀντιβίων πεφορημένος εἰς ῥάχιν ὕλης,
ὃς μὲν ὑπὸ δρυὸς εὗδεν, ὁ δὲ πτελέης ὑπὸ θάμνωι,
ἄλλος ἐπὶ πλευρῆισι πεσὼν ἐκλίνετο φηγῶι,
λαιὴν ὀφρυόεντι βαλὼν ἐπὶ χεῖρα μετώπωι·
καὶ πολὺς ἑσμὸς ἴαυε λάλος νέκυς, ἠέρι πέμπων
ἀλλοίης ἀχάλινον ἀσημάντου θρόον ἠχοῦς **L1[I]**
οἰνοβαρής· ἕτερος δὲ τινασσομένοιο καρήνου 𝔹
γηραλέης πλατὺ νῶτον ἐπέτρεπε πυθμένι δάφνης·
τὸν δὲ βαρὺ κνώσσοντα βαθυστρώτων ἐπὶ λέκτρων
ἀκροκόμου φοίνικος ἢ εὐώδινος ἐλαίης
ῥιπίζων ἀνέμοισιν ἕλιξ ἐπεσύρισεν ὄρπηξ·
καί τις ὑπὲρ δαπέδοιο χυτῆι τετάνυστο κονίηι,
ἄκρα ποδῶν προχοῆισι κατακλύζων ποταμοῖο·
ἄλλος ἀπειρήτοιο μέθης βακχεύετο παλμῶι,
καὶ κεφαλὴν βαρύθουσαν ἐπέτρεπε γείτονι πεύκηι·
ἄλλου φυσιόωντος ἐσείετο νεῦρα μετώπου.
καὶ δηίους κνώσσοντας ἰδὼν γελόωντι προσώπωι
Βάκχος ἄναξ ἀγόρευε, χέων σημάντορα φωνήν·
“Ἰνδοφόνοι θεράποντες ἀνικήτου Διονύσου,
νόσφι μόθου σφίγξαντες ἀολλέας υἱέας Ἰνδῶν ✦
πάντας ἀναιμάκτωι ζωγρήσατε δηιοτῆτι·
καὶ βριαρῶι γόνυ δοῦλον ὑποκλίνας Διονύσωι
Ἰνδὸς ὑποδρήσσειεν ἐμῆι θιασώδεϊ Ῥείηι,
σείων οἴνοπα θύρσον, ἀπορρίψας δὲ θυέλλαις
ἀργυρέην κνημῖδα πόδας σφίγξειε κοθόρνοις,
καὶ κεφαλὴν στέψειεν ἐμῶι κισσώδεϊ δεσμῶι,
γυμνώσας πλοκαμῖδας ἀερσιλόφου τρυφαλείης,
καὶ πολέμων ἀλάλαγμα λιπὼν καὶ δούριον ἠχὼ
Εὔιον ἀείσειε κορυμβοφόρωι Διονύσωι.”
ὣς φαμένου δρηστῆρες ἐποίπνυον· ὧν ὁ μὲν αὐτῶν
αὐχένι δυσμενέων ὀφιώδεα δεσμὸν ἑλίξας

αἰγὸς ὀρεσσινόμοιο διέθρισεν ἀνθερεῶνα,
Nonnus θηγαλέωι δρεπάνωι δεδαϊγμένον, οἷά τε δειρὴν
Πανὸς ἐυκραίροιο ταμὼν γαμψώνυχι χαλκῶι·
ἄλλος ἀπηλοίησε βοῶν κεραελκέα φύτλην,
οἷά περ ἀμώων Σατύρων ταυρώπιδα μορφήν,
ὃς δὲ τανυκραίρων ἐλάφων ἐδίωκε γενέθλην
στικτῆς εἰσορόων πολυδαίδαλον εἶδος ὀπωπῆς,
οἷά τε Βασσαρίδων ὀλέκων στίχα· δαιδαλέαις γὰρ
νεβρίσιν ἰσοτύποισι παρεπλάγχθησαν ὀπωπαί·
καὶ φονίαις λιβάδεσσιν ὅλον θώρηκα μιαίνων
Ἰνδὸς ἀχοντιστῆρι μέλας ἐρυθαίνετο λύθρωι.
καί τις ὁμοκλήσας ἐκορύσσετο γείτονι δένδρωι
μαστίζων ἑκάτερθε, καὶ εἰαρινοῖσι δοκεύων
σειομένην ἀνέμοισι φυτῶν ἑλικώδεα χαίτην
ἁβροκόμων ὄρπηκας ἀπηλοίησε κορύμβων,
φύλλα διασχίζων λασίης δρυός, οἷα μαχαίρηι
πλοχμὸν ἀκερσικόμοιο διατμήγων Διονύσου,
μαρνάμενος πετάλοισι καὶ οὐ Σατύροισιν ἐρίζων,
τερπολὴν ἀνόνητον ἔχων σκιοειδέι νίκηι.
μαίνετο δ' ἀντιβίων ἕτερος χορός· ἀντὶ δὲ λόγχης
ὃς μὲν ἑλὼν βαρύδουπον ἐπωμαδίωι τελαμῶνι
τύμπανον ἠέρταζε, καὶ ἀμφιπλῆγι βοείηι
δίζυγον ὀσμαράγησε μέλος χαλκόκροτον ἠχώ·
ὃς πολυτρήτοιο βοῆι δεδονημένος αὐλοῦ
ἄστατος εἰλικόεντι ποδῶν βακχεύετο παλμῶι·
L2[O] καί τις ἀπειρήτοις ἐπὶ χείλεσι λωτὸν ἐρείσας
𝔹 δίθροον ἁρμονίην ἐμελίζετο Μυγδόνος αὐλοῦ·
γηραλέου δὲ φυτοῖο θορὼν παρὰ γείτονι ῥίζηι
γλαυκὸν ἐυρραθάμιγγος ἀνείρυσε θαλλὸν ἐλαίης
ὄμβρωι ἐερσήεντι διάβροχον, οἷα πιέζων
οἰνωπῆι ῥαθάμιγγι Μαρωνίδος ἄκρον ὑπήνης.
ἄλλοι σὺν ξιφέεσσι, σὺν ἔγχεσι, σὺν τρυφαλείαις
ἄσχετα βακχευθέντες ἀμερσινόωι φρένας οἴνωι
ὄργια μιμήσαντο φερεσσακέων Κορυβάντων,
ἴχνια δινεύοντες ἐνόπλιον ἀμφὶ χορείην·
καὶ παλάμης ἑλικηδὸν ἀμοιβαίηισιν ἐρωαῖς
ἀσπίδες ἐκρούοντο κυβιστητῆρι σιδήρωι·
ἄλλος ὀπιπεύων θιασώδεος ὄργια Μούσης
μιμηλὴν Σατύροισι συνεσκίρτησε χορείην·
καί τις ἀρασσομένης ἀΐων κελάδημα βοείης
μείλιχον ἦθος ἔδεκτο, φιλοσμαράγωι δὲ μενοινῆι
ῥιγεδανὴν ἀνέμοισιν ἑὴν ἔρριψε φαρέτρην,
λύσσαν ἔχων· ἕτερος δὲ γυναιμανέων πρόμος Ἰνδῶν
ἀπλεκέος πλοκαμῖδος ἑλὼν ὑψαύχενα Βάκχην,
παρθενικὴν ἀδάμαστον ἀτάσθαλον εἰς γάμον ἕλκων,
σφίγξεν ὑπὲρ δαπέδοιο, τανυσσάμενος δὲ κονίηι
χερσὶν ἐρωμανέεσσιν ἀπεσφρηγίσσατο μίτρην,
ἐλπίδι μαψιδίηι πεφορημένος· ἐξαπίνης γὰρ
ὄρθιος εἷρπε δράκων ὑποκόλπιος ἰξύι γείτων,
15.82 δυσμενέος δ' ἤιξε κατ' αὐχένος, ἀμφὶ δὲ δειρῆι

76 οἵ τε πόλιν Κινύρειαν ἐπώνυμον εἰσέτι πέτρην
ἀρχεγόνου Κινύραο, καὶ Οὐρανίης πέδον ἕδρης Nonnus
αἰθερίου κενεῶνος ἐπώνυμον, ὅττι πολίτας
ἔτρεφεν ἀστράπτοντας ἐπουρανίων τύπον ἄστρων,
οἵ τ' εἶχον Κραπάσειαν, ἁλιστεφὲς οὖδας ἀρούρης,
καὶ Πάφον, ἁβροκόμων στεφανηφόρον ὅρμον Ἐρώτων,
ἐξ ὑδάτων ἐπίβαθρον ἀνερχομένης Ἀφροδίτης,
ἧχι θαλασσογόνου Παφίης νυμφήιον ὕδωρ,
Σέτραχος ἱμερόεις, ὅθι πολλάκις εἷμα λαβοῦσα
Κύπρις ἀνεχλαίνωσε λελουμένον υἱέα Μύρρης,
καὶ πόλιν ἀρχεγόνου ποτὲ Περσέος, ὧι ποτε Τεῦκρος,
καλλείψας Σαλαμῖνα χολωομένου Τελαμῶνος,
ὁπλοτέρην πύργωσεν ἀειδομένην Σαλαμῖνα.
Λυδῶν δ' ἁβρὸς ὅμιλος ἐπέρρεεν, οἵ τ' ἔχον ἄμφω,
Κῖμψον ἐυψήφιδα καὶ ὀφρυόεσσαν Ἰτώνην,
οἵ τε Τορήβιον εὐρύ, καὶ οἳ Πλούτοιο τιθήνας
Σάρδιας εὐώδινας, ὁμήλικας ἠριγενείης,
καὶ χθόνα Βακχείην σταφυληκόμον, ἧχι τεκούσηι
ἀμπελόεις Διόνυσος ἔχων δέπας ἔμπλεον οἴνου
Ῥείηι πρῶτα κέρασσε, πόλιν δ' ὀνόμηνε Κεράσσας,
καὶ σκοπιὰς Ὀάνοιο, καὶ οἳ ῥόον ἔλλαχον Ἕρμου
ὑδατόεν τε Μέταλλον, ὅπηι Πακτώλιον ἰλὺν
ξανθὸς ἀποπτύων ἀμαρύσσεται ὄλβος ἐέρσης·
καὶ Στατάλων κεκόρυστο πολὺς στρατός, ἧχι Τυφωεὺς
θερμὸν ἀναβλύζων πυριθαλπέος ἄσθμα κεραυνοῦ
ἔφλεγε γείτονα χῶρον, ἀελλήεντι δὲ καπνῶι L2[O]
αἰθομένου Τυφῶνος ἐτεφρώθησαν ἐρίπναι, 𝔹
γυιοβόρωι σπινθῆρι μαραινομένων κεφαλάων·
ἀλλὰ Διὸς Λυδοῖο θυώδεα νηὸν ἐάσας
ἀρητὴρ ἀσίδηρος ἐμάρνατο κέντορι μύθωι,
μύθωι ἀκοντιστῆρι, καὶ οὐ τμητῆρι σιδήρωι,
7 γλώσσηι ἐρητύων πειθήνιον υἱὸν ἀρούρης,
ἔγχος ἔχων στόμα θοῦρον, ἔπος ξίφος, ἀσπίδα φωνήν,
τοῦτο θεοκλήτωι προχέων ἔπος ἀνθερεῶνι·
"στῆθι, τάλαν"· φλογόεις δὲ Γίγας ὑπὸ μύστιδι τέχνηι
ἀρραγέος μύθοιο σοφῶι στηρίζετο δεσμῶι
ἀνέρα δειμαίνων κεκορυθμένον ἔμφρονι λόγχηι,
γυιοπέδην ἀσίδηρον ἔχων ποινήτορι μύθωι·
7 οὐδὲ τόσον τρομέεσκεν ὀιστευτῆρα κεραυνοῦ
αἰνογίγας πολύπηχυς, ὅσον ῥηξήνορα μύστην
γλώσσηι ὀιστεύοντα λάλον βέλος, εἶχε δὲ κάμνων
ἕλκεα φωνήεντα πεπαρμένος ὀξέι μύθωι·
καὶ πυρὸς ἕλκος ἔχων, τετορημένος ἔγχεϊ θερμῶι,
ἄλλωι θερμοτέρωι νοερῶι πυρὶ κάμνε Τυφωεύς,
καὶ στατὸν ἀστυφέλικτον ἐνερρίζωσεν ἀνάγκηι
ταρσὸν ἐχιδνήεντα πεπηγότα μητέρι Γαίηι,
οὐτηθεὶς ἀχάρακτον ἀναιμάκτωι δέμας αἰχμῆι.
ἀλλὰ τὰ μὲν προτέροισιν ἐν ἀνδράσιν ἤγαγεν αἰών.
τοὺς δὲ λίγα κροτέοντας ὑπ' εὐρύθμωι χθόνα ταρσῶι
καὶ Στάβιος καὶ Στάμνος ἐπὶ κλόνον ὥπλισαν Ἰνδῶν·

καὶ στρατὸν ὀρχηστῆρα περισκαίροντα δοκεύων
τοῖον ἔπος λέξειας, ὅτι πρόμος ἡγεμονεύει
εἰς χορόν, οὐκ ἐπὶ δῆριν, ἐνόπλιον ἄνδρα κομίζων·
τοῖσι γὰρ ἐρχομένοισιν ἀνακρούουσα χορείην
Μυγδονὶς ἐγρεκύδοιμος ἐπὶ κλόνον ἔβρεμε φόρμιγξ,
ἀντὶ χοροῦ πέμπουσα μόθου λαοσσόον ἠχώ·
καὶ πολέμων σάλπιγγες ἔσαν σύριγγες Ἐρώτων,
καὶ δίδυμοι Βερέκυντες ὁμόζυγες ἔκλαγον αὐλοί,
καὶ κτύπον ἀμφιπλῆγα βαρυσμαράγων ἀπὸ χειρῶν
χαλκείοις πατάγοισιν ἐμυκήσαντο βοεῖαι.
καὶ Φρύγες ἐστρατόωντο παρ' ἐγρεμόθων στίχα Λυδῶν,
οἵ τ' ἔλαχον Βούδειαν, ἀειδομένην τε πολίχνην
δενδροκόμον Τεμένειαν, εὔσκιον ἄλσος ἀρούρης,
οἳ Δρεσίην ἐνέμοντο καὶ Ὄβριμον, ὅς τε ῥεέθροις
Μαιάνδρου σκολιοῖσιν ἑὸν παραβάλλεται ὕδωρ,
καὶ δάπεδον Δοίαντος ἐπώνυμον, οἵ τε Κελαινὰς
χρυσορόφους ἐνέμοντο καὶ εἰκαστήρια Γοργοῦς·
τοῖσι συνεστρατόωντο καὶ οἳ λάχον ἄστεα ναίειν
γείτονα Σαγγαρίου, καὶ Ἐλέσπιδος ἕδρανα γαίης.
τῶν πρόμος ἡγεμόνευε, λιπὼν ὀφιώδεα Δίρκην,
Πρίασος, Ἀονίης μετανάστιος ἀστὸς ἀρούρης·
ὁππότε γὰρ Φρυγίης πέδον ἔκλυσεν ὑέτιος Ζεύς,
ὀμβρηροῖς πελάγεσσι χέων ὑψίδρομον ὕδωρ,
καὶ δρύες ἐκρύφθησαν, ἀκανθοφόροις τ' ἐνὶ βήσσαις
διψαλέαι ποταμηδὸν ἐκυμαίνοντο κολῶναι,
ἰκμαλέον τότε δῶμα λιπὼν κεκαλυμμένον ὄμβρωι
καὶ ῥόον ἠερόφοιτον, ἀκοντιστῆρα μελάθρων,
Πρίασος Ἀονίης μετανάσσατο κόλπον ἀρούρης,
Ζηνὸς ἀλυσκάζων θανατηφόρον ὄμβριον ὕδωρ·
αἰεὶ δ' ἀλλοδαποῖσι παρ' ἀνδράσι δάκρυα λείβων
μνώετο Σαγγαρίοιο καὶ ἠθάδα δίζετο πηγήν,
Ἀονίου ποταμοῖο πιὼν ἀλλότριον ὕδωρ·
ὀψὲ δὲ δύσνιφον οἶδμα καὶ ὑδατόεσσαν ἀνάγκην
Ζεὺς ὕπατος πρήυνε, καὶ ἐκ Σιπύλοιο καρήνων
κλυζομένης Φρυγίης παλινάγρετον ἤλασεν ὕδωρ·
καὶ ῥόον ἐννοσίγαιος ὅλον μετέθηκε τριαίνηι
εἰς βυθίους κευθμῶνας ἀτεκμάρτοιο θαλάσσης,
καὶ νιφετοῦ κελάδοντος ἐγυμνώθησαν ἐρίπναι·
καὶ τότε Βοιωτοῖο παλίνδρομος οὖδας ἐάσας
Πρίασος. ὑστερόμητις ἑὴν ὑπεδύσατο πάτρην,
καὶ γενέτην βαρύγουνον ἀπήμονι πήχεος ὁλκῶι
νόστιμος ἀγκὰς ἔμαρψεν, ὃν εὐσεβέων χάριν ἔργων
Ζεὺς μέγας ὀμβρήεντος ἀνεζώγρησεν ὀλέθρου,
Βρόμβιον ὃν καλέουσιν· ἀπὸ Φρυγίοιο δὲ κόλπου
Πρίασον αὐχήεντες ἐκυκλώσαντο μαχηταί.
Ἀστερίου δ' ἀπάνευθεν ἑοῦ γενέταο μολόντος
ἀρτιθαλὴς Μίλητος ὁμόστολος ἵκετο Βάκχωι
Καῦνον ἔχων συνάεθλον ἀδελφεόν, ὃς τότε Καρῶν
λαὸν ἄγων ἔτι κοῦρος ἐδύσατο φύλοπιν Ἰνδῶν·
οὔ πω γὰρ δυσέρωτα δολοπλόκον ἔπλεκε μολπὴν
γνωτῆς οἶστρον ἔχων ἀδαήμονος, οὐδὲ καὶ αὐτὴν
ἀντιτύπου φιλότητος ὁμοζήλων ἐπὶ λέκτρων
Ζηνὶ συναπτομένην ἐμελίζετο σύγγονον Ἥρην
Λάτμιον ἀμφὶ βόαυλον ἀκοιμήτοιο νομῆος,
ὀλβίζων ὑπ' ἔρωτι μεμηλότα γείτονι πέτρηι
νυμφίον Ἐνδυμίωνα ποθοβλήτοιο Σελήνης·
ἀλλ' ἔτι Βυβλὶς ἔην φιλοπάρθενος, ἀλλ ἔτι θήρην
Καῦνος ὁμογνήτων ἐδιδάσκετο νῆις ἐρώτων·
οὔ πω δ', ἁβροκόμοιο κασιγνήτοιο φυγόντος,
δάκρυσιν ὀμβρηθεῖσα δέμας μορφώσατο κούρη,
καὶ ῥόον ὑδατόεντα γοήμονος ἔβλυε πηγῆς.
τῶι δ' ἅμα θαρσήεντες ἐπερρώοντο μαχηταί,
οἳ Μυκάλην ἐνέμοντο, καὶ οἳ λάχον ἀγκύλον ὕδωρ
εἰς χθόνα δυομένοιο παλιννόστου ποταμοῖο,
Μαιάνδρου σκολιοῖο, διερπύζοντος ἐναύλων.
τόσσαι μὲν στίχες ἦλθον· ὁμοζήλωι δὲ πορείηι
λαῶν ἀγρομένων Κυβεληίδες ἔκτυπον αὐλαί,
Μυγδονίης δὲ πόληος ἐκυκλώθησαν ἀγυιαί.

Ὣς φαμένου νεφεληδὸν ἐπέρρεον αἴθοπες Ἰνδοὶ
ἀμφὶ ῥόον ποταμοῖο μελίπνοον· ὧν ὁ μὲν αὐτῶν
ἀγχιβάτης στατὸν ἴχνος ἐπ' ἰλύι δισσὸν ἐρείσας
ἡμιφανὴς ἕστηκε, καὶ ὀμφαλὸν ὕδατι δεύων,
κυρτὸς ἔσω ποταμοῖο κεκυφότα νῶτα τιταίνων,
χερσὶ βαθυνομένηισι μελισταγὲς ἤφυσεν ὕδωρ·
ὃς δὲ παρὰ προχοῇσι, κατάσχετος αἴθοπι δίψηι,
πορφυρέωι προβλῆτα γενειάδα κύματι βάπτων,
στῆθος ἐφαπλώσας ποταμηίδος ὑψόθεν ὄχθης,
οἰγομένοις στομάτεσσιν ἀνείρυσεν ἰκμάδα Βάκχου·
πρηνὴς δ' ἄλλος ἔην πελάσας στόμα γείτονι πηγῆι,
καὶ διερὰς δαπέδωι ψαμαθώδει χεῖρας ἐρείσας
χείλεσι διψαλέοισιν ἐδέχνυτο δίψιον ὕδωρ·
ἄλλοι δ' ὀστρακόεντι μέθην ἀρύοντο κυπέλλωι,
πυθμένα κουφίζοντες ἐαγότος ἀμφιφορῆος·
καὶ πολὺς ἑσμὸς ἔπινεν ἐρευθιόωντι ῥεέθρωι,
κισσυβίωι προχέων ποταμηίδος ὄγκον ἐέρσης,
μηλονόμων ἄγραυλον ἔχων δέπας. ἀντιβίων δὲ
οἶνον ἐρευγομένων πολυχανδέος ἀνθερεῶνος
ὄμμασι δερκομένοισιν ἐδιπλώθησαν ἐρίπναι,
καὶ βλεφάροις δοκέεσκον ἰδεῖν διδυμόζυγον ὕδωρ.
καὶ προχοὴ κελάρυζε φιλακρήτου ποταμοῖο
ξανθὸν ἀναβλύζουσα μέθης ῥόον· ἡδυπότου δὲ
οἰνάδος ἠρεύγοντο ῥοὰς εὐώδεες ὄχθαι.
δυσμενέας δ' ἐμέθυσσε χάλις ῥόος. ἔνθά τις ἀνὴρ
Ἰνδὸς ἀμερσινόοιο μέθης δεδονημένος οἴστρωι
εἰς ἀγέλην ἤιξε, καὶ εὐπετάλωι παρὰ λόχμηι
ταῦρον ἀπειλητῆρα μετήγαγε δέσμιον ἕλκων,
διχθαδίων κεράων κεχαραγμένον ἄκρον ἐρύσσας
τολμηραῖς παλάμαις, διδυμάονος οἷα κεραίης
ταυροφυῆ Διόνυσον ὑπὸ ζυγὰ δούλια σύρων·
ἄλλος ἔχων δασπλῆτα σιδηρείης γένυν ἅρπης

παρθένος ἡμετέρη φιλέει πτερόεντας ὀιστούς.
Nonnus μᾶλλον ἐγὼ Δανάης ποθέων τύπον ὑγρὸν ἐρώτων
ἤθελον, εἰ χρύσειος ἐγὼ πέλον ὄμβρος ἀκοίτης,
αὐτὸς δῶρα γάμων, αὐτὸς πόσις, ὄφρα χορεύσω
ἀφνειῆς προχέων φιλοτήσιον ὄμβρον ἐέρσης·
ἔπρεπε γὰρ Νίκαιαν ἐμὴν εὐώπιδα κούρην
χρύσεον εἶδος ἔχουσαν ἔχειν χρύσειον ἀκοίτην.”
τοῖον ἐρωμανέων ἔπος ἴαχε θυιάδι φωνῆι.
καί ποτε κηώεντος ἔσω λειμῶνος ὁδεύων
ἄνθεα πάντα δόκευε τεθηλότα σύγχροα κούρης,
καί τινα μῦθον ἔειπεν ἐς ἠερόεντας ἀήτας·
“ἄρτι μόγις, Νίκαια, τεὴν ἴδον ἐνθάδε μορφήν·
μὴ σέο κάλλος ἄμειψας ἐς ἄνθεα; καλλιφυῆ γὰρ
παπταίνων ῥοδεῶνα τεὰς ἐνόησα παρειάς·
ἀλλὰ τεὸν θαλέει ῥόδον ἔμπεδον· ἀμφιέπεις γὰρ
ἔμφυτον οὐ λήγουσαν ἐρευθομένην ἀνεμώνην·
εἰς κρίνον ὄμμα φέρων χιονώδεας εἶδον ἀγοστούς,
ἀθρήσας δ’ ὑάκινθον ἴδον κυανόχροα χαίτην.
δέξό με θηρεύοντα συνέμπορον· ἢν δ’ ἐθελήσηις,
αὐτὸς ἐγὼ σταλίκων γλυκερὸν βάρος, αὐτὸς ἀείρω
ἐνδρομίδας καὶ τόξα καὶ ἱμερόεντας ὀιστούς,
αὐτὸς ἐγώ· Σατύρων οὐ δεύομαι· οὐ παρὰ λόχμηι
δίκτυα Κυρήνης ἀνεκούφισεν αὐτὸς Ἀπόλλων;
τίς φθόνος, εἰ μεθέπω καὶ ἐγὼ λίνον; οὐ μογέω δὲ
αὐτὸς ἐμοῖς ὤμοισιν ἐμὴν Νίκαιαν ἀείρων.
L1[O] οὐ μὲν ἐγὼ γενετῆρος ὑπέρτερος· ἐν ῥοθίοις γὰρ
Εὐρώπην ἀδίαντον ἐκούφισε ποντοπόρος βοῦς.
παρθενικὴ ῥοδόεσσα, τί σοι τόσον εὔαδεν ὕλη;
σῶν ἐρατῶν μελέων περιφείδεο, μηδ’ ἐπὶ πέτραις
ἀστορέες σέο νῶτα κατατρίψωσι χαμεῦναι.
ἔσσομαι, ἢν ἐθέληις, θαλαμηπόλος· ἐν δὲ μελάθρωι
αὐτὸς ἐγὼ στορέσω σέο δέμνια, τοῖσι πετάσσω
δέρματα πορδαλίων πολυδαίδαλα, τοῖς ἅμα βάλλω
φρικτὰ λεοντείης πυκινότριχα νῶτα καλύπτρης
γυμνώσας ἐμὰ γυῖα· σὺ δὲ γλυκὺν ὕπνον ἰαύεις
νεβρίσι δαιδαλέηισι καλυπτομένη Διονύσου·
16.100 Μυγδονέης δ’ ἐλάφου σκέπας ἄρμενον ὑψόθι βάλλω
γυμνώσας Σατύρους. σκυλάκων δέ σοι εἰ χρέος εἴη,
σοὶ κύνας εἰν ἑνὶ πάντας ἐμοῦ τάχα Πανὸς ὀπάσσω,
ἄξομαι ἐκ Σπάρτης ἑτέρους κύνας, οὓς ἀτιτάλλει
ἠιθέων ἐς ἔρωτας ἐμὸς Κάρνειος Ἀπόλλων,
✦ καὶ κύνας ἀγρευτῆρας Ἀρισταίοιο καλέσσω·
καὶ λίνα σὺν σταλίκεσσι καὶ ἄρμενα δῶρα κομίσσω
ἐνδρομίδας Νομίοιο καὶ Ἀγρέος, ὃς πάρος ἔγνω
καὶ νομὸν εὐλείμωνα καὶ εὐκαμάτου δρόμον ἄγρης.
εἰ δὲ θερειγενέος τρομέεις φλόγα διψάδος ὥρης,
ἡμερίδων ὄρπηκας ὑπὲρ λέκτροιο φυτεύσω,
καί δὲ περιπνεύσωσι μέθης εὐώδεες αὖραι
κεκλιμένην κατὰ μέσσα πολυσταφύλοιο καλύπτρης.
16.113 παρθενικὴ περίφοιτε, ποθοβλήτοιο προσώπου
βαλλομένας Φαέθοντι τεὰς ἐλέαιρε παρειάς,

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT
Turn your mind to the fourteenth: there Rheia
arms all the ranks of heaven for the Indian War.

NONNUS
DIONYSIACA
BOOK 14

PREVIEW BOOK 16

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 437 lines 3.0
3L 1 - 437

PRINT 2-SIDED: **87** to **92**

Ῥείη δ' ὠκυπέδιλος, ὀρεσσαύλωι παρὰ φάτνηι
αὐχένα λαχνήεντα περισφίγξασα λεόντων,
σύνδρομον ἠιώρησεν ὑπηνέμιον σφυρὸν αὔραις
ἠερίους κενεῶνας ἐρετμώσασα πεδίλωι·
θεσπεσίας δὲ φάλαγγας ἀολλίζουσα Λυαίωι
ὡς πτερὸν ἠὲ νόημα διέστιχεν ἕδρανα κόσμου
εἰς Νότον, εἰς Βορέην, εἰς Ἕσπερον, εἰς κλίσιν Ἠοῦς·
καὶ δρυσὶ καὶ ποταμοῖσι μίαν ξυνώσατο φωνὴν
Νηιάδας καλέουσα καὶ Ἀδρυάδας στίχας ὕλης.
δαιμονίη δ' ἀΐουσα γονὴ Κυβεληΐδος ἠχοῦς,
πάντοθεν ἠγερέθοντο. καὶ ὑψόθεν εἰς χθόνα Λυδῶν
ἀπλανὲς ἴχνος ἄγουσα μετάρσιος ἵκετο Ῥείη·
καὶ νυχίην παλίνορσος ἐκούφισε μύστιδα πεύκην
Μυγδόνι θερμαίνουσα τὸ δεύτερον ἠέρα πυρσῶι.
ἀλλὰ μετὰ βροτέην προμάχων ἡρωίδα φύτλην
καὶ στρατιὴν ζαθέην με διδάξατε, Φοιβάδες αὖραι.
πρῶτα μὲν ἐκ Λήμνοιο πυριγλώχινος ἐρίπνης
φήμη ἀελλήεσσα Σάμου παρὰ μύστιδι πεύκηι
υἱέας Ἡφαίστοιο δύω θώρηξε Καβείρους,
οὔνομα μητρὸς ἔχοντας ὁμόγνιον, οὓς πάρος ἄμφω
οὐρανίωι χαλκῆι τέκε Θρήισσα Καβειρώ·
Ἄλκων Εὐρυμέδων τε, δαήμονες ἐσχαρεῶνος.
καὶ βλοσυροὶ Κρήτηθεν ἀολλίζοντο μαχηταὶ
Δάκτυλοι Ἰδαῖοι, κραναῆς ναετῆρες ἐρίπνης,
Γηγενέες Κορύβαντες ὁμήλυδες, ὧν ποτε Ῥείηι
ἐκ χθονὸς αὐτοτέλεστος ἀνεβλάστησε γενέθλη·
οἳ βρέφος ἀρτιλόχευτον ἀεξιτόκωι παρὰ πέτρηι
Ζῆνα φερεσσακέεσσιν ἐμιτρώσαντο χορείαις,
κῶμον ἀνακρούοντες ὀρίκτυπον ἠπεροπῆα,
ἠέρα βακχεύοντες· ἀρασσομένοιο δὲ χαλκοῦ
ἀγχινεφὴς Κρονίοισιν ἐπέβρεμεν οὔασιν ἠχὼ
κουροσύνην Κρονίωνος ὑποκλέπτουσα βοείαις·
καὶ πρόμος ἡγεμόνευε χορόπλεκέων Κορυβάντων
Πύρριχος Ἰδαῖός τε σακέσπαλος, οἷς ἅμα βαίνων
Κνώσσιος αἰόλα φῦλα παρώνυμος ὥπλισε Κύρβας.
καὶ φθονεροὶ Τελχῖνες ἐπήλυδες εἰς μόθον Ἰνδῶν
ἐκ βυθίου κενεῶνος ἀολλίζοντο θαλάσσης·
καὶ δολιχῆι παλάμηι δονέων περιμήκετον αἰχμὴν
ἦλθε Λύκος, καὶ Σκέλμις ἐφέσπετο Δαμναμενῆι
πάτριον ἰθύνων Ποσιδήιον ἅρμα θαλάσσης,
Τληπολέμου μετὰ γαῖαν ἀλιπλανέες μετανάσται,
δαίμονες ὑγρονόμοι μανιώδεες, οὓς πάρος αὐτοὶ
πατρώιης ἀέκοντας ἀποτμήξαντες ἀρούρης.
Θρῖναξ σὺν Μακαρῆι καὶ ἀγλαὸς ἤλασεν Αὔγης,
υἱέες Ἠελίοιο· διωκόμενοι δὲ τιθήνης
χερσὶ βαρυζήλοισιν ἀρυόμενοι Στυγὸς ὕδωρ
ἄσπορον εὐκάρποιο Ῥόδου ποίησαν ἀλωήν,
ὕδασι Ταρταρίοισι περιρραίνοντες ἀρούρας.
τοῖς ἔπι Κενταύρων διφυὴς πρηεῖα γενέθλη·
ἵππιον εἶδος ἔχοντι Φόλωι συνομάρτεε Χείρων

ἤιε δ' ἔνθα καὶ ἔνθα, λαγωβόλος ὁππόθι κούρη,
πῆι μὲν ὀπιπεύων ἑλικώδεα βόστρυχα χαίτης
εἰς δρόμον ἱεμένης δεδονημένα κυκλάσιν αὔραις,
πῆι δὲ παρελκομένων πλοκάμων στίλβοντα δοκεύων
αὐχένα γυμνωθέντα, σέλας πέμποντα Σελήνης·
καὶ Σατύρων ἀμέλησε καὶ οὐκέτι τέρπετο Βάκχαις·
παπταίνων δ' ἐς Ὄλυμπον ἐρωτοτόκωι φάτο φωνῆι·
"ἵξομαι, ἧχι πέλει δροσερὸς δρόμος, ἧχι φαρέτρη,
ἧχι βέλος καὶ τόξον ἐπήρατον, ἧχι καὶ αὐταὶ
παρθενικῆς ἀγάμοιο μύρον πνείουσι χαμεῦναι·
ψαύσω καὶ σταλίκων καὶ δίκτυα χερσὶ πετάσσω·
ἀγρώσσω καὶ ἔγωγε καὶ ἠθάδα νεβρὸν ὀλέσσω.
εἰ δέ μοι ὡς βαρύθυμος ὀνειδίσσειεν Ἀμαζὼν
θῆλυν ἐρευγομένη μελιηδέος ὄγκον ἀπειλῆς,
κούρης χωομένης ἐπὶ γούνασι χεῖρα πελάσσω,
ψαύων ὡς ἱκέτης ἐρατοῦ χροός, οὐ μὲν ἐλαίης
θαλλὸν ἀερτάζων, ὅτι δένδρεόν ἐστιν Ἀθήνης
παρθενικῆς ἀγάμου καὶ ἀθελγέος, ἀντὶ δὲ πικροῦ
ἀκρεμόνος λιπόωντος ἐμῆι μελιηδέι νύμφηι
οἴνοπα καρπὸν ἔχοντα μελιρραθάμιγγος ὀπώρης
βότρυν ἀερτάζων ἱκετήσιον. ἢν δὲ χαλέψηι
παρθένος ἀγκυλότοξος, ἐμῶι χροῒ μὴ δόρυ πήξηι,
μὴ βέλος αὖ ἐρύσειε μιαιφόνον, αἰδομένη δὲ
ἀκροτάτωι πλήξειεν ἐμὸν δέμας ἡδέι τόξωι·
πληγῆς οὐκ ἀλέγω φρενοθελγέος. ἢν δ' ἐθελήσηι,
ἱμερταῖς παλάμηισιν ἐμῶν δράξαιτο κομάων,
σφιγγομένης ἐρύουσα θελήμονα βόστρυχα χαίτης.
οὐ μὲν ἐρητύσω ποτὲ παρθένον, ὡς κοτέων δὲ
δεξιτερὴν σφίγγουσαν ἀφειδέι χειρὶ πιέζω
δάκτυλα φοινίσσοντα λαβὼν γαμψώνυχι δεσμῶι,
Κυπριδίου καμάτοιο παρήγορα· παρθενικὴ γὰρ
κάλλος ὅλον σύλησεν Ὀλύμπιον. ἵλαθι, Κέρνη·
Ἀστακὶς ἐβλάστησε νέη ῥοδοδάκτυλος Ἠώς,
ἄλλη ἀνηέξητο φαεσφόρος· ὁπλοτέρη γὰρ
ἔμπεδον εἶδος ἔχουσα πέλει Νίκαια Σελήνη.
ἤθελον ἱμείρων πολυδαίδαλον εἶδος ἀμεῖψαι·
εἰ μὴ ἐρητύει με σέβας πατρώιον αἰδοῦς,
καί κεν ἐγὼ Τυρίοιο δι' ὕδατος ὑγροπόρος βοῦς
ἄβροχον ἐν πελάγεσσιν ἐμὴν Νίκαιαν ἀείρων
ἔπλεον, Εὐρώπης ἅτε νυμφίος, ὡς ἀέκων δὲ
νῶτον ἐμὸν δονέεσκον, ὀρινομένης ἵνα κούρης
δεξιτερὴ πάνλευκος ἐμῆς δράξαιτο κεραίης.
ἤθελον, εἰ γενόμην πτερόεις πόσις, ὄφρα χορεύσω
κρουφίζων ἀτίνακτον ὑπὲρ νώτοιο γυναῖκα,
ὡς Κρονίδης Αἴγιναν, ὅπως μετὰ λέκτρα τελέσσω
Αἰετὸν ὄρνεον ἄλλο γαμοστόλον ἄστρον Ἐρώτων.
οὐ μὲν ἐμῆς ἀλόχοιο βαλὼν γενετῆρα κεραυνῶι
νύμφη πατρὸς ὄλεθρον ἀτάσθαλον ἔδνον ὀπάσσω,
μὴ γλυκερὴν Νίκαιαν ἀποφθιμένοιο χαλέψω.
αἴθε πέλον νόθος ὄρνις εὔπτερος, ὅττι καὶ αὐτὴ

καὶ δηίων ἔσσευε γένος ῥηξήνορι ῥόμβωι
Nonnus κύμβαλα δινεύουσα βαρύβρομα δίζυγι χαλκῶι.
καὶ πολὺς ἀμφοτέροισιν ἔην μόθος· ἔβρεμε σύριγξ,
σύριγξ ἐγρεκύδοιμος, ἐπέκτυπε δ' αὐλὸς Ἐνυοῦς,
Βασσαρίδες δ' ὀλόλυξαν· ἐγειρομένου δὲ κυδοιμοῦ
βρονταίοις πατάγοισι μέλας μυκώμενος ἀὴρ
ἐκ Διὸς ἐσσομένην Βρομίωι μαντεύσατο νίκην.
καὶ πολὺς ἐσμὸς ἔπιπτεν· ὕλη δ' ἐρυθαίνετο λύθρωι
ὑγρῶι διψὰς ἄρουρα, καὶ Ἀστακίδος στόμα λίμνης
αἱμοβαφὲς κελάρυζε, φόνωι κεκερασμένον Ἰνδῶν.
ἀντιβίους δ' ὤικτειρε θεὸς φιλοπαίγμονι θυμῶι
καὶ προχοαῖς κατέχευε μέθης γέρας, ἐκ δὲ ῥοάων
χιονέην ἤμειψε φυὴν ξανθόχροον ὕδωρ,
καὶ ποταμὸς κελάρυζε μελίρρυτα χεύματα σύρων,
καὶ προχοὰς ἐμέθυσσεν· ἀμειβομένων δὲ ῥοάων
ἔπνεον ἀρτιχύτοιο μέθης εὐώδεες αὖραι·
ὄχθαι ἐφοινίσσοντο· πιὼν δέ τις Ἰνδὸς ἀγήνωρ
τοίην ἐκ στομάτων πολυθαμβέα ῥήξατο φωνήν·
"ξεῖνον ἴδον καὶ ἄπιστον ἐγὼ ποτόν, οὐ γλάγος αἰγῶν
ἄργυφον οὐ πέλε τοῦτο, καὶ οὐ μέλαν οἷά περ ὕδωρ,
οὐδέ μιν οἷον ὄπωπα πολυτρήτοις ἐνὶ σίμβλοις
βομβήεσσα μέλισσα λοχεύεται ἡδέι κηρῶι·
ἀλλὰ νόον τέρπουσαν ἔχει καλλίπνοον ὀδμήν.
ἀνὴρ διψαλέος πολυθαλπέι καύματος ἀτμῶι·
βαιὸν ἑαῖς παλάμηισιν ἀφυσσάμενος χυτὸν ὕδωρ
L2[O] λαίλαπα καρχαλέης ἀποσείεται αὐτίκα δίψης·
καὶ μέλι μᾶλλον ἔχει ταχινὸν κόρον· ἆ μέγα θαῦμα,
τοῦτο πιὼν ἐθέλω πιέειν πάλιν· ἀμφότερον γὰρ
καὶ γλυκερὸν τόδε χεῦμα καὶ οὐ κόρον ἀνδράσι τίκτει.
Ἥβη, κάλπιν ἄειρε καὶ ἔρχεο δεῦρο λαβοῦσα
Τρώιον οἰνοχόον, ζαθέων δρηστῆρα κυπέλλων,
ὄφρα μελιρραθάμιγγος ἀφυσσάμενος ποταμοῖο 2
Ζηνὸς ὅλους κρητῆρας ἀναπλήσηι Γανυμήδης.
δεῦτε, φίλοι, γεύσασθε μελισταγέος ποταμοῖο.
ἐνθάδε παπταίνω τύπον αἰθέρος· αὐτόχυτον γὰρ
κεῖνο, τό περ καλέουσι Διὸς πόμα, νέκταρ Ὀλύμπου
14.437 ◆ Νηιάδες χθονίοισιν ἀναβλύζουσι ῥεέθροις."

16.1 Οὐδὲ φόνος νήποινος ἔην κινυροῖο νομῆος,
ἀλλὰ λαβὼν ἑὰ τόξα καὶ ἱμερόεν βέλος ἕλκων 3
θοῦρος Ἔρως ἀίδηλος ἐθωρήχθη Διονύσωι
ἑζομένωι παρὰ χεῖλος ἐυκροκάλου ποταμοῖο.
◆ καὶ ταχινὴ Νίκαια, μετὰ δρόμον ἠθάδος ἄγρης
ἄσχετον ἱδρώουσα φιλοσκοπέλων ἀπὸ μόχθων,
γυμνὸν ὀρεσσιχύτοισι δέμας φαίδρυνε λοετροῖς.
οὐ μὲν Ἔρως δήθυνεν ἑκηβόλος· ἀμφὶ δὲ νευρῆι
ἀκροφανῆ πώγωνα βαλὼν πτερόεντος ὀιστοῦ
τόξον ἑὸν κύκλωσεν, ἐρωμανέος δὲ Λυαίου
ἐν κραδίηι κατέπηξεν ὅλον βέλος. ἐν δὲ ῥεέθροις
νηχομένην Διόνυσος ἰδὼν γυμνόχροα κούρην
16.13 ἠδυμανῆ πυρόεντι νόον δεδόνητο βελέμνωι.

ἀλλοφυής, ἀδάμαστος, ἔχων ἀχάλινον ὑπήνην.
Κυκλώπων δὲ φάλαγγες ἐπέρρεον· ὧν ἐνὶ χάρμηι Nonnus
χερσὶν ἀθωρήκτοισιν ἀκοντίζοντο κολῶναι
ἔγχεα πετρήεντα, καὶ ἀσπίδες ἦσαν ἐρίπναι,
καὶ σκοπιὴ λοφόεσσα χαραδραίη πέλε πήληξ,
καὶ Σικελοὶ σπινθῆρες ἔσαν φλογόεντες ὀιστοί·
καὶ σέλας αἰθύσσοντες ἐθήμονος ἐσχαρεῶνος
πυρσοφόροις παλάμηισιν ἐθωρήσσοντο μαχηταί,
Βρόντης τε Στερόπης τε καὶ Εὐρύαλος καὶ Ἐλατρεὺς
Ἄργης τε Τράχιός τε καὶ αὐχήεις Ἁλιμήδης.
ἀλλὰ τόσος καὶ τοῖος ἐλείπετο μοῦνος Ἐνυοῦς
ἀγχινεφὴς Πολύφημος, ἀπόσπορος ἐννοσιγαίου,
ὅττί μιν ὑγροκέλευθος ἐρήτυεν αὐτόθι μίμνειν
ἄλλος Ἔρως πολέμοιο φιλαίτερος· εἰσορόων γὰρ
ἡμιφανῆ Γαλάτειαν ἐπέκτυπε γείτονι πόντωι,
νυμφιδίηι σύριγγι χέων φιλοπάρθενον ἠχώ.
καὶ σκοπέλων ναετῆρες ἀπ' αὐτορόφοιο μελάθρου,
οὔνομα Πανὸς ἔχοντες, ἐρημονόμου γενετῆρος,
Πᾶνες ἐθωρήχθησαν ὁμήλυδες, ὧν ἐπὶ μορφῆι
ἀνδρομέηι κεκέραστο δασύτριχος αἰγὸς ὀπωπή·
καὶ νόθον εἶδος ἔχοντες ἐυχραίροιο καρήνου
δώδεκα Πᾶνες ἔσαν κεραελκέες, ἀρχεγόνου δὲ
Πανὸς ἑνὸς γεγάασιν ὀρεσσαύλοιο τοκῆος.
τὸν μὲν ἐφημίξαντο Κελαινέα μάρτυρι μορφῆι,
τὸν δὲ φυῆς Ἀργεννὸν ὁμώνυμον· Αἰγικόρωι δὲ
ἄρμενον οὔνομα θῆκαν, ἐπεὶ νομίηι παρὰ ποίμνηι L2[O]
αἰγείων κεκόρητο περιθλίβων γάλα μαζῶν·
ἄλλος δ' Ἠυγένειος ἀκούετο θεσπέσιος Πὰν
ἀμφιλαφῆ πλοκάμοισιν ἔχων λειμῶνα γενείου·
καὶ νομίωι κεκόρυστο σὺν Ὠμηστῆρι Δαφοινεύς·
καὶ Φόβος ὡμάρτησε δασυκνήμιδι Φιλάμνωι·
Ξάνθωι Γλαῦκος ἵκανεν ὁμόστολος· ἀντιτύποις γὰρ
Γλαῦκος ἑοῖς μελέεσσιν ὁμόχροος ἔσκε θαλάσσηι
γλαυκιόων, καὶ Ξάνθος ἔχων ξανθόχροα χαίτην
οὔνομα τοῖον ἔδεκτο κερασφόρος ἀστὸς ἐρίπνης·
καὶ θρασὺς Ἄργος ἵκανε φέρων χιονώδεα χαίτην.
τοῖσιν ἔσαν δύο Πᾶνες ὁμήλυδες, οὓς τέκεν Ἑρμῆς
κεκριμένηι φιλότητι μιγεὶς διδυμάοσι Νύμφαις·
τὸν μὲν ὀρεστιάδος Σώσης μετανεύμενος εὐνὴν
μαντιπόλου σπέρμηνε θεηγόρον ἔμπλεον ὀμφῆς,
Ἀγρέα θηροφόνωι μελέτηι πεπυκασμένον ἄγρης·
τὸν δὲ νομαῖς οἴων Νόμιον φίλον, ὁππότε Νύμφης
δέμνιον ἀγραύλοιο διέστιχε Πηνελοπείης,
ποιμενίηι σύριγγι μεμηλότα. τοῖς ἅμα Φόρβας
ὠμηστὴς ἀκόρητος ὁμόστολον εἶχε πορείην.
καὶ παλάμην νάρθηκι γέρων Σειληνὸς ἐρείσας
δισσοφυὴς κεκόρυστο κερασφόρος υἱὸς ἀρούρης,
τρισσοὺς παῖδας ἄγων θιασώδεας· εἰς ἐνοπὴν γὰρ
Ἀστραῖος κεκόρυστο, Μάρων κίεν, ἕσπετο Ληνεύς,
χεῖρας ἐλαφρίζοντες ὀριπλανέος γενετῆρος 14.100

γηροκόμοις ῥοπάλοισι· λιποσθενέων δὲ γερόντων
νωχελὲς ἀμπελόεντι δέμας κουφίζετο βάκτρωι,
ὧν μάλα πουλυέτηρος ἔην χρόνος, ὧν ἄπο θερμὴ
πουλυγάμων Σατύρων διφυὴς ἀνέτελλε γενέθλη.
καὶ Σατύρους κερόεντας ἐκόσμεον ἡγεμονῆες
Ποιμένιος Θίασός τε καὶ Ὑψίκερως καὶ Ὀρέστης,
καὶ κεραῶι Φλεγραῖος ἐφωμάρτησε Ναπαίωι·
ἦλθε Γέμων, κεκόρυστο Λύκων θρασύς· ἀκροπότηι δὲ
Πετραίωι γελόωντι φιλέψιος ἕσπετο Φηρεύς,
καὶ Λάμις οὐρεσίφοιτος ὁμόστολον εἶχε πορείην
Ληνοβίωι, καὶ Σκιρτὸς ἐκώμασε σύνδρομος Οἴστρωι,
σὺν δὲ Φερεσπόνδωι Λύκος ἤιεν, ἠχέτα κῆρυξ,
καὶ Πρόνομος πραπίδεσσι κεκασμένος, οὓς τέκον Ἑρμῆς
Ἰφθίμην κρυφίοισιν ὑποζεύξας ὑμεναίοις,
τήν ποτε Δῶρος ἔτικτε, Διὸς βλάστημα γενέθλης,
ῥίζα γονῆς Ἕλληνος, ἀπ' ἀρχεγόνοιο δὲ Δώρου
Δωρίδος ἐβλάστησεν Ἀχαιικὸν αἷμα γενέθλης·
τοῖσι γέρας καὶ σκῆπτρον ἐπέτρεπεν Εἰραφιώτης
οὐρανίου κήρυκος, ἀεξινόοιο τοκῆος.
αἰεὶ μὲν μεθύουσα φιλακρήτοισι κυπέλλοις
πᾶσα γονὴ Σατύρων θρασυκάρδιος, ἐν δὲ κυδοιμῶι
μοῦνον ἀπειλητῆρες ἀεὶ φεύγοντες Ἐνυώ,
νόσφι μόθοιο λέοντες, ἐνὶ πτολέμοις δὲ λαγωοί,
ἴδμονες ὀρχηστῆρες, ἐπιστάμενοι πλέον ἄλλων
οἰνοδόκου μέθυ λαρὸν ἀπὸ κρητῆρος ἀφύσσειν·
L2[I] τῶν ὀλίγοι γεγάασι μαχήμονες, οὓς θρασὺς Ἄρης
παντοίην ἐδίδαξε μεληδόνα δηιοτῆτος,
κοσμῆσαι δὲ φάλαγγα· κορυσσομένου δὲ Λυαίου
οἱ μὲν ἀδεψήτοισι δέμας κρύψαντο βοείαις,
οἱ δὲ δοραῖς λασίῃσιν ἐκαρτύνοντο λεόντων,
ἄλλοι πορδαλίων βλοσυρὰς δύσαντο καλύπτρας,
οἱ δὲ τανυπτόρθοισιν ἐθωρήσσοντο κορύμβοις,
οἱ δὲ τανυκραίρων ἐλάφων ἀντίρροπον ἄστρων
ποικίλον ἐν στέρνοισιν ἀνεζώννυντο χιτῶνα·
τοῖς μὲν ἐπὶ κροτάφοις διδυμάονες ἀμφὶ μετώπωι
ὀξυτενεῖς γλωχῖνες ἐμηκύνοντο κεραίης,
◆ ψεδνὴ δ' ὀκριόεντι καρήατι φύετο χαίτη
ἀκροφανὴς σκολιοῖσιν ἐπ' ὄμμασιν, οὔατα δ' ἄμφω
νισσομένων πτερόεντες ἀνερριπίζον ἀῆται
ἰθυτενῆ, λασίοισιν ἐπικτυπέοντα γενείοις
ἐκταδόν, ἱππείη δὲ τιταινομένη διὰ νώτου
ὄρθιος ἀμφιέλικτος ἀπ' ἰξύος ἔρρεεν οὐρή.
@ ἀλλοφυὴς δ' ἑτέρη Κενταυριὰς ἵκετο φύτλη,
Φηρῶν εὐκεράων λάσιον γένος, οἷς πόρεν Ἥρη
ἀνδροφυὲς δέμας ἄλλο κερασφόρον· ὑγρογόνων γὰρ
Νηιάδων ποτὲ παῖδες ἔσαν βροτοειδέι μορφῆι,
ἃς Ὑάδας καλέουσι, Λάμου ποταμηίδα φύτλην,
Nonnus καὶ Διὸς εὐώδινα τιθηνήσαντο γενέθλην,
Βάκχον ἔτι πνείοντα πολυρραφέος τοκετοῖο,
παιδοκόμοι ῥυτῆρες ἀθηήτου Διονύσου,

χερσὶ περικροτέουσα βαρύβρομα νῶτα βοείης·
ὄρθιον ἐσμαράγησε μόθων ἀντίκτυπον ἠχώ,
καὶ πέλεν ἔγχεα θύρσα, καλυπτομένη δὲ πετήλοις
δούρατος ἀμπελόεντος ἔην χαλκήλατος αἰχμή·
ἡ δὲ δαφοινήεντος ἐφιμείρουσα κυδοιμοῦ
ὠμυβόρων ἔζευξεν ἐπ' αὐχένι δεσμὰ δρακόντων·
ἄλλη ποικιλόνωτον ἐπὶ στέρνοιο καλύπτρην
πορδαλίων, ἑτέρη δὲ κατὰ χροὸς οἷα χιτῶνα
στικτὰ φιλοσκοπέλων ἐνεδύσατο δέρματα νεβρῶν,
δαιδαλέης ἐλάφοιο περισφίγξασα καλύπτρην·
ἄλλη σκύμνον ἔχουσα δασυστέρνοιο λεαίνης
ἀνδρομέωι γλαγόεντι νόθωι πιστώσατο μαζῶι·
καί τις ὄφιν τριέλικτον ἀπήμονι δήσατο κόλπωι
ἐνδόμυχον ζωστῆρα, κεχηνότα γείτονι μηρῶι,
μείλιχα συρίζοντα, φιλακρήτοιό τε κούρης
ὑπναλέης ἄγρυπνον ὀπιπευτῆρα κορείης·
ἄλλη ταρσὰ φέρουσα κατ' οὔρεα γυμνὰ πεδίλων,
ποσσὶ βάτους πατέουσα καὶ ὀξυνέθειρας ἀκάνθας,
θηγαλέηι στατὸν ἴχνος ἐπεστήριξεν ἀχέρδωι·
καί τις ἐπαΐξασα τανυκνήμιδι καμήλωι
καμπύλον ἀμητῆρι διέθρισεν αὐχένα θύρσωι,
καὶ τυφλοῖσι πόδεσσι περιπταίουσα κελεύθωι
ἡμιφανὴς πεφόρητο, πολυγνάμπτωι δὲ πορείηι
φοιταλέης ἀκάρηνον ἐπείγετο σῶμα καμήλου,
καὶ σφαλερῆι πλήσσουσα βαθυνομένην χθόνα χηλῆι
ὕπτιος αὐτοκύλιστος ἐκωλίσθησε κονίηι· L2[I]
ἄλλη δ' ἴχνος ἄγουσα βοοτρόφον εἰς ῥάχιν ὕλης
ἄσχετα μαινομένοιο δορῆς ἐδράξατο ταύρου,
καὶ βλοσυροῖς ὀνύχεσσι χαρασσομένης ἀπὸ δειρῆς
ταυρείην ἀτόρητον ἀπεφλοίωσε καλύπτρην·
ἄλλη δ' ἔγκατα πάντα διήφυσεν· ἦν δὲ νοῆσαι
3 (1C) παρθένον ἀκρήδεμνον ἀσάμβαλον ὑψόθι πέτρης
τρηχαλέωι πρηῶνι περισκαίρουσαν ἐρίπνης·
οὐ σκοπιὴν δ' ἔφριξε δυσέμβατον, οὐ πόδα κούρης
ὀξυπαγὴς ἀπέδιλον ὄνυξ ἐχάραξε κολώνης.
πολλὴ δ' ἔνθα καὶ ἔνθα παρ' Ἀστακίδος στόμα λίμνης
Ἰνδώιη δεδάικτο γονὴ Κουρῆτι σιδήρωι.
δυσμενέων δὲ φάλαγγας ἐκυκλώσαντο μαχηταὶ
4 τεύχεσιν ἀντιτύποισι, φερεσσακέος δὲ χορείης
ῥυθμὸν ἐμιμήσαντο ποδῶν ἑλικώδεϊ παλμῶι·
καὶ λασίηι παλάμηι σκοπιὴν λοφόεσσαν ἀείρων,
οὔρεος ἄκρα κάρηνα ταμών, ἐκορύσσετο Ληνεύς,
πέμπων ὀκριόεσσαν ἐπ' ἀντιβίοισιν ἀκωκήν·
Βάκχη δ' ἀμφαλάλαζε, καὶ ἀμπελόεσσαν ἀκωκὴν
Βασσαρὶς ἠκόντιζε, μελαρρίνου δὲ γενέθλης
ἄρσενα πολλὰ κάρηνα δαΐζετο θηλέϊ θύρσωι.
καὶ φονίωι θρασὺν ἄνδρα διατμήγουσα κορύμβωι
Εὐπετάλη κεκόρυστο, φιλοσταφύλωι δὲ πετήλωι Nonnus
κέντορα κισσὸν ἔπεμπεν ἀλοιητῆρα σιδήρου·
Στησιχόρη δ' εὔβοτρυς ἐπεσκίρτησε κυδοιμῶι,

καί σφισι νισσομένοισι συνέστιχεν αἰγίβοτος Πάν,
Nonnus στῆθος ὅλον σκιόωντα φέρων πώγωνα κομήτην.
Ἥρη δ' ὠκυπέδιλος, ἐειδομένη δέμας Ἰνδῶι,
οὐλοκόμωι Μελανῆι μὴ οἴνοπα θύρσον ἀείρειν
Ἀστράεντα κέλευε, δορυσσόον ὄρχαμον ἀνδρῶν,
μηδὲ φιλακρήτων Σατύρων ἀλάλαγμα γεραίρειν,
ἀλλὰ μάχην ἄσπονδον ἀναστῆσαι Διονύσωι·
καί τινα μῦθον ἔειπε παραιφαμένη πρόμον Ἰνδῶν·
"ἡδὺς ὁ δειμαίνων ἁπαλὴν στίχα θηλυτεράων.
Ἀστράεις, πολέμιζε· κορύσσεο καὶ σύ, Κελαινεῦ,
χαλκὸν ἔχων τμητῆρα κορυμβοφόρου Διονύσου·
ἔγχεϊ δ' οὐ πέλε θύρσος ὁμοίιος. ἀλλά, Κελαινεῦ,
Δηριάδην πεφύλαξο μεμνηότα, μή σε δαμάσσηι
οὐτιδανὴν ἀσίδηρον ἀλυσκάζοντα γυναῖκα."
ὣς φαμένη παρέπεισε, καὶ ἠέρα δύσατο δαίμων,
μητρυιὴ κοτέουσα μενεπτολέμωι Διονύσωι.
καὶ Βρομίου κήρυκες ἀπήλυθον· ἀγχιφανὴς δὲ
Ἀστράεις ὑπέροπλος, ἔχων ἄστοργον ἀπειλήν,
μαίνετο βουκεράους Σατύρους καὶ Πᾶνα διώκων,
μειλιχίου κήρυκας ἀτιμάζων Διονύσου.
οἱ δὲ παλιννόστοιο ποδὸς δειδήμονι ταρσῶι
φύξιον ἴχνος ἔκαμψαν ἐγερσιμόθωι Διονύσωι.
καὶ στρατὸν ὥπλισε Βάκχος ἐς ἀντιπόρων στίχας Ἰνδῶν.
οὐδὲ λάθε ζοφόεντα Κελαινέα θῆλυς Ἐνυώ,
ἀλλὰ θορὼν ἀκίχητος ὅλον στρατὸν ὥπλισεν Ἰνδῶν·
L3[O] καὶ θρασὺς Ἀστράεις, μενεδήιον οἶστρον ἀέξων,
Ἀστακίδος κελάδοντα περὶ ῥόον ἵστατο λίμνης,
δέγμενος ἀμπελόεντος ἐπηλυσίην Διονύσου.
ἀλλ' ὅτε δὴ διδύμης στρατιῆς ἑτερόζυγι λαῶι
ἀμφοτέρων στίχα πᾶσαν ἐκόσμεον ἡγεμονῆες,
κλαγγῆι μὲν ζοφόεντες ἐπὶ κλόνον ἤιον Ἰνδοί,
Θρηικίοις γεράνοισιν ἐοικότες, εὖτε φυγοῦσαι
χειμερίην μάστιγα καὶ ἠερίου χύσιν ὄμβρου
Πυγμαίων ἀγεληδὸν ἐπαΐσσουσι καρήνοις
Τηθύος ἀμφὶ ῥέεθρα, καὶ ὀξυόεντι γενείωι
οὐτιδανῆς ὀλέκουσι λιποσθενὲς αἷμα γενέθλης,
✦ ἱπτάμεναι νεφεληδὸν ὑπὲρ κέρας Ὠκεανοῖο·
εἰς ἐνοπὴν δ' ἑτέρωθεν ἐβακχεύοντο μαχηταί,
ἀκλινέες θεράποντες ἐγερσιμόθου Διονύσου·
Βασσαρίδων δὲ φάλαγγες ἐπέρρεον· ἀγρομένων δὲ
ἡ μὲν ἐχιδναίωι κεφαλὴν ἐζώσατο δεσμῶι,
ἡ δὲ διεσφήκωσε κόμην εὐώδεϊ κισσῶι,
ἄλλη χαλκοφόρωι παλάμην ἐκορύσσετο θύρσωι
οἰστρομανής, ἑτέρη δὲ κατ' αὐχένος ἄμμορα δεσμῶν
μηκεδανῆς μεθέηκε καθειμένα βόστρυχα χαίτης,
Μαιναλὶς ἀκρήδεμνος, ἐπ' ἀμφοτέρων δέ οἱ ὤμων
ἀπλεκέας πλοκαμῖδας ἀνερρίπιζεν ἀήτης·
ἄλλη ῥόπτρα τίνασσε συνήορα δίζυγι χαλκῶι
πλοχμοὺς εἰλικόεντας ἐπαιθύσσουσα καρήνωι·
ἄλλη δ' ἐν παλάμῃσι, κατάσχετος ἅλματι λύσσης,

81 (46C) οὐ ξένον εἶδος ἔχοντες· ἐνὶ σκοτίωι δὲ μελάθρωι
πολλάκι πηχύναντο κεκυφότι κοῦρον ἀγοστῶι, Nonnus
αἰθέρα παππάζοντα, Διὸς πατρώιον ἕδρην,
εἰσέτι κουρίζοντα, σοφὸν βρέφος. ἀρτιτόκωι δὲ
πῆι μὲν ἔην ἐρίφωι πανομοίιος, ἔνδοθι μάνδρης
κρυπτόμενος, δολιχῆι δὲ δέμας πυκνώσατο χαίτηι
ἀλλοφανής, δολίων δὲ χέων βληχηθμὸν ὀδόντων
ἴχνεσιν αἰγείοισι νόθην μιμήσατο χηλήν·
πῆι δὲ γυναικείην φορέων ψευδήμονα μορφὴν
μιμηλὴ κροκόπεπλος ἐν εἵμασι φαίνετο κούρη
ἀρτιθαλής, φθονερῆς δὲ παραπλάζων νόον Ἥρης
χείλεσιν ἀντιτύποισιν ἀνήρυγε θῆλυν ἰωήν,
καὶ πλοκάμοις εὔοδμον ἐπεσφήκωσε καλύπτρην
θήλεα πέπλα φέρων πολυδαίδαλα· μεσσατίωι δὲ
στήθεϊ δεσμὸν ἔβαλλε καὶ ὄρθιον ἄντυγα μαζοῦ {...}
παρθενίωι ζωστῆρι, καὶ οἷά περ ἅμμα κορείης
πορφυρέην λαγόνεσσι συνήρμοσε κυκλάδα μίτρην.
καὶ δόλος ἦν ἀνόνητος, ἐπεὶ μάθεν ὑψόθεν Ἥρη
πάντοθι δινεύουσα πανόψιον ὄμμα προσώπου,
μορφὴν ἀλλοπρόσαλλον ὀπιπεύουσα Λυαίου·
καὶ Βρομίου φυλάκεσσιν ἐχώσατο· δεξαμένη δὲ
Θεσσαλίδος δολόεντα παρ' Ἀχλύος ἄνθεα ποίης
ὕπνον θελγομένων φυλάκων ἐπέχευε καρήνωι,
μάγγανα φαρμακόεντα κατασταλάουσα κομάων·
καὶ μάγον ἁβρὸν ἄλειφα περιχρίσασα προσώπωι
ἀνδρομέης ἤμειψε παλαίτερον εἶδος ὀπωπῆς· L3[O]
τοῖσι μὲν οὐατόεσσα φυῆς ἰνδάλλετο μορφή,
ἱππείηι δ' ἀνέτελλε δι' ἰξύος ὄρθιος οὐρὴ
ἰσχία μαστίζουσα δασυστέρνοιο φορῆος,
καὶ βοέη βλάστησε κατὰ κροτάφοιο κεραίη,
ὄμματα δ' εὐρύνοντο τανυκραίροιο μετώπου,
4 (2C) καὶ σκολιαὶ πλοκαμῖδες ἀνηέξηντο καρήνων,
γναθμοὶ δ' ἀργιόδοντες ἐμηκύνοντο γενείων,
ξείνη δ' αὐτοτέλεστος ἀπ' ἰξύος εἰς πόδας ἄκρους
ἀμφιλαφὴς λασίοιο κατ' αὐχένος ἔρρεε χαίτη.
δώδεκα δὲ ξύμπαντας ἐκόσμεον ἡγεμονῆες,
Σπαργεύς τε Γληνεύς τε χοροίτυπος, ἀλλοφυὴς δὲ
σύνδρομος Εὐρυβίωι σταφυληκόμος ἵκετο Κητεύς,
5 καὶ Ῥιφόνωι Πετραῖος ὁμάρτεεν, ἀκροπότης δὲ
Αἴσακος Ὀρθάων τε συνέστιχον, οἷς μίαν ἄμφω
Ἀμφίθεμις καὶ Φαῦνος ἐποιήσαντο πορείην,
εὐκεράωι δὲ Φάνητι συνέμπορος ἦλθε Νομείων.
Κενταύρων δ' ἑτέρη διφυὴς κεκόρυστο γενέθλη,
Κυπριάς, ὁππότε Κύπρις ἐπέτρεχεν εἴκελον αὔραις
ἴχνιον ἱμείροντος ἀλυσκάζουσα τοκῆος,
μὴ γενέτην ἀθέμιστον ἐσαθρήσειεν ἀκοίτην,
Ζεὺς δὲ πατὴρ ὑπόειξε γάμων ἄψαυστον ἐάσας
ὠκυτέρην ἀκίχητον ἀναινομένην Ἀφροδίτην·
ἀντὶ δὲ Κυπριδίων λεχέων ἔσπειρεν ἀρούρηι
παιδογόνων προχέων φιλοτήσιον ὄμβρον ἀρότρων·

γαῖα δὲ δεξαμένη γαμίην Κρονίωνος ἐέρσην
ἀλλοφυῆ κερόεσσαν ἀνηκόντιζε γενέθλην.
τοῖσι κορυσσομένοισι συνέδραμον εἰν ἑνὶ Βάκχαι,
αἱ μὲν Μηιονίης ἀπὸ ῥωγάδος, αἱ δὲ κολώνης
ἠλιβάτων ἤιξαν ὑπὲρ Σιπύλοιο καρήνων.
Νύμφαι δ' ἑλκεχίτωνες Ὀρειάδες ἄρσενι θυμῶι
λυσσάδες ἐρρώοντο σὺν εὐθύρσοισι μαχηταῖς,
αἵ τε παλιννόστων ἐτέων πολυδινέι νύσσηι
μηκεδανὸν ζώεσκον ἐπὶ χρόνον, αἱ μὲν ἐρίπναις
γείτονες οἰονόμων ἐπιμηλίδες, αἱ δὲ λιποῦσαι
ἄλσεα δενδρήεντα καὶ ἀγριάδος ῥάχιν ὕλης,
συμφυέες Μελίαι δρυὸς ἥλικος· αἳ τότε πᾶσαι
εἰς μόθον ἠπείγοντο συνήλυδες, αἱ μὲν ἑλοῦσαι
τύμπανα χαλκεόνωτα, Κυβηλίδος ὄργανα Ῥείης,
αἱ δὲ κατηρεφέες πλοκάμους ἑλικώδεϊ κισσῶι,
ἄλλαι ἐμιτρώθησαν ἐχιδναίοισι κορύμβοις·
χειρὶ δὲ θύρσον ἄειρον ἀκαχμένον, αἷς τότε Λυδαὶ
Μαινάδες ὡμάρτησαν ἀταρβέες εἰς μόθον Ἰνδῶν·
ὧν τότε Βασσαρίδες θιασώδεες ἴδμονι τέχνηι
κρείσσονες ἠπείγοντο Διωνύσοιο τιθῆναι,
Αἴγλη Καλλιχόρη τε καὶ Εὐπετάλη καὶ Ἰώνη
καὶ Καλύκη γελόωσα Βρύουσά τε, σύννομος Ὥραις,
Σειλήνη τε Ῥόδη τε καὶ Ὠκυνόη καὶ Ἐρευθὼ
Ἀκρήτη τε Μέθη τε, καὶ ἕσπετο σύννομος Ἅρπηι
Οἰνάνθη ῥοδόεσσα καὶ ἀργυρόπεζα Λυκάστη,
L3[I] Στησιχόρη Προθόη τε· φιλομμειδὴς δὲ γεραιὴ
οἰνοβαρὴς Τρυγίη πυμάτη κεκόρυστο καὶ αὐτή.
κεκριμένον μὲν ἕκαστος ἑὸν στρατὸν ἤγαγε Βάκχωι.
πάντων δ' ἡγεμόνευε πυρίβρομος Εἰραφιώτης
ἀστράπτων ἀρίδηλος· ἐς ὑσμίνην δὲ χορεύων
οὐ σάκος, οὐ δόρυ θοῦρον ἐκούφισεν, οὐ ξίφος ὤμωι,
οὐ κυνέην ἐπέθηκεν ἀκερσικόμοισιν ἐθείραις,
χάλκεον ἀρραγέος κεφαλῆς σκέπας, ἀλλὰ καρήνου
ἄπλοκον ἐσφήκωσε δρακοντείωι τρίχα δεσμῶι,
κράασι κυκλώσας βλοσυρὸν στέφος· ἀντὶ δὲ τυκτῆς
δαιδαλέης κνημῖδος ἕως ἐπιγουνίδος ἄκρης
◆ ἄργυφα πορφυρέοις ἐπεθήκατο ταρσὰ κοθόρνοις,
νεβρίδα λαχνήεσσαν ἐπὶ στέρνοιο καθάψας,
στικτὸν ἔχων θώρηκα, τύπον κεχαραγμένον ἄστρων·
λαιῇ μὲν κέρας εἶχε βεβυσμένον ἡδέος οἴνου,
χρύσεον εὐποίητον, ἀπ' οἰνοχύτου δὲ κεραίης
ὄρθιος οἰνοπότοιο κατέρρεεν ὁλκὸς ἐέρσης·
χειρὶ δὲ κέντορα θύρσον, ἐελμένον οἴνοπι κισσῶι,
δεξιτερῇ κούφιζεν, ἐπ' ἀκροτάτωι δὲ κορύμβωι
χαλκοβαρὴς πετάλοισι κατάσκιος ἦεν ἀκωκή.
up 6 καὶ χρυσέην λαγόνεσσι περίτροχον ἤρμοσε μίτρην.
ἀλλ' ὅτε δὴ Διόνυσος ἔσω Κορυβαντίδος αὐλῆς
Nonnus χρύσεον εὐποίητον ἐδύσατο κόσμον Ἐνυοῦς,
εὔδια καλλείψας χοροτερπέος ἔνδια Ῥείης
Μηιονίην παράμειβεν· ὀρεσσιπόλοις δ' ἅμα Βάκχαις

82 (47C) δαίμονι βοτρυόεντι συνεσσεύοντο μαχηταί·
οἱ μὲν ἐυτροχάλοιο κυβερνητῆρες ἀπήνης
φυταλιῆς κομίσαντο νέης μοσχεύματα Βάκχου·
πολλαὶ δ' ἡμιόνων στίχες ἤιον, ἀμφὶ δὲ νώτωι
νέκταρος ἀμπελόεντος ἐκούφισαν ἀμφιφορῆας·
καὶ βραδέων ἐπέθηκαν ὄνων τετληότι νώτωι
ῥήγεα φοινικόεντα καὶ αἰόλα δέρματα νεβρῶν·
ἄλλοι δ' οἰνοποτῆρες ἅμα χρυσέοισι κυπέλλοις
ἀργυρέους κρητῆρας ἀγίνεον, ὅπλα τραπέζης·
καὶ χαροπῆς Κορύβαντες ἐποίπνυον ἀγχόθι φάτνης
αὐχένα πορδαλίων ζυγίωι δήσαντες ἱμάντι,
κισσοδέτοις δὲ λέοντας ἐπιστώσαντο λεπάδνοις
χεῖλος ἐπισφίγξαντες ἀπειλητῆρι χαλινῶι.
καὶ λασίην Κένταυρος ἔχων φρίσσουσαν ὑπήνην
εἰς ζυγὸν αὐτοκέλευστος ἑκούσιον αὐχένα τείνας {...}
καὶ Σατύρων πολὺ μᾶλλον ἔχων πόθον ἡδέος οἴνου
ἡμιτελὴς χρεμέτιζεν ἀνὴρ κεκερασμένος ἵππωι,
ἱέμενος Διόνυσον ἑοῖς ὤμοισιν ἀείρειν.
καὶ θεὸς εὐόρπηκος ἐφήμενος· ἄντυγι δίφρου
Σαγγαρίου παρὰ χεῦμα, περὶ Φρύγα κόλπον ἀρούρης,
λαϊνέης Νιόβης παρεμέτρεε πενθάδα πέτρην·
καὶ λίθος Ἰνδὸν ὅμιλον ἐριδμαίνοντα Λυαίωι
δακρυόεις ὀρόων βροτέην πάλιν ἴαχε φωνήν·
"μὴ μόθον ἐντύνητε θεημάχον, ἄφρονες Ἰνδοί,
παιδὶ Διός, μὴ Βάκχος ἀπειλείοντας Ἐνυὼ
λαϊνέους τελέσειε καὶ ὑμέας, ὥς περ Ἀπόλλων, L3[I]
μυρομένους τύπον ἶσον ἐμῆι πετρώδεϊ μορφῆι,
μὴ ποταμοῦ παρὰ χεῦμα φερώνυμον Ἰνδὸν Ὀρόντην
γαμβρὸν ἐσαθρήσητε δεδουπότα Δηριαδῆος.
Ῥείη χωομένη δύναται πλέον Ἰοχεαίρης·
Φοῖβον φεύγετε Βάκχον ἀδελφεόν· αἰδέομαι γὰρ
5 (3C) Ἰνδῶν κτεινομένων ἀλλότρια δάκρυα λείβειν."
τοῖα λίθον βοόωντα πάλιν σφρηγίσσατο σιγή.
καὶ θεὸς ἀμπελόεις Φρυγίης μετὰ πέζαν ἐρίπνης
Ἀσκανίης ἐπέβαινεν. ὁμηγερέες δὲ πολῖται
πάντες, ὅσοις Ἰόβακχος ἑὴν ὤρεξεν ὀπώρην,
καὶ τελετὰς ἐδέχοντο καὶ ἠσπάζοντο χορείας,
αὐχένα δοχμώσαντες ἀνικήτωι Διονύσωι,
6 εἰρήνης ἐθέλοντες ἀναιμάκτοιο γαλήνην·
Βάκχων τοῖος ἔην κερόεις στρατός, οἷς ἅμα Βάκχαι
εἰς μόθον ὡπλίζοντο. φιλαγρύπνωι δὲ Λυαίωι
πάννυχος ἀστερόεντα πυρίτροχον ὁλκὸν ὑφαίνων
οὐρανὸς ἐβρόντησεν, ἐπεὶ τότε μάρτυρι πυρσῶι
νίκης Ἰνδοφόνοιο τέλος μαντεύσατο Ῥείη.
εἰς ἐνοπὴν δ' ἠῷος ἔβη θεὸ ὕβριν ἐλαύνων
ἀνδρῶν κυανέων, ἵνα δούλιον αὐχένα Λυδῶν
καὶ Φρυγίης ναετῆρα καὶ Ἀσκανίης πολιήτην
κοιρανίης δασπλῆτος ἀποζεύξειε λεπάδνων. Nonnus
τοῖς τότε Βάκχος ἔπεμπε δύω κήρυκας Ἐνυοῦς
ἀγγελίην ἐνέπειν, ἢ φευγέμεν ἢ πολεμίζειν·

ὣς εἰπὼν νομίης ξεινήια δῶκε τραπέζης
Nonnus μητέρα λυσιπόνοιο μέθης εὔβοτρυν ὀπώρην·
καί μιν ἄναξ ἐδίδαξε φιλάνθεμον ἔργον ἀλωῆς
κλήματα γυρώσαντα φυτῶν εὐαλδέι βόθρωι,
γηραλέου τμήξαντα τεθηλότος ἄκρα κορύμβου,
βότρυος οἰνοτόκοιο νέους ὄρπηκας ἀέξειν.
καλλείψας δὲ νομῆα καὶ ἀγριάδος ῥάχιν ὕλης
εἰς ἑτέρην ἔσπευδεν ὀρειάδα φύλοπιν Ἰνδῶν·
καὶ Σατύρων ὁμόφοιτον ὁρίδρομον ἴχνος ἐπείγων
ἀμφιπόλοις παλίνορσος ὁμίλεε θυιάσι Βάκχαις.
διψώων δὲ φόνοιο καὶ εὐθύρσοιο κυδοιμοῦ,
Τυρσηνῆς βαρύδουπον ἔχων σάλπιγγα θαλάσσης,
πομπὸν Ἐνυαλίοιο μέλος μυκήσατο κόχλωι,
λαὸν ἀολλίζων· βριαροὺς δ' ἐμέθυσσε μαχητάς,
θερμοτέροις ἐς Ἄρηα νοήμασιν ἀνέρας ἕλκων
Ἰνδώιης ὀλετῆρας ἀβακχεύτοιο γενέθλης.
τοὺς μὲν ἄναξ Διόνυσος ἐκόσμεεν εἰς μόθον Ἰνδῶν·
Ἀστράεις δ' ἀκίχητος ἰὼν ἤγγειλεν Ὀρόντηι
Ἰνδῶν δοῦλα γένεθλα καὶ ἴαχε πενθάδι φωνῆι·
"γαμβρὲ δοριθρασέος μενεδήιε Δηριαδῆος,
17.101 κλῦθι, καὶ εἰσαΐων μὴ χώεο· καί δε διδάξω
νίκην φαρμακόεσσαν ἀθωρήκτου Διονύσου.
Ἰνδοῖς καὶ Σατύροισιν ἔην μόθος· ἔβρεμε δ' αἰχμὴ
Βασσαρίδων, καὶ λαὸς ἐμὸς κεκόρυστο Λυαίωι
ἀστράπτων σακέεσσιν, ἀκοντοφόρους δὲ δοκεύων
L1[O] Λυδὸς ἀνὴρ πολύιδρις ἐμοὺς ἔφριξε μαχητάς·
ἵστατο δ' ἀπτολέμων Σατύρων πρόμος, οὐ δόρυ χάρμης
χειρὶ φέρων, οὐ γυμνὸν ἔχων ξίφος, οὐδ' ἐπὶ νευρῆι
εἰς σκοπὸν ἰθυκέλευθον ὑπηνέμιον βέλος ἕλκων·
ἀλλὰ κέρας βοὸς εἶχεν, ἐνὶ γλαφυρῆι δὲ κεραίηι
φάρμακον ὑγρὸν ἄειρε, καὶ ἀργυρέου ποταμοῖο
εἰς προχοὰς δολόεσσαν ὅλην κατέχευεν ἐέρσην
ἰκμάδι φοινίξας γλυκερὸν ῥόον· ἐκ δὲ κυδοιμοῦ
καύματι διψώοντες, ὅσοι πίον αἴθοπες Ἰνδοί,
ἔμφρονα λύσσαν ἔχοντες ἀνεκρούσαντο χορείην·
καί σφισι λοίγιος ὕπνος ἐπέχραεν, ἀκλινέες δὲ
ἄσχετα βακχευθέντες ἐπευνάζοντο βοείαις·
ἄλλοι δ' ἀστορέεσσι κατεκλίνοντο χαμεύναις
νωθρὸν ἐπιτρέψαντες ἀκοιμήτωι δέμας ὕπνωι,
Βάκχαις ἀδρανέεσσιν ἑλώρια καὶ Διονύσωι.
τοὺς δὲ δίχα πτολέμοιο καὶ εὐθήκτοιο σιδήρου
δούλιον εἰς ζυγόδεσμον ἐληίσσαντο γυναῖκες
βριθομένοις μελέεσσι, καὶ ἀντιβίων ὑπὲρ ὤμων
ὡς νέκυες ζώοντες ἐλαφρίζοντο μαχηταί,
οἱ μὲν ἔτι βλύζοντες ἐπίκλοπον ἰκμάδα Βάκχου
ἀπτολέμοις Σατύροισιν ἐδουλώθησαν ἀνάγκηι,
χεύματι φαρμακόεντι μεμηνότες. ἐκ δὲ κυδοιμοῦ
μοῦνος ἐγὼ λιπόμην, φονίης ἔτι νῆις ἐέρσης,
χείλεσιν ἀβρέκτοισι φυγὼν ἀπατήλιον ὕδωρ.
17.130 ἀλλὰ ποτὸν πεφύλαξο, δορυσσόε, μὴ μετὰ νίκην
κερδαλέην ἀσίδηρον ἀναιμάκτοιο Λυαίου

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the fifteenth, I sing the sturdy Nicaia, the rosy-armed beast-slayer defying Love.

NONNUS

DIONYSIACA

BOOK 15

PREVIEW BOOK 17

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 422 lines 3.0
3L 1 - 422

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: 93 to 98

Ὣς φαμένου νεφεληδὸν ἐπέρρεον αἴθοπες Ἰνδοὶ
ἀμφὶ ῥόον ποταμοῖο μελίπνοον· ὧν ὁ μὲν αὐτῶν
ἀγχιβάτης στατὸν ἴχνος ἐπ' ἰλύι δισσὸν ἐρείσας
ἡμιφανὴς ἕστηκε, καὶ ὀμφαλὸν ὕδατι δεύων,
κυρτὸς ἔσω ποταμοῖο κεκυφότα νῶτα τιταίνων,
χερσὶ βαθυνομένῃσι μελισταγὲς ἤφυσεν ὕδωρ·
ὃς δὲ παρὰ προχοῇσι, κατάσχετος αἴθοπι δίψῃ,
πορφυρέῳ προβλῆτα γενειάδα κύματι βάπτων,
στῆθος ἐφαπλώσας ποταμηΐδος ὑψόθεν ὄχθης,
οἰγομένοις στομάτεσσιν ἀνείρυσεν ἰκμάδα Βάκχου·
πρηνὴς δ' ἄλλος ἔην πελάσας στόμα γείτονι πηγῇ,
καὶ διερὰς δαπέδῳ ψαμαθώδει χεῖρας ἐρείσας
χείλεσι διψαλέοισιν ἐδέχνυτο δίψιον ὕδωρ·
ἄλλοι δ' ὀστρακόεντι μέθην ἀρύοντο κυπέλλῳ,
πυθμένα κουφίζοντες ἐαγότος ἀμφιφορῆος·
καὶ πολὺς ἑσμὸς ἔπινεν ἐρευθιόωντι ῥεέθρῳ,
κισσυβίῳ προχέων ποταμηΐδος ὄγκον ἐέρσης,
μηλονόμων ἄγραυλον ἔχων δέπας. ἀντιβίων δὲ
οἶνον ἐρευγομένων πολυχανδέος ἀνθερεῶνος
ὄμμασι δερκομένοισιν ἐδιπλώθησαν ἐρίπναι,
καὶ βλεφάροις δοκέεσκον ἰδεῖν διδυμόζυγον ὕδωρ.
◆ καὶ προχοὴ κελάρυζε φιλακρήτου ποταμοῖο
ξανθὸν ἀναβλύζουσα μέθης ῥόον· ἡδυπότου δὲ
οἰνάδος ἠρεύγοντο ῥοὰς εὐώδεες ὄχθαι.
δυσμενέας δ' ἐμέθυσσε χάλις ῥόος. ἔνθά τις ἀνὴρ
L1[I] Ἰνδὸς ἀμερσινόοιο μέθης δεδονημένος οἴστρῳ
εἰς ἀγέλην ἤιξε, καὶ εὐπετάλῳ παρὰ λόχμῃ
ταῦρον ἀπειλητῆρα μετήγαγε δέσμιον ἕλκων,
διχθαδίων κεράων κεχαραγμένον ἄκρον ἐρύσσας
τολμηραῖς παλάμαις, διδυμάονος οἷα κεραίης
ταυροφυῆ Διόνυσον ὑπὸ ζυγὰ δούλια σύρων·
ἄλλος ἔχων δασπλῆτα σιδηρείης γένυν ἅρπης 1
αἰγὸς ὀρεσσινόμοιο διέθρισεν ἀνθερεῶνα,
θηγαλέῳ δρεπάνῳ δεδαϊγμένον, οἷά τε δειρὴν
Πανὸς ἐυκραίροιο ταμὼν γαμψώνυχι χαλκῷ·
ἄλλος ἀπηλοίησε βοῶν κεραελκέα φύτλην,
οἷά περ ἀμώων Σατύρων ταυρώπιδα μορφήν,
ὃς δὲ τανυκραίρων ἐλάφων ἐδίωκε γενέθλην
στικτῆς εἰσορόων πολυδαίδαλον εἶδος ὀπωπῆς, 2
οἷά τε Βασσαρίδων ὀλέκων στίχα· δαιδαλέαις γὰρ
νεβρίσιν ἰσοτύποισι παρεπλάγχθησαν ὀπωπαί·
καὶ φονίαις λιβάδεσσιν ὅλον θώρηκα μιαίνων
Ἰνδὸς ἀχοντιστῆρι μέλας ἐρυθαίνετο λύθρῳ.
καί τις ὁμοκλήσας ἐκορύσσετο γείτονι δένδρῳ
μαστίζων ἑκάτερθε, καὶ εἰαρινοῖσι δοκεύων
σειομένην ἀνέμοισι φυτῶν ἑλικώδεα χαίτην
ἁβροκόμων ὄρπηκας ἀπηλοίησε κορύμβων,
Nonnus φύλλα διασχίζων λασίης δρυός, οἷα μαχαίρῃ
πλοχμὸν ἀκερσικόμοιο διατμήγων Διονύσου,
μαρνάμενος πετάλοισι καὶ οὐ Σατύροισιν ἐρίζων,

Ἰνδὸν ἔτι κνώσσοντα, περισφίγξασα δὲ δειρὴν
ληίδα θηρεύουσα μάχης αὐτόσσυτον ἄγρην. {…}
ἐκ πόλιος δὲ πόληα μετήιεν, ἀγχιπόρου δὲ
ἤλυθεν εἰς Ἀλύβης πέδον ὄλβιον, ὁππόθι γείτων
χεύμασιν ἀφνειοῖσι Διιπετὲς οἶδμα κυλίνδων
Γεῦδις ἐχεκτεάνων ὑδάτων λευκαίνεται ὁλκῷ,
ἀργυρέου δαπέδοιο περιξύων κενεῶνα.
ἔνθα διαστείχοντα βαθυπλούτῳ παρὰ πέτρῃ
βουκεράοις Σατύροισιν ὁμήλυδα πεζὸν ὁδίτην
Βάκχον ἀνὴρ ἄγραυλος ἐρημάδι δέκτο καλιῇ,
Βρόγγος, ἀδωμήτων ὀρεσίδρομος ἀστὸς ἐναύλων,
Γηγενέων ἀχάρακτον ὑπὸ κρηπῖδα θεμέθλων
ναίων οἶκον ἄοικον· εὐφροσύνης δὲ δοτῆρα
αἰγὸς ἀμελγομένης κεράσας χιονωπὸν ἐέρσην
ξεινοδόκος γλαγόεντι ποτῷ μειλίξατο ποιμὴν
εἴδασιν οὐτιδανοῖσι καὶ ἀγραύλοισι κυπέλλοις,
καὶ μίαν εἰροπόκων ὀίων ἀνελύσατο μάνδρης, ◆
ὄφρά κε δαιτρεύσειε θυηπολέην Διονύσῳ·
ἀλλὰ θεὸς κατέρυκε· γέρων δ' ἐπεπείθετο Βάκχου
νεύμασιν ἀτρέπτοισιν, ὄιν δ' ἄψαυστον ἐάσας
ποιμενίην τινὰ δαῖτα θελήμονι θῆκε Λυαίῳ,
τεύχων δεῖπνον ἄδειπνον ἀδαιτρεύτοιο τραπέζης,
οἷα Κλεωναίοιο φατίζεται ἀμφὶ Μολόρκου
κεῖνα, τά περ σπεύδοντι λεοντοφόνους ἐς ἀγῶνας
ὥπλισεν Ἡρακλῆι· χύδην δ' ἐπέβαλλε τραπέζῃ
εἰν ἁλὶ νηχομένης φθινοπωρίδος ἄνθος ἐλαίης L1[I]
Βρόγγος, ἔχων μίμημα φιλοστόργοιο νομῆος,
πλεκτοῖς ἐν ταλάροις νεοπηγέα τυρὸν ἀείρων,
ἰκμαλέον, τροχόεντα· θεὸς δ' ἐγέλασσε δοκεύων
ἀγρονόμων λιτὰ δεῖπνα, φιλοξείνῳ δὲ νομῆι
ἵλαον ὄμμα φέρων ὀλίγης ἔψαυσε τραπέζης
δαρδάπτων ἀκόρητος· ἀεὶ δ' ἐμνώετο κείνης
εἰλαπίνην ἐλάχειαν ἀναιμάκτοιο τραπέζης
μητρὸς ἑῆς παρὰ δόρπον, ὀρεσσαύλοιο Κυβήλης.
καὶ κραναοὺς πυλεῶνας ἐθάμβεε κυκλάδος αὐλῆς,
πῶς φύσις ἐργοπόνος δόμον ἔγλυφε, πῶς δίχα τέχνης
ἀντιτύποις κανόνεσσιν ἐτορνώθησαν ἐρίπναι.
ἀλλ' ὅτε Βάκχος ἄναξ νομίης ἐκορέσσατο φορβῆς,
δὴ τότε δαιμονίῳ δεδονημένος ἄσθματι Βάκχου
ἀγρονόμος σύριζεν ἐθήμονι Πανὸς ἀοιδῇ
Βρόγγος, ἐπιθλίβων διδυμόθροον αὐλὸν Ἀθήνης,
ὑμνείων Διόνυσον· ὁ δὲ φρένα τέρπετο μολπῇ,
καὶ κεράσας κρητῆρι νεόρρυτον ἰκμάδα ληνοῦ. {…} 72
“δέξο, γέρον, τόδε δῶρον, ὅλης ἄμπαυμα μερίμνης· 74
οὐ χατέεις δὲ γάλακτος ἔχων εὔοδμον ἐέρσην,
νέκταρος οὐρανίου χθόνιον τύπον, οἷον ἀφύσσων
Ζῆνα μέγαν κατ' Ὄλυμπον ἐυφραίνει Γανυμήδης.
ἀρχαίου δὲ γάλακτος ἔα πόθον· ἀρτιτόκων γὰρ Nonnus
μαζῶν θλιβομένων χιονώδεες ἰκμάδες αἰγῶν
ἀνέρας οὐ τέρπουσι καὶ οὐ λύουσι μερίμνας.”
ὣς εἰπὼν νομίης ξεινήια δῶκε τραπέζης

αἵματι χαλκὸν ἔβαψε καὶ ἔσβεσε πυρσὸν Ἐρώτων —
Nonnus βούτης καλὸς ὄλωλε, καλὴ δέ μιν ἔκτανε κούρη —
καὶ Νύμφας ἀκάχησεν, ὀρειάδος οὐ κλύε πέτρης,
οὐ πτελέης ἤκουσε καὶ οὐκ ἠιδέσσατο πεύκην
λισσομένην· 'μὴ πέμπε βέλος, μὴ κτεῖνε νομῆα'."
καὶ λύκος ἔστενεν Ὕμνον, ἀναιδέες ἔστενον ἄρκτοι,
καὶ βλοσυροῖς βλεφάροισι λέων ὠδύρετο βούτην·
"βούτης καλὸς ὄλωλε, καλὴ δέ μιν ἔκτανε κούρη.
ἄλλο λέπας δίζεσθε, βόες, μαστεύσατε, ταῦροι,
ξεῖνον ὄρος· ποθέων γὰρ ἐμὸς γλυκὺς ὤλετο βούτης
θηλυτέρηι παλάμηι δεδαϊγμένος. εἰς τίνα λόχμην
ἴχνος ἄγω; σώζεσθε, νομαί, σώζεσθε, χαμεῦναι.
βούτης καλὸς ὄλωλε, καλὴ δέ μιν ἔκτανε κούρη.
χαίρετέ μοι, σκοπιαί τε καὶ οὔρεα, χαίρετε, πηγαί,
χαίρετε, Νηιάδες, καὶ ἐμαὶ δρύες." ἀμφότεροι δὲ
Πὰν νόμιος καὶ Φοῖβος ἀνίαχον· "αὐλὸς ἀλάσθω.
πῆι Νέμεσις; πῆι Κύπρις; Ἔρως, μὴ ψαῦε φαρέτρης·
σύριγξ, μηκέτι μέλπε· λιγύθροος ὤλετο βούτης."
δειλαίου δὲ νομῆος ἀμεμφέα λύθρον Ἐρώτων
γνωτῆι Φοῖβος ἔδειξε, καὶ ἔστενεν Ἄρτεμις αὐτὴ
15.422 ✦ Ὕμνου νεκρὸν ἔρωτα, καὶ εἰ πέλε νῆις Ἐρώτων.
17.1 Οὐδὲ φιλακρήτοιο μέθης πεπεδημένον ὕπνωι
ζωγρήσας ἀτίνακτον ἀνουτήτων γένος Ἰνδῶν
ληθαίοις Διόνυσος ἐπέτρεπε δῆριν ἀήταις·
ἀλλὰ πάλιν Φρύγα θύρσον ἐκούφισεν· ὑψιλόφου γὰρ
L2[O] εἰς ἐνοπὴν καλέοντος ἐπείγετο Δηριαδῆος,
παιδὸς Ἀμαζονίης δολίην ἄμνηστον ἐάσας
οἰνοβαρῆ φιλότητα καὶ ὑπναλέους ὑμεναίους.
καὶ θεὸς ἡγεμόνευε, Διὸς κήρυκα γενέθλης
οὐρανίην ἀκτῖνα φέρων στίλβοντι προσώπωι·
ἀμφὶ δὲ Λύδιον ἅρμα Γιγαντοφόνου Διονύσου
θυρσοφόροι στίχες ἦσαν, ἐμιτρώθη δὲ μαχηταῖς 2
μεσσοφανὴς ἑκάτερθε, καὶ ἀντήστραπτεν Ὀλύμπωι·
κάλλεϊ δ' ἔκρυφε πάντας· ἰδὼν δέ μιν ἦ τάχα φαίης
Ἠέλιον πυρόεντα πολυσπερέων μέσον ἄστρων.
καὶ στρατιῆς ἀσίδηρον ἄναξ ὥπλισσεν Ἐνυώ,
οὐ ξίφος, οὐ μελίην θανατηφόρον, ἀντὶ δὲ χαλκοῦ
κισσὸν ἔχων ἄρρηκτον ἑὸν δόρυ· καί μιν ἑλίσσων
Ἀσίδος ἐν πολίεσσι, καὶ Ἀσίδος ἐν χθονὶ πήξας 3
ἄγριον ἡνιόχευε Κυβηλίδος ἅρμα θεαίνης,
ἀνθοκόμωι μάστιγι μετήλυδα δίφρον ἱμάσσων·
down 1 ἡμερίδων τελαμῶνι κατάσκιον ἥλικι κισσῶι,
Ἠώιην δ' ἐμέθυσσε Μαρωνίδι γαῖαν ὀπώρηι.
καὶ Βρομίωι συνάεθλος ὅλος στρατὸς ἔρρεε Βάκχων,
θάρσος ἔχων προτέροιο μόθου χάριν, ὁππότε δισσῶι
ἡδυμανὴς ἀσίδηρος ὁμόζυγι πήχεϊ μάρψας
ἔμφρονα νεκρὸν ἄναυδον, ἐνόπλιον Ἰνδὸν ἀείρων,
Σειληνὸς βαρύγουνος ἐχάζετο νωθρὸς ὁδίτης·
ὁππότε κωμάζουσα ποδῶν διδυμάονι ῥυθμῶι
17.29 Βακχιὰς ἀκρήδεμνος ἐπεκροτάλιζε Μιμαλλῶν 95

84 τερπωλὴν ἀνόνητον ἔχων σκιοειδέι νίκηι.
μαίνετο δ' ἀντιβίων ἕτερος χορός· ἀντὶ δὲ λόγχης Nonnus
ὃς μὲν ἑλὼν βαρύδουπον ἐπωμαδίωι τελαμῶνι
τύμπανον ἠέρταζε, καὶ ἀμφιπλῆγι βοείηι
δίζυγον ὀσμαράγησε μέλος χαλκόκροτον ἠχώ·
ὃς πολυτρήτοιο βοῆι δεδονημένος αὐλοῦ
ἄστατος εἱλικόεντι ποδῶν βακχεύετο παλμῶι·
καί τις ἀπειρήτοις ἐπὶ χείλεσι λωτὸν ἐρείσας
δίθροον ἁρμονίην ἐμελίζετο Μυγδόνος αὐλοῦ·
γηραλέου δὲ φυτοῖο θορὼν παρὰ γείτονι ῥίζηι
γλαυκὸν ἐυρραθάμιγγος ἀνείρυσε θαλλὸν ἐλαίης
ὄμβρωι ἐερσήεντι διάβροχον, οἷα πιέζων
οἰνωπῆι ῥαθάμιγγι Μαρωνίδος ἄκρον ὑπήνης.
ἄλλοι σὺν ξιφέεσσι, σὺν ἔγχεσι, σὺν τρυφαλείαις
ἄσχετα βακχευθέντες ἀμερσινόωι φρένας οἴνωι
ὄργια μιμήσαντο φερεσσακέων Κορυβάντων,
ἴχνια δινεύοντες ἐνόπλιον ἀμφὶ χορείην·
καὶ παλάμης ἑλικηδὸν ἀμοιβαίηισιν ἐρωαῖς
ἀσπίδες ἐκρούοντο κυβιστητῆρι σιδήρωι·
ἄλλος ὀπιπεύων θιασώδεος ὄργια Μούσης
μιμηλὴν Σατύροισι συνεσκίρτησε χορείην·
καί τις ἀρασσομένης ἀΐων κελάδημα βοείης
μείλιχον ἦθος ἔδεκτο, φιλοσμαράγωι δὲ μενοινῆι
ῥιγεδανὴν ἀνέμοισιν ἑὴν ἔρριψε φαρέτρην,
λύσσαν ἔχων· ἕτερος δὲ γυναιμανέων πρόμος Ἰνδῶν
ἀπλεκέος πλοκαμῖδος ἑλὼν ὑψαύχενα Βάκχην, L2[O]
παρθενικὴν ἀδάμαστον ἀτάσθαλον εἰς γάμον ἕλκων,
σφίγξεν ὑπὲρ δαπέδοιο, τανυσσάμενος δὲ κονίηι
χερσὶν ἐρωμανέεσσιν ἀπεσφρηγίσσατο μίτρην,
ἐλπίδι μαψιδίηι πεφορημένος· ἐξαπίνης γὰρ
ὄρθιος εἷρπε δράκων ὑποκόλπιος ἰξύι γείτων,
δυσμενέος δ' ἤιξε κατ' αὐχένος, ἀμφὶ δὲ δειρῆι
οὐραίαις ἑλίκεσσιν ἀνέπλεκε κυκλάδα μίτρην·
ταρβαλέοις δὲ πόδεσσι φυγὼν μελανόχροος ἀνὴρ
θερμὸν ἀνυμφεύτων ἀπεσείσατο κέντρον Ἐρώτων,
αὐχένιον φορέων ὀφιώδεος δομὸν ἀκάνθης.
ὄφρα μὲν οἰνωθέντες ἐν οὔρεσιν ἔτρεχον Ἰνδοί,
τόφρα δὲ νήδυμος Ὕπνος ἑὸν πτερὸν οὖλον ἑλίξας
ἀκλινέων σφαλεροῖσιν ἐπέχραεν ὄμμασιν Ἰνδῶν,
εὔνασε δ' οἰστρηθέντας ἀμετρήτωι νόον οἴνωι,
Πασιθέης γενετῆρι χαριζόμενος Διονύσωι·
ὧν ὁ μὲν ὕπτιος εὗδεν ἄνω νεύοντι προσώπωι
ὑπναλέωι μυκτῆρι μεθυσφαλὲς ἆσθμα τιταίνων,
ὃς δὲ βαρυνομένην κεφαλὴν ἐπεθήκατο πέτρωι,
νωθρὸς ἐυκροκάλωι ποταμηίδι κείμενος ὄχθηι,
ἠματίοις δ' ὀάριζε νοοπλανέεσσιν ὀνείροις
ὀρθὰ περὶ κροτάφοισι πεπηγότα δάκτυλα βάλλων·
πρηνὴς δ' ἄλλος ἔην τετανυσμένος, εἶχε δὲ δισσὴν
χεῖρα καθιεμένην ἰσοελκέα δίζυγι μηρῶι·
καί τις ἑῆς παλάμης κεφαλὴν ἐπερείσατο καρπῶι **15.**100

οἶνον ἀναβλύζων· ὁ δὲ καμπύλα γυῖα συνάπτων,
ὡς ὄφις ἀμφιέλικτος, ἐκέκλιτο, λοξὸς ἰαύων.
καὶ χορὸς ἀντιβίων πεφορημένος εἰς ῥάχιν ὕλης,
ὃς μὲν ὑπὸ δρυὸς εὗδεν, ὁ δὲ πτελέης ὑπὸ θάμνωι,
ἄλλος ἐπὶ πλευρῆισι πεσὼν ἐκλίνετο φηγῶι,
λαιὴν ὀφρυόεντι βαλὼν ἐπὶ χεῖρα μετώπωι·
καὶ πολὺς ἑσμὸς ἴαυε λάλος νέκυς, ἠέρι πέμπων
ἀλλοίης ἀχάλινον ἀσημάντου θρόον ἠχοῦς
οἰνοβαρής· ἕτερος δὲ τινασσομένοιο καρήνου
γηραλέης πλατὺ νῶτον ἐπέτρεπε πυθμένι δάφνης·
τὸν δὲ βαρὺ κνώσσοντα βαθυστρώτων ἐπὶ λέκτρων
ἀκροκόμου φοίνικος ἢ εὐώδινος ἐλαίης
ῥιπίζων ἀνέμοισιν ἕλιξ ἐπεσύρισεν ὅρπηξ·
καί τις ὑπὲρ δαπέδοιο χυτῆι τετάνυστο κονίηι,
ἄκρα ποδῶν προχοῆισι κατακλύζων ποταμοῖο·
ἄλλος ἀπειρήτοιο μέθης βακχεύετο παλμῶι,
καὶ κεφαλὴν βαρύθουσαν ἐπέτρεπε γείτονι πεύκηι·
ἄλλου φυσιόωντος ἐσείετο νεῦρα μετώπου.
καὶ δηίους κνώσσοντας ἰδὼν γελόωντι προσώπωι
Βάκχος ἄναξ ἀγόρευε, χέων σημάντορα φωνήν·
"Ἰνδοφόνοι θεράποντες ἀνικήτου Διονύσου,
◆ νόσφι μόθου σφίγξαντες ἀολλέας υἱέας Ἰνδῶν
πάντας ἀναιμάκτωι ζωγρήσατε δηιοτῆτι·
καὶ βριαρῶι γόνυ δοῦλον ὑποκλίνας Διονύσωι
Ἰνδὸς ὑποδρήσσειεν ἐμῆι θιασώδεϊ Ῥείηι,
L2[I] σείων οἴνοπα θύρσον, ἀπορρίψας δὲ θυέλλαις
ἀργυρέην κνημῖδα πόδας σφίγξειε κοθόρνοις,
καὶ κεφαλὴν στέψειεν ἐμῶι κισσώδεϊ δεσμῶι,
γυμνώσας πλοκαμῖδας ἀερσιλόφου τρυφαλείης,
καὶ πολέμων ἀλάλαγμα λιπὼν καὶ δούριον ἠχὼ
Εὔιον ἀείσειε κορυμβοφόρωι Διονύσωι."
ὣς φαμένου δρηστῆρες ἐποίπνυον· ὧν ὁ μὲν αὐτῶν
αὐχένι δυσμενέιον ὀφιώδεα δεσμὸν ἑλίξας
εἷλκε δρακοντείηι πεπεδημένον ἀνέρα σειρῆι,
ἄλλος ἑλὼν λασίης κεχαλασμένον ὁλκὸν ὑπήνης
ἄνδρα βαθυσμήριγγος ἀνείρυσεν ἀνθερεῶνος·
καί τις ἑὰς παλάμας τανύσας σκολιότριχι κόρσηι
ἀνέρα δουρίκτητον ἀδέσμιον εἷλκεν ἐθείρης·
ἄλλος ὁμοπλέκτους παλάμας περὶ νῶτα καθάψας
δήιον εἱλικόεντι λύγων μιτρώσατο δεσμῶι
αὐχενίωι· τρομερῶι δὲ Μάρων ἐλελίζετο παλμῶι
ὤμωι γηραλέωι βεβαρημένον Ἰνδὸν ἀείρων·
ἄλλος ἀκοντιστῆρα λαβὼν βεβιημένον ὕπνωι,
δεσμῶι βοτρυόεντι περίπλοκον αὐχένα σύρων,
στικτῶν πορδαλίων ὑπὲρ ἄντυγα θήκατο δίφρων·
ἄλλου κεκλιμένοιο φιλεύιος ἑσμὸς ἀλήτης
χεῖρας ὀπισθοτόνους ἀλύτωι σφηκώσατο δεσμῶι,
Nonnus καὶ λοφίης ἐπέβησεν ἀκαμπτοπόδων ἐλεφάντων·
καὶ πολὺς εὐκύκλοιο λαβὼν τελαμῶνα βοείης
15.150 Ἰνδὸν ἐπωμαδίωι πεπεδημένον εἶχεν ἱμάντι.

85 (48C) δὸς δέ μοι ὑστατίην ἑτέρην χάριν· ὑψόθι τύμβου
ἄνθεα Ναρκίσσοιο ποθοβλήτοιο γενέσθω
ἢ κρόκος ἱμερόεις ἢ Μίλακος ἄνθος Ἐρώτων,
εἰαρινὴν δὲ φύτευε μινυνθαδίην ἀνεμώνην
πᾶσιν ἀπαγγέλλουσαν ἐμὴν μινυώριον ἥβην.
εἰ δέ σε μὴ τέκε πόντος ἀμείλιχος ἠὲ κολῶναι,
βαιὸν ἐμοὶ χέε δάκρυ, τόσον μόνον, ὅσσον ἐέρσαις
ἱμερτῆς ῥοδόεντα παρηίδος ἄκρα διαίνειν,
χειρὶ δὲ σεῖο χάραξον ἔπος τόδε πενθάδι μίλτωι·
'ἐνθάδε βουκόλος Ὕμνος, ὃν ἔκτανεν ἄμμορον εὐνῆς
παρθενικὴ Νίκαια καὶ ἐκτερέιξε θανόντα'."
ὣς φαμένου Νίκαια χολώετο· λυσσαλέη δὲ
λοίγιον ἰοβόλου γυμνώσατο πῶμα φαρέτρης
καὶ βέλος ἰθυκέλευθον ἀνείρυσεν, ἐκταδίη δὲ
κυρτὸν ὀπισθοτόνοιο κέρας κυκλώσατο τόξου,
ἠνεμόεν δὲ βέλεμνον ἐς ἀνθερεῶνα νομῆος
φθεγγομένου προέηκε, καὶ ἄσχετος ἰὸς ἀλήτης
μῦθον ἔτι προχέοντα μέσωι σφρηγίσσατο δεσμῶι.
ἀλλ' οὐ νεκρὸς ἄδακρυς ἔην τότε· μεμφομένη δὲ
ἀνδροφόνον Νίκαιαν ὀρεστιὰς ἄχνυτο Νύμφη,
μυρομένη νέκυν Ὕμνον· ἐν εὐύδρωι δὲ μελάθρωι
Ῥυνδακὶς ὑγροφόρητος ἀσάμβαλος ἔστενε κούρη·
Νηιάδες δ' ἔκλαυσαν· ὑπὲρ Σιπύλοιο δὲ γείτων
δάκρυσιν αὐτοχύτοις Νιόβης πλέον ἔστενε πέτρη.
κούρη δ' ὁπλοτάτη, γαμίων ἔτι νῆις Ἐρώτων, L2[I]
μή πω Βουκολίωνος ὁμιλήσασα χαμεύνηι,
Νηὶς Ἀβαρβαρέη νεμεσίζετο πολλάκι νύμφηι·
ἀμφὶ δὲ Δίνδυμον ἄκρον ὁμήλυδες ἐγγύθι λόχμης
Ἀστακίδες μέμψαντο Κυβηλίδος ἤθεα νύμφης,
αἴλινα δ' ἐφθέγξαντο· καὶ οὐ τόσον αἴθοπι πότμωι
Ἡλιάδες Φαέθοντος ἐδακρύσαντο θανόντος.
3 (1C) καὶ φονίης ἀδάμαστον ὀπιπεύων φρένα κούρης
τόξον Ἔρως ἔρριψε, καὶ ὅρκιον ὤμοσε βούτην,
παρθενικὴν ἀέκουσαν ὑποζεῦξαι Διονύσωι.
ὄμμασι δ' ἀκλαύτοισι λεοντείων ἐπὶ δίφρων
Δινδυμὶς ἠιθέοιο δεδουπότος ἔστενε Ῥείη,
μήτηρ Ζηνός, ἄνασσα· καὶ ὀλλυμένου μόρον Ὕμνου
ἡ γάμον ἐχθαίρουσα κινύρετο παρθένος Ἠχώ.
4 καὶ δρύες ἐφθέγξαντο· 'τί σοι τόσον ἤλιτε βούτης;
μή ποτέ σοι Κυθέρειαι, μὴ Ἄρτεμις ἵλαος εἴη.'
ἔδρακε δ' Ἀδρήστεια, μιαιφόνον ἔδρακε κούρην,
ἔδρακεν Ἀδρήστεια νέκυν σπαίροντα σιδήρωι,
καὶ νέκυν ἀρτιδάικτον ἐδείκνυε Κυπρογενείηι,
μέμψατο δ' αὐτὸν Ἔρωτα. καὶ εὐπετάλωι παρὰ λόχμηι
Ὕμνον ἐποικτείροντος ἐλείβετο δάκρυα ταύρου,
καὶ δάμαλις δάκρυσε, καὶ ἔστενεν ἀχνυμένη βοῦς
ποιμένος ἀσπαίροντος, ἔοικε δὲ τοῦτο βοῆσαι·
"βούτης καλὸς ὄλωλε, καλὴ δέ μιν ἔκτανε κούρη. Nonnus
παρθενικὴ ποθέοντα κατέκτανεν, ἀντὶ δὲ φίλτρων
πότμον μισθὸν ἔδωκε, ποθοβλήτου δὲ νομῆος 15.401

ἁβροτέρην ἐδίωκε, καὶ οὐ φυτὸν ἔπλετο Δάφνη.”
Nonnus ὣς φάτο· καὶ σύριγγι σαόφρονος ἐγγύθι κούρης
μάρτυν ἑῆς ὀδύνης, γαμίην ἐμελίζετο μολπήν.
παρθενικὴ δ᾽ ἀγόρευεν ἐπεγγελόωσα νομῆι·
“ἡδὺς ὁ συρίζων Παφίης μέλος ὑμέτερος Πάν·
πολλάκι μέλψεν Ἔρωτα καὶ οὐ πέλε νυμφίος Ἠχοῦς.
ἆ πόσα Δάφνις ἄειδεν ὁ βουκόλος· ἀμφὶ δὲ μολπῆι
παρθένος ἀστιβέεσσιν ἐκεύθετο μᾶλλον ἐρίπναις
ποιμενίης φεύγουσα βοῆς μέλος. ἆ πόσα Φοίβου
ἔκλυε μελπομένοιο καὶ οὐ φρένα θέλγετο Δάφνη.”
ὣς φαμένη δόρυ θοῦρον ἐδείκνυεν ἄφρονι βούτηι.
αὐτὰρ ὁ λυσσήεντι τετυμμένος ἡδέι κέντρωι,
μὴ νοέων, ὅτι τόσσον ἔην ἄστοργος Ἀμαζών,
πομπὸν ἑοῦ θανάτοιο δυσίμερον ἴαχε φωνήν·
“ναί, λίτομαι, προΐαλλε φίλον δόρυ, χιονέη δὲ
κτεῖνέ με σῆι παλάμηι, καὶ τέρπομαι· οὐ σέο λόγχην,
οὐ τρομέω, φυγόδεμνε, τεὸν ξίφος, ὅττι τελευτὴν
ὀξυτάτην ὀπάσειεν, ὅπως ποτὲ πικρὸν ἀλύξω
ἔμπεδον ἕλκος Ἔρωτος, ὑπὸ φρένα βοσκόμενον πῦρ.
τεθναίην, ὅτι πότμος ἐπήρατος· εἰ δὲ βελέμνωι
✦ τοξοφόρος μετὰ Κύπριν ὀιστεύσεις με καὶ αὐτή,
πρὸς Παφίης, μὴ πέμπε κατ᾽ αὐχένος, ἡμετέρην δὲ
σὸν βέλος εἰς φρένα πῆξον, ὅπηι βέλος ἐστὶν Ἐρώτων.
αὐχένι μᾶλλον ἴαλλε τεὸν δόρυ, μὴ φρένα τύψηις·
L3[O] ὠτειλῆς ἑτέρης οὐ δεύομαι. εἰ δέ σε τέρπει,
τλήσομαι ἄλλο βέλεμνον, ὅπως ἐμὲ γαῖα καλύψηι
καὶ πυρὸς ἕλκος ἔχοντα καὶ οὐτηθέντα σιδήρωι.
κτεῖνέ με τὸν δυσέρωτα, τεῆς μὴ φείδεο νευρῆς.
θηλύνεις δὲ σίδηρον, ὅταν ψαύσειας ὀιστῶν·
ἵσταμαι αὐτοκέλευστος ἐγὼ σκοπός, ὄμματι τερπνῶι
δάκτυλα μαρμαίροντα περὶ γλυφίδεσσι δοκεύων,
ἐκταδὸν αὖ ἐρύοντα τεὴν μελιηδέα νευρὴν
δεξιτερῶι ῥοδόεντι πελαζομένην σέο μαζῶι.
θνήσκω νεκρὸς Ἔρωτος ἑκούσιος ἡδέι πότμωι·
οὐκ ἀλέγω θανάτοιο καὶ οὐ τρομέω νέφος ἰῶν,
γυμνὴν ὑμετέρην χιονώδεα χεῖρα δοκεύων
ἁπτομένην τόξοιο καὶ ἱμερόεντος ὀιστοῦ.
εἰς ἐμὲ πάντα βέλεμνα τεῆς προΐαλλε φαρέτρης,
εἰς ἐμὲ πέμπε βέλεμνα μιαιφόνα· πικρότεροι γὰρ
ἄλλοι ἐμὲ κλονέουσι πυριγλώχινες ὀιστοί.
ἢν δὲ κατακτείνηις με τεῶι φρενοθελγέι τόξωι,
παρθένε, μὴ φλέξειας ἐμὸν δέμας ἠθάδι πυρσῶι·
πυρκαϊῆς ἑτέρης οὐ δεύομαι· ἀλλὰ σύ, κούρη,
μοῦνον ἐμοῦ φθιμένωι γλυκερὴν περίχευε κονίην
χειρὶ τεῆι, πυμάτην ὀλίγην χάριν, ὄφρα τις εἴπηι·
‘παρθένος ὡς ἐλέαιρε, τὸν ἔκτανε.’ μηδὲ θανόντος
αὐλὸς ἐμός, μὴ πηκτὶς ἐμῶι περὶ σήματι κείσθω,
ποιμενίην μὴ βάλλε καλαύροπα, μάρτυρα τέχνης·
ἀλλὰ κατακταμένοιο τεὸν βέλος ὑψόθι τύμβου
15.351 πῆξον, ἐμῶι δυσέρωτι λελουμένον εἰσέτι λύθρωι.

86 (49C) καί τις ἀερτάζουσα καλαύροπα μηλοβοτῆρος
Βασσαρίς, ἀφριόωσα λαθίφρονι κύματι λύσσης, Nonnus
Ἰνδὸν ἐρευνητῆρα βαθυπλούτοιο θαλάσσης
τολμηρῆι παλάμηι πολυκαμπέος εἷλκεν ἐθείρης
δούλιον εἰς ζυγόδεσμον. ἐπειγομένου δὲ Λυαίου
δήιον εὐθώρηκα σιδήρεος εἶχεν Ἐρεχθεὺς
ὤμοις ἀκλινέεσσι· μεθυσφαλέος δὲ φορῆος
θῆρα κελαινόρρινον ὀρεστιὰς ἤλασε Βάκχη,
ἰσχία μαστίζουσα δορικτήτων ἐλεφάντων·
καὶ χρυσέην Ὑμέναιος ἀνηέρταζε βοείην
ἀνέρα συλήσας χρυσάσπιδα, γηθόσυνος δὲ
κοῦρον ἐρωμανέεσσιν ἐδέρκετο Βάκχος ὀπωπαῖς
τεύχεσιν ὑπναλέοιο καταυγάζοντα φορῆος·
καὶ νέος ἠκόντιζεν ἐν ἔντεσιν ὄλβιον αἴγλην,
ὡς Λυκίου Γλαύκοιο λαβὼν ἀμάρυσσε μαχηταῖς,
ἀφνειοῖς σακέεσσιν ἀπαστράπτων, Διομήδης.
ἄλλους δ᾽ ἀντιβίους στρατιὴ λῄσσατο Βάκχων,
νήδυμον ὕπνον ἔχοντας ὁμόστολον ἡδέος οἴνου.
ἔνθά τις ἀγκυλότοξος, ἐρημάδι σύννομος ὕληι,
παρθένος Ἀστακίδεσσιν ὁμότροφος ἤνθεε Νύμφαις
καλλιφυὴς Νίκαια, λαγωβόλος Ἄρτεμις ἄλλη,
ἀλλοτρίη φιλότητος, ἀπειρήτη Κυθερείης,
θῆρας ὀιστεύουσα καὶ ἰχνεύουσα κολώναις·
οὐδὲ μυχῶι θυόεντι καλύπτετο παρθενεῶνος.
καί οἱ ἐνὶ σκοπέλοισιν ἐρημονόμωι παρὰ πέζηι
ἠλακάτη πέλε τόξον, ἀεὶ δέ οἱ ἔνδοθι λόχμης L3[O]
μηκεδανοὶ κλωστῆρες ἔσαν πτερόεντες ὀιστοί,
καὶ σταλίκων ξύλον ὀρθὸν ὀρειάδος ἱστὸς Ἀθήνης·
καὶ καθαρῆι συνάεθλος ὁμίλεεν ἰοχεαίρηι,
καὶ λίνον ἐν σκοπέλοισιν ἀνέπλεκεν ἠθάδος ἄγρης
νήματος ἀσκητοῖο φιλαίτερον· οὔ ποτε τόξωι
4 (2C) ποικίλον εἶδος ἔχοντος ἀνάλκιδος ἥπτετο νεβροῦ,
δορκάδας οὐκ ἐδίωκε, καὶ οὐκ ἔψαυε λαγωοῦ,
ἀλλὰ περιζεύξασα δαφοινήεντι χαλινῶι
γλαυκὰ δασυστέρνων ἐπεμάστιε νῶτα λεόντων,
πολλάκι δ᾽ ἔγχος ἄειρε καταντία λυσάδος ἄρκτου·
μέμφετο δ᾽ ἰοχέαιραν ἐκηβόλον, ὅττι λιποῦσα
στικτῶν πορδαλίων γενεὴν καὶ φῦλα λεόντων
5 οὐτιδανοῖς ἐλάφοισιν ἑὴν ἔζευξεν ἀπήνην.
οὐδὲ μύρωι μεμέλητο, μελικρήτων δὲ κυπέλλων
ὑδατόεν προβέβουλε χαραδραίης πόμα πηγῆς
ψυχρὸν ὕδωρ προχέουσα· καὶ αὐτορόφωι κενεῶνι
κούρης δύσβατος οἶκος ἐρημάδες ἦσαν ἐρίπναι·
πολλάκι δ᾽ εὐκαμάτοιο μετὰ δρόμον ἠθάδος ἄγρης
πορδαλίων σχεδὸν ἧστο, μιῆι δ᾽ ὑπὸ κοιλάδι πέτρη
μίμνε μεσημβρίζουσα λεχωίδος ἄγχι λεαίνης·
ἡ δὲ γαληναίηισιν ὑπ᾽ ὀφρύσι μειλιχίη θὴρ
ἁβρύπτοις γενύεσσι δέμας λιχμάζετο κούρης,
καὶ κινυρῆς μίμημα κυνὸς δειδήμονι λαιμῶι
ὠμοτόκου στόμα λάβρον ὑπεκνυζᾶτο λεαίνης 15.200

χείλεϊ φειδομένωι, δοκέων δέ μιν Ἄρτεμιν εἶναι 87 (50C)
εἰς πέδον ἱκεσίοιο καθελκομένοιο καρήνου
αὐχένι λαχνήεντι λέων ἐκλίνετο νύμφηι.
καί τις ἐνὶ ξυλόχοις ὀρεσίτροφος ἤνθεε βούτης,
ἰθυτενής, περίμετρος, ὑπέρτερος ἥλικος ἥβης·
οὔνομά οἱ πέλεν Ὕμνος, ὃς ἀγριάδος μέσον ὕλης
ἱμερτὰς ἐνόμευε βόας παρὰ γείτονι κούρηι·
καὶ νομίην ἐρατῆισι καλαύροπα χερσὶ τινάσσων
εἰς βαθὺν ἦλθεν ἔρωτα καὶ οὐκέτι τέρπετο ποίμνηι,
εἴκελος Ἀγχίσηι ῥοδοειδέι, τοῦ ποτε Κύπρις
ἀργεννὴν ἐνόμευεν ὀρεσσινόμων στίχα ταύρων
κεστὸν ἐλαφρίζουσα βοοσσόον· ἀμφὶ δὲ λόχμην
βουκόλος ἀγρώσσουσαν ἰδὼν χιονώδεα κούρην
οὐ βοέης ἀγέλης ἐμπάζετο· φοιταλέη δὲ
εἰς ἕλος αὐτοκέλευστος ἐβόσκετο πόρτις ἐρήμη
ἀρχαίου δυσέρωτος ἀποπλαγχθεῖσα νομῆος,
καὶ δαμάλη πεφόρητο περισκαίρουσα κολώναις
ποιμένα μαστεύουσα· νέος δ᾽ ἐπλάζετο βούτης
παρθενικῆς ὀρόων ῥοδοειδέα κύκλα προσώπου.
καὶ δολόεις ἐρέθιζεν Ἔρως ποθέοντα νομῆα
οἴστρωι λαβροτέρωι δεδονημένον· ἐν σκοπέλοις γὰρ
◆ παρθενικῆς ἀκίχητον ἐπεσσυμένης δρόμον ἄγρης
πέπλον ὅλον κόλπωσεν ἐς ἠέρα κοῦφος ἀήτης·
καὶ χροὸς ἤνθεε κάλλος· ἐλευκαίνοντο δὲ μηροὶ
καὶ σφυρὰ φοινίσσοντο, καὶ ὡς κρίνον, ὡς ἀνεμώνη
L3[I] χιονέων μελέων ῥοδόεις ἀνεφαίνετο λειμών·
καὶ νέος ἱμερόφοιτος ἔχων ἀκύρητον ὀπωπὴν
228 ἀσκεπέων ἐδόκευεν ἐλεύθερον ἄντυγα μηρῶν
230 βότρυν ὀπισθοπόροιο κόμης ἐλέλιζεν ἀήτης
κουφίζων ἑκάτερθεν, ἀειρομένων δὲ κομάων
λευκοφαὴς σελάγιζε μέσος γυμνούμενος αὐχήν.
καὶ νέος οὐρεσίφοιτος ὁμάρτεε πολλάκι κούρηι, 5 (3C)
πῆι μὲν ἐπιψαύων σταλίκων ἢ τόξον ἀφάσσων,
πῆι δὲ ποθοβλήτοιο τιταινομένοιο βελέμνου
ἱμερτῆς ἐδόκευε ῥοδόχροα δάκτυλα κούρης·
εἴ ποτε τοξεύουσα κέρας κυκλώσατο νευρῆι,
καὶ παλάμη γυμνοῦτο, λαθὼν νέος ὄμματι λοξῶι
λευκὸν ὀιστευτῆρα βραχίονα δέρκετο κούρης,
ὄμμα παλινδίνητον ἄγων, ὀχετηγὸν Ἐρώτων, 6
εἰ τόσον, ὡς Νίκαια, πέλεν λευκώλενος Ἥρη·
Ἑσπερίην δ᾽ ἐπὶ πέζαν ἑὴν ἐτίταινεν ὀπωπήν,
εἰ πλέον ἀργυφέη πέλε παρθένος, ἠὲ Σελήνη.
καὶ νέος, ἀμφιέπων ὑποκάρδιον ἕλκος Ἐρώτων,
ἐγγὺς ἐὼν καὶ νόσφιν ἐὼν ἐμνώετο κούρης,
πῶς βέλος εἰς σκοπὸν εἷλκεν ὀρειάδος ἀντίον ἄρκτου,
πῶς δὲ λεοντείηι παλάμην ἐσφίγξατο δειρῆι
δίζυγα γυρώσασα βραχίονα μάρτυρι δεσμῶι,
 πῶς πάλιν ἱδρώουσα λοέσσατο χεύματι πηγῆς
ἡμιφανής, καὶ μᾶλλον ἀεὶ μιμνήσκετο πέπλου,
 ὁππότε μιν δονέων καὶ ἐς ὀμφαλὸν ἄχρις ἀείρων

γυμνώσας χροὸς ἄνθος ἀνηκόντιζεν ἀήτης·
κείνου μνῆστιν ἔχων γλυκερὰς ἱκέτευεν ἀέλλας,
ὄφρα πάλιν βαθύκολπον ἀναστείλωσι χιτῶνα.
καὶ νέος ἀστήρικτος ἐυκραίρωι παρὰ ποίμνηι
γείτονα θηρεύουσαν ἰδὼν ὑψαύχενα κούρην
τοῖον ἀπερροίβδησεν ἔπος ζηλήμονι φωνῆι·
"αἴθε βέλος γενόμην ἢ δίκτυον ἠὲ φαρέτρη,
αἴθε βέλος γενόμην θηροκτόνον, ὄφρά με γυμναῖς
χερσὶν ἐλαφρίσσειεν· ὀπισθοτόνοιο δὲ τόξου
εἴην νεῦρα βόεια πολὺ πλέον, ὄφρά με μαζῶι
χιονέωι πελάσειε σαόφρονος ἔκτοθι μίτρης,
ναὶ δαμάλη, ναὶ μόσχε, σαόφρονος ἔκτοθι μίτρης.
παρθένε, κουφίζεις βέλος ὄλβιον· ὑμέτεροι δὲ
Ὕμνου μηλονόμοιο μακάρτεροί εἰσιν ὀιστοί,
ὅττι τεῶν ψαύουσιν ἐρωτοτόκων παλαμάων.
σοῖς γλυκεροῖς σταλίκεσσιν ἀφωνήτοισι μεγαίρω·
οὐδὲ μόνον σταλίκων με φέρει πόθος· ἀλλὰ καὶ αὐτοῦ
ζῆλον ἔχω τόξοιο καὶ ἀπνεύστοιο φαρέτρης.
αἴθε μεσημβρίζουσα ποθοβλήτωι παρὰ πηγῆι
γυῖα καταψύξειεν, ἴδω δ᾽ ὑψαύχενα κούρην,
ναὶ δαμάλη, ναὶ μόσχε, δίχα φθονεροῖο χιτῶνος.
οὔ πώ μοι, Κυθέρεια, τόσην ὤικτειρας ἀνάγκην;
Θρινακίην οὐκ οἶδα καὶ οὐ κεραελκέα ποίμνην,
οὐ βόας Ἠελίοιο κατ᾽ οὔρεα ταῦτα νομεύω,
οὐ κρυφίην ἤγγειλε πατὴρ ἐμὸς Ἄρεος εὐνήν. L3[I]
παρθένε, μή με δίωκε, καὶ εἰ βόας εἰς νομὸν ἕλκω·
οὐρανίων λεχέων ἐπιβήτορές εἰσι νομῆες·
Τιθωνὸς ῥοδόεις πέλε νυμφίος, ὃν διὰ μορφὴν
δίφρον ἑὸν στήσασα φαεσφόρος ἥρπασεν Ἠώς·
καὶ Διὸς οἰνοχόος πέλε βουκόλος, ὃν διὰ κάλλος
φειδομένοις ὀνύχεσσιν ἐκούφισεν ὑψιπέτης Ζεύς.
δεῦρο, βόας ποίμαινε, καὶ ὁπλοτέρην σε καλέσσω
ἄλλωι βουκολέοντι σὺν Ἐνδυμίωνι Σελήνην·
ῥῖπτε βέλος καὶ ψαῦε καλαύροπος, ὄφρά τις εἴπηι·
'Ὕμνου μηλονόμοιο βόας Κυθέρεια νομεύει.'"
ὣς φάτο καὶ λιτάνευε, φίλων δ᾽ ἐδράξατο γούνων
χερσὶ γυναιμανέεσσι, καὶ ἕσπετο, καί οἱ ἐνίψαι
ἔτρεμεν οἶστρον Ἔρωτος, ἑῆι δ᾽ ὑπεμέμφετο σιγῆι.
καί ποτε θάρσος ἔχων γαμίων ὑποεργὸν Ἐρώτων
κείμενα Νικαίης ἀνεκούφισεν ἔντεα θήρης,
καὶ δόρυ θοῦρον ἄειρε, πόθου δ᾽ ὑπὸ μείζονι κέντρωι
κούρης χωομένης γλυκερὴν ἤειρε φαρέτρην,
καὶ κύσε δίκτυα κωφὰ καὶ οὐ πνείοντας ὀιστούς,
χείλεσι τερπομένοισι μιαιφόνον ἰὸν ἐρείσας,
καὶ στέρνοις ἐπέλασσεν ἀφειδέι χειρὶ πιέζων·
καί τινα μῦθον ἔειπεν ἀδουπήτωι τινὶ φωνῆι·
"πρὸς Παφίης, φθέγξασθε πάλιν, δρύες, ὡς ἐπὶ Πύρρης,
ὡς ἐπὶ Δευκαλίωνος, ἐλέγξατε λυσσάδα κούρην.
Δάφνη καὶ σὺ φίλη, δενδρώδεα ῥῆξον ἰωήν·
αἴθε καλὴ Νίκαια πάρος πέλε, καί κεν Ἀπόλλων

καὶ Σταφύλου σπεύδοντος ἔην ταχυεργὸς ἀπειλὴ
δμωσὶν ἀμοιβαίοισιν· ἐπερρώοντο δὲ πολλοὶ
εἰλαπίνης δρηστῆρες· ἐδαιτρεύοντο δὲ ταῦροι
καὶ νομάδων ὀίων λιπαραὶ στίχες. ἦν δὲ χορείη·
καὶ δόμον εὐφόρμιγγα θυώδεες ἔπνεον αὖραι,
εὐόδμου δὲ πόληος ἀνεκνίσσωσαν ἀγυιάς·
ἀμφιλαφεῖς δ᾽ ἐμέθυσσαν ὅλον δόμον ἰκμάδες οἴνου.
κύμβαλα δ᾽ ἐπλατάγησε, παρ᾽ εὐκελάδωι δὲ τραπέζηι
Πανιάδες σύριγγες ἐβόμβεον, ἔβρεμον αὐλοὶ
συμπλεκέες, καὶ κύκλος ἐριγδούποιο βοείης
διχθαδίοις πατάγοισιν ἐπεσμαράγησε μελάθρωι,
καὶ κτύπος ἦν κροτάλων ἐπιδόρπιος. ἐν δ᾽ ἄρα μέσσωι
οἰνοβαρὴς τρομεροῖο φέρων ποδὸς ἄστατον ὁρμὴν
ἤιεν ἔνθα καὶ ἔνθα Μάρων, δεδονημένος οἴστρωι,
ὄρθιον ἐκ δαπέδοιο παλίσσυτον ἴχνος ἑλίσσων,
χεῖρας ἑὰς διδύμων Σατύρων ὑπὲρ ὦμον ἐρείσας
μεσσοφανής· ἑτέρου δὲ ποδὸς κουφίζετο παλμῶι
ἀλλοτρίωι, ξανθωπὸν ἔχων χρόα, μεσσόθι πέμπων
πορφυρέας ἀκτῖνας ὅλωι στίλβοντι προσώπωι,
ἀντίτυπον μίμημα Σεληναίηισι κεραίαις,
λαιῆι μὲν νεόδαρτον ἐθήμονος ἔγκυον οἴνου
αὐχενίωι ζωστῆρι περίπλοκον ἀσκὸν ἀείρων,
✦ δεξιτερῆι δὲ κύπελλον· ἐκυκλώσαντο δὲ Βάκχαι
γηραλέον σκαίροντα ποδῶν ἑτεραλκέι ταρσῶι,
οἷα πεσεῖν μέλλοντα τιναssομένοιο καρήνου,
L1[O] οὔ ποτε πεπτηῶτα. μεθυσφαλέες δὲ καὶ αὐτοὶ
ἀμφίπολοι καὶ δμῶες ἐβακχεύοντο χορείηι,
γευσάμενοι πρώτιστον ἀήθεος ἡδέος οἴνου.
  καὶ Σταφύλου βασιλῆος ἀριστώδινα γυναῖκα
Βακχιὰς ἀμπελόεσσα Μέθην ἐμέθυσσεν ἐέρσηι·
ἡ δὲ καρηβαρέουσα πιεῖν πάλιν ἤιτεε Βάκχας,
οἰνοδόκον κρητῆρα περισκαίρουσα Λυαίου·
καὶ κεφαλὴν ἐλέλιζε μετήλυδα δίζυγι παλμῶι,
ὤμωι ἐπικλίνουσα κόμην ἑτεραλκέι ῥιπῆι
ἄστατος, ἔνθα καὶ ἔνθα παλίντροπος· ἀμφὶ δὲ γαίηι
πυκνὰ πεσεῖν μέλλουσαν ὀλισθηροῖσι πεδίλοις
θυιάδα χερσὶ λαβοῦσα Μέθην ὠρθώσατο Βάκχη.
καὶ Στάφυλος μεμέθυστο· φιλακρήτωι δὲ κυπέλλωι
Βότρυος οἰνωθέντος ἐφοινίσσοντο παρειαί·
καὶ πάις ἀρτιγένειος ἅμα Σταφύλωι γενετῆρι
ἀπλεκέας πλοκαμῖδας ἀήθεϊ δήσατο κισσῶι
μιτρώσας στεφανηδόν· ἐπ᾽ ἴχνεσι δ᾽ ἴχνος ἀμείβων
ποσσὶν ὁμοζήλοισιν ἕλιξ ὠρχήσατο Βότρυς,
δεξιὸν ἐκ λαιοῖο μετήλυδα ταρσὸν ἑλίσσων·
καὶ Στάφυλος σκίρτησε ποδῶν βητάρμονι παλμῶι,
καμπύλον ἴχνος ἄγων τροχαλῶι κυκλούμενον ὁλκῶι,
Βότρυος ὀρχηστῆρος ἐπ᾽ αὐχένι πῆχυν ἐρείσας·
καὶ ποτὸν εὐφήμησε χοροπλεκέος Διονύσου
ἄστατος, ἔνθα καὶ ἔνθα καθειμένα βόστρυχα σείων
ὤμωι ἐπαΐσσοντα· Μέθη δ᾽ ἐχόρευε καὶ αὐτή,
πῆχυν ἐπικλίνουσα καὶ υἱέι καὶ παρακοίτηι,

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the sisxteeth, I sing Nicaia the bride, in her sleep the bedfellow of unresting Dionyus.

NONNUS

DIONYSIACA

BOOK 16

PREVIEW BOOK 18

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 405 lines 3.0
3L 1 - 405

PRINT 2-SIDED: 99 to 104

Οὐδὲ φόνος νήποινος ἔην κινυροῖο νομῆος,
ἀλλὰ λαβὼν ἑὰ τόξα καὶ ἱμερόεν βέλος ἕλκων
θοῦρος Ἔρως ἀίδηλος ἐθωρήχθη Διονύσωι
ἑζομένωι παρὰ χεῖλος ἐυκροκάλου ποταμοῖο.
✦ καὶ ταχινὴ Νίκαια, μετὰ δρόμον ἠθάδος ἄγρης
ἄσχετον ἱδρώουσα φιλοσκοπέλων ἀπὸ μόχθων,
γυμνὸν ὀρεσσιχύτοισι δέμας φαίδρυνε λοετροῖς.
οὐ μὲν Ἔρως δήθυνεν ἑκηβόλος· ἀμφὶ δὲ νευρῆι
ἀκροφανῆ πώγωνα βαλὼν πτερόεντος ὀιστοῦ
τόξον ἑὸν κύκλωσεν, ἐρωμανέος δὲ Λυαίου
ἐν κραδίηι κατέπηξεν ὅλον βέλος. ἐν δὲ ῥεέθροις
νηχομένην Διόνυσος ἰδὼν γυμνόχροα κούρην
ἡδυμανῆ πυρόεντι νόον δεδόνητο βελέμνωι.
ἤιε δ' ἔνθα καὶ ἔνθα, λαγωβόλος ὁππόθι κούρη,
πῆι μὲν ὀπιπεύων ἑλικώδεα βόστρυχα χαίτης
εἰς δρόμον ἱεμένης δεδονημένα κυκλασιν αὔραις,
πῆι δὲ παρελκομένων πλοκάμων στίλβοντα δοκεύων
αὐχένα γυμνωθέντα, σέλας πέμποντα Σελήνης·
καὶ Σατύρων ἀμέλησε καὶ οὐκέτι τέρπετο Βάκχαις·
παπταίνων δ' ἐς Ὄλυμπον ἐρωτοτόκωι φάτο φωνῆι·
"ἵξομαι, ἧχι πέλει δροσερὸς δρόμος, ἧχι φαρέτρη,
ἧχι βέλος καὶ τόξον ἐπήρατον, ἧχι καὶ αὐταὶ
παρθενικῆς ἀγάμοιο μύρου πνείουσι χαμεῦναι·
ψαύσω καὶ σταλίκων καὶ δίκτυα χερσὶ πετάσσω·
ἀγρώσσω καὶ ἔγωγε καὶ ἠθάδα νεβρὸν ὀλέσσω.
L1[I] εἰ δέ μοι ὡς βαρύθυμος ὀνειδίσσειεν Ἀμαζὼν
θῆλυν ἐρευγομένη μελιηδέος ὄγκον ἀπειλῆς,
κούρης χωομένης ἐπὶ γούνασι χεῖρα πελάσσω,
ψαύων ὡς ἱκέτης ἐρατοῦ χροός, οὐ μὲν ἐλαίης
θαλλὸν ἀερτάζων, ὅτι δένδρεόν ἐστιν Ἀθήνης
παρθενικῆς ἀγάμου καὶ ἀθελγέος, ἀντὶ δὲ πικροῦ
ἀκρεμόνος λιπόωντος ἐμῆι μελιηδέι νύμφηι 1
οἴνοπα καρπὸν ἔχοντα μελιρραθάμιγγος ὀπώρης
βότρυν ἀερτάζων ἱκετήσιον. ἢν δὲ χαλέψηι
παρθένος ἀγκυλότοξος, ἐμῶι χροῒ μὴ δόρυ πήξηι,
μὴ βέλος αὖ ἐρύσειε μιαιφόνον, αἰδομένη δὲ
ἀκροτάτωι πλήξειεν ἐμὸν δέμας ἡδέι τόξωι·
πληγῆς οὐκ ἀλέγω φρενοθελγέος. ἢν δ' ἐθελήσηι,
ἱμερταῖς παλάμηισιν ἐμῶν δράξαιτο κομάων, 2
σφιγγομένης ἐρύουσα θελήμονα βόστρυχα χαίτης.
οὐ μὲν ἐρητύσω ποτὲ παρθένον, ὡς κοτέων δὲ
δεξιτερὴν σφίγγουσαν ἀφειδέι χειρὶ πιέζω
δάκτυλα φοινίσσοντα λαβὼν γαμψώνυχι δεσμῶι,
Κυπριδίου καμάτοιο παρήγορα· παρθενικὴ γὰρ
κάλλος ὅλον σύλησεν Ὀλύμπιον. ἵλαθι, Κέρνη·
Ἀστακὶς ἐβλάστησε νέη ῥοδοδάκτυλος Ἠώς,
ἄλλη ἀνηέξητο φαεσφόρος· ὁπλοτέρη γὰρ
Nonnus ἔμπεδον εἶδος ἔχουσα πέλει Νίκαια Σελήνη.
ἤθελον ἱμείρων πολυδαίδαλον εἶδος ἀμεῖψαι·
εἰ μὴ ἐρητύει με σέβας πατρώιον αἰδοῦς,

ἤλασε πάτριον ἅρμα, καὶ ἡγεμόνευε Λυαίωι
Ἀσσυρίην ἐπὶ γαῖαν· ἐπαυχενίοις δὲ λεπάδνοις
χρύσεα Μυγδονίοιο δεδεγμένος ἡνία δίφρου
ἡνίοχος Βρομίοιο Μάρων, ἀκόρητος ἱμάσθλης
θηρονόμου μάστιγος ἀφειδέα ῥοῖζον ἰάλλων,
πορδαλίων ἤλαυνεν ἀελλήεσσαν ἀπήνην·
καὶ Σάτυροι προθέοντες ἀνεκρούσαντο χορείην,
ἀμφιπερισκαίροντες ὀρίδρομον ἅρμα Λυαίου·
πολλὴ δ' ἔνθα καὶ ἔνθα φιλάνθεμος ἔτρεχε Βάκχη
δύσβατον οἶμον ἔχουσα βατῶι ποδί, καὶ πτύχα πέτρης
στεινὴν κλιμακόεσσαν ἐμέτρεεν ὠκέι ταρσῶι,
καὶ παλάμηι κροτάλιζε καὶ εὐρύθμοισι πεδίλοις,
μόχθον ὑποκλέπτουσα βαθυκρήμνοιο κελεύθου,
οἰστρομανής· καὶ Πᾶνες ἐθήμονος ὑψόθι πέτρης
ποσσὶν ἐυκνήμισιν ἐπωρχήσαντο κονίηι,
ἀστιβέος πρηῶνα διαστείχοντες ἐρίπνης.
ἀλλ' ὅτε νισσομένοισι φάνη βασιλήιος αὐλὴ
τηλεφανὴς στίλβουσα λίθων ἑτερόχροϊ κόσμωι,
εὐχαίτης τότε Βότρυς ὄχον πατρώιον ἐάσας
εἰς δόμον ὠκυπέδιλος ἔβη, προκέλευθος ὁδίτης,
ἐντύνων ἅμα πάντα, φιλοστόργωι δὲ μενοινῆι
ὄφρα μὲν εἰσέτι Βότρυς ἐκόσμεε δαῖτα Λυαίωι, down 1
ὥπλισε πιαλέης ἑτερότροπα δεῖπνα τραπέζης.
τόφρα δὲ ποικιλόδωρος ἄναξ ἐπεδείκνυε Βάκχωι
κάλλεα τεχνήεντα λιθοστρώτοιο μελάθρου,
τῶν ἄπο μαρμαρέη πολυδαίδαλος ἔρρεεν αἴγλη, L1[I]
σύγχροος ἠελίοιο καὶ ἀντιτύποιο σελήνης·
τοῖχοι δ' ἀργυρέοισιν ἐλευκαίνοντο μετάλλοις,
καὶ μερόπων σπινθῆρας ἐπαστράπτουσα προσώπωι
λύχνις ἔην, λύχνοιο φερώνυμος· εἶχε καὶ αὐτὴν
οἶκος ἐρευθιόωντι κεκασμένος αἴθοπι πέτρωι
οἰνωπὴν ἀμέθυστον ἐρειδομένην ὑακίνθωι·
αὐγὴν δ' αἰθαλόεσσαν ἀπέπτυεν ὠχρὸς ἀχάτης,
καὶ φολίδων στικτοῖσι τύποις ἀμάρυσσεν ὀφίτης·
Ἀσσυρίη δὲ μάραγδος ἀνήρυγεν ἔγχλοον αἴγλην.
κιονέηι δὲ φάλαγγι περιστρωθέντα μελάθρων
χρύσεα δουρατέης ἐρυθαίνετο νῶτα καλύπτρης
ἀφνειοῖς ὀρόφοισι· πολυσχιδέων δὲ μετάλλων
φαιδρὸν ἐυψήφιδι πέδον ποικίλλετο τέχνηι·
καὶ πυλεὼν περίμετρος ἐυγλύπτωι τινὶ δούρωι
λεπτοφυῆ τύπον εἶχε νεοπρίστων ἐλεφάντων.
τοῖα γέρων σκηπτοῦχος ἐδείκνυε μάρτυρι Βάκχωι·
καὶ μόγις ἴχνος ἔκαμψεν ἔσω θεοδέγμονος αὐλῆς
χειρὸς ἔχων Διόνυσον· ὁ δὲ βραδυπειθέι ταρσῶι
πλαζομένην ἑλικηδὸν ἑὴν ἐτίταινεν ὀπωπήν·
καὶ θεὸς ἀστερόεσσαν ἐθάμβεεν ἤνοπι κόσμωι
ξεινοδύκου βασιλῆος ἰδὼν χρυσήλατον αὐλήν.
ἀμφιπόλους δ' οἴστρησεν ἄναξ καὶ δμῶας ἐπείγων, Nonnus
ταύρων ζατρεφέων ἀγέλην καὶ πώεα μήλων
δαιτρεύειν Σατύροισι βοοκραίρου Διονύσου.

κούρην νυκτιχόρευτον, ἐφεσπομένην Διονύσωι,
Nonnus τερπομένην κροτάλοισι καὶ ἀμφιπλῆγι βοείηι.
  καὶ πόλιν εὐλάιγγα φιλακρήτωι παρὰ λίμνηι
τεῦξε θεὸς Νίκαιαν, ἐπώνυμον ἣν ἀπὸ νύμφης
16.405 ✦ Ἀστακίης ἐκάλεσσε καὶ Ἰνδοφόνον μετὰ νίκην.
18.1 Ἤδη δὲ πτερόεσσα πολύστομος ἵπτατο Φήμη
Ἀσσυρίης στίχα πᾶσαν ὑποτροχόωσα πολήων,
οὔνομα κηρύσσουσα κορυμβοφόρου Διονύσου,
καὶ θρασὺν Ἰνδὸν Ἄρηα καὶ ἀγλαόβοτρυν ὀπώρην.
  καὶ Στάφυλος Σατύρων στρατιὴν ἀσίδηρον ἀκούων
ὄργιά τ' ἀμπελόεντα καὶ Εὔια θύσθλα Λυαίου
Βάκχον ἰδεῖν μενέαινε· καὶ υἱέα Βότρυν ἐπείγων
κοίρανος Ἀσσυρίων ἀνεμώκεος ὑψόθι δίφρου
ἤντετο βοτρυόεντι παρερχομένωι Διονύσωι.
τὸν μὲν ἰδὼν ἐπιόντα καὶ ἀγυρόκυκλον ἀπήνην
πορδαλίων τε λέπαδνα καὶ ἡνία φαιδρὰ λεόντων
Βότρυς ἀκερσικόμης ἀνεσείρασεν ἅρμα τοκῆος·
καὶ Στάφυλος σκηπτοῦχος ἑοῦ κατεπήλατο δίφρου
πορδαλίων στατὸν ἴχνος ὀπιπεύων Διονύσου·
καὶ ποδὸς ὀκλάζοντος ἐπὶ χθονὸς ἴχνος ἐρείδων,
θαλλὸν ἐλαιήεντα θεουδέι χειρὶ τιταίνων
{...} καὶ φιλίωι Διόνυσον ἄναξ μειλίξατο μύθωι·
✦ "πρὸς Διὸς ἱκεσίοιο, τεοῦ, Διόνυσε, τοκῆος,
πρὸς Σεμέλης θεόπαιδος, ἐμὸν μὴ παῖδα παρέλθηις.
ἔκλυον, ὡς ὑπέδεκτο τεὸν γενετῆρα Λυκάων,
L2[O] αὐτὸν ὁμοῦ μακάρεσσι, καὶ υἱέα χειρὶ δαΐξας
Νύκτιμον ἀγνώσσοντι τεῶι παρέβαλλε τοκῆι,
καὶ Διὶ παμμεδέοντι μιῆς ἔψαυσε τραπέζης,
Ἀρκαδίης παρὰ πέζαν· ὑπὲρ Σιπύλου δὲ καρήνων
Τάνταλος, ὡς ἐνέπουσι, τεὸν ξείνισσε τοκῆα,
δαιτρεύσας δ' ἑὸν υἷα θεοῖς παρέθηκεν ἐδωδήν·
καὶ Πέλοπος πλατὺν ὦμον, ὅσον θοινήσατο Δηώ,
μορφώσας ἐλέφαντι, νόθωι τεχνήμονι κόσμωι,
υἱέα δαιτρευθέντα πάλιν ζώγρησε Κρονίων,
ἔμπαλιν ἀλλήλοις μεμερισμένα γυῖα συνάπτων.
ἀλλὰ τί σοι, Διόνυσε, Λυκάονα παιδοφονῆα
ξεινοδόκον μακάρων, καὶ Τάνταλον ἠεροφοίτην
νεκταρέων ὀνόμηνα δολόφρονα φῶρα κυπέλλων,
δήιον ἀμβροσίης καὶ νέκταρος ἄνδρα πιφαύσκων;
Ζῆνα καὶ Ἀπόλλωνα μιῆι ξείνισσε Μακελλώ
{...} καὶ Φλεγύας ὅτε πάντας ἀνερρίζωσε θαλάσσηι
νῆσον ὅλην τριόδοντι διαρρήξας ἐνοσίχθων,
ἀμφοτέρας ἐφύλαξε καὶ οὐ πρήνιξε τριαίνηι.
καὶ σύ, φέρων μίμημα τεοῦ ξενίοιο τοκῆος,
εἰς μίαν ἠριγένειαν ἐμῶν ἐπίβηθι μελάθρων·
δὸς χάριν ἀμφοτέροις, καὶ Βότρυϊ καὶ γενετῆρι."
  ὣς εἰπὼν παρέπεισεν· ἑῶι δ' ἐποχήσατο δίφρωι,
ὀλβίζων ἑὸν οἶκον, ἐφεσπομένου Διονύσου·
καὶ θρασὺς ἱππείην ἀνεκούφισε Βότρυς ἱμάσθλην,
18.45 Ταυρείην δ' ἑλικηδὸν ἐρημέδα πέζαν ὁδεύων

89
καί κεν ἐγὼ Τυρίοιο δι' ὕδατος ὑγροπόρος βοῦς
ἄβροχον ἐν πελάγεσσιν ἐμὴν Νίκαιαν ἀείρων Nonnus
ἔπλεον, Εὐρώπης ἅτε νυμφίος, ὡς ἀέκων δὲ
νῶτον ἐμὸν δονέεσκον, ὀρινομένης ἵνα κούρης
δεξιτερὴ πάνλευκος ἐμῆς δράξαιτο κεραίης.
ἤθελον, εἰ γενόμην πτερόεις πόσις, ὄφρα χορεύσω
κρουφίζων ἀτίνακτον ὑπὲρ νώτοιο γυναῖκα,
ὡς Κρονίδης Αἴγιναν, ὅπως μετὰ λέκτρα τελέσσω
Αἰετὸν ὄρνεον ἄλλο γαμοστόλον ἄστρον Ἐρώτων.
οὐ μὲν ἐμῆς ἀλόχοιο βαλὼν γενετῆρα κεραυνῶι
νύμφη πατρὸς ὄλεθρον ἀτάσθαλον ἕδνον ὀπάσσω,
μὴ γλυκερὴν Νίκαιαν ἀποφθιμένοιο χαλέψω.
αἴθε πέλον νόθος ὄρνις εὔπτερος, ὅττι καὶ αὐτὴ
παρθένος ἡμετέρη φιλέει πτερόεντας ὀιστούς.
μᾶλλον ἐγὼ Δανάης ποθέων τύπον ὑγρὸν ἐρώτων
ἤθελον, εἰ χρύσειος ἐγὼ πέλον ὄμβρος ἀκοίτης,
αὐτὸς δῶρα γάμων, αὐτὸς πόσις, ὄφρα χορεύσω
ἀφνειῆς προχέων φιλοτήσιον ὄμβρον ἐέρσης·
ἔπρεπε γὰρ Νίκαιαν ἐμὴν εὐώπιδα κούρην
χρύσεον εἶδος ἔχουσαν ἔχειν χρύσειον ἀκοίτην."
  τοῖον ἐρωμανέων ἔπος ἴαχε θυιάδι φωνῆι.
καί ποτε κηώεντος ἔσω λειμῶνος ὁδεύων
ἄνθεα πάντα δόκευε τεθηλότα σύγχροα κούρης,
καί τινα μῦθον ἔειπεν ἐς ἠερόεντας ἀήτας·
  "ἄρτι μόγις, Νίκαια, τεὴν ἴδον ἐνθάδε μορφήν·
μὴ σέο κάλλος ἄμειψας ἐς ἄνθεα; καλλιφυῆ γὰρ L2[O]
παπταίνων ῥοδεῶνα τεὰς ἐνόησα παρειάς·
ἀλλὰ τεὸν θαλέει ῥόδον ἔμπεδον· ἀμφιέπεις γὰρ
ἔμφυτον οὐ λήγουσαν ἐρευθομένην ἀνεμώνην·
εἰς κρίνον ὄμμα φέρων χιονώδεας εἶδον ἀγοστούς,
ἀθρήσας δ' ὑάκινθον ἴδον κυανόχροα χαίτην.
2
δέξό με θηρεύοντα συνέμπορον· ἢν δ' ἐθελήσηις,
αὐτὸς ἐγὼ σταλίκων γλυκερὸν βάρος, αὐτὸς ἀείρω
ἐνδρομίδας καὶ τόξα καὶ ἱμερόεντας ὀιστούς,
αὐτὸς ἐγώ· Σατύρων οὐ δεύομαι· οὐ παρὰ λόχμηι
δίκτυα Κυρήνης ἀνεκούφισεν αὐτὸς Ἀπόλλων;
τίς φθόνος, εἰ μεθέπω καὶ ἐγὼ λίνον; οὐ μογέω δὲ
αὐτὸς ἐμοῖς ὤμοισιν ἐμὴν Νίκαιαν ἀείρων.
3
οὐ μὲν ἐγὼ γενετῆρος ὑπέρτερος· ἐν ῥοθίοις γὰρ
Εὐρώπην ἀδίαντον ἐκούφισε ποντοπόρος βοῦς.
παρθενικὴ ῥοδόεσσα, τί σοι τόσον εὔαδεν ὕλη;
σῶν ἐρατῶν μελέων περιφείδεο, μηδ' ἐπὶ πέτραις
ἀστορέες σέο νῶτα κατατρίψωσι χαμεῦναι.
ἔσσομαι, ἢν ἐθέληις, θαλαμηπόλος· ἐν δὲ μελάθρωι
αὐτὸς ἐγὼ στορέσω σέο δέμνια, τοῖσι πετάσσω
δέρματα πορδαλίων πολυδαίδαλα, τοῖς ἅμα βάλλω
φρικτὰ λεοντείης πυκινότριχα νῶτα καλύπτρης
γυμνώσας ἐμὰ γυῖα· σὺ δὲ γλυκὺν ὕπνον ἰαύεις
νεβρίσι δαιδαλέηισι καλυπτομένη Διονύσου·
Μυγδονέης δ' ἐλάφου σκέπας ἅρμενον ὑψόθι βάλλω 16.100

γυμνώσας Σατύρους. σκυλάκων δέ σοι εἰ χρέος εἴη,
σοὶ κύνας εἰν ἑνὶ πάντας ἐμοῦ τάχα Πανὸς ὀπάσσω,
ἄξομαι ἐκ Σπάρτης ἑτέρους κύνας, οὓς ἀτιτάλλει
ἠιθέων ἐς ἔρωτας ἐμὸς Κάρνειος Ἀπόλλων,
καὶ κύνας ἀγρευτῆρας Ἀρισταίοιο καλέσσω·
καὶ λίνα σὺν σταλίκεσσι καὶ ἄρμενα δῶρα κομίσσω
ἐνδρομίδας Νομίοιο καὶ Ἀγρέος, ὃς πάρος ἔγνω
καὶ νομὸν εὐλείμωνα καὶ εὐκαμάτου δρόμον ἄγρης.
εἰ δὲ θερειγενέος τρομέεις φλόγα διψάδος ὥρης,
ἡμερίδων ὄρπηκας ὑπὲρ λέκτροιο φυτεύσω,
καί δὲ περιπνεύσωσι μέθης εὐώδεες αὖραι
κεκλιμένην κατὰ μέσσα πολυσταφύλοιο καλύπτρης.
παρθενικὴ περίφοιτε, ποθοβλήτοιο προσώπου
βαλλομένας Φαέθοντι τεὰς ἐλέαιρε παρειάς,
μὴ σέλας Ἠελίου μελέων ἀκτῖνα μαραίνηι,
μὴ πλοκάμους μυρόεντας ἀμαλδύνωσιν ἀῆται·
εὗδε ῥόδων ἀνὰ μέσσα καὶ ἐν πετάλοις ὑακίνθου,
γείτονι σεῖο κάρηνον ἐρεισαμένη Διονύσωι,
ἀθανάτοις πισύρεσσιν ὅπως ἕνα κῶμον ἀνάψηις,
Φοίβωι καὶ Ζεφύρωι καὶ Κύπριδι καὶ Διονύσωι.
ληιδίην δ' ὀπάσαιμι γονὴν μελανόχροον Ἰνδῶν
παστάδος ὑμετέρης θαλαμηπόλον· ἀλλὰ τί φύτλην
κυανέην ὀνόμηνα τεῆς νυμφοστόλον εὐνῆς;
νυκτὶ μελαγχλαίνωι πότε μίσγεται ἀργέτις Ἠώς;
Ἀστακὶς ὁπλοτέρη πέλες Ἄρτεμις· ἀλλὰ καὶ αὐτὰς
L2[I] δμωίδας ἑξήκοντα χορίτιδας εἰς σὲ κομίσσω,
ὄφρα χορὸν νήριθμον ὀπάονα σεῖο τελέσσω,
ἀμφιπόλοις ἰσόμετρον ὀρειάδος ἰοχεαίρης,
εἴκελον Ὠκεανοῖο θυγατράσι, μή σοι ἐρίζηι
Ἄρτεμις ἀγρώσσουσα, καὶ εἰ πέλε δεσπότις ἄγρης.
σοὶ Χάριτας ζαθέοιο χαρίζομαι Ὀρχομενοῖο
ἀμφιπόλους, ἐμὰ τέκνα μεταστήσας Ἀφροδίτης.
ἀλλὰ πόθωι φρένα θέλξον ἀθελγέα, καί δε δεχέσθω
θηροσύνης μετὰ μόχθον ἐμὸν λέχος, ὄφρα φανείης
Ἄρτεμις ἐν σκοπέλοισι καὶ ἐν θαλάμοις Ἀφροδίτη.
τίς φθόνος, ἀγρώσσειν σε σὺν ἀγρώσσοντι Λυαίωι;
εἰ δὲ μόθου λάχες οἶστρον, ἅτε κλυτότοξος Ἀμαζών,
ἵξεαι Ἰνδώιην ἐπὶ φύλοπιν, ὄφρά κεν εἴης
Πειθὼ νόσφι μόθοιο καί, ὁππότε δῆρις, Ἀθήνη.
δέξο καί, ἢν ἐθέληις, ἐλαφηβόλα θύρσα Λυαίου,
νεβροφόνος δὲ γένοιο· καὶ ὑμετέρων ἀπὸ χειρῶν
ὑμετέροις τε πόνοισιν ἐμὴν κόσμησον ἀπήνην
πόρδαλιν ἠὲ λέοντας ὑποζεύξασα χαλινῶι."
ὣς εἰπὼν ἐδίωκεν ὀρειάδα γείτονα κούρην,
τοῖον ἔπος βοόων· 'μένε, παρθένε, Βάκχον ἀκοίτην.'
ἡ δὲ χολωομένη βριαρὴν ἀνενείκατο φωνὴν
παρθενική, στόμα λάβρον ἐπαιθύσσουσα Λυαίωι·
"ταῦτα μολὼν ἀγόρευε φιλοστόργωι τινὶ νύμφηι.
εἰ δύνασαι γλαυκῶπιν ἢ Ἄρτεμιν εἰς γάμον ἕλκειν,
καὶ βριαρὴν Νίκαιαν ἔχεις πειθήμονα νύμφην·

90 (51C) μίτρην παρθενίην γαμίης πλήθουσαν ἐέρσης.
καὶ ῥοδέας ἐχάραξε παρηΐδας, ἀμφοτέρους δὲ
μηροὺς πληξαμένη κινυρῆι βρυχήσατο φωνῆι·
ὤμοι παρθενίης, τὴν ἥρπασεν Εὔιον ὕδωρ·
ὤμοι παρθενίης, τὴν ἥρπασεν ὕπνος Ἐρώτων·
ὤμοι παρθενίης, τὴν ἥρπασε Βάκχος ἀλήτης.
ἐρρέτω Ὑδριάδων δολόεν ποτόν, ἐρρέτω εὐνή.
Νύμφαι Ἀμαδρυάδες, τίνα μέμψομαι; ἡμετέρην γὰρ
Ὕπνος, Ἔρως, δόλος, οἶνος ἐληίσσαντο κορείην.
παρθενικὰς ἀπέειπε καὶ Ἄρτεμις· ἀλλὰ καὶ αὐτὴ
τίπτέ μοι οὐ φυγόδεμνος ὅλον δέμας ἔννεπεν Ἠχώ;
τίπτέ μοι εἰς ἐμὸν οὖας, ὅσον μὴ Βάκχον ἀκοῦσαι,
οὐ Πίτυς ἐψιθύριζε καὶ οὐκ ἐφθέγξατο Δάφνη·
'παρθενική, πεφύλαξο πιεῖν ἀπατήλιον ὕδωρ;'"
ἔννεπε, καὶ πολύδακρυν ἀνέβλυσεν ὄμβρον ὀπωπῆς.
καί ποτὲ μὲν μενέαινε κατ' αὐχένος ἆορ ἐρεῖσαι,
ἄλλοτε δ' αὐτοκύλιστος ἀπ' οὔρεος ἤθελε πίπτειν
ὑστατίηι προκάρηνος ὀλισθήσασα κονίηι·
καὶ γαμίης μενέαινεν ἀιστῶσαι πόμα πηγῆς,
εἰ μὴ ἀμειψαμένη προτέρη χύσις ἰκμάδα Βάκχου
λευκὸν ὕδωρ κελάρυζε καὶ οὐκέτι χεῦμα Λυαίου.
καὶ Κρονίδην ἱκέτευε καὶ Ἄρτεμιν, ὄφρα τελέσσηι
αὔλια Νηιάδων κεκονιμένα διψάδι χέρσωι.
πολλάκι δ' ὄμμα τίταινε δι' οὔρεος, εἴ που ἐφεύροι
ἴχνιον ἀστήρικτον ἀθηήτου Διονύσου,
ὄφρα βάληι τόξοισι γυνὴ θεόν, ὄφρα δαμάσσηι L2[I]
δαίμονα βοτρυόεντα· καὶ ἤθελε μᾶλλον ἐκείνην
ἄμπελον εὐναίην φλογερῶι πυρὶ πᾶσαν ὀλέσσαι.
πολλάκι δ' ἀθρήσασα δι' οὔρεος ἴχνια Βάκχου
ἠερίας τόξευεν ὀιστεύουσα θυέλλας·
πολλάκι δ' ἔγχος ἄειρε, καὶ εἰς σκοπὸν ἀντίον ἔστη,
3 (1C) ὄφρα δέμας πλήξειεν ἀνουτήτου Διονύσου·
ἀλλὰ μάτην προέηκε καὶ οὐκ ἐτύχησε Λυαίου.
καὶ ποταμῶι κεχόλωτο καὶ ὤμοσε, μή ποτε πηγῆς
χείλεσι διψαλέοισι πιεῖν ἀπατήλιον ὕδωρ·
ὤμοσε καὶ κατὰ νύκτας ἔχειν ἄγρυπνον ὀπωπήν,
ὤμοσε μὴ γλυκὺν ὕπνον ἐν οὔρεσιν ἄλλον ἰαύειν.
καὶ σκύλακας νεμέσησε φυλάκτορας, ὅττι καὶ αὐτοὶ
4 οὐ τότε θωρήσσοντο γυναιμανέοντι Λυαίωι.
δίζετο δ' ἀγχονίοιο μετάρσιον ἄλκαρ ὀλέθρου
θλιβομένη σφιγκτῆρι περίπλοκον αὐχένα δεσμῶι,
μῶμον ἀλευομένη φιλοκέρτομον ἥλικος ἥβης.
ἀρχαίην δ' ἀέκουσα λίπεν θηροτρόφον ὕλην,
αἰδομένη μετὰ λέκτρα φανήμεναι ἰοχεαίρηι.
καὶ ζαθέης ῥαθάμιγγι γονῆς πλησθεῖσα Λυαίου
γαστέρι φόρτον ἄειρε· τελειομένης δὲ λοχείης
θῆλυν ἐμαιώσαντο τόκον ζωαλπέες Ὧραι,
καὶ δρόμον ἐννεάκυκλον ἐπιστώσαντο Σελήνης·
ἐκ δὲ γάμου Βρομίοιο θεόσσυτος ἤνθεε κούρη,
ἣν Τελετὴν ὀνόμηνεν ἀεὶ χαίρουσαν ἑορταῖς,

οἰκτρότερον στενάχουσα τεῆς ἴδες αἷμα κορείης.”
Nonnus ὣς φαμένη σκιόεντι πανείκελος ἔσσυτο καπνῶι
ψυχὴ δακρυόεσσα ποθοβλήτοιο νομῆος,
Ταρταρίην δ᾽ ἀκίχητος ἐδύσατο πανδόκον αὐλήν,
✦ Βάκχου ζῆλον ἔχουσα μεθυσφαλέων ὑμεναίων.
καὶ λιγυροῖς δονάκεσσι γαμήλιον ἦχον ἀράσσων,
ζῆλον ὑποκλέπτων ὑποκάρδιον, ὑμνοπόλος Πὰν
μεμφόμενον μέλος εἶπεν ἐς ἀλλοτρίους ὑμεναίους.
καί τις ἐρωμανέων Σατύρων παρὰ γείτονι λόχμηι
θηητὴρ ἀκόρητος ἀθηήτων ὑμεναίων
Βακχείην ἀγόρευεν, ἰδὼν εὐπάρθενον εὐνήν·
“Πὰν κερόεις, ἔτι μοῦνος ἔχεις δρόμον εἰς Ἀφροδίτην;
καὶ σὺ διωκομένης πότε νυμφίος ἔσσεαι Ἠχοῦς;
καὶ σὺ δόλον πότε τοῖον ἀοσσητῆρα τελέσσεις
ὑμετέρων ἐπίκουρον ἀνυμφεύτων ὑμεναίων;
Πὰν φίλε, καὶ σὺ γένοιο φυτοσκάφος ἀντὶ νομῆος,
ποιμενίην δ᾽ ἀπόειπε καλαύροπα καὶ παρὰ πέτρηι
λεῖπε βόας καὶ μῆλα· τί σοι ῥέξουσι νομῆες;
ἔγρεο, καὶ σὺ φύτευε γαμοστόλον οἶνον Ἐρώτων.”
οὔ πω μῦθος ἔληγε, καὶ ἴαχεν αἰγίβοτος Πάν·
“αἴθε πατήρ με δίδαξε τελεσσιγάμου δόλον οἴνου·
αἴθε νοοσφαλέος σταφυλῆς, ἅτε Βάκχος, ἀνάσσω·
καί κεν ἐμῶν ἐτέλεσσα πολύπλανον οἶστρον Ἐρώτων
ὑπναλέην μεθύουσαν ἰδὼν δυσπάρθενον Ἠχώ.
ἱλήκοι νομὸς οὗτος, ἐπεὶ παρὰ γείτονι πηγῆι
L3[O] ἀρδεύω τάδε μῆλα, φιλακρήτωι δὲ ῥεέθρωι
παρθενικὰς Διόνυσος ἀθελγέας εἰς γάμον ἕλκει.
φάρμακον εὗρεν Ἔρωτος ἑὸν φυτόν· ἐρρέτω αἰγῶν,
ἐρρέτω ἡμετέρων ὀίων γλάγος· οὐ δύναται γὰρ
εἰς πόθον ὕπνον ἄγειν ἢ παρθένον εἰς γάμον ἕλκειν.
μοῦνος ἐγώ, Κυθέρεια, βιάζομαι· ὤμοι Ἐρώτων·
Σύριγξ Πανὸς ἔφευγεν ἀνυμφεύτους ὑμεναίους
καὶ γάμον ἀρτιτέλεστον ἀνευάζει Διονύσου
αὐτομάτοις μελέεσσι· τὸ δὲ πλέον ἠθάδι μολπῆι
φθεγγομένης Σύριγγος ἀμείβετο σύνθροος Ἠχώ.
νυμφιδίης Διόνυσε μέθης θελξίμβροτε ποιμήν,
ὄλβιος ἔπλεο μοῦνος, ἀναινομένης ὅτι νύμφης
εὗρες ἀοσσητῆρα γαμοστόλον οἶνον Ἐρώτων.”
τοῖον ἔπος κατέλεξε δυσίμερος ἀχνύμενος Πάν,
ζῆλον ἔχων καὶ ἔρωτα τελεσσιγάμοιο Λυαίου.
καὶ τελέσας φιλότητα καὶ εἰνοδίης πόθον εὐνῆς
ἀφράστωι Διόνυσος ἀνηιώρητο πεδίλωι.
νύμφη δ᾽ ἐγρομένη ποταμηίδι μέμφετο πηγῆι,
Ὕμνωι χωομένη καὶ Κύπριδι καὶ Διονύσωι,
ὄμβρωι δακρυόεντι κατάρρυτος· ἀχνυμένη δὲ
ἔκλυε Νηιάδων γαμίης ἔτι λείψανα μολπῆς,
καὶ λεχέων κήρυκα ποθοβλήτοιο Λυαίου
ἡμερίδων πετάλοισι κατάσκιον εἶδε χαμεύνην
νεβρίσι νυμφιδίῃσι πυκαζομένην Διονύσου,
κρυπταδίων λεχέων αὐτάγγελον· εἶδε καὶ αὐτὴν

91 (52C) εἰμὶ γὰρ ἀμφοτέρῃσιν ὁμόστολος. εἰ δέ σε φεύγει
ἀπροΐδης ὑμέναιος ἀπειρώδινος Ἀθήνης, Nonnus
καὶ νόον οὐ θέλξειας ἀπειθέος ἰοχεαίρης,
δέμνια Νικαίης μὴ δίζεο· μηδέ σε λεύσσω
ἀπτόμενον τόξοιο καὶ ἀμφαφόωντα φαρέτρην,
μὴ μετὰ βουκόλον Ὕμνον ὀλωλότα καὶ σὲ δαμάσσω.
οὐτήσω Διόνυσον ἀνούτατον· εἰ δὲ σιδήρωι
γυῖα φέρεις ἀχάρακτα καὶ οὐκ εἴκοντα βελέμνωι,
υἱέας ὑψιλόφους μιμήσομαι Ἰφιμεδείης,
καί σε σιδηρείῃσιν ἀλυκτοπέδῃσι πεδήσω
σεῖο κασιγνήτωι πανομοίιον, ἐνδόμυχον δὲ
χαλκείοις κεράμοισι μετ᾽ Ἄρεα καὶ σὲ φυλάξω,
ἄχρις ἀναπλήσας δυοκαίδεκα κύκλα Σελήνης
ἠερίοις ἐμὸν οἶστρον ἀπορρίψειας ἀήταις.
χερσὶ γυναιμανέεσσιν ἐμῆς μὴ ψαῦε φαρέτρης·
τόξον ἔχω, σὺ δὲ θύρσον· ἐν Ἀστακίηι μὲν ἐρίπνηι
εἰς σύας ἠὲ λέοντας ἐμὸν βέλος ἐνθάδε πέμπω
Ἀρτέμιδος συνάεθλος, ὑπὲρ Λιβάνοιο δὲ πέτρης
νεβροὺς καὶ σὺ δίωκε συναγρώσσων Ἀφροδίτηι.
οὐ δέχομαι σέο λέκτρα, καὶ εἰ Διὸς αἷμα κομίζεις·
εἰ δὲ θεὸν μενέαινον ἔχειν πόσιν, οὐκ ἂν ἀκοίτην
ἁβροκόμην ἀσίδηρον ἀνάλκιδα θήλει μορφῆι
εἶχον ἐγὼ Διόνυσον, ἐμῶι δ᾽ ἐφυλάσσετο παστῶι
νυμφίος ἢ κλυτότοξος ἄναξ ἢ χάλκεος Ἄρης,
ὃς μὲν τόξον ἔχων, ὁ δὲ φάσγανον ἔδνον Ἐρώτων·
ἀλλ᾽ ἐπεὶ οὐ μακάρων τινὰ δέξομαι, οὐδὲ καὶ αὐτὸν L3[O]
πενθερὸν οἶστρος ἔχει με τεὸν Κρονίωνα καλέσσαι,
ἄλλην δίζεο, Βάκχε, νέην πειθήμονα νύμφην.
τί σπεύδεις; ἀκίχητον ἔχεις δρόμον, ὥς ποτε Δάφνην
Λητοΐδης ἐδίωκε καὶ ὡς Ἥφαιστος Ἀθήνην·
τί σπεύδεις; δρόμος οὗτος ἐτώσιος· ἐν σκοπέλοις γὰρ
4 (2C) ἐνδρομίδες πολὺ μᾶλλον ἀρειόνες εἰσὶ κοθόρνων.”
ὣς φαμένη λίπε Βάκχον. ἀεὶ δ᾽ ὑπὸ φορβάδα λόχμην
παρθενικὴν μάστευεν ὀρίπλανον· ἐσσυμένωι δὲ
σύνδρομος ὡμάρτησε κύων πινυτόφρονι θυμῶι,
τόν ποτε θηρεύοντι φιλοσκοπέλωι Διονύσωι
ὤπασε δῶρον ἔχειν σκυλακοτρόφος ὑψίκερως Πάν.
καί μιν ἅτε φρονέοντα καὶ αὐδήεντα δοκεύων
5 σύννομον ἰσοκέλευθον ἑῶν ξυνήονα μόχθων,
Βάκχος ἐρωμανέων φιλίωι προσπτύξατο μύθωι·
“τίπτε, κύων περίφοιτος, ὁμόδρομός ἐσσι Λυαίωι,
Πανὸς ἀεὶ ποθέοντος ἐπάξιε; τίπτε σὺ μοῦνος
παρθένον ἰχνεύοντι συνιχνεύεις Διονύσωι;
ἦ ῥά σε σὸς ταμίης οἰκτίρμονα θῆκεν ἐρώτων;
παρθένον ἡμετέρην ἔτι δίζεο, μηδ᾽ ἐνὶ πέτραις
Βάκχον ἀλητεύοντα κατ᾽ οὔρεα μοῦνον ἐάσηις.
μοῦνος ἐποικτείρεις με, καὶ ὡς βροτὸς εἰς ῥάχιν ὕλης
πλαζομένης λοφόεντα μετέρχεαι ἔνδια κούρης.
κάμνε τεῶι βασιλῆι· χάριν δέ σοι εἵνεκα μόχθων
δώσω ἀμοιβαίην· μετὰ Σείριον ἀστέρα Μαίρης

αἰθέρος ἔνδον ἄγω σε καὶ ἀστερόεντα τελέσσω
ἄγχι Κυνὸς προτέρου, σταφυλὴν ἵνα καὶ σὺ πεπαίνηις
βότρυος Εἰλείθυιαν ἀκοντίζων σέθεν αἴγλην.
τίς φθόνος ἀντέλλειν τρίτατον Κύνα; καὶ σὺ φαείνεις
✦ σύνδρομος ἀστερόεντος ἐπειγομένοιο Λαγωοῦ.
εἰ θέμις, οἰκτείρων με σαόφρονι μέμφεο κούρηι,
δόχμιον ὄμμα φέρων Κυβεληίδος εἰς ῥάχιν ὕλης,
ὅττί με μαστεύοντα γυνὴ θεὸν εἰσέτι φεύγει·
μέμφεο δ' ἀμφοτέροισιν, Ἀδώνιδι καὶ Κυθερείηι,
φοιταλέην δ' ἐδίωκε δι' οὔρεος ἄστατον Ἠχώ,
μὴ τελέσηι φυγόδεμνον ἐμὴν πλέον εἰσέτι νύμφην·
μηδὲ λίπηις σέο Πᾶνα δυσίμερον ἐγγύθι κούρης,
μή μιν ἑλὼν ζεύξειεν ἀναγκαίοις ὑμεναίοις.
παρθένον αἴ κεν ἴδηις, ταχὺς ἔρχεο, μάρτυρι σιγῆι
ἢ νοεραῖς ὑλακῆισιν ἀπαγγέλλων Διονύσωι·
ἄγγελος ἔσσο πόθοιο· κύων δέ τις ἄλλος ἀλάσθω
ἢ σύας ἠὲ λέοντας ἀπὸ σκοπέλοιο διώκων.
Πὰν φίλε, κικλήσκω σε μακάρτατον, ὅττι καὶ αὐτοὶ
σεῖο κύνες γεγάασιν ἐρευνητῆρες Ἐρώτων.
ἀνδρομέην, πολύμορφε Τύχη, παίζουσα γενέθλην
ἵλαθι, πανδαμάτειρα· μετὰ βροτέην τάχα φύτλην
καὶ σκυλάκων κρατέεις, ὅτι δύσμορος οὗτος ἀλήτης
θητεύει μετὰ Πᾶνα καὶ ἱμείροντι Λυαίωι·
παρθενικὴν μέμψασθε, φίλαι δρύες· εἴπατε, πέτραι·
'καὶ κύνες οἰκτείρουσι, καὶ οὐκ ἐλέαιρεν Ἀμαζών.'
L3[I] εἰσὶ καὶ ἐν σκυλάκεσσιν ἐχέφρονες, οἷσι Κρονίων
ἀνδρομέην φρένα δῶκε καὶ οὐ βροτέην πόρε φωνήν."
ἔννεπεν ἄγχι φυτοῖο· δι' εὐπετάλου δὲ κορύμβου
φθογγῆς εἰσαΐουσα γυναιμανέος Διονύσου
ἀρχαίη Μελίη φιλοκέρτομον ἴαχε φωνήν·
"ἄλλοι μέν, Διόνυσε, κυνοσσόοι ἰοχεαίρηι
ἐνθάδε θηρεύουσι, σὺ δ' ἀγρώσσεις Ἀφροδίτηι·
ἡδὺς ὁ δειμαίνων ἁπαλόχροον ἄζυγα κούρην·
Βάκχος ὁ τολμήεις ἱκέτης πέλε λάτρις Ἐρώτων·
Ἰνδοφόνοις παλάμηισιν ἀνάλκιδα λίσσετο κούρην.
σὸς γενέτης οὐκ οἶδε πόθον θελξίφρονι μύθωι
εἰς γάμον, εἰς ὑμέναιον ἄγειν πειθήμονα κούρην·
οὐ Σεμέλην ἱκέτευεν, ἕως ἐτύχησεν ἐρώτων,
οὐ Δανάην παρέπεισεν, ἕως σύλησε κορείην·
Ζηνὶ συναπτομένην Ἰξίονος οἶσθα γυναῖκα
καὶ γάμιον χρεμέτισμα καὶ ἱππείους ὑμεναίους·
Ἀντιόπης ἐδάης φιλοπαίγμονα θεσμὸν Ἐρώτων
καὶ Σάτυρον γελόωντα νόθον μιμηλὸν ἀκοίτην."
ὣς φάτο κερτομέουσα νόον δειδήμονα Βάκχου,
καὶ δρυὸς ἐντὸς ἵκανεν ὁμήλικος. ἐν δὲ κολώναις
ἀσχαλόων Διόνυσος ὁμάρτεε θυιάδι κούρηι
ποσσὶν ἐρωμανέεσσι, καὶ ὠκυπέδιλος Ἀμαζὼν
ἄστατος ἄκρα κάρηνα μετήιε δύσβατα πέτρης,
ἴχνος ἐρευνητῆρος ὑποκλέπτουσα Λυαίου.
καὶ φλογερῶι Φαέθοντος ἱμασσομένης χρόα πυρσῶι
92 (53C) ἄβροχα διψαλέης τερσαίνετο χείλεα κούρης·
καὶ δόλον ἀγνώσσουσα γυναιμανέος Διονύσου
ξανθὸν ὕδωρ ἐνόησε φιλακρήτου ποταμοῖο,
καὶ πίεν ἡδὺ ῥέεθρον, ὅθεν πίον αἴθοπες Ἰνδοί·
καὶ φρένα δινηθεῖσα μέθηι βακχεύετο κούρη,
καὶ κεφαλὴν ἐλέλιζε μετήλυδα δίζυγι παλμῶι,
καὶ διδύμην ἐδόκησεν ἰδεῖν πολυχανδέα λίμνην
ὄμματα δινεύουσα· βαρυνομένου δὲ καρήνου
δέρκετο θηροβότου διπλούμενα νῶτα κολώνης·
καὶ τρομεροῖσι πόδεσσιν ὀλισθήσασα κονίηι
εἰς πτερὸν αὐτοκύλιστος ἐσύρετο γείτονος Ὕπνου·
καὶ γαμίωι βαρύγουνος ἐθέλγετο κώματι νύμφη.
τὴν μὲν ἰδὼν εὕδουσαν Ἔρως ἐπεδείκνυε Βάκχωι,
Ὕμνον ἐποικτείρων· Νέμεσις δ' ἐγέλασσεν ἰδοῦσα.
καὶ δολόεις Διόνυσος ἀδουπήτοισι κοθόρνοις
εἰς γάμον ἄψοφος εἷρπε ποδῶν τεχνήμονι παλμῶι.
κούρης δ' ἐγγὺς ἵκανε· καὶ ἀτρέμας ἄκρον ἐρύσσας
δεσμὸν ἀσυλήτοιο φυλάκτορα λύσατο μίτρης
φειδομένηι παλάμηι, μὴ παρθένον ὕπνος ἐάσηι.
γαῖα δὲ κηώεσσαν ἀναπτύξασα λοχείην
φυταλιὴν ὤδινε, χαριζομένη Διονύσωι,
πολλὴν δ' ἀμπελόεσσαν ἐλαφρίζουσα καλύπτρην
πλεκτὴ βοτρυόεντι κάμαξ ἐβαρύνετο καρπῶι·
καὶ λέχος ἦν πετάλοισι κατάσκιον· ἡμερίδων γὰρ
αὐτοφυὴς μίτρωσεν ἕλιξ εὐάμπελον εὐνήν·
καὶ πολὺς ἔνθα καὶ ἔνθα μετάρσιος οἴνοπι καρπῶι L3[I]
Κυπριδίοις ἀνέμοισιν ἐσείετο βότρυς ἀλήτης,
ἀμφοτέρους δ' ἐπύκαζε· σελινοφόροι δὲ κορύμβοι
ἱμερόεις ἐμέθυσσεν ὁμόζυγος οἰνάδος ὄρπηξ
πλεκτὸν ἀεξομένης ἐπιβήτορα κισσὸν ὀπώρης.
καὶ δολόεις γάμος ἦεν ὀνειρείης τύπον εὐνῆς
5 (3C) Ὕπνον ἔχων συνάεθλον· ἐνοσφίσθη δὲ κορείης
παρθενικὴ κνώσσουσα, καὶ ἔδρακε πομπὸν Ἐρώτων
Ὕπνον ὑποδρηστῆρα μεθυσφαλέων ὑμεναίων.
πνοιὴ δ' ὑψιπόρωι σκιρτήματι θυιάδος ὕλης
ἄστατος αὐτοβόητος ἀνέπλεκεν ὕμνον Ἐρώτων,
καὶ μέλος ἠνεμόφοιτον ὀρεσσαύλων ὑμεναίων
αἰδομένοις στομάτεσσιν ἀμείβετο παρθένος Ἠχώ,
6 Πανιὰς ὑστερόφωνος· ὑπὲρ δαπέδου δὲ χορεύων
αὐλὸς ἐπεσμαράγησεν 'Ὑμὴν Ὑμέναιε' λιγαίνων·
'ἱμερόεις γάμος οὗτος' ὀρεστιὰς ἴαχε πεύκη.
ψυχὴ δ' ἠνεμόφοιτος ἀναΐξασα νομῆος
παρθένον ὑπναλέην νυχίοις ἐρέθιζεν ὀνείροις·
"εἰσὶ καὶ ἱμείροντος Ἐρινύες, εὔγαμε κούρη·
νυμφίον εἰ φύγες Ὕμνον, ἐνυμφεύθης Διονύσωι·
λοξὰ θεμιστεύεις, θαλαμηπόλε παρθένε νύμφη·
κτείνεις γὰρ ποθέοντα, καὶ οὐ γαμέοντα διώκεις.
παρθένε, χάλκεον ὕπνον ἐρασσαμένωι πόρες Ὕμνωι·
παρθένε, νήδυμος ὕπνος ἀπώλεσε σεῖο κορείην.
οἰκτρὸν ἴδες γελόωσα δεδουπότος αἷμα νομῆος·

οὔ πω κῶμος ἔληγεν, ἐπεφθέγξαντο δὲ λαοὶ
Nonnus εὐφήμοις ἐπέεσσιν ὁμογλώσσων ἀπὸ λαιμῶν,
καὶ Σάτυροι σμαράγησαν ἀολλέες· ἐκ δὲ θοώκου
ἄστατος ἅλλετο Βάκχος, ἄνω καὶ ἔνερθε τινάσσων
δεξιτερήν, καὶ Βότρυς ἀνέδραμεν, εὐάδι φωνῆι
ἁρμονίην εὔρυθμον ἀοιδοπόλοιο γεραίρων·
Οἰάγρου δὲ κάρηνον ἄναξ ἐστέψατο κισσῶι,
καὶ γενέτης Ὀρφῆος ἐπιρρήσσων χθόνα ταρσῶι
ἄσμενος ἄζυγα ταῦρον ἐδέξατο μισθὸν ἀοιδῆς·
ἀμφὶ δέ μιν στοιχηδὸν ἐπεσκίρτησαν ἑταῖροι.
καὶ τράγον εὐρυγένειον, ἄχος καὶ ζῆλον ἀέξων,
αἰδομέναις παλάμῃσιν ἀνείρυσεν ἀστὸς Ἀθήνης.
εὐχαίτης δ' Ἰόβακχος, ἀφειδέι χειρὶ κομίζων,
ἄξια θῆκεν ἄεθλα χοροπλεκέος περὶ νίκης,
γηραλέου κρητῆρα θυώδεος ἔγκυον οἴνου,
χρύσεον, ἄσπετα μέτρα κεχανδότα, διψάδι γαίηι
ἰκμάδα τετραέτηρον ἀναβλύζοντα Λυαίου,
Ἡφαίστου σοφὸν ἔργον Ὀλύμπιον, ὅν ποτε Κύπρις
ὤπασε βοτρυόεντι κασιγνήτωι Διονύσωι·
μείονα δὲ κρητῆρα μέσωι παρέθηκεν ἀγῶνι
ἀργύρεον, στίλβοντα, περίτροχον, ὅν ποτε Βάκχωι
δῶκεν ἄναξ Ἀλύβης ξεινήιον οἰκία ναίων,
ἀφνειὴν παρὰ πέζαν, ὅπηι χθονίοιο μετάλλου
ἀργυρέοις ἀγκῶσι μέλας λευκαίνετο κώθων,
τοῦ περὶ χείλεος ἄκρον ἐπ' ὀμφαλόεντι καρήνωι
L1[O] κισσὸς ἕλιξ, χρυσέωι δὲ πέριξ δαιδάλλετο κόσμωι·
τοῦτον ἄγων ἔστησε βαθυνομένωι κενεῶνι
ληνὸν ἔτι πνείοντα νεώτερον ὄγκον ὀπώρης,
γλεῦκος, ἀνυμφεύτοιο μέθης ποτόν· οὐ νέμεσις γὰρ
ἀνέρα νικηθέντα πιεῖν ἀμέθυστον ἐέρσην.
ἀλλ' ὅτε Βάκχος ἄεθλα μέσωι στήριξεν ἀγῶνι,
ἴδμονας ὀρχηθμοῖο καλέσσατο μάρτυρι φωνῆι·
"ὅς τις ἀεθλεύσει κυκλούμενος ἴδμονι ταρσῶι
νικήσας τροχαλοῖο ποδὸς κρίσιν, οὗτος ἑλέσθω
καὶ χρύσεον κρητῆρα καὶ ἡδυπότου χύσιν οἴνου·
ὃς δὲ πέσηι σφαλεροῖο ποδὸς δεδονημένος ὁλκῶι,
ἥσσονα δ' ὀρχήσαιτο, καὶ ἥσσονα δῶρα δεχέσθω·
οὐ γὰρ ἐγὼ πάντεσσιν ὁμοίιος· ἀθλοφόρωι δὲ
ἀνέρι νικήσαντι χοροίτυπον ἁβρὸν ἀγῶνα
οὐ τρίποδα στίλβοντα καὶ οὐ ταχὺν ἵππον ὀπάσσω,
οὐ δόρυ καὶ θώρηκα φόνωι πεπαλαγμένον Ἰνδῶν,
δίσκον ἐς ἰθυκέλευθον ἀκοντιστῆρας ἐγείρων·
◆ οὐδὲ ποδωκείης τέταται δρόμος, οὐ δορὸς αἰχμὴ
τηλεφόρου· Σταφύλωι δέ, καταφθιμένωι βασιλῆι,
ἀνδρὶ φιλοσκάρθμωι, φιλοπαίγμονα ταρσὰ γεραίρω·
οὐδὲ παλαισμοσύνηι γυιαλκέι δῶρα τιταίνω,
οὐ δρόμος ἱπποσύνης, οὐκ Ἤλιδός εἰσιν ἀγῶνες,
οὐ δρόμος Οἰνομάου γαμβροκτόνος· ἡμετέρη γὰρ
νύσσα χορός, βαλβῖδες ἐπισκιρτήματα ταρσῶν,
χεὶρ τροχαλὴ καὶ σκαρθμὸς ἕλιξ, καὶ νεῦμα προσώπου
ἄστατα κινυμένοιο, καὶ αὐδήεσσα σιωπὴ

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

Argument

In the seventeenth, I celebrate war's firstfruits, and the waters of a honey-trickling river turned to wine.

NONNUS
DIONYSIACA
BOOK 17

PREVIEW BOOK 19

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 397 lines 3.0
3L 1 - 397

PRINT 2-SIDED: **105** to **110**

Οὐδὲ φιλακρήτοιο μέθης πεπεδημένον ὕπνωι
ζωγρήσας ἀτίνακτον ἀνουτήτων γένος Ἰνδῶν
ληθαίοις Διόνυσος ἐπέτρεπε δῆριν ἀήταις·
ἀλλὰ πάλιν Φρύγα θύρσον ἐκούφισεν· ὑψιλόφου γὰρ
εἰς ἐνοπὴν καλέοντος ἐπείγετο Δηριαδῆος,
παιδὸς Ἀμαζονίης δολίην ἄμνηστον ἐάσας
οἰνοβαρῆ φιλότητα καὶ ὑπναλέους ὑμεναίους.
καὶ θεὸς ἡγεμόνευε, Διὸς κήρυκα γενέθλης
οὐρανίην ἀκτῖνα φέρων στίλβοντι προσώπωι·
ἀμφὶ δὲ Λύδιον ἅρμα Γιγαντοφόνου Διονύσου
θυρσοφόροι στίχες ἦσαν, ἐμιτρώθη δὲ μαχηταῖς
μεσσοφανὴς ἑκάτερθε, καὶ ἀντήστραπτεν Ὀλύμπωι·
κάλλεϊ δ' ἔκρυφε πάντας· ἰδὼν δέ μιν ἦ τάχα φαίης
Ἠέλιον πυρόεντα πολυσπερέων μέσον ἄστρων.
καὶ στρατιῆς ἀσίδηρον ἄναξ ὥπλισσεν Ἐνυώ,
οὐ ξίφος, οὐ μελίην θανατηφόρον, ἀντὶ δὲ χαλκοῦ
κισσὸν ἔχων ἄρρηκτον ἑὸν δόρυ· καί μιν ἑλίσσων
Ἀσίδος ἐν πολίεσσι, καὶ Ἀσίδος ἐν χθονὶ πήξας
ἄγριον ἡνιόχευε Κυβηλίδος ἅρμα θεαίνης,
ἀνθοκόμωι μάστιγι μετήλυδα δίφρον ἱμάσσων·
down 1 ἡμερίδων τελαμῶνι κατάσκιον ἥλικι κισσῶι,
Ἠώιην δ' ἐμέθυσσε Μαρωνίδι γαῖαν ὀπώρηι.
καὶ Βρομίωι συνάεθλος ὅλος στρατὸς ἔρρεε Βάκχων,
θάρσος ἔχων προτέροιο μόθου χάριν, ὁππότε δισσῶι
ἡδυμανὴς ἀσίδηρος ὁμόζυγι πήχεϊ μάρψας
L1[I] ἔμφρονα νεκρὸν ἄναυδον, ἐνόπλιον Ἰνδὸν ἀείρων,
Σειληνὸς βαρύγουνος ἐχάζετο νωθρὸς ὁδίτης·
ὁππότε κωμάζουσα ποδῶν διδυμάονι ῥυθμῶι
Βακχιὰς ἀκρήδεμνος ἐπεκροτάλιζε Μιμαλλὼν
Ἰνδὸν ἔτι κνώσσοντα, περισφίγξασα δὲ δειρὴν
ληίδα θηρεύουσα μάχης αὐτόσσυτον ἄγρην.
{…} ἐκ πόλιος δὲ πόληα μετήιεν, ἀγχιπόρου δὲ
ἤλυθεν εἰς Ἀλύβης πέδον ὄλβιον, ὁππόθι γείτων
χεύμασιν ἀφνειοῖσι Διιπετὲς οἶδμα κυλίνδων
Γεῦδις ἐχεκτεάνων ὑδάτων λευκαίνεται ὁλκῶι,
ἀργυρέου δαπέδοιο περιξύων κενεῶνα.
ἔνθα διαστείχοντα βαθυπλούτωι παρὰ πέτρηι
βουκεράοις Σατύροισιν ὁμήλυδα πεζὸν ὁδίτην
Βάκχον ἀνὴρ ἄγραυλος ἐρημάδι δέκτο καλιῆι,
Βρόγγος, ἀδωμήτων ὀρεσίδρομος ἀστὸς ἐναύλων,
Γηγενέων ἀχάρακτον ὑπὸ κρηπῖδα θεμέθλων
ναίων οἶκον ἄοικον· ἐυφροσύνης δὲ δοτῆρα
αἰγὸς ἀμελγομένης κεράσας χιονωπὸν ἐέρσην
ξεινοδόκος γλαγόεντι ποτῶι μειλίξατο ποιμὴν
εἴδασιν οὐτιδανοῖσι καὶ ἀγραύλοισι κυπέλλοις,
◆ καὶ μίαν εἰροπόκων ὀίων ἀνελύσατο μάνδρης,
ὄφρά κε δαιτρεύσειε θυηπολέην Διονύσωι·
Nonnus ἀλλὰ θεὸς κατέρυκε· γέρων δ' ἐπεπείθετο Βάκχου
νεύμασιν ἀτρέπτοισιν, ὄιν δ' ἄψαυστον ἐάσας
ποιμενίην τινὰ δαῖτα θελήμονι θῆκε Λυαίωι,

93 ἡμερίδων ὠδῖνα καὶ ἀμπελόεσσαν ἐέρσην.
οὐδὲ Μέθης ἀπάνευθε δυνήσομαι εἰλαπινάζειν,
οὐδὲ Μέθης ἀπάνευθεν ἐγώ ποτε κῶμον ἐγείρω."
ὥς εἰπὼν Σταφύλοιο μεθυσφαλέος παρὰ τύμβωι
νηπενθὴς Διόνυσος ἀπενθέα θῆκεν ἀγῶνα·
καὶ τράγον εὐπώγωνα καὶ ἄρσενα ταῦρον ἐρύσσας
διπλόα θῆκεν ἄεθλα, καὶ εὐφόρμιγγας ἐρίζειν
Πιερικῆς ἐκάλεσσεν ἀμιλλητῆρας ἀοιδῆς·
διπλόα θῆκεν ἄεθλα, καὶ ἀθλητῆρας ἐπείγων
ἴδμονας εὐκελάδοιο λύρης μειλίξατο μύθωι·
"Ἀττικὸν ἐνθάδε κῶμον ἐγείρομεν· ἀθλοφόρωι γὰρ
ἀνέρι νικήσαντι λιπόχροα ταῦρον ὀπάσσω,
ἀνδρὶ δὲ νικηθέντι δασὺν τράγον ἐγγυαλίξω."
ὣς φαμένου Βρομίοιο λυροκτύπος ἄνθορεν ἀνήρ,
Βιστονίης Οἴαγρος ἀθαλπέος ἀστὸς ἀρούρης,
πλῆκτρον ἔχων φόρμιγγι παρήορον· αὐτὰρ ἐπ' αὐτῶι
Ἀτθίδος ὑμνοπόλου ναέτης ἀνόρουσεν Ἐρεχθεύς.
ἄμφω δ' εἰς μέσον ἦλθον ἀεθλητῆρες ἀγῶνος
φορμίγγων ἐλατῆρες· ἐμιτρώσαντο δὲ χαίτην
δαφναίοις πετάλοισιν· ἀνεζώννυντο δὲ πέπλους.
ἀρχόμενοι δ' ἐλέλιζον ἐθήμονι δάκτυλα παλμῶι
ἐκταδίης θλίβοντες ἀμοιβαίην στίχα νευρῆς
ἄκρα περισφίγγοντες, ὅπως μήτ' ὄρθιος εἴη,
μή ποτε θηλύνειε παρειμένος ἄρσενα μολπήν.
καὶ πρότερος κλήροιο τυχὼν τεχνήμονι ῥυθμῶι
Κεκροπίης ναέτης κιθάρην ἐλέλιζεν Ἐρεχθεύς, L1[I]
μέλπων πάτριον ὕμνον, ὅτι "ζαθέαις ἐν Ἀθήναις
καὶ Κελεὸς ξείνισσε βίου παμμήτορα Δηὼ
Τριπτολέμωι σὺν παιδὶ καὶ ἀρχαίηι Μετανείρηι,
καί σφισι καρπὸν ὄπασσεν, ὅτε χθονὸς αὔλακα νίφων
Τριπτόλεμος σπόρον εὗρε φερεσταχύων ἐπὶ δίφρων,
1 καὶ Κελεοῦ φθιμένοιο νεοδμήτωι παρὰ τύμβωι
ὄμμασιν ἀκλαύτοισι θαλυσιὰς ἔστενε Δηώ,
ἀλλὰ παρηγορέουσα πάλιν θελξίφρονι μύθωι
Τριπτολέμου βαρὺ πένθος ἀπέσβεσε καὶ Μετανείρης·
οὕτω καὶ Διόνυσον ἑῶι ξείνισσε μελάθρωι
Ἀσσυρίων σκηπτοῦχος· ἄναξ δέ οἱ ἀντὶ τραπέζης
ὤπασεν Εὔια δῶρα καὶ ἀμπελόεσσαν ὀπώρην,
2 καὶ Σταφύλου φθιμένοιο, φιλακρήτου βασιλῆος,
υἱέα Βότρυν ἔπαυσε φιλοθρήνοιο μερίμνης,
καὶ κινυρῆς ἀλόχοιο Μέθης εὔνησεν ἀνίην."
τοῖα σοφὸς φόρμιζε λυροκτύπος· ἀμφὶ δὲ ῥυθμῶι
πάντες ὁμοῦ θέλγοντο· σὺν εὐθύρσωι δὲ Λυαίωι
ἄρμενον ἱμερόφωνον ἐθάμβεον Ἀτθίδα μολπήν.
δεύτερος αἰόλον ὕμνον ἄναξ Οἴαγρος ὑφαίνων,
ὡς γενέτης Ὀρφῆος, ὁμέστιος ἡθάδι Μούσηι,
δίστιχον ἁρμονίην ἀνεβάλλετο Φοιβάδι μολπῆι,
παυροεπής, λιγύμυθος, Ἀμυκλαίωι τινὶ θεσμῶι· Nonnus
"εὐχαίτην Ὑάκινθον ἀνεζώγρησεν Ἀπόλλων,
καὶ Στάφυλον Διόνυσος ἀεὶ ζώοντα τελέσσει."

“ὑμετέρης ἄγρυπνον ὀπιπευτῆρα χορείης,
Nonnus σὸν Στάφυλον, Διόνυσε, κατεύνασε χάλκεος ὕπνος,
σὸν Στάφυλον, Διόνυσε, Χαρωνίδες ἥρπασαν αὖραι.
δισσὸν ἐμοὶ βαρὺ πένθος ἐπέχραεν· ἀμπελόεις μὲν
Βάκχος ἐμὲ προλέλοιπε, πόσις δ’ ἐμὸς ἔμπεσε νούσωι·
καὶ ξυνὴν μεθέπεσκον ἐπ’ ἀμφοτέροισιν ἀνίην,
καὶ Σταφύλωι θνήσκοντι καὶ οὐ παρεόντι Λυαίωι.
ἀλλὰ τεῆς, φίλε Βάκχε, πολυρραθάμιγγος ὀπώρης
δός μοι σεῖο κύπελλον ἐνίπλεον, ὄφρα πιοῦσα
εὐνήσω βαρὺ πένθος ἀπενθήτωι σέθεν οἴνωι.
ἐλπὶς ἐμοί, Διόνυσε φιλεύιε, μοῦνον ὀπώρην,
μοῦνον ἴδω κρητῆρα, καὶ οὐκέτι δάκρυα λείβω.”
ὣς φαμένην ἐλέαιρε, κερασσάμενος δὲ κυπέλλωι
ἰκμάδα λυσιμέριμνον ἀλεξικάκου πόρεν οἴνου
παιδὶ νέωι καὶ μητρὶ κατηφέι· καὶ πίον ἄμφω
τερψινόωι ῥαθάμιγγι μελίρρυτον ὄγκον ὀπώρης·
καὶ στοναχὴν πρήυνε Μέθη καὶ Βότρυς ἀνίην·
καί τινα μῦθον ἔειπε γυνὴ θελξίφρονι Βάκχωι·
“ἦλθες ἐμοί, φίλε Βάκχε, φίλον φάος· οὐκέτ’ ἀνίη,
οὐκέτι πένθος ἔχει με Διωνύσοιο φανέντος·
ἦλθες ἐμοί, φίλε Βάκχε, φίλον φάος· ὑμετέρωι γὰρ
δάκρυον ἐπρήυνα ποτῶι παιήονος οἴνου.
οὐ πόσιν, οὐ πατέρος στενάχω μόρον, ἀλλὰ καὶ αὐτοῦ
Βότρυος, ἢν ἐθέληις, νοσφίσσομαι· ἀμφότερον γὰρ
Βάκχον ἔχω γενετῆρα καὶ υἱέα καὶ παρακοίτην.
L2[O] ἕσπομαι, ἢν ἐθέληις με, καὶ εἰς τεὸν οἶκον ἱκάνω·
εἴην Βασσαρίδεσσιν ὁμόστολος· ἢν δ’ ἐθελήσηις,
κουφίζω σέο θύρσα καὶ ἱμερόεσσαν ὀπώρην,
χείλεσι δ’ ἡμετέροις ἐπιλήνιον αὐλὸν ἐρείσω.
χήρην μή με λίπηις, μὴ διπλόον ἄλγος ἀέξω
καὶ φθιμένου Σταφύλοιο καὶ οἰχομένου Διονύσου.
Βότρυν ἔχεις θεράποντα· διδασκέσθω δὲ χορείας
καὶ τελετὰς καὶ θύσθλα καί, ἢν ἐθέληις, μόθον Ἰνδῶν·
καί μιν ἴδω γελόωντα φιλακρήτωι παρὰ ληνῶι
ποσσὶ περιθλίβοντα τεῆς ὠδῖνας ὀπώρης.
γηραλέου δὲ Πίθου μιμνήσκεο, μή μιν ἐάσηις
σῆς τελετῆς ἀδίδακτον ἢ ἄμμορον ἡδέος οἴνου.”
ὣς φαμένην θάρσυνε Μέθην γελόωντι προσώπωι
Βάκχος ἄναξ καὶ τοῖα φιλακρήτωι φάτο νύμφηι·
19.44 “ὦ γύναι, ἀγλαόδωρε μετὰ χρυσῆν Ἀφροδίτην,
19.46 εἰλαπίνης ψαύοντι συνειλαπίναζε Λυαίωι·
ἔσσο Διωνύσωι στεφανηφόρος, ὡς Ἀφροδίτη,
ἄνθεσι μιτρωθεῖσα καὶ εὐαλδέσσι κορύμβοις·
στέμματα σῶν πλοκάμων τελέσει ζηλήμονα Νίκην.
19.50 οἰνοχόον τελέσω δε μετὰ χρυσόθρονον Ἥβην·
ἔσσεαι ἀμπελόεντι συναντέλλουσα Λυαίωι
Βακχείων ὁμόφοιτος ὑποδρήστειρα κυπέλλων,
καί σε Μέθην καλέσουσι κόρον τερψίμβροτον οἴνου·
Βότρυν ἐμῆς καλέσω λαθικηδέα καρπὸν ὀπώρης,
19.55 καὶ σταφυλὴν φερέβοτρυν ἀπὸ Σταφύλοιο καλέσω

94 τεύχων δεῖπνον ἄδειπνον ἀδαιτρεύτοιο τραπέζης,
οἷα Κλεωναίοιο φατίζεται ἀμφὶ Μολόρκου Nonnus
κεῖνα, τά περ σπεύδοντι λεοντοφόνους ἐς ἀγῶνας
ὥπλισεν Ἡρακλῆι· χύδην δ’ ἐπέβαλλε τραπέζηι
εἰν ἁλὶ νηχομένης φθινοπωρίδος ἄνθος ἐλαίης
Βρόγγος, ἔχων μίμημα φιλοστόργοιο νομῆος,
πλεκτοῖς ἐν ταλάροις νεοπηγέα τυρὸν ἀείρων,
ἰκμαλέον, τροχόεντα· θεὸς δ’ ἐγέλασσε δοκεύων
ἀγρονόμων λιτὰ δεῖπνα, φιλοξείνωι δὲ νομῆι
ἵλαον ὄμμα φέρων ὀλίγης ἔψαυσε τραπέζης
δαρδάπτων ἀκόρητος· ἀεὶ δ’ ἐμνώετο κείνης
εἰλαπίνην ἐλάχειαν ἀναιμάκτοιο τραπέζης
μητρὸς ἑῆς παρὰ δόρπον, ὀρεσσαύλοιο Κυβήλης.
καὶ κραναοὺς πυλεῶνας ἐθάμβεε κυκλάδος αὐλῆς,
πῶς φύσις ἐργοπόνος δόμον ἔγλυφε, πῶς δίχα τέχνης
ἀντιτύποις κανόνεσσιν ἐτορνώθησαν ἐρίπναι.
ἀλλ ὅτε Βάκχος ἄναξ νομίης ἐκορέσσατο φορβῆς,
δὴ τότε δαιμονίωι δεδονημένος ἄσθματι Βάκχου
ἀγρονόμος σύριζεν ἐθήμονι Πανὸς ἀοιδῆι
Βρόγγος, ἐπιθλίβων διδυμόθροον αὐλὸν Ἀθήνης,
ὑμνείων Διόνυσον· ὁ δὲ φρένα τέρπετο μολπῆι,
καὶ κεράσας κρητῆρι νεόρρυτον ἰκμάδα ληνοῦ. {…} 72
“δέξο, γέρον, τόδε δῶρον, ὅλης ἄμπαυμα μερίμνης· 74
οὐ χατέεις δὲ γάλακτος ἔχων εὔοδμον ἐέρσην,
νέκταρος οὐρανίου χθόνιον τύπον, οἷον ἀφύσσων L2[O]
Ζῆνα μέγαν κατ’ Ὄλυμπον ἐυφραίνει Γανυμήδης.
ἀρχαίου δὲ γάλακτος ἔα πόθον· ἀρτιτόκων γὰρ
μαζῶν θλιβομένων χιονώδεες ἰκμάδες αἰγῶν
ἀνέρας οὐ τέρπουσι καὶ οὐ λύουσι μερίμνας.”
ὣς εἰπὼν νομίης ξεινήια δῶκε τραπέζης
μητέρα λυσιπόνοιο μέθης εὔβοτρυν ὀπώρην·
2 καί μιν ἄναξ ἐδίδαξε φιλάνθεμον ἔργον ἀλωῆς
κλήματα γυρώσαντα φυτῶν εὐαλδέι βόθρωι,
γηραλέου τμήξαντα τεθηλότος ἄκρα κορύμβου,
βότρυος οἰνοτόκοιο νέους ὄρπηκας ἀέξειν.
καλλείψας δὲ νομῆα καὶ ἀγριάδος ῥάχιν ὕλης
εἰς ἑτέρην ἔσπευδεν ὀρειάδα φύλοπιν Ἰνδῶν·
καὶ Σατύρων ὁμόφοιτον ὀρίδρομον ἴχνος ἐπείγων
3 ἀμφιπόλοις παλίνορσος ὁμίλεε θυιάσι Βάκχαις.
διψώων δὲ φόνοιο καὶ εὐθύρσοιο κυδοιμοῦ,
Τυρσηνῆς βαρύδουπον ἔχων σάλπιγγα θαλάσσης,
πομπὸν Ἐνυαλίοιο μέλος μυκήσατο κόχλωι,
λαὸν ἀολλίζων· βριαροὺς δ’ ἐμέθυσσε μαχητάς,
θερμοτέροις ἐς Ἄρηα νοήμασιν ἀνέρας ἕλκων
Ἰνδῴης ὀλετῆρας ἀβακχεύτοιο γενέθλης.
τοὺς μὲν ἄναξ Διόνυσος ἐκόσμεεν εἰς μόθον Ἰνδῶν·
Ἀστράεις δ’ ἀκίχητος ἰὼν ἤγγειλεν Ὀρόντηι
Ἰνδῶν δοῦλα γένεθλα καὶ ἴαχε πενθάδι φωνῆι·
“γαμβρὲ δοριθρασέος μενεδήιε Δηριαδῆος,
107 κλῦθι, καὶ εἰσαΐων μὴ χώεο· καί δε διδάξω 17.101

νίκην φαρμακόεσσαν ἀθωρήκτου Διονύσου. 95
Ἰνδοῖς καὶ Σατύροισιν ἔην μόθος· ἔβρεμε δ' αἰχμὴ
Βασσαρίδων, καὶ λαὸς ἐμὸς κεκόρυστο Λυαίωι
ἀστράπτων σακέεσσιν, ἀκοντοφόρους δὲ δοκεύων
Λυδὸς ἀνὴρ πολύιδρις ἐμοὺς ἔφριξε μαχητάς·
ἵστατο δ' ἀπτολέμων Σατύρων πρόμος, οὐ δόρυ χάρμης
χειρὶ φέρων, οὐ γυμνὸν ἔχων ξίφος, οὐδ' ἐπὶ νευρῆι
εἰς σκοπὸν ἰθυκέλευθον ὑπηνέμιον βέλος ἕλκων·
ἀλλὰ κέρας βοὸς εἶχεν, ἐνὶ γλαφυρῆι δὲ κεραίηι
φάρμακον ὑγρὸν ἄειρε, καὶ ἀργυρέου ποταμοῖο
εἰς προχοὰς δολόεσσαν ὅλην κατέχευεν ἐέρσην
ἰκμάδι φοινίξας γλυκερὸν ῥόον· ἐκ δὲ κυδοιμοῦ
καύματι διψώοντες, ὅσοι πίον αἴθοπες Ἰνδοί,
ἔμφρονα λύσσαν ἔχοντες ἀνεκρούσαντο χορείην·
καί σφισι λοίγιος ὕπνος ἐπέχραεν, ἀκλινέες δὲ
ἄσχετα βακχευθέντες ἐπευνάζοντο βοείαις·
ἄλλοι δ' ἀστορέεσσι κατεκλίνοντο χαμεύναις
νωθρὸν ἐπιτρέψαντες ἀκοιμήτωι δέμας ὕπνωι,
Βάκχαις ἀδρανέεσσιν ἑλώρια καὶ Διονύσωι.
τοὺς δὲ δίχα πτολέμοιο καὶ εὐθήκτοιο σιδήρου
δούλιον εἰς ζυγόδεσμον ἐληίσσαντο γυναῖκες
βριθομένοις μελέεσσι, καὶ ἀντιβίων ὑπὲρ ὤμων
ὡς νέκυες ζώοντες ἐλαφρίζοντο μαχηταί,
οἱ μὲν ἔτι βλύζοντες ἐπίκλοπον ἰκμάδα Βάκχου
L2[I] ἀπτολέμοις Σατύροισιν ἐδουλώθησαν ἀνάγκηι,
χεύματι φαρμακόεντι μεμηνότες. ἐκ δὲ κυδοιμοῦ
μοῦνος ἐγὼ λιπόμην, φονίης ἔτι νῆις ἐέρσης,
χείλεσιν ἀβρέκτοισι φυγὼν ἀπατήλιον ὕδωρ.
ἀλλὰ ποτὸν πεφύλαξο, δορυσσόε, μὴ μετὰ νίκην
κερδαλέην ἀσίδηρον ἀναιμάκτοιο Λυαίου
ζωγρήσηι δόλος ἄλλος ἐν Ἄρεϊ λείψανον Ἰνδῶν."
ὣς φαμένου βαρύμηνις ἐχώσατο μᾶλλον Ὀρόντης, 3
καὶ ταχὺς εἰς μόθον ἦλθε παλίνδρομος· ἡμιτελὴς γὰρ
ἦεν ἀγών, ἑτέρης δὲ θεμείλια πήγνυτο χάρμης.
ὄφρα μὲν Ἰνδὸν ὅμιλον ὀρίδρομος ὥπλισεν Ἄρης,
τόφρα δὲ Βασσαρίδες πολυκαμπέος ὑψόθι Ταύρου
εἰς μόθον ἠπείγοντο, συνεστρατόωντο δὲ Βάκχοι
ὁπλοφόροι καὶ Φῆρες ἀτευχέες· οἱ μὲν ἐναύλων
ῥηξάμενοι κρηπῖδας ἐκούφισαν, οἱ δὲ κολώνης 4
ὑψιτενῆ πρηῶνα· καὶ ἀρχομένοιο κυδοιμοῦ
ἔχραον ἀντιβίοισι· πολυσχιδέες δὲ χαράδραι
Ἰνδῴοις ἑλικηδὸν ὀιστεύοντο καρήνοις.
καὶ ποσὶ λεπταλέοισιν ἐπισκαίροντες ἐρίπνηι
Πᾶνες ἐθωρήσσοντο μεμηνότες, ὧν ὁ μὲν αὐτῶν
μάρψας εὐπαλάμωι βεβιημένον αὐχένα δεσμῶι
◆ δήιον αἰγείηισιν ἀνέσχισεν ἀνέρα χηλαῖς,
σὺν βριαρῶι θώρηκι μέσον κενεῶνα χαράσσων·
Nonnus ὃς δὲ τανυπτόρθων κεράων εὐκαμπέσιν αἰχμαῖς
ὄρθιον ἁρπάξας τετορημένον Ἰνδὸν ἀλήτην
17.151 μεσσοπαγῆ κούφιζεν, ἐς ἠερίας δὲ κελεύθους

χάλκεος ἀμπελόεντι χιτὼν ἐσχίζετο κισσῶι.
ἀθρήσας δὲ τάλαντα μάχης ἑτεραλκέι ῥιπῆι
νίκην Ἰνδοφόνοιο προθεσπίζοντα Λυαίου
Ἀστράεις ἀκίχητος ἐχάζετο, πότμον ἀλύξας,
ἐγχείην τανύφυλλον ὑποπτήσσων Διονύσου.
τόφρα δ' Ἀρισταῖος φυσίζοα φάρμακα πάσσων
Βασσαρίδων ὅλον ἕλκος ἀκέσσατο Φοιβάδι τέχνηι,
τῆς μὲν ἐπὶ πληγῆισιν βαλὼν Κενταυρίδα ποίην,
τῆς δὲ βαρυνομένης φονίην ἐκάθηρεν ἐέρσην
αἷμα περιθλίβων· κινυρὴν δ' ἰήσατο Βάκχην
συντρίψας βοτάνας πολυειδέας ἕλκεσι κούρης,
ἢ ποδὸς ἢ παλάμης ἢ στήθεος ἢ κενεῶνος.
ἄλλου δὲ προμάχου φονίωι βληθέντος ὀιστῶι
εἷλκε θοὴν γλωχῖνα, καὶ ἕλκεα χειρὶ πιέζων
αἱμαλέην κατὰ βαιὸν ἀνηκόντιζεν ἐέρσην·
ἄλλωι χεῖρα πέλασσε, καὶ ἕλκεος ἄκρα χαράξας
ἰῶι φαρμακόεντι σεσηπότα τάμνε μαχαίρηι,
ἀκροτάτηι παλάμηι πεφιδημένα δάκτυλα βάλλων·
καὶ χλοερῶι συνέμιξε βιαρκέος ἄνθεϊ γαίης
δαιδαλέας ὠδῖνας ἀλεξικάκοιο μελίσσης,
χειρὶ περιρραίνων ὀδυνήφατον ἰκμάδα Βάκχου·
ἄλλους δ' οὐταμένους ἰήσατο Φοιβάδι φωνῆι,
φρικτὸν ὑποτρύζων πολυώνυμον ὕμνον ἀοιδῆς,
ὡς ὁ μὲν αἰόλον ἕλκος ἀκέσσατο. μαρναμένων δὲ
ἤδη βαρβαρόφωνος ἐπαύσατο θῆλυς Ἐνυώ.
πατρῴης νοέων ζωαρκέος ὄργια τέχνης. up 2 L2[I]
καὶ πολέας ζώγρησαν ἀπὸ πτολέμοιο μαχητὰς
Βασσαρίδες· πολλοὶ δὲ λελοιπότες οὔρεα Ταύρου
δυσμενέες νόστησαν ἐς Ἰνδῴης κλίμα γαίης
ἐλπίσιν ἀπρήκτοισιν ἐς οἰκία Δηριαδῆος,
ἀμφιλαφεῖς ἐλατῆρες ἀμετροβίων ἐλεφάντων.
καὶ Σατύρους μετὰ δῆριν ἐποίνιον εἰς χορὸν ἕλκων
Πὰν νόμιος κελάδησε, χέων ἐπινίκιον ἠχώ.
καὶ Βλέμυς οὐλοκάρηνος, Ἐρυθραίων πρόμος Ἰνδῶν,
ἱκεσίης κούφιζεν ἀναίμονα θαλλὸν ἐλαίης,
Ἰνδοφόνωι γόνυ δοῦλον ὑποκλίνων Διονύσωι.
καὶ θεός, ἀθρήσας κυρτούμενον ἀνέρα γαίηι,
χειρὶ λαβὼν ὤρθωσε, πολυγλώσσωι δ' ἅμα λαῶι
κυανέων πόμπευεν ἐρύκων τηλόθεν Ἰνδῶν,
κοιρανίην στυγέοντα καὶ ἤθεα Δηριαδῆος,
Ἀρραβίης ἐπὶ πέζαν, ὅπηι παρὰ γείτονι πόντωι
ὄλβιον οὖδας ἔναιε καὶ οὔνομα δῶκε πολίταις·
καὶ Βλέμυς ὠκὺς ἵκανεν ἐς ἑπταπόρου στόμα Νείλου,
ἐσσόμενος σκηπτοῦχος ὁμόχροος Αἰθιοπήων·
καί μιν ἀειθερέος Μερόης ὑπεδέξατο πυθμήν,
ὀψιγόνοις Βλεμύεσσι προώνυμον ἡγεμονῆα. 17.397

Ὣς φαμένου βαρὺ κέντρον ἔχων νεοπενθέι θυμῶι 19.1
κοῦρος ἀφωνήτωι σφρηγίσσατο χείλεα σιγῆι, Nonnus
δάκρυσιν αὐτοχύτοις νικώμενος· ὀψὲ δὲ μήτηρ
οἰκτρὸν ἔπος κατέλεξε Μέθη χαίρουσα Λυαίωι· 19.4

λοίγιον· ἀνδροφόνωι δὲ ῥόωι καὶ χεύματι πικρῶι
Nonnus γαστέρα κυμαίνουσαν ἔχων ἐγκύμονα Μοίρης
γεύεο Κωκυτοῖο, καί, ἢν ἐθέλῃς, πίε Λήθην,
Ἄρεος ὄφρα λάθοιο καὶ αἱμαλέοιο σιδήρου."
ἔννεπε κερτομέων διερὸν νέκυν. οἰδαλέος δὲ
κύμασιν ἀσταθέεσσιν ἐσύρετο νεκρὸς Ὀρόντης·
καὶ ψυχροῖς μελέεσσι διαπλώοντα ῥεέθρωι
ἄπνοον ἠρεύγοντο νέκυν ποταμηίδες ὄχθαι.
τὸν μὲν ἐταρχύσαντο καὶ ἔστενον αἴλινα Νύμφαι,
Νύμφαι Ἁμαδρυάδες, χρυσέης παρὰ πυθμένα δάφνης
ἀμφὶ ῥοὰς ποταμοῖο, καὶ ἔγραφον ὑψόθι δένδρου·
'Βάκχον ἀτιμήσας στρατιῆς πρόμος ἐνθάδε κεῖται,
αὐτοφόνωι παλάμηι δεδαϊγμένος Ἰνδὸς Ὀρόντης.'
οὐδὲ μόθου τέλος ἦεν ἀτερπέος· ἡμιτελὴς γὰρ
ἦεν ἀγὼν καὶ δῆρις ἀνήνυτος· ὑψιφανὴς δὲ
Ἰνδὸς Ἄρης ἀλάλαζε· παλιννόστωι δὲ κυδοιμῶι
Λυδὸν ἐρευγομένη μανιώδεος ὄγκον ἀπειλῆς
Βακχιὰς εἰς μόθον ἄλλον ἐκώμασε θυιὰς Ἐνυώ,
δήιον ἀνδροφόνοισιν ἀκοντίζουσα κορύμβοις,
Ἀρεϊ βακχευθεῖσα· φιλοπτόρθου δὲ Λυαίου
δυσμενέες δρυόεντι κατεκτείνοντο σιδήρωι
φοίνιον ἕλκος ἔχοντες· ἀθωρήκτοιο δὲ Βάκχης
ἔγχεϊ βοτρυόεντι δαϊζομένοιο σιδήρου
Ἰνδοὶ χαλκοχίτωνες ἐθάμβεον ὀξέι κισσῶι
στήθεα γυμνωθέντα νεούτατα· ῥηίτεροι γὰρ
L3[O] ἀσκεπέων θώρηκος ὀιστεύοντο φορῆες.
ἄλλων δ' ἄλλος ἔην φόνος ἄσπετος, ὧν ὑπὸ λύθρωι
σχιζόμενοι πετάλοισιν ἐφοινίσσοντο χιτῶνες
μαρναμένων, ὅθι Ταῦρος· ἐκυκλώσαντο δὲ Βάκχαι
ἀκλινέες στεφανηδὸν ὁμοζυγέων στίχας Ἰνδῶν.
καὶ θρασὺς αὐλὸς ἔμελπε φόνου μέλος· ἐν δὲ κυδοιμῶι
Βάκχοι μὲν θεράποντες ἀπειρομόθου Διονύσου
τυπτόμενοι πελέκεσσι καὶ ἀμφιτόμοισι μαχαίραις
πάντες ἔσαν πυργηδὸν ἀπήμονες· ἁβρόκομοι δὲ
δυσμενέες λεπτοῖσι κατεκτείνοντο πετήλοις·
ἑξείης δ' ἐπέπηκτο τανυπτόρθοις ἐνὶ δένδροις
Ἰνδῶν πυκνὰ βέλεμνα, καὶ ἔγχεϊ νύσσετο πεύκη
τηλεπόρωι, βέβλητο πίτυς, τοξεύετο δάφνη,
Φοίβου δένδρον ἐοῦσα, καὶ αἰδομένοις ἐνὶ φύλλοις
πεμπομένων ἐκάλυπτε τανυπτερύγων νέφος ἰῶν,
μή μιν ἴδηι βελέεσσιν ὀιστευθεῖσαν Ἀπόλλων.
καὶ γυμνῆι παλάμηι σακέων δίχα, νόσφι σιδήρου,
Βάκχη ῥόπτρα τίνασσε, καὶ ἤριπεν ἀσπιδιώτης·
τύμπανα δ' ἐσμαράγησε, καὶ ὠρχήσαντο μαχηταί·
κύμβαλα δ' ἐκροτάλιζε, καὶ αὐχένα κύψε Λυαίωι
◆ Ἰνδὸς ἀνὴρ ἱκέτης. ὀλέγωι δ' ἐνὶ δέρματι νεβρῶν
ἀρραγέες γλωχῖνες ἐδοχμώθησαν ἀκόντων·
χαλκοβαρὴς δ' ἄγναμπτος ἐτέμνετο φυλλάδι πῆληξ.
καί τις Ἀρειμανέων Σατύρων πρόμος ἀνέρα βάλλων
17.351 Εὔια ῥῖπτε πέτηλα, νεουτήτου δὲ φορῆος

96 (54C) δισσαῖς ὑψιπότητον ἀνηκόντιζε κεραίαις,
κύμβαχον αὐτοκύλιστον· ἀμαλλοφόροιο δὲ Δηοῦς Nonnus
ἄλλος ἑῆι παλάμηι δονέων καλαμητόμον ἅρπην,
ὡς στάχυν ὑσμίνης, ὡς δράγματα δηιοτῆτος,
δυσμενέων ἤμησε γονὰς γαμψώνυχι χαλκῶι,
τεύχων κῶμον Ἄρηι, θαλύσια καὶ Διονύσωι,
τέμνων ἐχθρὰ κάρηνα· καὶ ὤρεγε μάρτυρι Βάκχωι
καμπύλον ἀνδρομέηι πεπαλαγμένον ἄορ ἐέρσηι,
λοιβὴν αἱματόεσσαν ἐπισπένδων Διονύσωι,
καὶ Μοίρας ἐμέθυσσεν ἐνυάλιον πόμα λείβων·
ἄλλου δ' ἱσταμένου δεδραγμένος αἰγίβοτος Πάν,
χερσὶν ὁμοπλεκέεσσιν ἐπ' αὐχένι δεσμὸν ἑλίξας,
δήιον εὐθώρηκα μετεστυφέλιξε κεραίηι,
δισσοτόμωι γλωχῖνι δαϊζομένου κενεῶνος·
ἄλλος ἐπαΐσσοντα καλαύροπι φῶτα δαΐζων
μεσσόθεν ὀφρυόεντα διέθλασεν ἄκρα μετώπου.
καὶ θρασὺς Ἰνδώιην στρατιὴν θάρσυνεν Ὀρόντης
μῦθον ἀπειλητῆρα χέων ὑψήνορι φωνῆι·
"δεῦτε, φίλοι, Σατύροισιν ἀναστήσωμεν Ἐνυώ·
Ἄρεα μὴ τρομέοιτε φυγοπτολέμου Διονύσου·
μηδέ τις ὑμείων πιέτω ξανθόχροον ὕδωρ,
μὴ γλυκερῆς δολόεντα μεμηνότα φάρμακα πηγῆς,
Ἰνδῶν αἰνομόρων δεδαϊγμένα χειρὶ Λυαίου
μὴ μετὰ τόσσα κάρηνα καὶ ἡμέας ὕπνος ὀλέσσηι.
δεῦτε, πάλιν μαχόμεσθα πεποιθότες· ἀπτόλεμος δὲ L3[O]
ἀμφαδίην ποτὲ Βάκχος ἐμὴν στήσειεν Ἐνυώ;
εἰ δύναται, μενέτω με φυγὰς πρόμος, ὄφρα δαείη,
οἵους Δηριάδης προμάχους ἐς Ἄρηα κορύσσει.
μαρνάσθω πετάλοισιν, ἐγὼ δ' αἴθωνι σιδήρωι.
χάλκεον ἔγχος ἔχοντι τί μοι δέξειε κορύμβοις
Λυδὸς ἀκοντίζων δρυόεν βέλος; ἀλλὰ μαχητὴν
4 (1C) σφιγγόμενον βαρύδεσμον ἀνάλκιδα τοῦτον ἐρύσσω
θηλυμανῆ Διόνυσον, ὀπάονα Δηριαδῆος·
οὗτος ὁ θῆλυν ἔχων ἁπαλὸν χρόα, πάντας ἐάσας
Ἰνδοὺς τοσσατίους ἐνὶ μάρναο μοῦνον Ὀρόντηι.
ἡδὺς ὁ δινεύων κεχαλασμένα βόστρυχα χαίτης,
ἡδὺς ὁ Βασσαρίδων ἐρόεις πρόμος· ἀλλὰ καὶ αὐταὶ
κάλλεϊ τοξεύουσι καὶ οὐ βελέεσσι γυναῖκες.
5 σὰς προπόλους Ἰνδοῖσι γυναιμανέεσσι συνάψω
ἑλκομένας ἐπὶ λέκτρα δορικτήτων ὑμεναίων."
ὣς εἰπὼν προμάχοισιν ἐπέδραμε θερμὸς Ὀρόντης,
Ἄρεος ἀμώων διφυὲς θέρος· οὐδέ τις ἔτλη
τοσσατίου προμάχοιο μένειν ἀντίξοον ὁρμήν,
οὐ θρασὺς Εὐρυμέδων πυρόεις, οὐ σύγγονος Ἄλκων·
φεῦγε γὰρ Ἀστραῖος, Σατύρων πρόμος, οὐδέ τις αὐτῶν
Σειληνῶν παρέμιμνεν. ἀελλήεντι δὲ ταρσῶι
γαμβρὸς ἐριπτοίητος ἐμαίνετο Δηριαδῆος
ἀντία Κενταύρων ἀνεμώδεα λᾶον ἀείρων,
καὶ τύχεν Ὑλαίοιο· δασυστέρνου δὲ νομῆος
ἔθλασεν ἄκρα μέτωπα βαλὼν μυλοειδέι πέτρωι, 17.201

καὶ σκέπας ἐστυφέλιξε χαραδρήεντι βελέμνωι,
ψευδαλέον μίμημα τετυγμένον ἠθάδι γύψωι,
ἀντίτυπον πήληκος ἀληθέος ἕρκος ὀπωπῆς·
καὶ τὸ μὲν ἐν χθονὶ πῖπτε πολυσχιδές, αἴθοπι τέφρηι
εἴκελον, ἀργυφέη δὲ πέλεν κόνις· αὐτὰρ ὁ κάμνων
ἔγχεϊ πετρήεντι πέδον πήχυνεν ἀγοστῶι.
Κενταύρου δ' ἑτέροιο δ' εὐκεράοιο καρήνου
ἀμφιτόμωι βουπλῆγι τυχὼν λασίοιο μετώπου
ταυρείην ἐπίκυρτον ἀπηλοίησε κεραίην·
καὶ πολὺς εἰς χθόνα πῖπτεν, ἐπισκαίρων δὲ καρήνωι
ἡμιθανὴς κεκύλιστο, καὶ οὔασι τύπτε κονίην·
καὶ δέμας ὀρθώσας πυμάτωι βακχεύετο ταρσῶι,
εἰλιπόδην ἀγέλαστον ἔχων ὀρχηθμὸν ὀλέθρου·
καὶ κτύπον ἐσμαράγησε πέλωρ, ἅτε ταῦρος ἰάλλων
τρηχαλέον μύκημα σεσηρότος ἀνθερεῶνος,
κρᾶτα τυπείς. Ἑλίκην δὲ βαλὼν ἄστοργος Ἐρεμβεὺς
στήθεϊ χαλκὸν ἔλασσε, καὶ ἄργυφον ἄντυγα μαζοῦ
αἵματι φοινίσσοντι κατέγραφε κυανέη χείρ·
τὴν δὲ κονιομένην ἑτέρηι ξύνωσαν ἀνίηι
πέπλον ἀναστείλαντες ἀκοντιστῆρες ἀῆται·
καὶ χροὸς ἔβλυς λύθρον ἐπήρατον· αἰδομένη δὲ
δεξιτερῆι συνάγειρεν ἑὸν φεύγοντα χιτῶνα,
γυμνὰ φυλασσομένη χιονώδεος ὄργια μηροῦ.
καὶ θεὸς ἀθρήσας δηίων ἑτεραλκέα νίκην
καὶ Σατύρους πτώσσοντας ἐπεσμαράγησε κυδοιμῶι,
ὡς στρατὸς ἐννεάχιλος ἐριγδούπων ἀπὸ λαιμῶν
συμφερτοῖς στομάτεσσι χέων ἀντίκτυπον ἠχώ.
καὶ Βρομίωι ταχύγουνος ἐμάρνατο μοῦνος Ὀρόντης,
θνητὸς ἐών, βροτέηι δὲ θεὸν προχαλίζετο φωνῆι.
ἄμφω δ' εἰς μόθον ἦλθον ὁμήλυδες, ὧν ὁ μὲν αὐτῶν
ἔγχος ἔχων, ὁ δὲ θύρσον ἀκαχμένον, ἄκρα δὲ Βάκχου
κρατὸς ἀνουτήτοιο βαλὼν ὑπέροπλος Ὀρόντης
θηγαλέην Βρομίοιο μάτην ἤρασσε κεραίην·
οὐ γὰρ ἄναξ Διόνυσος ἀδηλήτοιο καρήνου
ταυροφυῆ τύπον εἶχε Σεληναίοιο μετώπου
τεμνόμενον βουπλῆγος ἀλοιητῆρι σιδήρωι,
ὡς κερόεις Ἀχελῶιος ἀείδεται, οὗ ποτε κόψας
Ἡρακλέης κέρας εἷλε γαμοστόλος· ἀλλὰ Λυαῖος
οὐράνιον μίμημα βοώπιδος εἶχε Σελήνης,
δαιμονίης ἄρρηκτον ἔχων βλάστημα κεραίης,
ἀντιβίοις ἀτίνακτον· ὁ δὲ θρασὺς ἀντία Βάκχου
ἠερίηι βαρύδουπος ὁμοίιος Ἰνδὸς ἀέλληι
δεύτερον ἠκόντιζεν, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
νεβρίδος ἀψαμένη μολίβου τύπον. ἀντιτύπου δὲ
πέμπων οἴνοπα θύρσον ἐπὶ πλατὺν ὦμον Ὀρόντου
Βάκχος ἑκὼν ἀφάμαρτεν· ἐπεγγελόων δὲ Λυαίου
ἔγχεϊ κισσήεντι θεημάχος εἶπεν Ὀρόντης·
"οὗτος ὁ θῆλυν ὅμιλον ἐμαῖς στρατιῇσι κορύσσων,
εἰ δύνασαι, πολέμιζε γυναικείωι σέο θύρσωι,
εἰ δύνασαι, προμάχιζε· καί, εἰ μερόπων φρένα τέρπεις
πανδαμάτωρ, ἕνα μοῦνον ἀθελγέα θέλξον Ὀρόντην.
ἵστασο δηριόων, καὶ γνώσεαι, οἷον ἀέξει,
ὄρχαμον ἀλκήεντα γέρων ἐμὸς Ἰνδὸς Ὑδάσπης.
οὐ Φρυγίης γενόμην, ὅθεν ἄρσενές εἰσι γυναῖκες,
ἄσπορον ἀμήσαντες ἀνυμφεύτου στάχυν ἥβης·
οὐ θεράπων ἀσίδηρος ἀνάλκιδός εἰμι Λυαίου.
φάρμακα σοὺς προμάχους οὐ ῥύσεται· ὑμετέρας δὲ
θυιάδας ἀμφιπόλους ληίσσομαι, ἐκ δὲ κυδοιμοῦ
Σειληνοὺς θεράποντας ἐμῶι βασιλῆι κομίσσω,
σοὺς Σατύρους πτώσσοντας ἐμῶι δορὶ πάντας ὀλέσσω."
εἶπεν ὁμοκλήσας στρατιῆς πρόμος· εἰσαΐων δὲ
Βάκχος ἄναξ κεχόλωτο, καὶ ἀμπελόεντι κορύμβωι
τύψε κατὰ στέρνου πεφιδημένος· οὐτιδανῶι δὲ
ἄνθεϊ βοτρυόεντι τυπεὶς ἐσχίζετο θώρηξ·
οὐδὲ καλυπτομένου χροὸς ἥψατο Βακχιὰς αἰχμή,
οὐ δέμας ἄκρον ἄμυξε· σιδηρείου δὲ χιτῶνος
ῥηγνυμένου βαρύδουπος ἐχάζετο γυμνὸς Ὀρόντης·
Ἠώιην δ' ἐπὶ πέζαν ἑὰς ἐτίταινεν ὀπωπὰς
ἀντιπόρωι Φαέθοντι καὶ ὑστατίην φάτο φωνήν·
"Ἠέλιε, φλογεροῖο δι' ἅρματος αἰθέρα τέμνων,
γείτονα Καυκασίην ὑπὲρ αὔλακα φέγγος ἰάλλων
στῆσον ἐμοὶ σέο δίφρα, καὶ ἔννεπε Δηριαδῆι
Ἰνδῶν δοῦλα γένεθλα καὶ αὐτοδάικτον Ὀρόντην
καὶ θύρσους ὀλίγους ῥηξήνορας, εἰπὲ καὶ αὐτοῦ
νίκην φαρμακόεσσαν ἀπειρομόθου Διονύσου,
καὶ ῥόον οἰνωθέντα νοοσφαλέος ποταμοῖο·
εἰπὲ δέ, πῶς ἀκάμαντα σιδηροφόρων στρατὸν Ἰνδῶν
λεπταλέοις πετάλοισι διασχίζουσι γυναῖκες.
εἰ δὲ τεῆς Κλυμένης μιμνήσκεαι εἰσέτι λέκτρων,
ῥύεο Δηριαδῆα, τεῆς βλάστημα γενέθλης,
Ἀστρίδος αἷμα φέροντα φατιζομένης σέο κούρης.
οὐ πιθόμην Βρομίωι θηλύφρονι· μάρτυρας ἕλκω
ἠέλιον καὶ γαῖαν ἀτέρμονα καὶ θεὸν Ἰνδῶν,
ἁγνὸν ὕδωρ. σὺ δὲ χαῖρε, καὶ ἵλαος ἔσσο κυδοιμῶι
Ἰνδῶν μαρναμένων, καὶ ὀλωλότα θάψον Ὀρόντην."
ὣς εἰπὼν ξίφος εἷλκε, μέσηι δ' ἐνὶ γαστέρι πήξας
αὐτοφόνωι βαρύποτμος ἐπεσκίρτησε σιδήρωι·
καὶ ποταμῶι κεκύλιστο καὶ οὔνομα δῶκεν Ὀρόντηι.
καί οἱ, ἔτι πνείοντα καὶ ἀσπαίροντα δοκεύων,
Βάκχος ἄναξ ἀγόρευε χέων φιλοκέρτομον ἠχώ·
"κεῖσο, νέκυς, ξείνοισιν ἐν ὕδασιν· ὑμέτερον δὲ
Δηριάδην θνήσκοντα πατὴρ κρύψειεν Ὑδάσπης.
ὑμέας ἀμφοτέρους ἑκυρὸν καὶ γαμβρὸν ὀλέσσω,
ἀντὶ δορὸς φονίοιο καὶ εὐθήκτοιο μαχαίρης
σείων Εὔια θύρσα καὶ ἀμπελόεσσαν ἀκωκήν.
ἀλλὰ δαφοινήεντι κατακτείνων σε σιδήρωι
οὐ πίες ἁβρὰ ῥέεθρα μελισταγέος ποταμοῖο·
καὶ ποταμός σε κάλυψε, καὶ ἤμβροτες ἡδέος οἴνου.
ἢν ἐθέλῃς, πίε μοῦνος ὅλον ῥόον· ἀλλὰ ῥεέθρων
οὐ χατέεις ποταμοῖο πιὼν Ἀχερούσιον ὕδωρ

Nonnus

πορφυρέωι κενεῶνι πίθος παρὰ γείτονι ληνῶι
ἵσταται Εὔια δῶρα δεδεγμένος εἰσέτι Βάκχου,
σῆμα Πίθου προτέροιο· καὶ εἰ βροτέην λάχε φωνήν,
τοῖον ἔπος Σατύροισιν ἐρεύγετο κῶμον ἀκούων·
 "εἰμὶ Πίθος, προτέροιο φερώνυμος, ἄγχι δὲ ληνοῦ
δέχνυμαι ἡμερίδων γλυκερὸν ῥόον· Ἀσσυρίου δὲ
λάτρις ἐγὼ Σταφύλου καὶ Βότρυος, ἀμφοτέρους δὲ
νηπιάχους ἔθρεψα γέρων τροφός· εἰσέτι δ' ἄμφω,
οἷα πάλιν ζώοντας, ἐμαῖς λαγόνεσσιν ἀείρω."
 καὶ τὰ μὲν ὡς ἤμελλε μετὰ χρόνον ὀψὲ τελέσσαι
Βάκχος ἄναξ. περόων δὲ Τύρον καὶ Βύβλον ὁδεύων
καὶ ποταμοῦ θυόεντος Ἀδώνιδος εὔγαμον ὕδωρ
καὶ σκόπελον Λιβάνοιο καὶ ἔνδια Κυπρογενείης
Ἀρραβίης ἐπέβαινε, καὶ εὐόδμων ὑπὸ δένδρων
Νυσιάδος τανύφυλλον ἐθάμβεε δειράδα λόχμης
καὶ πόλιν αἰπύδμητον, ἀκοντοφόρων τροφὸν ἀνδρῶν.
 ἔνθά τις, Ἄρεος αἷμα, μιαιφόνος ᾤκεεν ἀνήρ,
ἤθεσι ῥιγεδανοῖσιν ἔχων μίμημα τοκῆος,
ὀθνείους ἀθέμιστος ἀμεμφέας εἰς μόρον ἕλκων,
αἰνομανὴς Λυκόοργος· ἀποκταμένων δὲ σιδήρωι
ἔστεφεν ἀνδρομέοισιν ἑὸν πυλεῶνα καρήνοις
εἴκελος Οἰνομάωι καὶ ὁμόχρονος, οὗ ποτε δειλὴ
πατρὸς ἀνυμφεύτοισι δόμοις ἐφυλάσσετο κούρη
χήρη, γηραλέη, γαμίων ἔτι νῆις Ἐρώτων,
εἰσόκε Ταντάλίδης, ἱππήλατον οἶδμα χαράσσων,
L1[O] ἄβροχον ἅρμα φέρων τετράζυγον ἐννοσιγαίου
νυμφίδιον δρόμον εἶχεν, ὅτε τροχοειδέι κύκλωι
Μυρτίλος αἰολόμητις ἐπίκλοπον ἤνυσε νίκην
μιμηλῶι τελέσας ἀπατήλιον ἄξονα κηρῶι,
οἶκτον ἔχων καὶ ἔρωτα γοήμονος Ἱπποδαμείης·
καὶ δρόμος ἦν ἀνόνητος· ὑπ' Ἠελίοιο δὲ δίφρωι
κηροπαγὴς φλογόεντι τύπος θερμαίνετο πυρσῶι,
καὶ τροχὸν ἠκόντιζε λυθεὶς μινυώριος ἄξων.
τοῖος ἔην Λυκόοργος ὁμότροπος· ἀχθοφόρους δὲ
πολλάκις ἐν τριόδοισιν ἀλήμονας ἄνδρας ὁδίτας
δήσας εἰς δόμον εἷλκεν, Ἐνυαλίωι δὲ τοκῆι
δαιτρεύων ἱέρευε· δαϊζομένων δὲ μαχαίρηι
ἄκρα λαβὼν ἐπύκαζε κακοξείνους πυλεῶνας.
ὡς δ' ὅτε δυσμενέων μετὰ φύλοπιν ὀψὲ μολόντος 1
ἀνδρὸς ἀκοντοφόροιο νέης ἀναθήματα νίκης,
ἀσπίδες ἢ πήληκες, ἐπεκρεμόωντο μελάθρωι,
οὕτω καὶ φονίοιο παρὰ προπύλαια Λυκούργου
ἄκρα ποδῶν καὶ χεῖρες ἐπηιώρηντο θανόντων.
καὶ φόνος ἦν· ξενίου δὲ Διὸς παρὰ γείτονι βωμῶι
ὀθνεῖοι στενάχοντες ἐμιστύλλοντο μαχαίρηι,
οἷα βόες καὶ μῆλα, περιρραίνοντο δὲ βωμοὶ
σφαζομένων, στικτὴ δὲ κόνις φοινίσσετο λύθρωι
δώματος ἀμφὶ θύρετρα· βιαζόμενοι δὲ πολῖται
ἀντὶ Διὸς σπεύδοντο θυηπολέειν Λυκοόργωι.
20.182 οὐδ' ἔλαθες, Διόνυσε, δολορραφέος φθόνον Ἥρης·
ἀλλὰ πάλιν κοτέουσα τεῇι θεόπαιδι γενέθληι

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the eighteenth come Staphylos and Botrys, inviting the mountain-ranging son of Thyone to a feast.

NONNUS

DIONYSIACA

BOOK 18

PREVIEW BOOK 20

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 368 lines 3.0
3L 1 - 368

PRINT 2-SIDED: 111 to 116

Ἤδη δὲ πτερόεσσα πολύστομος ἵπτατο Φήμη
Ἀσσυρίης στίχα πᾶσαν ὑποτροχόωσα πολήων,
οὔνομα κηρύσσουσα κορυμβοφόρου Διονύσου,
καὶ θρασὺν Ἰνδὸν Ἄρηα καὶ ἀγλαόβοτρυν ὀπώρην.
καὶ Στάφυλος Σατύρων στρατιὴν ἀσίδηρον ἀκούων
ὄργιά τ' ἀμπελόεντα καὶ Εὔια θύσθλα Λυαίου
Βάκχον ἰδεῖν μενέαινε· καὶ υἱέα Βότρυν ἐπείγων
κοίρανος Ἀσσυρίων ἀνεμώκεος ὑψόθι δίφρου
ἤντετο βοτρυόεντι παρερχομένωι Διονύσωι.
τὸν μὲν ἰδὼν ἐπιόντα καὶ ἀγυρόκυκλον ἀπήνην
πορδαλίων τε λέπαδνα καὶ ἡνία φαιδρὰ λεόντων
Βότρυς ἀκερσικόμης ἀνεσείρασεν ἅρμα τοκῆος·
καὶ Στάφυλος σκηπτοῦχος ἑοῦ κατεπήλατο δίφρου
πορδαλίων στατὸν ἴχνος ὀπιπεύων Διονύσου·
καὶ ποδὸς ὀκλάζοντος ἐπὶ χθονὸς ἴχνος ἐρείδων,
θαλλὸν ἐλαιήεντα θεουδέι χειρὶ τιταίνων
καὶ φιλίωι Διόνυσον ἄναξ μειλίξατο μύθωι·
"πρὸς Διὸς ἱκεσίοιο, τεοῦ, Διόνυσε, τοκῆος,
πρὸς Σεμέλης θεόπαιδος, ἐμὸν μὴ παῖδα παρέλθηις.
ἔκλυον, ὡς ὑπέδεκτο τεὸν γενετῆρα Λυκάων,
αὐτὸν ὁμοῦ μακάρεσσι, καὶ υἱέα χειρὶ δαΐξας
Νύκτιμον ἀγνώσσοντι τεῶι παρέβαλλε τοκῆι,
καὶ Διὶ παμμεδέοντι μιῆς ἔψαυσε τραπέζης,
Ἀρκαδίης παρὰ πέζαν· ὑπὲρ Σιπύλου δὲ καρήνων
Τάνταλος, ὡς ἐνέπουσι, τεὸν ξείνισσε τοκῆα,
δαιτρεύσας δ' ἑὸν υἷα θεοῖς παρέθηκεν ἐδωδήν·
καὶ Πέλοπος πλατὺν ὦμον, ὅσον θοινήσατο Δηώ,
μορφώσας ἐλέφαντι, νόθωι τεχνήμονι κόσμωι,
υἱέα δαιτρευθέντα πάλιν ζώγρησε Κρονίων,
ἔμπαλιν ἀλλήλοις μεμερισμένα γυῖα συνάπτων.
ἀλλὰ τί σοι, Διόνυσε, Λυκάονα παιδοφονῆα
ξεινοδόκον μακάρων, καὶ Τάνταλον ἠεροφοίτην
νεκταρέων ὀνόμηνα δολόφρονα φῶρα κυπέλλων,
δήιον ἀμβροσίης καὶ νέκταρος ἄνδρα πιφαύσκων;
Ζῆνα καὶ Ἀπόλλωνα μιῆι ξείνισσε Μακελλώ
καὶ Φλεγύας ὅτε πάντας ἀνερρίζωσε θαλάσσηι
νῆσον ὅλην τριόδοντι διαρρήξας ἐνοσίχθων,
ἀμφοτέρας ἐφύλαξε καὶ οὐ πρήνιξε τριαίνηι.
καὶ σύ, φέρων μίμημα τεοῦ ξενίοιο τοκῆος,
εἰς μίαν ἠριγένειαν ἐμῶν ἐπίβηθι μελάθρων·
δὸς χάριν ἀμφοτέροις, καὶ Βότρυϊ καὶ γενετῆρι."
ὣς εἰπὼν παρέπεισεν· ἑῶι δ' ἐποχήσατο δίφρωι,
ὀλβίζων ἑὸν οἶκον, ἐφεσπομένου Διονύσου·
καὶ θρασὺς ἱππείην ἀνεκούφισε Βότρυς ἱμάσθλην,
Ταυρείην δ' ἑλικηδὸν ἐρημέδα πέζαν ὁδεύων
ἤλασε πάτριον ἅρμα, καὶ ἡγεμόνευε Λυαίωι
Ἀσσυρίην ἐπὶ γαῖαν· ἐπαυχενίοις δὲ λεπάδνοις
χρύσεα Μυγδονίοιο δεδεγμένος ἡνία δίφρου
ἡνίοχος Βρομίοιο Μάρων, ἀκόρητος ἱμάσθλης
θηρονόμου μάστιγος ἀφειδέα ῥοῖζον ἰάλλων,

οὐ θρασὺν Ὠρίωνα δυσίμερον, οὐ πρόμον Ἥρης
Ἄργον, ἀεξικάκοιο βοοσκόπον υἱὸν ἀρούρης,
Ζηνὸς ὀπιπευτῆρα βοοκραίρων ὑμεναίων·
ἀλλὰ παρὰ Σταφύλωι καὶ Βότρυι κῶμον ὑφαίνεις,
ἀκλειὴς ἀσίδηρος ἐποίνιον ὕμνον ἀείδων·
αἰσχύνεις Σατύρων χθόνιον γένος, ὅττι καὶ αὐτοὶ
Βακχιάδος ψαύοντες ἀναιμάκτοιο χορείης
Ἄρεος ἐλπίδα πᾶσαν ἐπετρέψαντο κυπέλλοις.
ἔστι καὶ εἰλαπίνη μετὰ φύλοπιν, ἔστι χορεύειν
Ἰνδώιην μετὰ δῆριν ἔσω Σταφύλοιο μελάθρων·
πηκτίδες ἂψ αὔουσιν ἐνυαλίην μετὰ νίκην·
νόσφι πόνων οὐκ ἔστιν ἀνέμβατον αἰθέρα ναίειν·
οὐ πέλε ῥηιδίη μακάρων ὁδός· ἐξ ἀρετῆς δὲ
ἀτραπὸς Οὐλύμποιο θεόσσυτος εἰς πόλον ἕλκει.
τέτλαθι καὶ σὺ πόνους πολυειδέας· οὐρανίην γὰρ
Ἥρη σοὶ κοτέουσα Διὸς μαντεύεται αὐλήν."
ὣς φαμένη πεπότητο. θεὸς δ' ἀνεπήλατο λέκτρων,
φρικτὸν ἔχων ἔτι δοῦπον ἀπειλητῆρος ὀνείρου. {...}
καὶ θρασὺς ἄνθορε Βότρυς, ἑὸν δ' ἔνδυνε χιτῶνα
Σιδονίης ἀκτῖνας ἀκοντίζοντα θαλάσσης,
καὶ χρυσέωι συνέεργεν ἀρηρότα ταρσὰ πεδίλωι·
ὤμοις δ' ἀκαμάτοις διμερῆ κληῖδα φυλάσσων
φαιδρὸν ἀλιχλαίνων περονήσατο φᾶρος ἀνάκτων,
πατρώιην λαγόνεσσι βαλὼν ὑψήνορα μίτρην,
σκῆπτρον ἔχων. Σάτυροι δὲ δαφοινήεσσαν ἀπήνην
πορδαλίων ἔζευξαν ἐπειγομένωι Διονύσωι·
Σειληνοὶ δ' ἀλάλαζον· ἐμυκήσαντο δὲ Βάκχαι
θυρσοφόροι· στρατιαὶ δὲ συνήλυδες εἰς μόθον Ἰνδῶν
στοιχάδες ἐρρώοντο· καὶ ἔβρεμεν αὐλὸς Ἐνυοῦς·
κεκριμένας δὲ φάλαγγας ἐκόσμεον ἡγεμονῆες.
καί τις ὑπὲρ νώτοιο θορὼν ἐπιβήτορι παλμῶι
εἰς δρόμον ἐσσυμένης λοφίην ἐπεμάστιεν ἄρκτου
λυσσαλέης· ἕτερος δὲ δασύτριχα γαστέρα νύσσων
ἄγριον ἡνιόχευε καλαύροπι ταῦρον ἀλήτην,
πλευραῖς ἀμφοτέραις κεχαλασμένα ταρσὰ συνάπτων·
ὃς δὲ δασυστέρνων ῥαχίης ἐπέβαινε λεόντων
αὐχενίων πλοκάμων δεδραγμένος ἀντὶ χαλινοῦ.
καὶ μέγαρον πατρῶιον ὁμοῦ καὶ κλῆρον ἐάσας
Βότρυς ἐρευθήεις, τετράζυγον ἅρμα τιταίνων,
σύνδρομος ἡνιόχευε φιλοσταφύλωι Διονύσωι,
δμῶας ἔχων κατόπισθε· Μέθηι δ' ἅμα μητέρι νύμφη
λευκοχίτων ἀνέβαινεν ἐς ἀργυρόκυκλον ἀπήνην,
καὶ ζυγίων Φασύλεια κυβερνήτειρα λεπάδνων
εἰς λόφον ἡμιόνων χρυσέην ἐλέλιζεν ἱμάσθλην·
καὶ Πίθος εὐρυκάρηνος, ὀπίστερον ἅρμα τιταίνων,
ἕσπετο θητεύων καὶ Βότρυϊ καὶ Διονύσωι.
οὐ μὲν ἔην ἀγέραστος· ἑλὼν δέ μιν εἰς χθόνα Λυδῶν
Βάκχος ἄναξ ἔστησε μέθης ἐγκύμονι ληνῶι,
δεχνύμενον χυτὸν ὄγκον ἐυρραθάμιγγος ὀπώρης
ἄγγεσιν οἰνοδόκοις, ὅθεν οὔνομα τοῦτο φυλάσσων

99

γείτονι δ' ἐν θαλάμωι Σατύρων δίχα, νόσφι Λυαίου,
Nonnus ἀμφίπολοι στορέσαντο λέχος χρύσειον ἀνάσσηι.
Βάκχωι δ' ἦλθεν ὄνειρος, Ἔρις πολέμοιο τιθήνη,
ἅρμασι μιμηλοῖσιν ἐφεδρήσσουσα λεόντων,
Ῥείης εἶδος ἔχουσα, φιλοκροτάλοιο θεαίνης·
καὶ Φόβος ἡνιόχευεν ὀνειρείων ζυγὰ δίφρων
ἀντιτύποις μελέεσσι νόθος μορφούμενος Ἄττις,
καὶ θρόον ὀξὺν ἔχων ἁπαλόχροος ἄρσενι μορφῆι
ἡνίοχον Κυβέλης ἀπεμάξατο θηλεϊ φωνῆι·
Βάκχου δ' ὑπναλέοιο παρεστηυῖα καρήνωι
φοιτὰς Ἔρις νεμέσησε, καὶ ἐγρεμόθωι φάτο φωνῆι·
"ὑπνώεις, Διόνυσε θεηγενές· εἰς ἐνοπὴν δὲ
Δηριάδης καλέει σε, καὶ ἐνθάδε κῶμον ἐγείρεις·
μητρυιὴ δ' ὁρόωσα τεὴν φύξηλιν Ἐνυὼ
Ἥρη κερτομέει σε, σὺ δὲ στρατὸν εἰς χορὸν ἕλκεις.
αἰδέομαι Κρονίωνι φανήμεναι, ἅζομαι Ἥρην,
ἅζομαι ἀθανάτους, ὅτι μὴ κάμες ἄξια Ῥείης·
20.50 Τιτήνων δ' ὀλετῆρα, προασπιστῆρα τοκῆος,
αὐχένα γαῦρον ἔχοντα κατ' οὐρανὸν Ἄρεα φεύγω,
ἀσπίδα κουφίζονται διάβροχον ἠθάδι λύθρωι·
καὶ γνωτὴν σέο μᾶλλον, ἀριστογόνοιο τοκῆος
αὐτοτελῆ γονόεντος ἀμήτορα παῖδα καρήνου,
Παλλάδα δειμαίνω κορυθαιόλον, ὅττι καὶ αὐτὴ
μέμφεται ἄρσενα Βάκχον ἀεργέα θῆλυς Ἀθήνη·
εἴκαθεν αἰγίδι θύρσος, ἐπεί ποτε Παλλὰς ἀγήνωρ
L2[O] αἰγίδα κουφίζουσα πύλας ἔστεψεν Ὀλύμπου,
Τιτήνων σκεδάσασα θυελλήεσσαν Ἐνυώ,
πατρώιου δ' ἐγέραιρε σοφὴν ὠδῖνα καρήνου·
καὶ σὺ Διὸς γονόεσσαν ἐπαισχύνεις πτύχα μηροῦ.
ἠνίδε, πῶς γελόωσι καὶ Ἑρμείας καὶ Ἀπόλλων,
ὃς μὲν ἀερτάζων δίδυμον βέλος εἰσέτι λύθρωι
ὑψιλόφων τεκέων πεπαλαγμένον Ἰφιμεδείης,
ὃς δὲ καταφθιμένοιο πολυβλεφάροιο νομῆος
ῥάβδον ἔχων ὀλέτειραν· ἐγὼ δ' ἐμὸν αἰθέρα φεύγω
μῶμον ἀλυσκάζουσα φυγοπτολέμου Διονύσου.
θύρσους δ' ἠρεμέοντας ὀπιπεύουσα Λυαίου
μέμφεται ὀρχηστῆρι φιλοσκοπέλωι Διονύσωι
παρθένος ἰοχέαιρα, κυβερνήτειρα δὲ δίφρου
οὐτιδανῶν ἐλάφων, βαλίων ὀλέτειρα λαγωῶν,
μέμφεται οὐρεσίφοιτος ὀρειάδος ἐγγύθι Ῥείης
πορδαλίων ἐλατῆρι καὶ ἡνιοχῆι λεόντων.
παιδὸς ἐμοῦ Διὸς οἶκον ἀναίνομαι· ἐν γὰρ Ὀλύμπωι
ἅζομαι αὐχήεσσαν ἀγαλλομένην ἔτι Λητώ,
ἰὸν ἐμοὶ τανύουσαν ἐῶν χραισμήτορα λέκτρων,
Γηγενέος Τιτυοῖο ποθοβλήτοιο φονῆα.
καὶ διδύμαις ὀδύνῃσιν ἱμάσσομαι, ὅττι δοκεύω
ἀχνυμένην Σεμέλην καὶ ἀγήνορος ἀστέρα Μαίης.
οὐ σὺ Διὸς τεκέεσσιν ὁμοίιος· οὐ κτάνες ἰῶι
Ὦτον ἀπειλητῆρα καὶ ὑψιπόδην Ἐφιάλτην,
20.82 οὐ Τιτυὸν πτερόεντι τεῶι κατέπεφνες ὀιστῶι,

πορδαλίων ἤλαυνεν ἀελλήεσσαν ἀπήνην·
καὶ Σάτυροι προθέοντες ἀνεκρούσαντο χορείην, Nonnus
ἀμφιπερισκαίροντες ὀρίδρομον ἅρμα Λυαίου·
πολλὴ δ' ἔνθα καὶ ἔνθα φιλάνθεμος ἔτρεχε Βάκχη
δύσβατον οἶμον ἔχουσα βατῶι ποδί, καὶ πτύχα πέτρης
στεινὴν κλιμακόεσσαν ἐμέτρεεν ὠκέι ταρσῶι,
καὶ παλάμηι κροτάλιζε καὶ εὐρύθμοισι πεδίλοις,
μόχθον ὑποκλέπτουσα βαθυκρήμνοιο κελεύθου,
οἰστρομανής· καὶ Πᾶνες ἐθήμονος ὑψόθι πέτρης
ποσσὶν ἐυκνήμισιν ἐπωρχήσαντο κονίηι,
ἀστιβέος πρηῶνα διαστείχοντες ἐρίπνης.
ἀλλ' ὅτε νισσομένοισι φάνη βασιλήιος αὐλὴ
τηλεφανὴς στίλβουσα λίθων ἑτερόχροϊ κόσμωι,
εὐχαίτης τότε Βότρυς ὄχον πατρώιον ἐάσας
εἰς δόμον ὠκυπέδιλος ἔβη, προκέλευθος ὁδίτης,
ἐντύνων ἅμα πάντα, φιλοστόργωι δὲ μενοινῆι
ὄφρα μὲν εἰσέτι Βότρυς ἐκόσμεε δαῖτα Λυαίωι, down 1
ὥπλισε πιαλέης ἑτερότροπα δεῖπνα τραπέζης.
τόφρα δὲ ποικιλόδωρος ἄναξ ἐπεδείκνυε Βάκχωι
κάλλεα τεχνήεντα λιθοστρώτοιο μελάθρου,
τῶν ἄπο μαρμαρέη πολυδαίδαλος ἔρρεεν αἴγλη,
σύγχροος ἠελίοιο καὶ ἀντιτύποιο σελήνης·
τοῖχοι δ' ἀργυρέοισιν ἐλευκαίνοντο μετάλλοις,
καὶ μερόπων σπινθῆρας ἐπαστράπτουσα προσώπωι
λύχνις ἔην, λύχνοιο φερώνυμος· εἶχε καὶ αὐτὴν
οἶκος ἐρευθιόωντι κεκασμένος αἴθοπι πέτρωι L2[O]
οἰνωπὴν ἀμέθυστον ἐρειδομένην ὑακίνθωι·
αὐγὴν δ' αἰθαλόεσσαν ἀπέπτυεν ὠχρὸς ἀχάτης,
καὶ φολίδων στικτοῖσι τύποις ἀμάρυσσεν ὀφίτης·
Ἀσσυρίη δὲ μάραγδος ἀνήρυγεν ἔγχλοον αἴγλην.
κιονέηι δὲ φάλαγγι περιστρωθέντα μελάθρων
2 χρύσεα δουρατέης ἐρυθαίνετο νῶτα καλύπτρης
ἀφνειοῖς ὀρόφοισι· πολυσχιδέων δὲ μετάλλων
φαιδρὸν ἐυψήφιδι πέδον ποικίλλετο τέχνηι·
καὶ πυλεὼν περίμετρος ἐυγλύπτωι τινὶ δούρωι
λεπτοφυῆ τύπον εἶχε νεοπρίστων ἐλεφάντων.
τοῖα γέρων σκηπτοῦχος ἐδείκνυε μάρτυρι Βάκχωι·
καὶ μόγις ἴχνος ἔκαμψεν ἔσω θεοδέγμονος αὐλῆς
3 χειρὸς ἔχων Διόνυσον· ὁ δὲ βραδυπειθέι ταρσῶι
πλαζομένην ἑλικηδὸν ἑὴν ἐτίταινεν ὀπωπήν·
καὶ θεὸς ἀστερόεσσαν ἐθάμβεεν ἤνοπι κόσμωι
ξεινοδόκου βασιλῆος ἰδὼν χρυσήλατον αὐλήν.
ἀμφιπόλους δ' οἴστρησεν ἄναξ καὶ δμῶας ἐπείγων,
ταύρων ζατρεφέων ἀγέλην καὶ πώεα μήλων
δαιτρεύειν Σατύροισι βοοκραίρου Διονύσου.
καὶ Σταφύλου σπεύδοντος ἔην ταχυεργὸς ἀπειλὴ
δμωσὶν ἀμοιβαίοισιν· ἐπερρώοντο δὲ πολλοὶ
εἰλαπίνης δρηστῆρες· ἐδαιτρεύοντο δὲ ταῦροι
καὶ νομάδων ὀίων λιπαραὶ στίχες. ἦν δὲ χορείη·
καὶ δόμον εὐφόρμιγγα θυώδεες ἔπνεον αὖραι, **18.**100

εὐόδμου δὲ πόληος ἀνεκνίσσωσαν ἀγυιάς·
ἀμφιλαφεῖς δ᾽ ἐμέθυσσαν ὅλον δόμον ἰκμάδες οἴνου.
κύμβαλα δ᾽ ἐπλατάγησε, παρ᾽ εὐκελάδωι δὲ τραπέζηι
Πανιάδες σύριγγες ἐβόμβεον, ἔβρεμον αὐλοὶ
συμπλεκέες, καὶ κύκλος ἐριγδούποιο βοείης
διχθαδίοις πατάγοισιν ἐπεσμαράγησε μελάθρωι,
καὶ κτύπος ἦν κροτάλων ἐπιδόρπιος. ἐν δ᾽ ἄρα μέσσωι
οἰνοβαρὴς τρομεροῖο φέρων ποδὸς ἄστατον ὁρμὴν
ἤιεν ἔνθα καὶ ἔνθα Μάρων, δεδονημένος οἴστρωι,
ὄρθιον ἐκ δαπέδοιο παλίσσυτον ἴχνος ἑλίσσων,
χεῖρας ἑὰς διδύμων Σατύρων ὑπὲρ ὦμον ἐρείσας
μεσσοφανής· ἑτέρου δὲ ποδὸς κουφίζετο παλμῶι
ἀλλοτρίωι, ξανθωπὸν ἔχων χρόα, μεσσόθι πέμπων
πορφυρέας ἀκτῖνας ὅλωι στίλβοντι προσώπωι,
ἀντίτυπον μίμημα Σεληναίηισι κεραίαις,
λαιῆι μὲν νεόδαρτον ἐθήμονος ἔγκυον οἴνου
αὐχενίωι ζωστῆρι περίπλοκον ἀσκὸν ἀείρων,
δεξιτερῆι δὲ κύπελλον· ἐκυκλώσαντο δὲ Βάκχαι
γηραλέον σκαίροντα ποδῶν ἑτεραλκέι ταρσῶι,
οἷα πεσεῖν μέλλοντα τινασσομένοιο καρήνου,
οὔ ποτε πεπτηῶτα. μεθυσφαλέες δὲ καὶ αὐτοὶ
ἀμφίπολοι καὶ δμῶες ἐβακχεύοντο χορείηι,
γευσάμενοι πρώτιστον ἀήθεος ἡδέος οἴνου.
καὶ Σταφύλου βασιλῆος ἀριστώδινα γυναῖκα
Βακχιὰς ἀμπελόεσσα Μέθην ἐμέθυσσεν ἐέρσηι·
L2[I] ἡ δὲ καρηβαρέουσα πιεῖν πάλιν ᾔτεε Βάκχας,
οἰνοδόκον κρητῆρα περισκαίρουσα Λυαίου·
καὶ κεφαλὴν ἐλέλιζε μετήλυδα δίζυγι παλμῶι,
ὤμωι ἐπικλίνουσα κόμην ἑτεραλκέι ῥιπῆι
ἄστατος, ἔνθα καὶ ἔνθα παλίντροπος· ἀμφὶ δὲ γαίηι
πυκνὰ πεσεῖν μέλλουσαν ὀλισθηροῖσι πεδίλοις
θυιάδα χερσὶ λαβοῦσα Μέθην ὠρθώσατο Βάκχη. 3
καὶ Στάφυλος μεμέθυστο· φιλακρήτωι δὲ κυπέλλωι
Βότρυος οἰνωθέντος ἐφοινίσσοντο παρειαί·
καὶ πάις ἀρτιγένειος ἅμα Σταφύλωι γενετῆρι
ἀπλεκέας πλοκαμῖδας ἀήθεϊ δήσατο κισσῶι
μιτρώσας στεφανηδόν· ἐπ᾽ ἴχνεσι δ᾽ ἴχνος ἀμείβων
ποσσὶν ὁμοζήλοισιν ἕλιξ ὠρχήσατο Βότρυς,
δεξιὸν ἐκ λαιοῖο μετήλυδα ταρσὸν ἑλίσσων· 4
καὶ Στάφυλος σκίρτησε ποδῶν βητάρμονι παλμῶι,
καμπύλον ἴχνος ἄγων τροχαλῶι κυκλούμενον ὁλκῶι,
Βότρυος ὀρχηστῆρος ἐπ᾽ αὐχένι πῆχυν ἐρείσας·
καὶ ποτὸν εὐφήμησε χοροπλεκέος Διονύσου
ἄστατος, ἔνθα καὶ ἔνθα καθειμένα βόστρυχα σείων
ὤμωι ἐπαΐσσοντα· Μέθη δ᾽ ἐχόρευε καὶ αὐτή,
πῆχυν ἐπικλίνουσα καὶ υἱέι καὶ παρακοίτηι,
μεσσατίη Σταφύλου καὶ Βότρυος· ἣν δὲ νοῆσαι
Nonnus τερπωλὴν τριέλικτον ὁμοπλέκτοιο χορείης.
καὶ Πίθος ὠμογέρων, πολιὴν ἀνέμοισι τινάσσων,
18.150 χεύματος ἡδυπότοιο βεβυσμένος ἄχρις ὀδόντων

ἀπλεκέες Τυρίοιο μύρου πέμπουσιν ἀυτμήν,
οὐκέτι βακχευθέντος ἀφ᾽ ὑμετέροιο καρήνου
μαρμαρυγὴν ῥοδόεσσαν ὀιστεύουσι παρειαί.
πῶς φορέεις τάδε πέπλα χυτῆι ῥυπόωντα κονίηι;
πῆι μοι ἔβη Τυρίης βασιλήια πέπλα θαλάσσης;
οὐκέτι γινώσκω σε μαραινομένοιο προσώπου.
πῆι Στάφυλος σκηπτοῦχος ἀνήλυθεν, ὄφρα νοήσω;
εἰπέ, τεὸν γενετῆρα τίς ἥρπασεν εἰς μίαν ὥρην;
γινώσκω σέο πῆμα, καὶ εἰ κρύπτειν μενεαίνεις·
φωνῆς ὑμετέρης οὐ δεύομαι· αὐτόματοι γὰρ
σιγαλέον σέο πένθος ἀπαγγέλλουσιν ὀπωπαί·
γινώσκω σέο πῆμα, καὶ εἰ κρύπτειν μενεαίνεις·
δάκρυα σὰς ὀδύνας μαντεύεται, αὐσταλέοι δὲ
πότμον ἐμοῦ Σταφύλοιο τεοὶ βοόωσι χιτῶνες.
ἐλπίδα δ᾽ ἡμετέρην φθόνος ἥρπασεν· ὠισάμην γὰρ
Ἰνδῴην μετὰ δῆριν ἅμα Σταφύλωι βασιλῆι
χερσὶν ἀερτάζειν θαλαμηπόλον ἑσπέριον πῦρ,
Βότρυος ἀγχιμάχοιο τελειομένων ὑμεναίων." 18.368
Λῦτο δ᾽ ἀγών· Σάτυροι δὲ σὺν εὐθύρσωι Διονύσωι 20.1
Βότρυος ἀφνειοῖσιν ἐναυλίζοντο μελάθροις.
τοῖσι δὲ δαινυμένοις ἐπεκώμασαν οἰνάδες Ὧραι·
καὶ κτύπος ἦν τυπάνων ἐπιδόρπιος, ὀξὺ δὲ σύριγξ
ἀμφιλαφὴς ἐλίγαινεν, ἀρνύμενοι δὲ κυπέλλοις
οἰνοχόοι μογέεσκον ἀλωφήτωι παρὰ δείπνωι·
καὶ πλέον αἰτίζεσκον ὀπάονας οἶνον ἀφύσσειν
δαιτυμόνες σαίνοντες· ἀνεσκίρτησε δὲ Βάκχη L2[I]
κύμβαλα δινεύουσα, φιλοσκάρθμοιο δὲ κούρης
ἄπλοκος ἀκρήδεμνος ἐσείετο βόστρυχος αὔραις.
καὶ θεὸς ἀμπελόεις, καλέσας Σταφύλοιο γυναῖκα,
αὐχμὸν ἀποσμήξας ἐπεκόσμεεν οἴνοπι πέπλωι·
καὶ Πίθον εὐρυγένειον ὅλον ῥυπόωντα καθήρας
ἀργεννῶι παλίνορσος ἀνεχλαίνωσε χιτῶνι,
ῥίψας πένθιμα πέπλα χυτῆι πεπαλαγμένα τέφρηι·
οὐκέτι δ᾽ αὐτοχύτοισι παρήια δάκρυσι δεύων
Βότρυς ἀνεστενάχιζε, Διωνύσωι δὲ πιθήσας
φωριαμοὺς ὤιξε θυώδεας· οἰγομένων δὲ
μαρμαρυγὴ σελάγιζε πολυγλήνων ἀπὸ πέπλων·
κεῖθεν ἑλὼν Σταφύλου βασιλήια φαιδρὰ τοκῆος
δύσατο πορφυρέωι πεπαλαγμένα φάρεα κόχλωι,
καὶ θαλίης ψαύοντι συνειλαπίναζε Λυαίωι.
τοῖσι δὲ τερπομένοισιν ἀνέδραμεν Ἕσπερος ἀστὴρ
φέγγος ἀναστείλας χοροτερπέος ἠριγενείης.
δαιτυμόνων δὲ φάλαγγες ἀμοιβαδὶς ἔνδοθεν αὐλῆς
ὕπνου δῶρον ἕλοντο βαθυστρώτων ἐπὶ λέκτρων.
καὶ Πίθος ἄγχι Μάρωνος ἀνήιεν εἰς μίαν εὐνήν,
νεκταρέης εὔοδμον ἀναβλύζων πόμα ληνοῦ,
ἀλλήλους δ᾽ ἐμέθυσσαν ἴσην πέμποντες ἀυτμὴν
πάννυχον. Εὐπετάλη δέ, τιθηνήτειρα Λυαίου, Nonnus
δαλὸν ἀναψαμένη καὶ Βότρυϊ καὶ Διονύσωι
δισσὴν ἀμφοτέροις ἀλιπόρφυρον ἔντυνεν εὐνήν· 20.32

κήτεος εἰναλίοιο κακώτερον· ἀχνυμένην μὲν
Περσεὺς Ἀνδρομέδην, σὺ δὲ ῥύεο μείζονι νίκηι
πικρὰ βιαζομένην ἀδίκων ὑπὸ νεύμασιν Ἰνδῶν
Παρθένον ἀστερόεσσαν, ὅπως ἕνα κῶμον ἀνάψω
Γοργοφόνωι Περσῆι καὶ Ἰνδοφόνωι Διονύσωι."
ὣς εἰπὼν παλίνορσος ἑῶι νόστησε μελάθρωι
ἁβρὸς ἄναξ, Βρομίου ξεινηδόκος· εἰσαΐων δὲ
φθεγγομένου βασιλῆος ἐτέρπετο κέντορι μύθωι
θυρσομανὴς Διόνυσος, ἐβακχεύθη δὲ κυδοιμῶι
οὔασι θελγομένοισι μόθον πατρῶιον ἀκούων·
καὶ Κρονίδην νείκεσσε, καὶ ἤθελε μείζονα νίκην
ἐσσομένην τριτάτην, διδύμην μετὰ φύλοπιν Ἰνδῶν,
ζῆλον ἔχων Κρονίδαο. Φερέσπονδον δὲ καλέσσας,
οὐρανίου κήρυκος ἀπόσπορον, εἴκελον αὔραις,
Ἰφθίμης σοφὸν υἷα, φίλωι προσπτύξατο μύθωι·
"ὦ τέκος Ἑρμάωνος, ἐμοὶ πεφιλημένε κῆρυξ,
τοῦτο μολὼν ἄγγειλον ἀγήνορι Δηριαδῆι·
◆ 'κοίρανε, νόσφι μάχης ἢ δέχνυσο δῶρα Λυαίου,
ἢ Βρομίωι πολέμιζε καὶ ἔσσεαι ἶσος Ὀρόντηι."
εἶπε· καὶ ὠκυπέδιλος ἀπὸ χθονὸς εἰς χθόνα βαίνων
Ἠώιην ἐπὶ πέζαν ἀταρπιτὸν ἤνυε κῆρυξ,
σκῆπτρον ἔχων γενετῆρος· ὁ δὲ χρυσέων ἐπὶ δίφρων
βότρυν ἀερτάζων φρενοτερπέα καρπὸν ὀπώρης
ποσσὶ πολυγνάμπτοισιν ἀπ' ἄστεος ἄστεα βαίνων
Ἀσσυρίην χθόνα πᾶσαν ἑῆς ἔπλησεν ὀπώρης,
L3[O] ἀγρονόμοις ὀρέγων σταφυληκόμον ἄνθος ἀλωῆς.
ὄφρα μὲν ἀντολικοῖο παρὰ πτερὸν αἴθοπος Εὔρου
φοιταλέωι Σύρον οὖδας ἐμέτρεεν οἴνοπι δίφρωι,
τόφρα δὲ καὶ Σταφύλωι μόρος ἔχραεν· ἐν δὲ μελάθρωι
δμῶες ἀνερρήξαντο κατὰ στέρνοιο χιτῶνα,
ἀμφίπολοι δ' ἀλάλαζον· ἐφοινίσσοντο δὲ μαζοὶ
τυπτόμενοι παλάμηισι· πολυθρήνων δὲ γυναικῶν
πενθαλέοις ὀνύχεσσι χαράσσετο κύκλα προσώπου.
ὀψὲ δὲ δὴ παλίνορσος ἐρισταφύλων ἐπὶ δίφρων
νοστήσας Διόνυσος ἐδύσατο Βότρυος αὐλήν,
μνῆστιν ἔχων Σταφύλοιο φιλοστόργοιο τραπέζης·
καὶ Πίθον ὡς ἐνόησε κατηφιόωντι προσώπωι,
πότμον ἑοῦ Σταφύλοιο σοφῆι μαντεύσατο σιγῆι
αὐτόματος· καλέσας δὲ Μέθην ἐξείρετο μύθωι·
"εἰπέ, γύναι, τί παθοῦσα τεὴν ἠλλάξαο μορφήν;
αὐχμηρὴν ὁρόω σε, καὶ ἀστράπτουσαν ἐάσας·
τίς τεὸν ἔσβεσε κάλλος ἀθέσφατον; οὐκέτι πέμπεις
ἔμφυτον οἰνωπῆισι παρηίσι πορφύρεον πῦρ.
καὶ σύ, γέρον, μὴ κρύπτε, πόθεν τάδε δάκρυα χεύεις;
τίς τάμεν, εὐρυγένειε, τεὸν πώγωνα κομήτην;
τίς πολιὴν ἤισχυνε; τίς ἔσχισε σεῖο χιτῶνα;
καὶ σύ, φιλακρήτοιο Μέθης βλάστημα τεκούσης,
τέκνον ἐμοῦ Σταφύλοιο, πόθεν λάχες ἄτριχα κόρσην;
τίς φθόνος ἠμάλδυνε τεὴν ἑλικώδεα χαίτην;
οὐ πλόκαμοι προχυθέντες ἐπ' ἀργυφέων σέθεν ὤμων

101 (56C) οἰνοβαρὴς ἐχόρευε, μεθυσφαλὲς ἴχνος ἑλίσσων·
καὶ γλυκεραῖς λιβάδεσσιν ἐρευγομένων ἀπὸ λαιμῶν
ξανθὴν ἀφριόωσαν ἑὴν λεύκαινεν ὑπήνην.
καὶ πίον εἰς ὅλον ἦμαρ· ἀφυσσομένων δὲ κυπέλλων
Ἑσπερίην χθόνα πᾶσαν ὑπόσκιος ἔσκεπεν ὄρφνη
ἀκροκελαινιόωσα, καὶ αἰόλα φέγγεϊ λεπτῶι
ἄστρα καταυγάζων ἐμελαίνετο δίχροος ἀήρ,
δυομένου Φαέθοντος ὑπὸ σκιοειδέι κώνωι,
βαιὸν ὀπισθοκέλευθον ἔχων ἔτι λείψανον Ἠοῦς·
καὶ ζόφον ἐχλαίνωσεν ἑῶι χροῒ σιγαλέη νὺξ
οὐρανὸν ἀστερόεντι **διαγράψασα** χιτῶνι.
οἱ δὲ μετὰ κρητῆρα μέθης, μετὰ δεῖπνα τραπέζης
Βότρυς ὁμοῦ γενετῆρι καὶ οἰνοχύτωι Διονύσωι
κεκριμένοι στοιχηδὸν ἐυστρώτων ἐπὶ λέκτρων
ὕπνου δῶρον ἕλοντο καὶ ὡμίλησαν ὀνείροις.
ἀλλ ὅτε δὴ ῥοδέοις ἀμαρύγμασιν ἄγγελος Ἠοῦς
ἀκροφαὴς ἐχάραξε λιπόσκιον ὄρθρος ὀμίχλην,
εὐχαίτης τότε Βάκχος ἑώιος ἄνθορεν εὐνῆς,
ἐλπίδι νικαίηι δεδονημένος· ἐννύχιος γὰρ
Ἰνδῴην ἐδάιζε γονὴν κισσώδεϊ θύρσωι,
ὑπναλέης μεθέπων ἀπατήλιον εἰκόνα χάρμης.
καὶ κτύπον εἰσαΐων Σατύρων καὶ δοῦπον ἀκόντων
φλοῖσβον ὀνειρείης ἀπεσείσατο δηιοτῆτος,
ὕπνον ἀποσκεδόσας πολεμήιον· εἶχε δὲ θυμῶι
μαντιπόλου φόβον αἰνὸν ἀπειλητῆρος ὀνείρου·
μιμηλῆς γὰρ ὄπωπε μάχης ἴνδαλμα Λυκούργου L3[O]
ἐσσομένων προκέλευθον, ὅτι θρασὺς ἔνδοθι λόχμης
δύσμαχος ἐκ σκοπέλοιο λέων λυσσώδεϊ λαιμῶι
Βάκχον ἔτι σκαίροντα καὶ οὐ ψαύοντα σιδήρου
εἰς φόβον ἐπτοίησε, καὶ ἤλασεν ἄχρι θαλάσσης
κρυπτόμενον πελάγεσσι, πεφυζότα θηρὸς ἀπειλήν·
4 (1C) καὶ φόβον ἄλλον ὄπωπε, λέων θρασὺς ὅττι γυναῖκας
θυρσοφόρους ἐδίωκε, κεχηνότος ἀνθερεῶνος,
αἱμάσσων ὀνύχεσσι, χαρασσομένων δὲ γυναικῶν
μύστιδος ἐκ παλάμης ἐκυλίνδετο θύσθλα κονίηι,
κύμβαλα δ' ἐν χθονὶ κεῖτο· μεταστρεφθεῖσα δὲ Βάκχη
δεσμὰ λεοντείοισιν ἐπεσφήκωσε γενείοις
σειρὴν ἀμπελόεσσαν ἐπισφίγξασα καρήνωι,
5 ἀγχονίω δὲ λέοντος ἐπέπλεκεν αὐχένα δεσμῶι·
θηρὶ δὲ θῆλυς ὅμιλος ἐπέδραμεν ἄλλος ἐπ' ἄλλωι,
καὶ βλοσυροὺς ἐχάραξε πόδας καὶ χεῖρας ἀκάνθαις·
καὶ μόγις εἱλικόεντι περιζωσθέντα κορύμβωι
Ἄρτεμις ἐζώγρησεν· ἀπ' αἰθερίοιο δὲ κόλπου
ἀστεροπὴ πυρόεσσα καταΐξασα προσώπου,
θῆρα παλινδίνητον ἐθήκατο τυφλὸν ὁδίτην.
τοῖον ὄναρ Διόνυσος ἐσέδρακεν· ἐκ λεχέων δὲ
ὀρθὸς ἐὼν ἔνδυνε φόνωι πεπαλαγμένον Ἰνδῶν
χάλκεον ἀστερόεντα κατὰ στέρνοιο χιτῶνα,
καὶ σκολιῶι μίτρωσε κόμην ὀφιώδεϊ δεσμῶι,
καὶ πόδας ἐσφήκωσεν ἐρευθιόωντι κοθόρνωι,

χειρὶ δὲ θύρσον ἄειρε, φιλάνθεμον ἔγχος Ἐννοῦς·
καὶ Σάτυρον κίκλησκεν ὀπάονα. θεσπεσίην δὲ
Βακχείων στομάτων αἴων ἀντίκτυπον ἠχὼ
κοίρανος ἔγρετο Βότρυς, ἑὸν δ᾽ ἔνδυνε χιτῶνα·
καὶ Πίθον ὑπνώοντα {...} Μέθη δ᾽ ὡς ἔκλυε φωνῆς,
κρᾶτα μόγις κούφιζε, βαρυνομένου δὲ καρήνου
ὀκναλέη πάλιν εὗδε· καὶ ὄρθριον εἰσέτι νύμφη
μίμνεν ἀμεργομένη γλυκερώτερον ὕπνον ὀπωπαῖς,
ὀψὲ δὲ λέκτρον ἔλειπεν ἑῶι βραδυπειθέι ταρσῶι.
καὶ Στάφυλος φιλόβοτρυς ἐφωμάρτησε Λυαίωι
εἰς ὁδὸν ἐσσυμένωι ξεινήια δῶρα τιταίνων,
χρύσεον ἀμφιφορῆα σὺν ἀργυρέοισι κυπέλλοις,
οἷς πάρος αἰὲν ἔπινεν ἀμελγομένων γλάγος αἰγῶν·
καὶ πόρε ποικίλα πέπλα, τά περ παρὰ Τίγριδος ὕδωρ
νήματι λεπταλέωι τεχνήσατο Περσὶς Ἀράχνη.
καὶ Βρομίωι πολύδωρος ἄναξ ἐφθέγξατο φωνήν·
“μάρναό μοι, Διόνυσε, καὶ ἄξια ῥέζε τοκῆος·
✦ δεῖξον, ὅτι Κρονίδαο φέρεις γένος· ἀρτιθαλὴς γὰρ
Γηγενέας Τιτῆνας ἀπεστυφέλιξεν Ὀλύμπου
σὸς γενέτης ἔτι κοῦρος· ἐπείγεο καὶ σὺ κυδοιμῶι
Γηγενέων ὑπέροπλον αἰστῶσαι γένος Ἰνδῶν.
μέμνημαί τινα μῦθον, ὃν ἡμετέρωι γενετῆρι
down 1 πατροπάτωρ ἐμὸς εἶπεν, ἐγὼ δέ σοι αὐτὸς ἐνίψω·
Ἀσσύριός ποτε Βῆλος, ἐμῆς πολιοῦχος ἀρούρης,
κουφίζων Κρόνος ὑγρὸς ἀμερσιγάμου γένυν ἅρπης,
L3[I] Τιτήνων προκέλευθος, ἐμάρνατο σεῖο τοκῆι,
ὁππότε μητρώιῃσιν ἐπεσσυμένοιο χαμεύναις
τάμνεν ἀνυμφεύτων στάχυν ἄρσενα πατρὸς ἀρότρων.
καὶ Κρόνος εὐρυγένειος ἀνερρίπιζεν Ἐνυὼ
ἔγχεα παχνήεντα κατὰ Κρονίωνος ἰάλλων,
ψυχρὸν ἀκοντίζων διερὸν βέλος· ὀξυτενεῖς δὲ
ἠερόθεν πέμποντο χαλαζήεντες ὀιστοί.
καὶ πλέον Ἠελίοιο κορύσσετο πυρσοφόρος Ζεὺς
θερμοτέρωι σπινθῆρι λύων πετρούμενον ὕδωρ.
ὠμοβόρφους δὲ λέοντας ἐπὶ κλόνον Ἰνδὸν ἱμάσσων,
μὴ τρομέοις ἐλέφαντας, ἐπεὶ τεὸς ὑψιμέδων Ζεὺς
Κάμπην ὑψικάρηνον ἀπηλοίησε κεραυνῶι,
ἧς σκολιὸν πολύμορφον ὅλον δέμας· ἀλλοφυῆ γὰρ
λοξὴν αὐτοέλικτον ἀνερρίπιζον Ἐνυὼ
χίλιοι ἑρπηστῆρες ἐχιδναίων ἀπὸ ταρσῶν
ἰὸν ἐρευγομένων δολιχόσκιον· ἀμφὶ δὲ δειρὴν
ἤνθεε πεντήκοντα καρήατα ποικίλα θηρῶν·
καὶ τὰ μὲν ἐβρυχᾶτο λεοντείοισι καρήνοις
Σφιγγὸς ἀσημάντοιο τύπωι βλοσυροῖο προσώπου,
ἄλλα δὲ καπρείων ἀνεκήκιεν ἀφρὸν ὀδόντων,
συμφερτῆι δὲ φάλαγγι πολυσκυλάκων κεφαλάων
Σκύλλης ἰσοτέλεστον ἔην μίμημα προσώπου·
Nonnus καὶ χροῒ μεσσατίωι διφυὴς ἀνεφαίνετο νύμφη
ἰοβόλοις κομόωσα δρακοντείοισι κορύμβοις·
τῆς μὲν ἐπὶ στέρνοισιν ἐς ἀκροτάτην πτύχα μηρῶν
102 (57C) κητείαις φολίδεσσι νόθη τρηχύνετο μορφὴ
ὑψιτενής· ὄνυχες δὲ πολυσπερέων παλαμάων
λοξὸν ἐδοχμώσαντο τύπον γαμψώνυχος ἅρπης·
ἐξ ὑπάτου δὲ τένοντος ἀμαιμακέτων διὰ νώτων
σκορπίος αὐτοέλικτος ἐπήορος αὐχένος οὐρῆι
εἷρπε χαλαζήεντι τεθηγμένος ὀξέι κέντρωι.
τοίη ποικιλόμορφος ἕλιξ κουφίζετο Κάμπη,
καὶ χθόνα δινεύουσα καὶ ἠέρα καὶ βυθὸν ἅλμης
ἵπτατο κυανέων πτερύγων ἑτερόζυγι παλμῶι,
λαίλαπας αἰθύσσουσα καὶ ὁπλίζουσα θυέλλας,
Νύμφη Ταρταρίη μελανόπτερος· ἐκ βλεφάρων δὲ
τηλεπόρους σπινθῆρας ἀνήρυγε φοιταλέη φλόξ.
ἀλλὰ τόσην κτάνε θῆρα πατὴρ τεὸς αἰθέριος Ζεύς,
καὶ Κρονίην νίκησεν ἐχιδνήεσσαν Ἐνυώ.
γίνεο καὶ σὺ τοκῆι πανείκελος, ὄφρα καὶ αὐτὸν
Γηγενέων ὀλετῆρα μετὰ Κρονίδην σὲ καλέσσω,
δήιον ἀμήσαντα χαμαιγενέων στάχυν Ἰνδῶν.
σοὶ μόθος οὗτος ἔοικεν ὁμοίιος· ἀρχέγονον γὰρ
σὸς γενέτης Κρονίοιο προασπιστῆρα κυδοιμοῦ
ἠλιβάτοις μελέεσσι κεκασμένον υἱὸν ἀρούρης
Ἰνδὸν ἀπεπρήνιξεν, ὅθεν γενος ἔλλαχον Ἰνδοί·
Ἰνδῶι σὸς γενέτης, σὺ δὲ μάρναο Δηριαδῆι.
γίνεό μοι καὶ Ἄρηι πανείκελος, ὅττι καὶ αὐτὸς
τηλίκον ἐπρήνιξε θεημάχον υἱὸν Ἐχίδνης,
φρικτὸν ἀποπτύοντα δυσειδέος ἰὸν Ἐχίδνης,
ὃς λάχε διπλόον εἶδος ὁμόζυγον, ἔνδοθι λόχμης L3[I]
μητρώιης δονέων ἑλικώδεα κύκλον ἀκάνθης·
τὸν Κρόνος ἄπλετον εἶχε καταιχμάζοντα κεραυνοῦ,
Ἄρεα συρίζοντα ποδῶν ὀφιώδεϊ ταρσῶι,
ὁππότε κουφίζων παλάμας ὑπὲρ ἄντυγα μηροῦ
Ζηνὶ τεῶι πολέμιζεν, ἐν ἠερίηι δὲ κελεύθωι
5 (2C) στοιχάδας ὑψιλόφωι νεφέλας ἔστησε καρήνωι,
καὶ σκολιαῖς ὄρνιθας ἐπιπλαγχθέντας ἐθείραις
πολλάκι συμμάρψας πολυχανδέι δαίνυτο λαιμῶι·
τοῦτον ἀριστεύοντα τεὸς κτάνε σύγγονος Ἄρης.
Ἄρεος οὐ καλέω σὲ χερείονα· καὶ γὰρ ἐρίζοις
πᾶσι Διὸς τεκέεσσιν, ἐπεὶ φονίωι σέο θύρσωι
τόσσον ἀριστεύεις, ὅσσον δορὶ μάρναται Ἄρης,
6 καὶ τελέεις, ἅτε Φοῖβος, ἀέθλια. θηροφόνον δὲ
υἱὸν ἐγὼ Διὸς ἄλλον ἐμῶι ξείνισσα μελάθρωι·
χθιζὰ γὰρ εἰς ἐμὸν οἶκον εὔπτερος ἤλυθε Περσεὺς
γείτονα Κωρυκίοιο διαυγέα Κύδνον ἐάσας,
ὡς σύ, φίλος, καὶ ἔφασκεν ἐπώνυμον ὠκέι ταρσῶι
ἀνδράσι πὰρ Κιλίκεσσι νεόκτιτον ἄστυ χαράξαι·
ἀλλ᾽ ὁ μὲν ἠέρταζεν ἀθηήτοιο Μεδούσης
Γοργόνος ἄχρα κάρηνα, σὺ δ᾽ οἴνοπα καρπὸν ἀείρεις,
ἄγγελον εὐφροσύνης, βροτέης ἐπίληθον ἀνίης·
Περσεὺς κῆτος ἔπεφνεν Ἐρυθραίωι παρὰ πόντωι, Nonnus
καὶ σὺ κατεπρήνιξας Ἐρυθραίων γένος Ἰνδῶν.
κτεῖνε δὲ Δηριάδην, ὡς ἔκτανες Ἰνδὸν Ὀρόντην

Nonnus

καί τινα μῦθον ἔλεξε Μάρων ποταμηίδι πηγῆι·
“οὔ σε Μάρων, Σειληνέ, βιάζεται· εἰς σὲ δὲ ῥίψω
οἶνον ἐρευθιόωντα καὶ οἰνοδόκον σε καλέσσω.
δέξο, μέθης ἀκόρητε, τεὸν μέθυ, δέχνυσο Βάκχου
ἀργύρεον κρητῆρα, καὶ ἔσσεαι ἀργυροδίνης.
εἰλιπόδη Σειληνέ, καὶ ἐν προχοῆισι χορεύεις,
σεῖο ποδῶν στροφάλιγγα καὶ ἐν ῥοθίοισι φυλάσσεις.
εἰσέτι κωμάζεις διερὸν τύπον· ἀλλὰ σὺ Βάκχαις
ἵλαθι καὶ Σατύροισι καὶ οἰνοδότηισιν ὀπώραις,
Σειληνοὺς δὲ φύλασσε, τεῆς βλάστημα γενέθλης·
ἀκροπότηι δὲ Μάρωνι χαρίζεο, μηδέ σε νίκης
ζῆλον ὑποκλέπτοντα καὶ ἐν ποταμοῖσι νοήσωι.
ὕδασι μᾶλλον ἄεξε Μαρωνέδος οἶνον ὀπώρης·
ἔσσο καὶ ἐν ποταμοῖσιν ὁμοφρονέων Διονύσωι.
νήπιε, τίς σε δίδαξεν ἀρειοτέροισιν ἐρίζειν;
Σειληνὸς πάλιν ἄλλος, ὑπέρβιον αὐλὸν ἀμείβων,
αὐχένα γαῦρον ἄειρε καὶ εἰς ἔριν ἤλυθε Φοίβωι·
ἀλλά ἑ γυμνώσας λασίου χροός, ἔρνεϊ δήσας,
ἔμπνοον ἀσκὸν ἔθηκε, καὶ ὑψόθι πολλάκι δένδρου
ἐνδόμυχος κόλπωσε τύπον μιμηλὸν ἀήτης,
οἷα πάλιν μέλποντος ἀσιγήτοιο νομῆος·
καί μὲν ἐποικτείρων μορφώσατο Δελφὸς Ἀπόλλων,
καὶ ποταμὸν ποίησεν ὁμώνυμον· εἰσέτι κείνου
Σειληνοῦ λασίοιο φατίζεται ἀγκύλον ὕδωρ,
καὶ κτύπον ἠνεμόφοιτον ἐρεύγεται, οἷά περ αἰεὶ
L1[O] ἀντιτύποις δονάκεσσι μελιζομένου Φρυγὸς αὐλοῦ.
καὶ σὺ δέμας μετάμειψας ἀρείονι νεῖκος ἀνάψας
Σειληνῶι προτέρωι πανομοίιος. ἀλλὰ σὺ νύμφην
μηκέτι μαστεύσειας ἀσάμβαλον ἠθάδα Βάκχην,
Βάκχην λυσιέθειραν ὀρειάδα· λυσικόμων γὰρ
Νηιάδων ἀπέλεθρος ἐυφραίνει σε γενέθλη.
μηκέτι μαστεύσηις ὀφιώδεα δεσμὰ Λυαίου, 1
ἐγχέλυας μεθέπων σκολιὴν ὠδῖνα ῥεέθρων,
καὶ στικταῖς φολίδεσσιν ἀρηρότες ἀντὶ δρακόντων
ἰχθύες ὑμετέροισιν ἐφερπύζουσι ῥεέθροις.
εἰ δὲ σὺ βοτρυόεντος ἐνοσφίσθης Διονύσου,
μᾶλλον ἐπολβίζω σε· σὺ γὰρ καὶ βότρυν ἀέξεις·
τί πλέον ἤθελες ἄλλο τεῶν θρεπτῆρα ῥοάων
Ζῆνα φέρων μετὰ Βάκχον, ὅλης γενετῆρα γενέθλης; 1
ἀντὶ τεῶν Σατύρων ποταμῶν στίχες· ἀντὶ δὲ ληνοῦ
Ὠκεανοῦ κελάδοντος ὑπὲρ νώτοιο χορεύεις.
εἴκελον εἶδος ἔχεις καὶ ἐν ὕδασιν· οὐ νέμεσις δὲ
Σειληνὸν κομόωντα βοοκραίροισι μετώποις
ταυρείην κερόεσσαν ἔχειν ποταμηίδα μορφήν.”
εἶπε Μάρων· καὶ πάντες ἐθάμβεον ἀγκύλον ὕδωρ
Σειληνοῦ ζαχύτοιο κυβιστητῆρος ἰδόντες,
19.348 ◆ ἰσοφυὲς μίμημα πολυγνάμπτου ποταμοῖο.

21.1 Οὐδὲ Δρυαντιάδης προτέρης ἐπελήσατο χάρμης·
ἀλλὰ λαβὼν βουπλῆγα τὸ δεύτερον ἔνδοθι λόχμης
21.3 {…} ἔθνεα Βασσαρίδων διζήμενος. Ἀμβροσίηι δὲ
δῶκε μένος καὶ θάρσος ἀρειμανὲς οὐράνιος Ζεύς,

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the nineteenth, Bacchos sets up a delightful contest over the fragrant bowl about the tomb of Staphylos.

NONNUS
DIONYSIACA
BOOK 19

PREVIEW BOOK 21

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

Ὣς φαμένου βαρὺ κέντρον ἔχων νεοπενθέι θυμῶι
κοῦρος ἀφωνήτωι σφρηγίσσατο χείλεα σιγῆι,
δάκρυσιν αὐτοχύτοις νικώμενος· ὀψὲ δὲ μήτηρ
οἰκτρὸν ἔπος κατέλεξε Μέθη χαίρουσα Λυαίωι·
"ὑμετέρης ἄγρυπνον ὀπιπευτῆρα χορείης,
σὸν Στάφυλον, Διόνυσε, κατεύνασε χάλκεος ὕπνος,
σὸν Στάφυλον, Διόνυσε, Χαρωνίδες ἥρπασαν αὖραι.
δισσὸν ἐμοὶ βαρὺ πένθος ἐπέχραεν· ἀμπελόεις μὲν
Βάκχος ἐμὲ προλέλοιπε, πόσις δ' ἐμὸς ἔμπεσε νούσωι·
καὶ ξυνὴν μεθέπεσκον ἐπ' ἀμφοτέροισιν ἀνίην,
καὶ Σταφύλωι θνήσκοντι καὶ οὐ παρεόντι Λυαίωι.
ἀλλὰ τεῆς, φίλε Βάκχε, πολυρραθάμιγγος ὀπώρης
δός μοι σεῖο κύπελλον ἐνίπλεον, ὄφρα πιοῦσα
εὐνήσω βαρὺ πένθος ἀπενθήτωι σέθεν οἴνωι.
ἐλπὶς ἐμοί, Διόνυσε φιλεύιε, μοῦνον ὀπώρην,
μοῦνον ἴδω κρητῆρα, καὶ οὐκέτι δάκρυα λείβω."
ὣς φαμένην ἐλέαιρε, κερασσάμενος δὲ κυπέλλωι
ἰκμάδα λυσιμέριμνον ἀλεξικάκου πόρεν οἴνου
παιδὶ νέωι καὶ μητρὶ κατηφέι· καὶ πίον ἄμφω
τερψινόωι ῥαθάμιγγι μελίρρυτον ὄγκον ὀπώρης·
καὶ στοναχὴν πρήυνε Μέθη καὶ Βότρυς ἀνίην·
καί τινα μῦθον ἔειπε γυνὴ θελξίφρονι Βάκχωι·
"ἦλθες ἐμοί, φίλε Βάκχε, φίλον φάος· οὐκέτ' ἀνίη,
οὐκέτι πένθος ἔχει με Διωνύσοιο φανέντος·
ἦλθες ἐμοί, φίλε Βάκχε, φίλον φάος· ὑμετέρωι γὰρ
L1[I] δάκρυον ἐπρήυνα ποτῶι παιήονος οἴνου.
οὐ πόσιν, οὐ πατέρος στενάχω μόρον, ἀλλὰ καὶ αὐτοῦ
Βότρυος, ἢν ἐθέληις, νοσφίσσομαι· ἀμφότερον γὰρ
Βάκχον ἔχω γενετῆρα καὶ υἱέα καὶ παρακοίτην.
ἕσπομαι, ἢν ἐθέληις με, καὶ εἰς τεὸν οἶκον ἱκάνω·
εἴην Βασσαρίδεσσιν ὁμόστολος· ἢν δ' ἐθελήσηις,
κουφίζω σέο θύρσα καὶ ἱμερόεσσαν ὀπώρην,
χείλεσι δ' ἡμετέροις ἐπιλήνιον αὐλὸν ἐρείσω.
χήρην μή με λίπηις, μὴ διπλόον ἄλγος ἀέξω
καὶ φθιμένου Σταφύλοιο καὶ οἰχομένου Διονύσου.
Βότρυν ἔχεις θεράποντα· διδασκέσθω δὲ χορείας
καὶ τελετὰς καὶ θύσθλα καί, ἢν ἐθέληις, μόθον Ἰνδῶν·
καί μιν ἴδω γελόωντα φιλακρήτωι παρὰ ληνῶι
ποσσὶ περιθλίβοντα τεῆς ὠδῖνας ὀπώρης.
γηραλέου δὲ Πίθου μιμνήσκεο, μή μιν ἐάσηις
σῆς τελετῆς ἀδίδακτον ἢ ἄμμορον ἡδέος οἴνου."
ὣς φαμένην θάρσυνε Μέθην γελόωντι προσώπωι
Βάκχος ἄναξ καὶ τοῖα φιλακρήτωι φάτο νύμφηι·
19.44 "ὦ γύναι, ἀγλαόδωρε μετὰ χρυσῆν Ἀφροδίτην,
19.46 εἰλαπίνης ψαύοντι συνειλαπίναζε Λυαίωι·
ἔσσο Διωνύσωι στεφανηφόρος, ὡς Ἀφροδίτη,
◆ ἄνθεσι μιτρωθεῖσα καὶ εὐαλδέσσι κορύμβοις·
Nonnus στέμματα σῶν πλοκάμων τελέσει ζηλήμονα Νίκην.
19.50 οἰνοχόον τελέσω δε μετὰ χρυσόθρονον Ἥβην·
ἔσσεαι ἀμπελόεντι συναντέλλουσα Λυαίωι

104 (58C) πατροκασιγνήτωι τρίτατον δέπας ἐννοσιγαίωι·
ἐξείης δ' ἅμα πᾶσι θεοῖς καὶ Ζηνὶ τοκῆι
τερπομένοις ἐκέρασσε, κατηφιόωντι δὲ μούνωι
μειδιόων ἐτίταινε δέπας ζηλήμονι Φοίβωι·
οἱ δὲ πολυσπερέεσσι νόον θέλγοντο κυπέλλοις,
διψαλέοι δ' ἔτι μᾶλλον ἀεὶ γίνοντο πιόντες,
καὶ πάλιν ᾔτεον ἄλλο, καὶ οὐ κόρος ἔσκε κυπέλλων.
ἀθάνατοι δ' ὀλόλυξαν, ἐπετρέψαντο δὲ Βάκχωι
οἰνάδος ἡδυπότοιο φέρειν πρεσβήια νίκης·
καὶ μεθύων ἀκίχητος Ἔρως, ὀχετηγὸς ἀγῶνος,
κισσῶι βοτρυόεντι κόμην ἔστεψε Λυαίου.
τοῦτο σοφῆι παλάμηι κερόεις Σειληνὸς ὑφαίνων
δεξιτερὴν μὲν ἔπαυσε, πολυσκάρθμωι δὲ πεδίλωι
ἐκ χθονὸς ἠιώρητο καὶ ἠέρι πέμπεν ὀπωπάς,
πῆι μὲν ἐπ' ἀλλήλοισιν ὁμόζυγα ταρσὰ συνάπτων,
πῆι δὲ διαζεύξας ἑτεραλκέι πάλλετο τέχνηι,
ἄλλοτε πουλυέλικτος ὑπὲρ δαπέδοιο χορεύων
ὀρθὸς ἐπὶ πτέρναις ἑλικώδεϊ σείετο παλμῶι·
δεξιτερῶι δ' ἄγναμπτος ἐπεστηρίζετο ταρσῶι
δάκτυλον ἄκρον ἔχων ἑτέρου ποδός, ἢ γόνυ κάμψας
συμφερταῖς παλάμησιν ἢ ἐκταδίην πτύχα μηρῶν
Σειληνὸς βαρύγουνος, ἔχων ποδὸς ὄρθιον ὁρμήν·
καὶ πόδα λαιὸν ἄειρεν ἐπὶ πλευροῖο καὶ ὤμου
κουφίζων ἑλικηδόν, ὀπισθοτόνωι δ' ὑπὸ τέχνηι
καμπύλον ἠώρησεν ἐπ' αὐχένι ταρσὸν ἑλίξας·
καὶ βαλίηι στροφάλιγγι παλιννόστοιο χορείης L1[I]
ὕπτιος αὐτοέλικτος ἐκάμπτετο κυκλάδι τέχνηι
πεπταμένην ἐπίκυρτον ἐς ἠέρα γαστέρα φαίνων,
τὴν αὐτὴν στεφανηδὸν ἀτέρμονα νύσσαν ἀμείβων·
καὶ κεφαλὴ πεφόρητο παρήορος, οἷά περ αἰεὶ
ἁπτομένη δαπέδοιο καὶ οὐ ψαύουσα κονίης·
2 (1C) καὶ ποδὶ λαχνήεντι πέδον Σειληνὸς ἀμύσσων
ἄστατος ἔνθα καὶ ἔνθα ποδῶν βακχεύετο παλμῶι.
καὶ τότε γούνατα κάμνε, τινασσομένου δὲ καρήνου
ὕπτιος αὐτοκύλιστος ἐπωλίσθησεν ἀρούρηι·
καὶ ποταμὸς μορφοῦτο· δέμας δέ οἱ ἔβλυεν ὕδωρ
χεύμασιν αὐτομάτοισιν· ἀμειβομένου δὲ μετώπου
εἰς προχοὴν ἐπίκυρτον ἐκυμαίνοντο κεραῖαι,
2 καὶ ῥόθιον κορυφοῦτο κυκώμενον ὕψι καρήνου,
καὶ βυθὸς ἰχθυόεις ψαμάθωι κοιλαίνετο γαστήρ·
Σειληνοῦ δὲ χυθέντος ἀμειβομένη πέλε χαίτη
εἰς θρύον αὐτοτέλεστον· ὑπὲρ ποταμοῖο δὲ γείτων
ὀξυτενὴς σύριζε δόναξ δεδονημένος αὔραις
αὐτοφυής. γλυκερὴν δὲ Μάρων ἀνεδήσατο νίκην,
ἀγκὰς ἔχων κρητῆρα βεβυσμένον ἡδέος οἴνου·
Σειληνοῦ δὲ χυθέντος ἀέθλιον, οἷά τε λοιβήν,
ἀργύρεον κρητῆρα λαβὼν ἔρριψε ῥεέθροις,
καὶ προχοὰς ἐμέθυσσε χοροπλεκέος ποταμοῖο, Nonnus
χῶρος ὅθεν κρητῆρος ἐπώνυμος. ἡδυπότου δὲ 19.300
Σειληνοῦ κελάδοντος ἀκούεται Εὔιον ὕδωρ.

νεύματι τεχνήεντι νοήμονα ῥυθμὸν ὑφαίνων·
καὶ κεφαλὴν ἐτίνασσε καὶ ἤθελε βόστρυχα σείειν,
εἰ μὴ γυμνὰ μέτωπα λιπότριχος εἶχε καρήνου.
οὐδὲ μέν, οἷα γέρων Τιτήνιον αἷμα κομίζων,
ἔγραφε φωνήεντι τύπωι Τιτηνίδα φύτλην,
οὐ Κρόνον ἠὲ Φάνητα παλαίτερον, οὐδὲ γενέθλην
Ἠελίου Τιτῆνος ὁμόχρονον ἥλικι κόσμωι·
ἀλλὰ λιπὼν ξύμπαντα καὶ ἀρχαίης χύσιν ὕλης
οἰνοχόον Κρονίδαο σοφῆι ποίκιλλε σιωπῆι
Ζηνὶ δέπας τανύοντα καὶ ἀθανάτων χορὸν ἄλλων
αἰὲν ἐπασσυτέροισιν ἐυφραίνοντα κυπέλλοις,
ἢ ζαθέην προχέοντα κατὰ κρητῆρος ἐέρσην·
ἦν δέ οἱ ἁρμονίη γλυκερὸν ποτόν· ἀλλὰ καὶ αὐτὴν
νέκταρ ἀρυομένην ὠρχήσατο παρθένον Ἥβην·
εἰς Σατύρους δ' ὁρόων Γανυμήδεος ἔγραφε μορφὴν
χερσὶν ἀφωνήτοισι, καὶ ὁππότε δέρκετο Βάκχας,
Ἥβην χρυσοπέδιλον ἐχέφρονι δείκνυε σιγῆι.
  τοῖα Μάρων ἐχάρασσε πολύτροπα δάκτυλα πάλλων,
καὶ ποδὸς εὐρύθμοιο σοφὴν ἀνεσείρασεν ὁρμήν,
ἀσταθέος τελέσας πολυκαμπέα μέτρα χορείης.
ἵστατο δὲ τρομέων, δεδοκημένος ὄμματι λοξῶι,
τίς τίνα νικήσειε, τίς εἰς ἑὸν οἶκον ἱκάνοι
μείζονα καὶ πλήθοντα μέθης κρητῆρα κομίζων.
  Σειληνὸς δ' ἐχόρευε· πολυστρέπτοιο δὲ τέχνης
σύμβολα τεχνήεντα κατέγραφε σιγαλέη χείρ.
L2[O] καὶ παλάμαις τότε τοῖος ἔην τύπος, ὥς ποτε πολλὴ
υἱέι Κυρήνης ἔρις ἔμπεσε καὶ Διονύσωι
ἀμφὶ πότου, μάκαρες δὲ συνήιον· οὐ τότε πυγμή,
οὐ δρόμος, οὐ τότε δίσκος ἀέθλια· παιδὶ δὲ Φοίβου
ὄργανα κεῖτο κύπελλα μεμηλότα καὶ Διονύσωι
καὶ δίδυμοι κρητῆρες, ὁ μὲν χρονίου χύσιν οἴνου,
ὃς δὲ φέρων νέα δῶρα φιλοπτόρθοιο μελίσσης·
καὶ Κρονίδης ἐκάθητο δικασπόλος, ἀθλοφόροις δὲ
ἁβρὸς ἀγὼν τετάνυστο μελισταγέος περὶ νίκης·
ὄργανα κεῖτο κύπελλα· καί, ὡς χρυσόπτερος Ἑρμῆς,
αὐτὸς Ἔρως ἐρόεις ἐναγώνιος εἰς μέσον ἔστη,
χειρὶ μιῆι καὶ κισσὸν ἔχων καὶ θαλλὸν ἐλαίης.
Βάκχωι κίσσινον ἄνθος, Ἀρισταίωι δὲ προτείνων
στέμμασι Πισαίοισιν ἐοικότα θαλλὸν ἐλαίης,
Παλλάδος ἁγνὸν ἄγαλμα. μελικρήτωι δὲ κυπέλλωι
πρῶτος Ἀρισταῖος κεράσας ὠδῖνα μελίσσης
ὤρεγεν ἀθανάτοισι σοφὸν ποτόν, ἄλλον ἐπ' ἄλλωι
εὐφραίνων, καὶ ἔνειμε δέπας στοιχηδὸν ἑκάστωι·
τοῖσι μὲν ἀρχομένοισιν ἐυρραθάμιγγος ἐέρσης
ὀξύτατος κόρος ἔσκεν, ἀρυομένων δὲ κυπέλλων
τὸ τρίτον ἠρνήσαντο, καὶ οὐχ ἥψαντο τετάρτου,
◆ καὶ μέλιτος μέμψαντο ταχὺν κόρον· ἡδυπότου δὲ
ἁβροχίτων Διόνυσος ἀπὸ κρητῆρος ἀφύσσων
19. κούφισε δισσὰ κύπελλα καὶ ὤρεγε δίζυγι παλμῶι
τὸ πρῶτον Κρονίδηι, τὸ δὲ δεύτερον ὤπασεν Ἥρηι,

105 (59C) Βακχείων ὁμόφοιτος ὑποδρήστειρα κυπέλλων,
καί σε Μέθην καλέσουσι κόρον τερψίμβροτον οἴνου·
Βότρυν ἐμῆς καλέσω λαθικηδέα καρπὸν ὀπώρης,
καὶ σταφυλὴν φερέβοτρυν ἀπὸ Σταφύλοιο καλέσσω
ἡμερίδων ὠδῖνα καὶ ἀμπελόεσσαν ἐέρσην.
οὐδὲ Μέθης ἀπάνευθε δυνήσομαι εἰλαπινάζειν,
οὐδὲ Μέθης ἀπάνευθεν ἐγώ ποτε κῶμον ἐγείρω."
  ὣς εἰπὼν Σταφύλοιο μεθυσφαλέος παρὰ τύμβωι
νηπενθὴς Διόνυσος ἀπενθέα θῆκεν ἀγῶνα·
καὶ τράγον εὐπώγωνα καὶ ἄρσενα ταῦρον ἐρύσσας
διπλόα θῆκεν ἄεθλα, καὶ εὐφόρμιγγας ἐρίζειν
Πιερικῆς ἐκάλεσσεν ἀμιλλητῆρας ἀοιδῆς·
διπλόα θῆκεν ἄεθλα, καὶ ἀθλητῆρας ἐπείγων
ἴδμονας εὐκελάδοιο λύρης μειλίξατο μύθωι·
  "Ἀττικὸν ἐνθάδε κῶμον ἐγείρομεν· ἀθλοφόρωι γὰρ
ἀνέρι νικήσαντι λιπόχροα ταῦρον ὀπάσσω,
ἀνδρὶ δὲ νικηθέντι δασὺν τράγον ἐγγυαλίξω."
  ὣς φαμένου Βρομίοιο λυροκτύπος ἄνθορεν ἀνήρ,
Βιστονίης Οἴαγρος ἀθαλπέος ἀστὸς ἀρούρης,
πλῆκτρον ἔχων φόρμιγγι παρήορον· αὐτὰρ ἐπ' αὐτῶι
Ἀτθίδος ὑμνοπόλου ναέτης ἀνόρουσεν Ἐρεχθεύς.
ἄμφω δ' εἰς μέσον ἦλθον ἀεθλητῆρες ἀγῶνος
φορμίγγων ἐλατῆρες· ἐμιτρώσαντο δὲ χαίτην
δαφναίοις πετάλοισιν· ἀνεζώννυντο δὲ πέπλους.
ἀρχόμενοι δ' ἐλέλιζον ἐθήμονι δάκτυλα παλμῶι
ἐκταδίης θλίβοντες ἀμοιβαίην στίχα νευρῆς L2[O]
ἄκρα περισφίγγοντες, ὅπως μήτ' ὄρθιος εἴη,
μή ποτε θηλύνειε παρειμένος ἄρσενα μολπήν.
  καὶ πρότερος κλήροιο τυχὼν τεχνήμονι ῥυθμῶι
Κεκροπίης ναέτης κιθάρην ἐλέλιζεν Ἐρεχθεύς,
μέλπων πάτριον ὕμνον, ὅτι "ζαθέαις ἐν Ἀθήναις
3 (2C) καὶ Κελεὸς ξείνισσε βίου παμμήτορα Δηὼ
Τριπτολέμωι σὺν παιδὶ καὶ ἀρχαίηι Μετανείρηι,
καί σφισι καρπὸν ὄπασσεν, ὅτε χθονὸς αὔλακα νίφων
Τριπτόλεμος σπόρον εὗρε φερεσταχύων ἐπὶ δίφρων,
καὶ Κελεοῦ φθιμένοιο νεοδμήτωι παρὰ τύμβωι
ὄμμασιν ἀκλαύτοισι θαλυσιὰς ἔστενε Δηώ,
ἀλλὰ παρηγορέουσα πάλιν θελξίφρονι μύθωι
3 Τριπτολέμου βαρὺ πένθος ἀπέσβεσε καὶ Μετανείρης·
οὕτω καὶ Διόνυσον ἑῶι ξείνισσε μελάθρωι
Ἀσσυρίων σκηπτοῦχος· ἄναξ δέ οἱ ἀντὶ τραπέζης
ὤπασεν Εὔια δῶρα καὶ ἀμπελόεσσαν ὀπώρην,
καὶ Σταφύλου φθιμένοιο, φιλακρήτου βασιλῆος,
υἱέα Βότρυν ἔπαυσε φιλοθρήνοιο μερίμνης,
καὶ κινυρῆς ἀλόχοιο Μέθης εὔνησεν ἀνίην."
  τοῖα σοφὸς φόρμιζε λυροκτύπος· ἀμφὶ δὲ ῥυθμῶι
πάντες ὁμοῦ θέλγοντο· σὺν εὐθύρσωι δὲ Λυαίωι
ἅρμενον ἱμερόφωνον ἐθάμβεον Ἀτθίδα μολπήν.
δεύτερος αἰόλον ὕμνον ἄναξ Οἴαγρος ὑφαίνων, 19.
ὡς γενέτης Ὀρφῆος, ὁμέστιος ἠθάδι Μούσηι,

δίστιχον ἁρμονίην ἀνεβάλλετο Φοιβάδι μολπῆι, 106 (60C)
παυροεπής, λιγύμυθος, Ἀμυκλαίωι τινὶ θεσμῶι·
“εὐχαίτην Ὑάκινθον ἀνεζώγρησεν Ἀπόλλων,
καὶ Στάφυλον Διόνυσος ἀεὶ ζώοντα τελέσσει.”
οὔ πω κῶμος ἔληγεν, ἐπεφθέγξαντο δὲ λαοὶ
εὐφήμοις ἐπέεσσιν ὁμογλώσσων ἀπὸ λαιμῶν,
καὶ Σάτυροι σμαράγησαν ἀολλέες· ἐκ δὲ θοώκου
ἄστατος ἅλλετο Βάκχος, ἄνω καὶ ἔνερθε τινάσσων
δεξιτερήν, καὶ Βότρυς ἀνέδραμεν, εὐάδι φωνῆι
ἁρμονίην εὔρυθμον ἀοιδοπόλοιο γεραίρων·
Οἰάγρου δὲ κάρηνον ἄναξ ἐστέψατο κισσῶι,
καὶ γενέτης Ὀρφῆος ἐπιρρήσσων χθόνα ταρσῶι
ἄσμενος ἄζυγα ταῦρον ἐδέξατο μισθὸν ἀοιδῆς·
ἀμφὶ δέ μιν στοιχηδὸν ἐπεσκίρτησαν ἑταῖροι.
καὶ τράγον εὐρυγένειον, ἄχος καὶ ζῆλον ἀέξων,
αἰδομέναις παλάμηισιν ἀνείρυσεν ἀστὸς Ἀθήνης.
εὐχαίτης δ' Ἰόβακχος, ἀφειδέι χειρὶ κομίζων,
ἄξια θῆκεν ἄεθλα χοροπλεκέος περὶ νίκης,
γηραλέου κρητῆρα θυώδεος ἔγκυον οἴνου,
χρύσεον, ἄσπετα μέτρα κεχανδότα, διψάδι γαίηι
ἰκμάδα τετραέτηρον ἀναβλύζοντα Λυαίου,
Ἡφαίστου σοφὸν ἔργον Ὀλύμπιον, ὅν ποτε Κύπρις
ὤπασε βοτρυόεντι κασιγνήτωι Διονύσωι·
μείονα δὲ κρητῆρα μέσωι παρέθηκεν ἀγῶνι
ἀργύρεον, στίλβοντα, περίτροχον, ὅν ποτε Βάκχωι
L2[I] δῶκεν ἄναξ Ἀλύβης ξεινήιον οἰκία ναίων,
ἀφνειὴν παρὰ πέζαν, ὅπηι χθονίοιο μετάλλου
ἀργυρέοις ἀγκῶσι μέλας λευκαίνετο κώθων,
τοῦ περὶ χείλεος ἄκρον ἐπ' ὀμφαλόεντι καρήνωι
κισσὸς ἕλιξ, χρυσέωι δὲ πέριξ δαιδάλλετο κόσμωι·
τοῦτον ἄγων ἔστησε βαθυνομένωι κενεῶνι
ληνὸν ἔτι πνείοντα νεώτερον ὄγκον ὀπώρης, 4 (3C)
γλεῦκος, ἀνυμφεύτοιο μέθης ποτόν· οὐ νέμεσις γὰρ
ἀνέρα νικηθέντα πιεῖν ἀμέθυστον ἐέρσην.
ἀλλ' ὅτε Βάκχος ἄεθλα μέσωι στήριξεν ἀγῶνι,
ἴδμονας ὀρχηθμοῖο καλέσσατο μάρτυρι φωνῆι·
“ὅς τις ἀεθλεύσει κυκλούμενος ἴδμονι ταρσῶι
νικήσας τροχαλοῖο ποδὸς κρίσιν, οὗτος ἑλέσθω
καὶ χρύσεον κρητῆρα καὶ ἡδυπότου χύσιν οἴνου· 4
ὃς δὲ πέσηι σφαλεροῖο ποδὸς δεδονημένος ὁλκῶι,
ἥσσονα δ' ὀρχήσαιτο, καὶ ἥσσονα δῶρα δεχέσθω·
οὐ γὰρ ἐγὼ πάντεσσιν ὁμοίιος· ἀθλοφόρωι δὲ
ἀνέρι νικήσαντι χοροίτυπον ἁβρὸν ἀγῶνα
οὐ τρίποδα στίλβοντα καὶ οὐ ταχὺν ἵππον ὀπάσσω,
οὐ δόρυ καὶ θώρηκα φόνωι πεπαλαγμένον Ἰνδῶν,
δίσκον ἐς ἰθυκέλευθον ἀκοντιστῆρας ἐγείρων·
οὐδὲ ποδωκείης τέταται δρόμος, οὐ δορὸς αἰχμὴ
τηλεφόρου· Σταφύλωι δέ, καταφθιμένωι βασιλῆι,
ἀνδρὶ φιλοσκάρθμωι, φιλοπαίγμονα ταρσὰ γεραίρω·
οὐδὲ παλαισμοσύνηι γυιαλκέι δῶρα τιταίνω,
οὐ δρόμος ἱπποσύνης, οὐκ Ἤλιδός εἰσιν ἀγῶνες,
οὐ δρόμος Οἰνομάου γαμβροκτόνος· ἡμετέρη γὰρ
νύσσα χορός, βαλβῖδες ἐπισκιρτήματα ταρσῶν,
χεὶρ τροχαλὴ καὶ σκαρθμὸς ἕλιξ, καὶ νεῦμα προσώπου
ἄστατα κινυμένοιο, καὶ αὐδήεσσα σιωπὴ
δάκτυλα δινεύουσα καὶ ὀρχηστῆρος ὀπωπήν.”
τοῖον ἔπος φαμένου κεροέις Σειληνὸς ἀνέστη,
καὶ τριγέρων βαρύθοντι Μάρων ἀνεπήλατο ταρσῶι
χρύσεον ἀστράπτοντα μέγαν κρητῆρα δοκεύων,
οὐχ ὅτι χρύσεος ἦεν ὑπέρτερος, ἀλλ' ὅτι μοῦνον
εἶχεν ἐυρραθάμιγγα παλαίτατον ὄγκον ἐέρσης
ἄκρου χείλεος ἄχρις· ἔρως δέ μιν ἡδέος οἴνου
θῆκε νέον, πολιὴν δὲ βιήσατο Βακχιὰς ὀδμή·
καὶ πόδας ἀμφελέλιζεν ἑῆς πειρώμενος ἀλκῆς,
μὴ βαρὺ γῆρας ἔπαυσε λελασμένα γυῖα χορείης.
καὶ ψυχὴν Σταφύλοιο γέρων μειλίξατο φωνῆι,
νηφάλιον λασίωι προχέων ἔπος ἀνθερεῶνι·
“εἰμὶ Μάρων, συνάεθλος ἀπενθήτοιο Λυαίου·
δακρυχέειν οὐκ οἶδα· τί δάκρυσι καὶ Διονύσωι;
κύκλα ποδῶν ἐμὰ δῶρα ταφήια σῶι παρὰ τύμβωι·
δέξό με μειδιόωντα· Μάρων οὐκ οἶδε μερίμνας,
οὐ γόον οἶδε Μάρων, οὐ πενθάδος ὄγκον ἀνίης·
ἱμερόεις πέλε λάτρις ἀπενθήτου Διονύσου.
ἵλαθι σεῖο Μάρωνι, καὶ εἰ πίες ὕδατα Λήθης,
δὸς χάριν, ὄφρα πίοιμι παλαιγενέος χύσιν οἴνου,
Σειληνὸς δὲ νέης πιέτω νέον ὄγκον ὀπώρης. L2[I]
καὶ Σταφύλωι μετὰ πότμον, ἅτε ζώοντι, χορεύσω,
ὅττι χορὸν προβέβουλα φιλοκνίσοιο τραπέζης·
σοί, Στάφυλε, ζώοντι καὶ οὐ πνείοντι χορεύω
κῶμον ἀνακρούων ἐπιτύμβιον· εἰμὶ δὲ Βάκχου,
οὐ θεράπων Φοίβοιο, καὶ οὐ μάθον αἴλινα μέλπειν,
οἷα παρὰ Κρήτεσσιν ἄναξ ἐλίγαινεν Ἀπόλλων
δακρυχέων ἐρατεινὸν Ἀτύμνιον· Ἡλιάδων δὲ
ξεῖνος ἐγὼ γενόμην, ἀλλότριος Ἠριδανοῖο
εἰμί, νόθος Φαέθοντος ὀλωλότος ἡνιοχῆος·
οὐ Σπάρτης ναέτης, οὐ πένθιμον ἄνθος ἀείρω
σείων ἁβρὰ πέτηλα φιλοκλαύτων ὑακίνθων.
σήμερον, εἰ Μίνωι παρήμενος ἶσα δικάζεις,
εἴτε καὶ ἀνθεμόεσσαν ἔχεις Ῥαδαμάνθυος αὐλήν,
Ἠλυσίου λειμῶνος ἐν ἄλσεσιν ἁβρὸν ὁδεύων,
κέκλυθι σεῖο Μάρωνος· ἐγὼ δέ σοι ἀντὶ κυπέλλων
ἀσπόνδοις στομάτεσσιν ἐρεύγομαι ἔμφρονα λοιβήν·
ἵλαθι σεῖο Μάρωνι, δίδου δέ μοι οἴνοπα νίκην,
νίκην πασιμέλουσαν· ἐγὼ δέ σοι ὑψόθι τύμβου
σπείσω ἐμῶν χρυσέων πρωτάγρια καλὰ κυπέλλων
ἀρχόμενος κρητῆρος ἐμῆς μετ' ἀέθλια νίκης.”
ὣς εἰπὼν ἐχόρευε Μάρων ἑλικώδεϊ ταρσῶι,
δεξιὸν ἐκ λαιοῖο μετήλλυδα ταρσὸν ἀμείβων,
σιγὴν ποικιλόμυθον ἀναυδέι χειρὶ χαράσσων·
ὀφθαλμοὺς δ' ἐλέλιζεν ἀλήμονας, εἰκόνα μύθων,

δυσμενέες λοχόωσιν, ἀφειδήσασα δὲ πάτρης
ῥύσομαι ἐκ θανάτοιο τεὸν στρατόν· ὑμετέροις γὰρ
πιστὰ φέρω Σατύροισι, καὶ Ἰνδώιη περ ἐοῦσα,
ἀντὶ δὲ Δηριαδῆος ὁμοφρονέω Διονύσωι·
σοὶ γὰρ ὀφειλομένην ὀπάσω χάριν, ὅττι ῥεέθρων
ὑγροτόκους ὠδῖνας, ὅτι δρύας αἰὲν ἀέξει
ὀμβρηρῆι ῥαθάμιγγι πατὴρ μέγας ὑέτιος Ζεύς.
δός μοι σεῖο πέτηλα, καὶ ἔνθάδε ταῦτα φυτεύσω,
δός μοι σεῖο κόρυμβα, τά περ λύουσι μερίμνας.
ἀλλά, φίλος, μὴ σπεῦδε ῥόον ποταμοῖο περῆσαι,
μή σοι ἐπιβρίσωσιν ἐν ὕδασι γείτονες Ἰνδοί·
εἰς δρύας ὄμμα τίταινε καὶ εὐπετάλωι παρὰ λόχμηι
ἀπροϊδῆ σκοπίαζε καλυπτομένων λόχον ἀνδρῶν.
ἀλλὰ τί σοι ῥέξουσιν ἀνάλκιδες ἔνδοθι λόχμης;
δυσμενέες ζώουσιν, ἕως ἔτι θύρσον ἐρύκεις.
σιγῆι ἐφ' ἡμείων, μὴ δήιος ἐγγὺς ἀκούσηι,
μὴ κρυφίοις Ἰνδοῖσιν ἐπαγγείλειεν Ὑδάσπης."
ὣς φαμένη παλίνορσος Ἀμαδρυὰς ᾤχετο Νύμφη,
ὡς πτερὸν ἠὲ νόημα, μεταλλάξασα δὲ μορφὴν
ἰσοφυὴς ὄρνιθι διέτρεχε φωλάδος ὕλης,
ἤλικος ἀίσσουσα κατὰ δρυός. αὐτὰρ ὁ σιγῆι
μίσγετο Βασσαρίδεσσιν, Ἀμαδρυάδος δὲ θεαίνης
εἶπεν ἑοῖς προμάχοισιν ἐς οὔατα μῦθον ἑκάστου
νεύμασι δενδίλλων, νοερῆι δ' ἐκέλευε σιωπῆι
τεύχεσι θωρηχθέντας ἀνὰ δρύας εἰλαπινάζειν,
L1[O] καὶ κρυφίων ἀγόρευε δολορραφέων δόλον Ἰνδῶν,
μή σφιν ἐπιβρίσωσιν ἀθωρήκτοισι μαχηταί,
εἰσέτι δαινυμένοισιν ἀνὰ στρατόν· οἱ δὲ Λυαίωι
κεκλομένωι πείθοντο, καὶ εἰς μόθον ἦσαν ἑτοῖμοι
σιγαλέον παρὰ δεῖπνον ἀκοντοφόροιο τραπέζης.
καὶ ταχινὸν μετὰ δόρπον ἐπέρρεον ἀσπιδιῶται
γείτονος ἐκ ποταμοῖο πιεῖν ἐπιδόρπιον ὕδωρ,
νεύμασι θεσπεσίοισι περισσονόου Διονύσου,
μὴ στρατὸν εὐνήσειε μέθη καὶ κῶμα καὶ ὄρφνη.
καὶ στρατὸς ἔνθα καὶ ἔνθα φιλοπτολέμωι πέσεν εὐνῆι
βαιὸν ἐνυαλίης ὑπὲρ ἀσπίδος ὕπνον ἰαύων.
Ζεὺς δὲ πατὴρ δολόεντα μετατρέψας νόον Ἰνδῶν
ἑσπερίην ἀνέκοψε μάχην μυκήτορι βόμβωι,
ὄμβρου παννυχίοιο χέων ἀπερείσιον ἠχώ.
ἀλλ' ὅτε χιονόπεζα χαραξαμένη ζόφον Ἠὼς
ὄρθρον ἀμεργομένη δροσερῆι πορφύρετο πέτρηι,
ἄκρον ὑπερκύψαντες ἐγερσιμόθου σκέπας ὕλης
δυσμενέες προύτυψαν ἀολλέες· ἦρχε δὲ Θουρεύς,
Ἰνδώιου πολέμοιο πέλωρ πρόμος, εἴκελος ὁρμὴν
ἠλιβάτωι Τυφῶνι καταΐσσοντι κεραυνοῦ.
καὶ στρατιαὶ πινυτοῖο δολόφρονι νεύματι Βάκχου
ψευδαλέον φόβον εἶχον ἀταρβέες, ἐκ δὲ κυδοιμοῦ
αὐτόματοι χάζοντο θελήμονες, εἰσόκεν Ἰνδοὶ
εἰς πεδίον προχέοντο λελοιπότες ἔνδια λόχμης.
τεύχεσι δ' ἀφνειοῖσι κορύσσετο Λύδιος ἀνήρ,
χρυσοφαῆ Λυκίοιο τύπον Γλαύκοιο κομίζων,

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The twentieth deals with the pole-axe of bloodthirsty Lycurgos, when Dionysus is chased into the fishy deep.

NONNUS

DIONYSIACA

BOOK 20

PREVIEW BOOK 22

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 404 lines 3.0
3L 1 - 404

PRINT 2-SIDED: **121** to **126**

Λῦτο δ' ἀγών· Σάτυροι δὲ σὺν εὐθύρσωι Διονύσωι
Βότρυος ἀφνειοῖσιν ἐναυλίζοντο μελάθροις.
τοῖσι δὲ δαινυμένοις ἐπεκώμασαν οἰνάδες Ὧραι·
καὶ κτύπος ἦν τυπάνων ἐπιδόρπιος, ὀξὺ δὲ σύριγξ
ἀμφιλαφὴς ἐλίγαινεν, ἀρνόμενοι δὲ κυπέλλοις
οἰνοχόοι μογέεσκον ἀλωφήτωι παρὰ δείπνωι·
καὶ πλέον αἰτίζεσκον ὀπάονας οἶνον ἀφύσσειν
δαιτυμόνες σαίνοντες· ἀνεσκίρτησε δὲ Βάκχη
κύμβαλα δινεύουσα, φιλοσκάρθμοιο δὲ κούρης
ἄπλοκος ἀκρήδεμνος ἐσείετο βόστρυχος αὔραις.
καὶ θεὸς ἀμπελόεις, καλέσας Σταφύλοιο γυναῖκα,
αὐχμὸν ἀποσμήξας ἐπεκόσμεεν οἴνοπι πέπλωι·
καὶ Πίθον εὐρυγένειον ὅλον ῥυπόωντα καθήρας
ἀργεννῶι παλίνορσος ἀνεχλαίνωσε χιτῶνι,
ῥίψας πένθιμα πέπλα χυτῆι πεπαλαγμένα τέφρηι·
οὐκέτι δ' αὐτοχύτοισι παρήια δάκρυσι δεύων
Βότρυς ἀνεστενάχιζε, Διωνύσωι δὲ πιθήσας
φωριαμοὺς ὤιξε θυώδεας· οἰγομένων δὲ
μαρμαρυγὴ σελάγιζε πολυγλήνων ἀπὸ πέπλων·
κεῖθεν ἑλὼν Σταφύλου βασιλήια φαιδρὰ τοκῆος
δύσατο πορφυρέωι πεπαλαγμένα φάρεα κόχλωι,
καὶ θαλίης ψαύοντι συνειλαπίναζε Λυαίωι.
τοῖσι δὲ τερπομένοισιν ἀνέδραμεν Ἕσπερος ἀστὴρ
φέγγος ἀναστείλας χοροτερπέος ἠριγενείης.
δαιτυμόνων δὲ φάλαγγες ἀμοιβαδὶς ἔνδοθεν αὐλῆς
ὕπνου δῶρον ἕλοντο βαθυστρώτων ἐπὶ λέκτρων.
καὶ Πίθος ἄγχι Μάρωνος ἀνήιεν εἰς μίαν εὐνήν,
νεκταρέης εὔοδμον ἀναβλύζων πόμα ληνοῦ,
ἀλλήλους δ' ἐμέθυσσαν ἴσην πέμποντες ἀυτμὴν
πάννυχον. Εὐπετάλη δέ, τιθηνήτειρα Λυαίου,
δαλὸν ἀναψαμένη καὶ Βότρυϊ καὶ Διονύσωι
δισσὴν ἀμφοτέροις ἁλιπόρφυρον ἔντυνεν εὐνήν·
γείτονι δ' ἐν θαλάμωι Σατύρων δίχα, νόσφι Λυαίου,
ἀμφίπολοι στορέσαντο λέχος χρύσειον ἀνάσσηι.
Βάκχωι δ' ἦλθεν ὄνειρος, Ἔρις πολέμοιο τιθήνη,
ἅρμασι μιμηλοῖσιν ἐφεδρήσσουσα λεόντων,
Ῥείης εἶδος ἔχουσα, φιλοκροτάλοιο θεαίνης·
καὶ Φόβος ἡνιόχευεν ὀνειρείων ζυγὰ δίφρων
ἀντιτύποις μελέεσσι νόθος μορφούμενος Ἄττις,
καὶ θρόον ὀξὺν ἔχων ἁπαλόχροος ἄρσενι μορφῆι
ἡνίοχον Κυβέλης ἀπεμάξατο θηλεϊ φωνῆι·
Βάκχου δ' ὑπναλέοιο παρεστηυῖα καρήνωι
φοιτὰς Ἔρις νεμέσησε, καὶ ἐγρεμόθωι φάτο φωνῆι·
"ὑπνώεις, Διόνυσε θεηγενές· εἰς ἐνοπὴν δὲ
Δηριάδης καλέει σε, καὶ ἐνθάδε κῶμον ἐγείρεις·
μητρυιὴ δ' ὁρόωσα τεὴν φύζηλιν Ἐνυὼ
Ἥρη κερτομέει σε, σὺ δὲ στρατὸν εἰς χορὸν ἕλκεις.
αἰδέομαι Κρονίωνι φανήμεναι, ἅζομαι Ἥρην,
ἅζομαι ἀθανάτους, ὅτι μὴ κάμες ἄξια Ῥείης·
Τιτήνων δ' ὀλετῆρα, προασπιστῆρα τοκῆος,

νίκην Ἰνδοφόνοιο προθεσπίζοντες ἀγῶνος.
καὶ χλοεροῖς μελέεσσι παρήορον ὄρθιον οὐρὴν
ἐκταδὸν αἰθύσσοντες· ὁμοζήλωι δὲ χορείηι
πόρδαλις ὑψιπότητος ἐπέτρεχε σύνδρομος ἄρκτωι.
καὶ βαλίων σκυλάκων ἀνεσείρασεν Ἄρτεμις ὁρμὴν
μειλιχίης ὁρόωσα χοροίτυπον ἅλμα λεαίνης·
αἰδομένη δ' εὔκυκλον ἑὴν ἀνελύσατο νευρήν,
τερπομένους μὴ θῆρας ὀιστεύσειε βελέμνοις.
καί τις ἐσαθρήσας ἑτερότροπα θαύματα Βάκχου,
ὄμμα βαλὼν πυκινοῖο δι' ἀκροτάτοιο κορύμβου,
φύλλα περιστείλας θηήτορα κύκλον ὀπωπῆς,
τόσσον ἰδεῖν μεθέηκεν, ὅσον περιδέρκεται ἀνὴρ
ὄμμασι ποιητοῖσι διοπτεύων τρυφαλείης,
ἢ ὁπότε τραγικοῖο χοροῦ δεδαημένος ἀνήρ,
φρικτὸν ἔχων μύκημα τανυφθόγγων ἀπὸ λαιμῶν,
ἐνδόμυχον τυκτοῖο δι' ὄμματος ὄμμα τιταίνει,
ψευδαλέον βροτέοιο φέρων ἴνδαλμα προσώπου·
ὣς ὅ γε θαύματα πάντα λαθὼν ὑπὸ δάσκιον ὕλην
ἀπροϊδὴς ἐδόκευεν ὑποκλέπτοντι προσώπωι·
ἀντιβίοις δ' ἤγγειλε· φόβωι δ' ἐλελίζετο Θουρεὺς
μεμφόμενος Μορρῆι καὶ ἄφρονι Δηριαδῆι.
ἔτρεμε δ' Ἰνδὸς ὅμιλος, ἀφειδήσας δὲ κυδοιμοῦ
χάλκεα ταρβαλέων ἀπεσείσατο τεύχεα χειρῶν,
δένδρεα παπταίνων δεδονημένα θυιάδι ῥιπῆι.
καί νύ κεν Ἰνδὸς ὅμιλος ἑλὼν ἀπὸ γείτονος ὄχθης
μάρτυρον ἱκεσίης γλαυκόχροα θαλλὸν ἐλαίης
αὐχένα δοῦλον ἔκαμψεν ἀδηρίτωι Διονύσωι·
ἀλλὰ μεταλλάξασα δέμας πολυμήχανος Ἥρη
δυσμενέας θάρσυνε καὶ ἤπαφεν ὄρχαμον Ἰνδῶν,
Θεσσαλίδων μάγον ὕμνον ἐφαψαμένη Διονύσωι,
καὶ Κίρκης κυκεῶνα θεοκλήτοις ἐπαοιδαῖς,
οἷά τε φαρμακτῆρος ἀφαρμάκτου ποταμοῖο.
καὶ πίθεν ἀντιβίους ταχυπειθέας· εἶπε δ' ἑκάστωι,
μή ποτέ τις σφάλλοιτο κατάσχετος αἴθοπι δίψηι
κλεψινόου ποταμοῖο πιὼν δεδολωμένον ὕδωρ.
καί νύ κεν ἀφράστοιο διαθρώισκοντες ἐναύλου
δαινυμέναις στρατιῆισιν ἐπέχραον αἴθοπες Ἰνδοί·
ἀλλά τις ἠνεμόεντος ὑπερκύψασα κορύμβου
ἐκ λασίου κενεῶνος Ἁμαδρυὰς ἄνθορε Νύμφη·
χειρὶ δὲ θύρσον ἔχουσα φυὴν ἰνδάλλετο Βάκχηι,
μιμηλὴν δρυόεντι πυκαζομένη τρίχα κισσῶι·
δυσμενέων δ' ἐνέπουσα δόλον σημάντορι σιγῆι
οὔασι βοτρυόεντος ἐπεψιθύριζε Λυαίου·
"ἀμπελόεις Διόνυσε, φυτηκόμε κοίρανε καρπῶν,
σὸν φυτὸν Ἁδρυάδεσσι χάριν καὶ κάλλος ὀπάσσει·
Βασσαρὶς. οὐ γενόμην, οὐ σύνδρομός εἰμι Λυαίου,
μοῦνον ἐμῆι παλάμηι ψευδήμονα θύρσον ἀείρω·
οὐ πέλον ἐκ Φρυγίης, σέο πατρίδος, οὐ χθόνα Λυδῶν
ναιετάω παρὰ χεῦμα ῥυηφενέος ποταμοῖο·
εἰμὶ δὲ καλλιπέτηλος Ἁμαδρυάς, ἧχι μαχηταὶ
δυσμενέες λοχόωσιν, ἀφειδήσασα δὲ πάτρης

Nonnus

οὐ δόρυ θοῦρον ἄειρε καὶ οὐ πολέμιζε θεαίνῃ,
ἔμπης μοῦνον ὄπωπε καὶ ὤλεσε φέγγος ὀπωπῆς."
τοῖον ἔπος κατέλεξε δι' ἠέρος ὑψιμέδων Ζεὺς
20.404 ◆ δυσσεβίην ὑπέροπλον ὀπιπεύων Λυκοόργου.
22.1 ◆ Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυκροκάλου ποταμοῖο
Βάκχου πεζὸς ὅμιλος, ὅπῃ βαθυδίνεϊ κόλπῳ
πλωτὸν ὕδωρ, ἅτε Νεῖλος, ἐρεύγεται Ἰνδὸς Ὑδάσπης,
δὴ τότε Βασσαρίδων ἐμελίζετο θῆλυς ἀοιδὴ
καὶ λασίων Σατύρων χορὸς ἔβρεμε μύστιδι φωνῇ·
Νυκτελίῳ Φρύγα κῶμον ἀνακρούουσα Λυαίῳ,
γαῖα δὲ πᾶσα γέλασσεν, ἐμυκήσαντο δὲ πέτραι,
Νηιάδες δ' ὀλόλυξαν, ὑπὲρ ποταμοῖο δὲ Νύμφαι
σιγαλέοις ἑλικηδὸν ἐμιτρώσαντο ῥεέθροις
καὶ Σικελῆς ἐλίγαινον ὁμόζυγα ῥυθμὸν ἀοιδῆς,
οἷον ἀνεκρούοντο μελιγλώσσων ἀπὸ λαιμῶν
ὑμνοπόλοι Σειρῆνες· ὅλη δ' ἐλελίζετο λόχμη,
καὶ μέλος ἐφθέγξαντο σοφαὶ δρύες εἴκελον αὐλῷ,
Ἀδρυάδες δ' ἀλάλαζον, ἐπ' εὐπετάλοιο δὲ Νύμφη
ἡμιφανὴς ἤειδεν ὑπερκύψασα κορύμβου.
χιονέῳ δὲ γάλακτι χυτὴ λευκαίνετο πηγή,
ὑδρηλή περ ἐοῦσα, χαραδραίῳ δ' ἐνὶ κόλπῳ
Νηιάδες λούσαντο γαλαξαίοισι ῥεέθροις,
καὶ γάλα λευκὸν ἔπινον· ἐρευθιόωντι δὲ μαζῷ
οἶνον ἐρευγομένη κραναὴ πορφύρετο πέτρη,
γλεῦκος ἀμοσχεύτοιο διαβλύζουσα κολώνης
L2[O] ἡδυπότοις λιβάδεσσι· καὶ αὐτοχύτων ἀπὸ κόλπων
λαρὰ μελιρραθάμιγγος ἐλείβετο δῶρα μελίσσης,
σίμβλων οὐ χατέοντα· καὶ ἀρτιτόκων ἀπὸ θάμνων
ἄγχνοον ὀξυέθειρος ἀνέδραμε μῆλον ἀκάνθης·
αὐτομάτου δὲ χυθέντος ἐπ' ἀκρεμόνεσσιν ἐλαίου
ἰκμάσιν ἀθλιβέεσσιν ἐλούετο δένδρον Ἀθήνης.
καὶ κύνας ὀρχηστῆρας ἐπηχύνοντο λαγωοί·
μηκεδανοὶ δὲ δράκοντες ἐβακχεύοντο χορείῃ
ἴχνια λιχμώοντες ἐχιδνοκόμου Διονύσου,
αὐχένα δοχμώσαντες, ἀνήρυγε δ' ἄλλος ἐπ' ἄλλῳ
μειλίχιον σύριγμα γεγηθότος ἀνθερεῶνος·
τερπομένου δὲ δράκοντος ἔην τότε ῥυθμὸς ἐχέφρων,
καὶ δολιχῆς ἐλέλικτο περίπλοκος ὁλκὸς ἀκάνθης
ποσσὶν ἀδειμάντοισι περισκαίρων Διονύσου·
Ἰνδῴην δ' ἑλικηδὸν ἐπισκαίροντες ἐρίπνην
τίγριδες ἐψιόωντο· πολὺς δέ τις ἔνδοθι λόχμης
ἐσμὸς ἀνεσκίρτησεν ὀρεσσινόμων ἐλεφάντων.
καὶ τότε παιπαλόεντα κατ' ἄγκεα Πᾶνες ἀλῆται
δύσβατα λεπταλέῃσι διέτρεχον οὔρεα χηλαῖς
φρικτά, τὰ μὴ θρασὺς ὄρνις ἐπέπτατο κοῦφος ὁδίτης
{...} ὑψιπόρων πτερύγων διεμέτρεε δίζυγι παλμῷ.
καὶ δονέων πλοκαμῖδα παρήορον ἀνθερεῶνος
σύννομος ἀντεχόρευε λέων βητάρμονι κάπρῳ·
ἀνδρομέης δ' ὄρνιθες ἀνέκλαγον εἰκόνα μολπῆς
22.46 μιμηλὴν ἀτέλεστον ὑποκλέπτοντες ἰωήν,

αὐχένα γαῦρον ἔχοντα κατ' οὐρανὸν Ἄρεα φεύγω,
ἀσπίδα κουφίζονται διάβροχον ἤθάδι λύθρῳ·
καὶ γνωτὴν σέο μᾶλλον, ἀριστογόνοιο τοκῆος
αὐτοτελῆ γονόεντος ἀμήτορα παῖδα καρήνου,
Παλλάδα δειμαίνω κορυθαιόλον, ὅττι καὶ αὐτὴ
μέμφεται ἄρσενα Βάκχον ἀεργέα θῆλυς Ἀθήνη·
εἴκαθεν αἰγίδι θύρσος, ἐπεί ποτε Παλλὰς ἀγήνωρ
αἰγίδα κουφίζουσα πύλας ἔστεψεν Ὀλύμπου,
Τιτήνων σκεδάσασα θυελλήεσσαν Ἐνυώ,
πατρῴιον δ' ἐγέραιρε σοφὴν ὠδῖνα καρήνου·
καὶ σὺ Διὸς γονόεσσαν ἐπαισχύνεις πτύχα μηροῦ.
ἠνίδε, πῶς γελόωσι καὶ Ἑρμείας καὶ Ἀπόλλων,
ὃς μὲν ἀερτάζων δίδυμον βέλος εἰσέτι λύθρῳ
ὑψιλόφων τεκέων πεπαλαγμένον Ἰφιμεδείης,
ὃς δὲ καταφθιμένοιο πολυβλεφάροιο νομῆος
ῥάβδον ἔχων ὀλέτειραν· ἐγὼ δ' ἐμὸν αἰθέρα φεύγω
μῶμον ἀλυσκάζουσα φυγοπτολέμου Διονύσου.
θύρσους δ' ἠρεμέοντας ὀπιπεύουσα Λυαίου
μέμφεται ὀρχηστῆρι φιλοσκοπέλῳ Διονύσῳ
παρθένος ἰοχέαιρα, κυβερνήτειρα δὲ δίφρου
οὐτιδανῶν ἐλάφων, βαλίων ὀλέτειρα λαγωῶν,
μέμφεται οὐρεσίφοιτος ὀρειάδος ἐγγύθι Ῥείης
πορδαλίων ἐλατῆρι καὶ ἡνιοχῆι λεόντων.
παιδὸς ἐμοῦ Διὸς οἶκον ἀναίνομαι· ἐν γὰρ Ὀλύμπῳ
ἅζομαι αὐχήεσσαν ἀγαλλομένην ἔτι Λητώ,
ἰὸν ἐμοὶ τανύουσαν ἑῶν χραισμήτορα λέκτρων, L2[O]
Γηγενέος Τιτυοῖο ποθοβλήτοιο φονῆα.
καὶ διδύμαις ὀδύνῃσιν ἱμάσσομαι, ὅττι δοκεύω
ἀχνυμένην Σεμέλην καὶ ἀγήνορος ἀστέρα Μαίης.
οὐ σὺ Διὸς τεκέεσσιν ὁμοίιος· οὐ κτάνες ἰῷ
Ὦτον ἀπειλητῆρα καὶ ὑψιπόδην Ἐφιάλτην,
2 οὐ Τιτυὸν πτερόεντι τεῷ κατέπεφνες ὀιστῷ,
οὐ θρασὺν Ὠρίωνα δυσίμερον, οὐ πρόμον Ἥρης
Ἄργον, ἀεξικάκοιο βοοσκόπον υἱὸν ἀρούρης,
Ζηνὸς ὀπιπευτῆρα βοοκραίρων ὑμεναίων·
ἀλλὰ παρὰ Σταφύλῳ καὶ Βότρυι κῶμον ὑφαίνεις,
ἀκλειὴς ἀσίδηρος ἐποίνιον ὕμνον ἀείδων·
αἰσχύνεις Σατύρων χθόνιον γένος, ὅττι καὶ αὐτοὶ
7 Βακχιάδος ψαύοντες ἀναιμάκτοιο χορείης
Ἄρεος ἐλπίδα πᾶσαν ἐπετρέψαντο κυπέλλοις.
ἔστι καὶ εἰλαπίνη μετὰ φύλοπιν, ἔστι χορεύειν
Ἰνδῴην μετὰ δῆριν ἔσω Σταφύλοιο μελάθρων·
πηκτίδες ἂψ αὔουσιν ἐνυαλίην μετὰ νίκην·
νόσφι πόνων οὐκ ἔστιν ἀνέμβατον αἰθέρα ναίειν·
οὐ πέλε ῥηιδίη μακάρων ὁδός· ἐξ ἀρετῆς δὲ
ἀτραπὸς Οὐλύμποιο θεόσσυτος εἰς πόλον ἕλκει.
τέτλαθι καὶ σὺ πόνους πολυειδέας· οὐρανίην γὰρ
Ἥρη σοὶ κοτέουσα Διὸς μαντεύεται αὐλήν."
ὣς φαμένη πεπότητο. θεὸς δ' ἀνεπήλατο λέκτρων,
φρικτὸν ἔχων ἔτι δοῦπον ἀπειλητῆρος ὀνείρου. {...} 20.100

καὶ θρασὺς ἄνθορε Βότρυς, ἑὸν δ᾽ ἔνδυνε χιτῶνα
Σιδονίης ἀκτῖνας ἀκοντίζοντα θαλάσσης,
καὶ χρυσέωι συνέεργεν ἀρηρότα ταρσὰ πεδίλωι·
◆ ὤμοις δ᾽ ἀκαμάτοις διμερῆ κληῖδα φυλάσσων
φαιδρὸν ἀλιχλαίνων περονήσατο φᾶρος ἀνάκτων,
πατρώιην λαγόνεσσι βαλὼν ὑψήνορα μίτρην,
σκῆπτρον ἔχων. Σάτυροι δὲ δαφοινήεσσαν ἀπήνην
πορδαλίων ἔζευξαν ἐπειγομένωι Διονύσωι·
Σειληνοὶ δ᾽ ἀλάλαζον· ἐμυκήσαντο δὲ Βάκχαι
θυρσοφόροι· στρατιαὶ δὲ συνήλυδες εἰς μόθον Ἰνδῶν
στοιχάδες ἐρρώοντο· καὶ ἔβρεμεν αὐλὸς Ἐνυοῦς·
κεκριμένας δὲ φάλαγγας ἐκόσμεον ἡγεμονῆες.
καί τις ὑπὲρ νώτοιο θορὼν ἐπιβήτορι παλμῶι
εἰς δρόμον ἐσσυμένης λοφίην ἐπεμάστιεν ἄρκτου
λυσσαλέης· ἕτερος δὲ δασύτριχα γαστέρα νύσσων
ἄγριον ἡνιόχευε καλαύροπι ταῦρον ἀλήτην,
πλευραῖς ἀμφοτέραις κεχαλασμένα ταρσὰ συνάπτων·
ὃς δὲ δασυστέρνων ῥαχίης ἐπέβαινε λεόντων
αὐχενίων πλοκάμων δεδραγμένος ἀντὶ χαλινοῦ.
καὶ μέγαρον πατρῶιον ὁμοῦ καὶ κλῆρον ἐάσας
Βότρυς ἐρευθήεις, τετράζυγον ἅρμα τιταίνων,
σύνδρομος ἡνιόχευε φιλοσταφύλωι Διονύσωι,
δμῶας ἔχων κατόπισθε· Μέθηι δ᾽ ἅμα μητέρι νύμφη
λευκοχίτων ἀνέβαινεν ἐς ἀργυρόκυκλον ἀπήνην,
καὶ ζυγίων Φασύλεια κυβερνήτειρα λεπάδνων
L2[I] εἰς λόφον ἡμιόνων χρυσέην ἐλέλιζεν ἱμάσθλην·
καὶ Πίθος εὐρυκάρηνος, ὀπίστερον ἅρμα τιταίνων,
ἕσπετο θητεύων καὶ Βότρυϊ καὶ Διονύσωι.
οὐ μὲν ἔην ἀγέραστος· ἑλὼν δέ μιν εἰς χθόνα Λυδῶν
Βάκχος ἄναξ ἔστησε μέθης ἐγκύμονι ληνῶι,
δεχνύμενον χυτὸν ὄγκον ἐυρραθάμιγγος ὀπώρης
ἄγγεσιν οἰνοδόκοις, ὅθεν οὔνομα τοῦτο φυλάσσων
πορφυρέωι κενεῶνι πίθος παρὰ γείτονι ληνῶι
ἵσταται Εὔια δῶρα δεδεγμένος εἰσέτι Βάκχου,
σῆμα Πίθου προτέροιο· καὶ εἰ βροτέην λάχε φωνήν,
τοῖον ἔπος Σατύροισιν ἐρεύγετο κῶμον ἀκούων·
"εἰμὶ Πίθος, προτέροιο φερώνυμος, ἄγχι δὲ ληνοῦ
δέχνυμαι ἡμερίδων γλυκερὸν ῥόον· Ἀσσυρίου δὲ
λάτρις ἐγὼ Σταφύλου καὶ Βότρυος, ἀμφοτέρους δὲ
νηπιάχους ἔθρεψα γέρων τροφός· εἰσέτι δ᾽ ἄμφω,
οἷα πάλιν ζώοντας, ἐμαῖς λαγόνεσσιν ἀείρω."
καὶ τὰ μὲν ὡς ἤμελλε μετὰ χρόνον ὀψὲ τελέσσαι
Βάκχος ἄναξ. περόων δὲ Τύρον καὶ Βύβλον ὁδεύων
καὶ ποταμοῦ θυόεντος Ἀδώνιδος εὔγαμον ὕδωρ
καὶ σκόπελον Λιβάνοιο καὶ ἔνδια Κυπρογενείης
Ἀρραβίης ἐπέβαινε, καὶ εὐόδμων ὑπὸ δένδρων
Νυσιάδος τανύφυλλον ἐθάμβεε δειράδα λόχμης
καὶ πόλιν αἰπύδμητον, ἀκοντοφόρων τροφὸν ἀνδρῶν.
ἔνθά τις, Ἄρεος αἷμα, μιαιφόνος ᾤκεεν ἀνήρ,
ἤθεσι ῥιγεδανοῖσιν ἔχων μίμημα τοκῆος,

109 (61C) αἰθερίου πατάγοιο τύπον βρονταῖον ἀκούων·
ταρβαλέοις δὲ πόδεσσι φυγὼν ἀκίχητος ὁδίτης
γλαυκὸν Ἐρυθραίης ὑπεδύσατο κῦμα θαλάσσης.
τὸν δὲ Θέτις βυθίη φιλίωι πήχυνεν ἀγοστῶι,
καί μιν ἔσω δύνοντα πολυφλοίσβοιο μελάθρου
χερσὶ φιλοξείνοισιν Ἄραψ ἠσπάζετο Νηρεύς·
τὸν δὲ παρηγορέων φιλίωι μειλίξατο μύθωι·
"εἰπέ, τί σοι, Διόνυσε, κατηφέες εἰσὶν ὀπωπαί;
οὔ σε χαμαιγενέων Ἀράβων στρατός, οὔ σε διώκων
θνητὸς ἀνὴρ νίκησε, καὶ οὐ βροτέην φύγες αἰχμήν·
ἀλλὰ Διὸς Κρονίδαο κασιγνήτη δάμαρ Ἥρη
οὐρανόθεν κεκόρυστο συναιχμάζουσα Λυκούργωι,
Ἥρη καὶ μενέχαρμος Ἄρης καὶ χάλκεος αἰθήρ,
τέτρατος ἦν Λυκόοργος ὁ τηλίκος· ὑψιμεδῶν δὲ
πολλάκι σὸς γενέτης πρόμος αἰθέρος εἴκαθεν Ἥρηι.
σοὶ πλέον ἔσσεται εὖχος, ὅταν μακάρων τις ἐνίψηι,
ὅττι Διὸς μεγάλοιο δάμαρ καὶ σύγγονος Ἥρη
χεῖρας ἑὰς θώρηξεν ἀθωρήκτωι Διονύσωι."
τοῖα παρηγορέων Βρομίωι μυθήσατο Νηρεύς.
καὶ χαροποῖς ῥοθίοισι καλυπτομένου Διονύσου
ἀσχαλόων Λυκόοργος ἐς ὕδατα ῥῆξεν ἰωήν·
"αἴθε πατήρ με δίδαξε μετὰ κλόνον ἔργα θαλάσσης,
ὥς κεν ἀεθλεύσαιμι καὶ ἰχθυβόλων ἐς ἀγῶνα
ἀγρεύσας Διόνυσον, ὑποβρυχίων δ᾽ ἀπὸ κόλπων
Λυδὸν ἐμὸν θεράποντα τὸ δεύτερον εἰς χθόνα σύρω.
ἀλλ᾽, ἐπεὶ οὐ μάθον ἔργα θαλασσοπόρων ἁλιήων L2[I]
καὶ βυθίης οὐκ οἶδα δολορραφέος δόλον ἄγρης,
Λευκοθέης ἔχε δῶμα βαθύρροον, εἰσόκε πόντου
καὶ σὲ καὶ ὃν καλέουσι μεταστήσω Μελικέρτην,
σύγγονον αἷμα φέροντα· καὶ οὐ χρέος ἐστὶ σιδήρου,
οὐ χθονίου βουπλῆγος ἀφειδέος, ἀλλὰ χατίζω
3 (1C) ἰχθυβόλων, ἵνα δύντες Ἐρυθραίης βυθὸν ἅλμης
ἐνδόμυχον Διόνυσον ἀφαρπάζωσι θαλάσσης·
ἰχθυβόλοι, Νηρῆος ἐρευνητῆρες ἐναύλων,
δίκτυα μὴ νεπόδεσσιν ἐφαπλώσητε θαλάσσης,
ἀλλὰ λίνοις Διόνυσον ἐρύσσατε· Λευκοθέη δὲ
εἰς χθόνα νοστήσειε συναγρευθεῖσα Λυαίωι,
καὶ θρασὺς εἰς ἐμὸν οἶκον ὁμαρτήσειε Παλαίμων
8 ἀβρέκτοις μελέεσσιν ὑποδρήσσων Λυκοόργωι,
ὄφρα λιπὼν Ἐφύρειον ἀλιτρεφέων δρόμον ἵππων
δίφρον ἐμὸν ζεύξειεν ἐπιχθονίηι παρὰ φάτνηι,
αὐτὸς ὁμοῦ καὶ Βάκχος ὀπάονες· εἷς δόμος ἔστω,
εἷς δόμος ἀμφοτέροισι, Παλαίμονι καὶ Διονύσωι."
ὣς εἰπὼν κεχόλωτο, καὶ ἠπείλησε θαλάσσηι
καὶ πολιῶι Νηρῆι, καὶ ἤθελε πόντον ἱμάσσειν.
Ζεὺς δὲ πατὴρ ἰάχησεν ἀμαιμακέτωι Λυκοόργωι
"ἀφραίνεις, Λυκόοργε, μάτην ἀνέμοισιν ἐρίζων·
χάζεο σοῖσι πόδεσσιν, ἕως ὁρόωσιν ὀπωπαί.
ἔκλυες, ὡς τὸ πάροιθεν ὀρεσσιχύτωι παρὰ πηγῆι
γυμνὴν Τειρεσίας θηήσατο μοῦνον Ἀθήνην,

καὶ φίλιον σύριγμα συνωρίδες ἔβρεμον αὐλῶν·
Nonnus χερσὶ δὲ δινεύουσα φιλεύια ῥόπτρα Λυαίου
Βασσαρὶς ἐσκίρτησε παρὰ προπύλαιὰ Λυκούργου.
◆ καὶ θρασὺς ὡς ἤκουσεν ἄναξ ἀλάλαγμα χορείης,
αὐλοῦ μελπομένοιο μέλος Βερεκυντίδος ἠχοῦς
καὶ καναχὴν σύριγγος, ἀρασσομένης δὲ καὶ αὐτῆς
μαίνετο παππαίνων διδυμόκτυπα κύκλα βοείης·
καὶ θεὸν ἀμπελόεντα παρὰ προθύροισι δοκεύων,
σαρδόνιον γελόων, φιλοκέρτομον ἴαχε φωνήν,
Βασσαρίδων ἐλατῆρι χέων ἄσπονδον ἀπειλήν·
"ἡμετέρων ὁράαις ἀναθήματα ταῦτα μελάθρων;
καὶ σύ, φίλος, κόσμησον ἐμὸν δόμον ἢ σέο θύρσοις
ἢ ποσὶν ἢ παλάμῃσιν ἢ αἱματόεντι καρήνωι.
εἰ κεραοῖς Σατύροισι, κερασφόρε Βάκχε, κελεύεις,
ὑμέας ἶσα βόεσσιν ἐμῶι βουπλῆγι δαμάσσω.
τοῦτό σοι ἐξ ἐμέθεν ξεινήιον, ὄφρά τις εἴπηι,
ἢ θεὸς ἢ μερόπων τις, ὅτι προπύλαια Λυκούργου
ἡμιτόμοις μελέεσσιν ἐμιτρώθη Διονύσου.
οὐ παρὰ Βοιωτοῖσιν ἀνάσσομεν, οὐ τάδε Θῆβαι,
οὐ Σεμέλης δόμος οὗτος, ὅπηι νόθα τέκνα γυναῖκες
ἀστεροπῆι τίκτουσι καὶ ὠδίνουσι κεραυνῶι.
σείεις οἴνοπα θύρσον, ἐγὼ βουπλῆγα τινάσσω,
καί σε διατμήξας βοέου κατὰ μέσσα μετώπου
ὑμετέρην ἐπίκυρτον ἀναρρήξαιμι κεραίην."
ὣς εἰπὼν ἐδίωκε Διωνύσοιο τιθήνας
L3[O] θεινομένας βουπλῆγι· φιλοσκάρθμων δὲ γυναικῶν
ἡ μὲν ἑῆς παλάμης ἀπεσείσατο κύμβαλα Ῥείης,
ἡ δὲ φιλοκροτάλων ἀπεθήκατο τύμπανα χειρῶν,
ἄλλη βοτρυόεσσαν ἀνηκόντιζεν ὀπώρην,
ἄλλη νεκταρέοισι συνωλίσθησε κυπέλλοις·
πολλαὶ δ' αὐτοκύλιστον ἀπερρίψαντο κονίηι
ἡδυμελῆ σύριγγα καὶ ἔμπνοον αὐλὸν Ἀθήνης.
ὡς δ' ὅτε τις μετὰ χεῖμα γαληναίηι παρὰ λόχμηι
ἀννεφέλου Φαέθοντος ἰδὼν (τερψίμβροτε ποιμήν) {…},
Πανὶ δὲ κῶμον ἔγειρε, συνωρχήσαντο δὲ Νύμφαι·
ἄφνω δ' ἐκ σχοπέλοιο χύθη κυκλούμενον ὕδωρ
κύμασι πυργωθέντος ὀρεσσιχύτου ποταμοῖο·
αὐτὰρ ὁ συρίζων ἀπεσείσατο πηκτίδα χειρῶν
δειμαίνων θρασὺ χεῦμα χαραδραίου ποταμοῖο,
οἰδαλέωι μὴ μῆλα κατακρύψειε ῥεέθρωι·
ὣς ὅ γε τερψινόου σκεδάσας ἀλάλαγμα χορείης
εἰς ὄρος ὑψικάρηνον ἀνάμπυκας ἤλασε Βάκχας·
καὶ κλονέων ἀχόρευτος ἀλήμονα θῆλυν Ἐνυώ,
θηγαλέον βουπλῆγα φέρων, κειμήλιον Ἥρης,
χαλκοχίτων Λυκόοργος ἀτευχέι μάρνατο Βάκχωι·
καὶ κέλαδον βρονταῖον ἐπέκτυπε δύσμαχος Ἥρη,
μητρυιὴ βαρύδουπος ἐπιβρίθουσα Λυαίωι,
καί μιν ἀνεπτοίησε· βαρυζήλου δὲ θεαίνης
ὕψι κορυσσομένης ἐλελίζετο γούνατα Βάκχου·
ἔλπετο γὰρ Κρονίωνα προασπίζειν Λυκοόργον,

110 (62C) ὀθνείους ἀθέμιστος ἀμεμφέας εἰς μόρον ἕλκων,
αἰνομανὴς Λυκόοργος· ἀποκταμένων δὲ σιδήρωι Nonnus
ἔστεφεν ἀνδρομέοισιν ἑὸν πυλεῶνα καρήνοις
εἴκελος Οἰνομάωι καὶ ὁμόχρονος, οὗ ποτε δειλὴ
πατρὸς ἀνυμφεύτοισι δόμοις ἐφυλάσσετο κούρη
χήρη, γηραλέη, γαμίων ἔτι νῆις Ἐρώτων,
εἰσόκε Ταντραλίδης, ἱππήλατον οἶδμα χαράσσων,
ἄβροχον ἅρμα φέρων τετράζυγον ἐννοσιγαίου
νυμφίδιον δρόμον εἶχεν, ὅτε τροχοειδέι κύκλωι
Μυρτίλος αἰολόμητις ἐπίκλοπον ἤνυσε νίκην
μιμηλῶι τελέσας ἀπατήλιον ἄξονα κηρῶι,
οἶκτον ἔχων καὶ ἔρωτα γοήμονος Ἱπποδαμείης·
καὶ δρόμος ἦν ἀνόνητος· ὑπ' Ἠελίοιο δὲ δίφρωι
κηροπαγὴς φλογόεντι τύπος θερμαίνετο πυρσῶι,
καὶ τροχὸν ἠκόντιζε λυθεὶς μινυώριος ἄξων.
τοῖος ἔην Λυκόοργος ὁμότροπος· ἀχθοφόρους δὲ
πολλάκις ἐν τριόδοισιν ἀλήμονας ἄνδρας ὁδίτας
δήσας εἰς δόμον εἷλκεν, Ἐνυαλίωι δὲ τοκῆι
δαιτρεύων ἱέρευε· δαϊζομένων δὲ μαχαίρηι
ἄκρα λαβὼν ἐπύκαζε κακοξείνους πυλεῶνας.
ὡς δ' ὅτε δυσμενέων μετὰ φύλοπιν ὀψὲ μολόντος
ἀνδρὸς ἀκοντοφόροιο νέης ἀναθήματα νίκης,
ἀσπίδες ἢ πήληκες, ἐπεκρεμόωντο μελάθρωι,
οὕτω καὶ φονίοιο παρὰ προπύλαια Λυκούργου
ἄκρα ποδῶν καὶ χεῖρες ἐπηιώρηντο θανόντων.
καὶ φόνος ἦν· ξενίου δὲ Διὸς παρὰ γείτονι βωμῶι L3[O]
ὀθνεῖοι στενάχοντες ἐμιστύλλοντο μαχαίρηι,
οἷα βόες καὶ μῆλα, περιρραίνοντο δὲ βωμοὶ
σφαζομένων, στικτὴ δὲ κόνις φοινίσσετο λύθρωι
δώματος ἀμφὶ θύρετρα· βιαζόμενοι δὲ πολῖται
ἀντὶ Διὸς σπεύδοντο θυηπολέειν Λυκοόργωι.
4 (2C) οὐδ' ἔλαθες, Διόνυσε, δολορραφέος φθόνον Ἥρης·
ἀλλὰ πάλιν κοτέουσα τεῆι θεόπαιδι γενέθληι
ἄγγελον Ἶριν ἔπεμπε δυσάγγελον, ὄφρά σε θέλξηι
κλεψινόωι κεράσασα δόλωι ψευδήμονα πειθώ·
δῶκε δέ οἱ βουπλῆγα θεημάχον, ὄφρα κομίσσηι
Ἀρραβίης μεδέοντι, Δρυαντιάδηι Λυκοόργωι.
οὐδὲ θεὰ δήθυνεν· ἀμειβομένωι δὲ προσώπωι
9 Ἄρεος ἀντιτύποιο νόθην ἐψεύσατο μορφήν·
καὶ λόφον εὐπήληκα διαθύσσουσα καρήνου,
δαιδαλέους κροκόεντας ἑοὺς ῥίψασα χιτῶνας,
κερδαλέωι θώρηκι καλύπτετο, μαῖα κυδοιμοῦ,
αἱμαλέωι θώρηκι, καὶ ἐγρεκύδοιμον ἀπειλὴν
ἄρσενα κερδαλέη βλοσυρῶι πέμπουσα προσώπωι
γλῶσσαν Ἐνυαλίου τροχαλῆι μιμήσατο φωνῆι·
"τέκνον, ἀνικήτου σπόρος Ἄρεος, ἦ ῥα καὶ αὐτὸς
Βασσαρίδων τρομέεις ἁπαλόχροα θῆλυν ἀπειλήν;
οὐκ ἀπὸ Θερμώδοντος Ἀμαζόνες εἰσὶ καὶ αὐταί,
οὐκ ἀπὸ Καυκασίοιο μαχήμονές εἰσι γυναῖκες·
οὐ θοὰ τόξα φέρουσι καὶ οὐ δονέουσιν ὀιστούς·

οὐ θρασὺν ἵππον ἔχουσιν Ἀρήιον· οὐδ᾽ ὑπὲρ ὤμων 111 (63C)
βάρβαρον ἡμιτέλεστον ἐλαφρίζουσι βοείην.
αἰδέομαι καλέων σε ποτὶ κλόνον, ὅττι γυναῖκες
◆ δῆριν ἀπειλείουσιν ἀδηρίτωι Λυκοόργωι.
ἠρεμέεις, Λυκόοργε, κορυσσομένου Διονύσου;
θνητὸς ἀνὴρ πέλεν οὗτος ἀώριος, οὐκ ἀπὸ φύτλης
οὐρανίης βλάστησε· Διὸς δέ μιν Ἑλλάδι φήμηι
ἔμμεναι ἔπλασε μῦθος· ἐγὼ δ᾽ οὐκ οἶδα πιθέσθαι
ἀμφὶ τόκου Κρονίωνος, ὅτι βροτὸν ἄρσενι μηρῶι
υἱέα θῆλυν ἔτικτε πατὴρ ἐμὸς ὑψιμέδων Ζεύς·
μύθοις ψευδαλέοις οὐ πείθομαι, εἰ βροτὸς ἀνὴρ
Ζηνὸς ἐμοῦ τόκον ἔσχεν, ὅθεν βλάστησεν Ἀθήνη·
Ζεὺς ἐμὸς οὐ δεδάηκεν ἀνάλκιδα παῖδα λοχεῦσαι·
Ἄρεα σὸν γενέτην ἔχε μάρτυρον· εἶδες Ἀθήνην
παῖδα Διὸς θήλειαν ἀρειοτέρην Διονύσου.
τέκνον ἐμόν, μεθέκεις ἴδιον σθένος, οὐδὲ χατίζεις
πατρὸς Ἐνυαλίοιο, καὶ εἰ πολέμοισιν ἀνάσσει·
ἔμπης δ᾽, ἢν ἐθέλῃς, θωρήξομαι, οὐδέ σε λείψω
μοῦνον ἐνὶ πτολέμοισι· θεὰ δέ σοι, εἰ χρέος εἴη,
γνωτὴ Ζηνὸς ἄκοιτις ὁμόστολος εἰς μόθον Ἥρη
ἕσπεται υἱωνοῖο προασπίζουσα Λυκούργου”
{…} “{…} στήσω δ᾽ ὑμετέρου θεοδέγμονος ἔνδοθι νηοῦ
θύρσους Βασσαρίδων, νόθα δούρατα· βουκεράων δὲ
Κενταύρων ἀτίνακτα κεράατα μακρὰ δαΐξας
τοξοφόρων Ἀράβων κεραελκέα τόξα τελέσσω,
L3[I] ὡς θέμις· ἐκταδίην δὲ ταμὼν δολιχόσκιον οὐρὴν
Σειληνῶν λασίην τελέσω πλήξιππον ἱμάσθλην.
ταῦτα μὲν εἰς σὲ φέρω μετὰ φύλοπιν· ἀπτολέμου δὲ
Βάκχου ξανθὰ πέδιλα γυναικείους τε χιτῶνας
πορφυρέους καὶ θῆλυν ἐπ᾽ ἰξύι κυκλάδα μίτρην
γνωτῆι σεῖο δάμαρτι φυλάξομεν ἀφρογενείηι,
ἄρμενα θήλεα δῶρα· γυναιμανέος δὲ Λυαίου 5 (3C)
ἀμφιπόλων στίχα πᾶσαν ἐμοῖς δμώεσσι συνάψω
εἰς εὐνὴν ἀνάεδνον ἀναγκαίων ὑμεναίων,
οἷα δορικτήτοισι πέλει θέμις· οὐτιδανοὺς δὲ
ἡμερίδων ὄρπηκας, ἐνηέα δῶρα Λυαίου,
θερμοτέρωι σπινθῆρι δεδέξεται Ἀρραβίη φλόξ.
καὶ βριαρὴ θεράπαινα χοροπλεκέος Διονύσου
Βασσαρὶς ἀλλοίην ἐχέτω καὶ ἀήθεα τέχνην 10
δώματα ναιετάουσα μετ᾽ οὔρεα, δαιδαλέην δὲ
νεβρίδα καλλείψασα δέμας κρύψειε χιτῶνι,
καρπὸν ἀλετρεύουσα μύλης τροχοειδέι πέτρηι·
καὶ στεφάνους ῥίψασα, καὶ ἣν καλέουσιν ὀπώρην,
ξυνὰ διδασκέσθω μελεδήματα δίζυγι θεσμῶι,
δμωὶς ἀναγκαίη καὶ Παλλάδι καὶ Κυθερείηι
ἠματίοις ταλάροισι καὶ ἐννυχίοις ὑμεναίοις,
κερκίδα κουφίζουσα καὶ οὐκέτι κύμβαλα Ῥείης.
Σειληνοὶ δὲ γέροντες ἐμῆς παρὰ δαῖτα τραπέζης
Εὔιον ἀείσωσι, καὶ ἠθάδος ἀντὶ Λυαίου
κῶμον ἀνακρούσωσι καὶ Ἄρεϊ καὶ Λυκοόργωι.”

ὣς φαμένου μείδησε θεὰ χρυσόπτερος Ἶρις,
ψευδαλέην ἴρηκος ἐρετμώσασα πορείην.
καί μιν ἰδὼν Λυκόοργος ἑὴν μαντεύσατο νίκην,
γινώσκων ταχὺν ὄρνιν, ὅτι πτερὰ φοίνια πάλλων
ἀδρανέας δεδάηκε πελειάδας εἰς φόβον ἕλκειν·
εἶδε γάρ, εἶδεν ὄνειρον ὁμοίιον, ὡς παρὰ λόχμηι
χαιτήεις κεκόρυστο λέων λυσσώδεϊ λαιμῶι
καὶ βαλίων ἐλάφων κεραὴν ἐδίωκε γενέθλην.
τοῖον ὄναρ νοέων ἐκορύσσετο θυιάσι Βάκχαις,
Βασσαρίδας κεμάδεσσιν ἀπειρομόθοισιν ἐίσκων,
καὶ πλέον ἔλλαβε θάρσος. ἀναΐξασα δὲ δαίμων
νεύμασιν Ἡραίοισι προάγγελος ἦλθε Λυαίωι,
ταρσὰ ποδῶν πτερόεντι περισφίγξασα πεδίλωι,
ῥάβδον ἐλαφρίζουσα, καὶ ὡς Διὸς ἄγγελος Ἑρμῆς
Βάκχωι χαλκοχίτωνι δολοπλόκον ἴαχε φωνήν·
“γνωτέ, περισσονόοιο Διὸς τέκος, ἔκτοθι χάρμης
ὄργια σεῖο κόμιζε φιλοξείνωι Λυκοόργωι.
λεῖπε μόθον, μὴ κτεῖνε φίλους, μὴ φεῦγε γαλήνην,
ἵλαθι μειλιχίοισι· τίς ἤπιον ἄνδρα δαμάσσει;
μηδὲ τεοῖς ἱκέτησιν ἀναστήσειας Ἐνυώ·
μὴ τεὸν ἀστερόεντι δέμας θώρηκι καλύψηις·
μὴ κεφαλὴν σφίγξειας ἀερσιλόφωι τρυφαλείηι·
μὴ τρίχα μιτρώσειας ἐχιδνήεντι κορύμβωι·
ἀλλὰ λιπὼν σέο θύρσα μιαιφόνα, καὶ κέρας οἴνου
ἔμπλεον ἡδυπότοιο καὶ ἠθάδα ῥάβδον ἀείρων,
Εὔια δῶρα τίταινε φιλοσταφύλωι Λυκοόργωι· L3[I]
ἄρτι δέμας κόσμησον ἀναιμάκτωι σέο πέπλωι,
ἄρτι μέλος πλέξωμεν ἀθωρήκτοιο χορείης,
καὶ στρατὸς ἠρεμέων μενέτω παρὰ δάσκιον ὕλην,
μὴ μόθον ἐντύνειε γαληναίωι βασιλῆι·
ἀλλά, βαλὼν πλοκάμοισι φίλον στέφος, ἔρχεο χαίρων
εἰς δόμον ἀκλήιστον ἑτοιμοτάτου Λυκοόργου,
ἔρχεο κωμάζων ἅτε νυμφίος· Ἰνδοφόνους δὲ
θύρσους σεῖο φύλαξον ἀπειθέι Δηριαδῆι.
οὐ μὲν ἄναξ Λυκόοργος ἀνάλκιδα θυμὸν ἀέξει·
ἔστι γὰρ Ἄρεος αἷμα Διιπετές, ἐν δὲ κυδοιμοῖς
πατρὸς Ἐνυαλίοιο φέρων ἐμφύλιον ἀλκὴν
οὐδὲ τεοῦ Κρονίωνος ὑποπτήξειεν Ἐνυώ.”
ὣς φαμένη παρέπεισε, μεταχρονίωι δὲ πεδίλωι
αἰθέρος ἔνδον ἵκανε. δολοφροσύνηι δὲ θεαίνης
ἐγρεμόθους Διόνυσος ἑοὺς ἀπεσείσατο θύρσους
καὶ κυνέην λοφόεσσαν ἑῶν ἀνέλυσε κομάων
καὶ σάκος ἀστερόνωτον ἐθήκατο· χειρὶ δὲ γυμνῆι
πορφυρέης ἤειρε βεβυσμένον ἄγγος ἐέρσης,
ὀξὺ κέρας καὶ βότρυν ἀπενθέα· μηκεδανὴν δὲ
ἄπλοκον ἀμπελόεντι κόμην ἐστέψατο κισσῶι.
καὶ στρατιὴν εὔοπλον ἐγερσιμόθους τε γυναῖκας
ἐγγύθι Καρμήλοιο λιπὼν καὶ δίφρα λεόντων
ἀβροχίτων ἀσίδηρος ἐκώμασε πεζὸς ὁδίτης·
καὶ μέλος εὐφροσύνης ἐπιδόρπιον ἴαχε σύριγξ,

ἀφροσύνην ἐνέπων ὑψαύχενα Δηριαδῆος,
δίζυγα δέλτον ἔχων ἐγκύμονα δηιοτῆτος.
οὐ μὲν ἄναξ ἀμέλησεν· ἐς ὑσμίνην δὲ μαχητὰς
θαρσήεις ἐβόησε, προάγγελα Δηριαδῆος
σύμβολα γινώσκων κεχαραγμένα μάρτυρι δέλτωι.
καὶ καλέσας Ῥαδαμᾶνας ἀλήμονας, οὕς ποτε γαίης
Κρηταίης ἀέκοντας ἀπὸ χθονὸς ἤλασε Μίνως
Ἀρραβίης ἐπὶ πέζαν, ἐπέφραδε νεύματι Ῥείης
πῆξαι νήια δοῦρα θαλάσσιον εἰς μόθον Ἰνδῶν.
καὶ ταχὺς ἤλασε δίφρον Ἑώιον εἰς κλίμα γαίης
τεύχεσιν ἀστράπτων ἅτε Φωσφόρος· ἀμφὶ δὲ πέτρην
Καυκασίην λοφόεντα διαστείχων κενεῶνα
Ἠώιης παράμειβε φεραυγέα πέζαν ἀρούρης,
Ἠελίου βαλβῖδα μεσημβρίζουσαν ὁδεύων.
ὄφρα μὲν εὐθύρσοιο μάχης ἠκούετο φωνὴ
καὶ στρατὸς ἀγχικέλευθος ὀρεσσινόμου Διονύσου,
τόφρα δὲ Δηριάδης πυκινὸν λόχον ἵδρυεν Ἰνδῶν,
γαῖαν ἐς ἀντιπέραιαν ἑὸν στρατὸν ἄζυγα πέμπων,
πᾶσαν ἐπιτρέψας δολομήχανον ἐλπίδα χάρμης
Ἄρει χαλκοχίτωνι· καὶ ἔπλεεν ὑψόθι νηῶν
λαὸν ἐρετμώσας πεπερημένον Ἰνδὸν Ὑδάσπην.
καὶ στρατιαῖς διδύμῃσι μερίζετο φύλοπις Ἰνδῶν
ἀμφοτέρην παρὰ πέζαν ἀκοντοφόρου ποταμοῖο·
Θουρεὺς μὲν Ζεφύροιο παρὰ σφυρά, Δηριάδης δὲ
ἀντιπόρου σχεδὸν ἦλθε παρὰ πτερὸν αἴθοπος Εὔρου.
L1[O] ἦν δέ τις αὐτόθι χῶρος ἐύσκιος, ὁππόθι πυκνοῖς
ἔρνεσι παντοίοισιν ἐμιτρώθη ῥάχις ὕλης
εὐρυτενής, καὶ κοῖλον ἔην σπέος· ἱπτάμενος δὲ
οὔ ποτε δένδρεα κεῖνα κατέγραφεν ἰὸς ἀλήτης,
εἴ τις ὀιστεύσειε, καὶ οὔ ποτε μεσσόθι θάμνων
ἠέλιος πεφόρητο κατάσσυτος ὀξέι παλμῶι
ἐνδομύχοις ἀκτῖσιν ὁμόπλοκα φύλλα χαράξας,
οὐ χύσις ἠερόφοιτος ἐδύσατο δάσκιον ὕλην
ἐκ Διὸς ὑετίοιο, μόγις δέ οἱ ὕδατος ὁλκῶι
ὑψιφανὴς Διὸς ὄμβρος ἐπέβρεχεν ἄκρα πετήλων.
κεῖθι τανυπρέμνοισιν ἐν ἄλσεσι φώριος Ἄρης
ἠλιβάτων χλοεροῖσι φυτῶν κεκάλυπτο κορύμβοις,
ἀπροϊδής, ἀτίνακτος, ἐνὶ δρυόεντι δὲ κόλπωι
εἶχεν ἀδουπήτων πεφυλαγμένον ἴθμα πεδίλων,
οὐδὲ διαξαίνων κρυφίωι ποδὶ φυλλάδα λόχμην,
οὐ ποδὸς ὀκλάζοντος ἔχων φόβον, οὐ λάλον ἠχὼ
χείλεϊ βαμβαίνοντι, καὶ οὐ χλόον ἀμφὶ προσώπωι·
ἀλλὰ νόον θρασὺν εἶχε καὶ ἔμπεδον, ἐν δὲ χαμεύναις
μετρητὸν βλεφάροισιν ἐνόπλιον ὕπνον ἰαύων {...}
✦ δέγμενος ἐρχομένης στρατιῆς εὔρυθμον Ἐνυώ.

Ὣς φαμένη πατρῶιον ἐδύσατο φοίνιον ὕδωρ
Νηιὰς ὑδατόεσσα διάβροχος αἵματι Νύμφη.
αὐτὰρ ὁ βάρβαρα φῦλα παρ' ἠιόνας ἄορι τύπτων
εἰς προχοὰς ἔτρεψε· διωκόμενοι δὲ σιδήρωι
δυσμενέες κτείνοντο φόβωι στείνοντες Ὑδάσπην.
καὶ πολὺς ἐν ῥοθίοισι πόδας καὶ χεῖρας ἑλίσσων

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The twenty-first contains Earthshaker's wrath, and the man-breaking battle of Ambrosia, and the Indian ambush.

NONNUS
DIONYSIACA
BOOK 21

PREVIEW BOOK 23

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 345 lines 3.0
2L 1 - 345

PRINT 2-SIDED: **127** to **130**

Οὐδὲ Δρυαντιάδης προτέρης ἐπελήσατο χάρμης·
ἀλλὰ λαβὼν βουπλῆγα τὸ δεύτερον ἔνδοθι λόχμης
{…} ἔθνεα Βασσαρίδων διζήμενος. Ἀμβροσίῃ δὲ
δῶκε μένος καὶ θάρσος ἀρειμανὲς οὐράνιος Ζεύς,
ἣ τότε βακχευθεῖσα κατάσχετος οἴδματι λύσσης
μάρμαρον ἠέρταζε, καταιχμάζουσα Λυκούργου,
καὶ βριαρὴν τρυφάλειαν ἀπεστυφέλιξε κομάων.
αὐτὰρ ὁ θαρσήεις ἐπεμάρνατο μείζονι πέτρωι
τρηχαλέωι, καὶ στέρνα βοώπιδος ἤλασε Νύμφης·
οὐδέ μιν ἐπρήνιξε, χόλωι δ' ἀνενείκατο φωνήν·
"Ἆρες, ἄναξ πολέμοιο, πάτερ κρατεροῖο Λυκούργου,
αἰδόμενος σκοπίαζε τεὸν γόνον ἀντὶ Λυαίου
οὐτιδανὴν ἀσίδηρον ὀιστεύοντα γυναῖκα.
πόντος ἐμὸν βουπλῆγα βιάζεται· ἐν ῥοθίοις γὰρ
κρύπτετο μὲν Διόνυσος, ἐγὼ δ' ἄπρηκτος ὁδεύων
ἵξομαι εἰς ἐμὸν ἄστυ, πόνον δ' ἀτέλεστον ἀνήσω."
ἔννεπεν· Ἀμβροσίην δὲ μέσην γυιαλκέι δεσμῶι
χειρὶ λαβὼν ἐπίεζε· καὶ ἤθελε δεσμὰ καθάψαι,
οἷα δορικτήτην μετανάστιον εἰς δόμον ἕλκων,
παιδοκόμον Βρομίοιο φέρων θιασώδεα Νύμφην,
ἀμφιτόμωι βουπλῆγι μετάφρενα δούλια νύσσων.
οὐ δέ μιν ἱσταμένην ἀνεσείρασεν, οὐδέ ἑ λύθρωι
ἀρτιχύτωι φοίνιξεν ἀρασσομένοιο καρήνου·
ἀλλὰ φύγε θρασὺν ἄνδρα καὶ εὔξατο μητέρι Γαίηι
Ἀμβροσίη κροκόπεπλος, ὅπως Λυκόοργον ἀλύξηι.
L1[I] Γαῖα δὲ καρποτόκεια πετασσαμένη κενεῶνα
ἀμφίπολον Βρομίοιο φιλήτορι δέξατο κόλπωι
Ἀμβροσίην ζώουσαν· αἰστωθεῖσα δὲ Νύμφη
εἰς φυτὸν εἶδος ἄμειψε καὶ ἀμπελόεις πέλεν ὄρπηξ·
σειρὴν δ' αὐτοέλικτον ἐπιπλέξασα Λυκούργου
ἀγχονίωι σφήκωσεν ὁμόζυγον αὐχένα δεσμῶι,
μαρναμένη μετὰ θύρσον ἀπειλητῆρι κορύμβωι.
καὶ φυτὸν αὐδῆεν ζαμενὴς ποιήσατο Ῥείη
ἡμερίδων βασιλῆι χαριζομένη Διονύσωι·
Ἀμβροσίη δ' ὀλόλυξε καὶ ἔμπνοον ἴαχε φωνήν·
"οὐδέ, φυτόν περ ἐοῦσα, τεήν ποτε δῆριν ἀλύξω,
σὸν δέμας οὐτήσω καὶ ἐν ἔρνεσιν, ἀντὶ δὲ σειρῆς
χαλκείης ἀλύτοις σε περισφίγξαιμι πετήλοις·
εἰς σὲ καὶ ἀμπελόεσσα κορύσσομαι, ὄφρά τις εἴπηι·
'Βασσαρίδες κτείνουσι καὶ ἐν πετάλοισι φονῆας.'
φυταλιὰς πεφύλαξο μαχήμονας· ἀντιβίους γὰρ
ἡμερίδες βάλλουσι καὶ αἰχμάζουσιν ὀπῶραι.
σοὶ μαχόμην ζώουσα καὶ ὀλλυμένη σε δαμάσσω·
οὕτω ἀριστεύουσι Διωνύσοιο τιθῆναι.
◆ ἔκλυες εἰναλίην ἐχενηίδα, πῶς ἐνὶ πόντωι
ἰχθὺς βαιὸς ἄναλκις ἐπέχραε πολλάκι ναύταις
ἂψ ἀνασειράζων, ὀλίγωι δ' ὑπὸ χάσματι λαιμοῦ
μηκεδανὴν ἀνέκοψε κατάσχετον ὁλκάδα δεσμῶι;
δέξό με χερσαίην ἐχενηίδα, δέξο πετήλων
αὐτοπέδην ἀσίδηρον ἐρισταφύλοιο κυδοιμοῦ.

113 (64C) Ἀσσύριος Φαέθων ἐνὶ Περσίδι· Δηριάδης γὰρ
οὐ μάθεν οὐρανίων μακάρων χορόν, οὐδὲ γεραίρει
Ἠέλιον καὶ Ζῆνα καὶ εὐφαέων χορὸν ἄστρων.
οὐ Κρόνον, οὐ Κρονίδην ἐδάην ὀλετῆρα τοκῆος,
οὐ Κρόνον ἀγκυλόμητιν, ἑῶν θοινήτορα παίδων,
Αἰθέρος ἀμήσαντα φυτοσπόρον ἑσμὸν Ἐρώτων.
ἀγνώσσω σέο δῶρα καὶ ἣν ὀνόμηνας ὀπώρην·
οὐ δέχομαι ποτὸν ἄλλο μετὰ χρύσειον Ὑδάσπην·
οἶνος ἐμὸς πέλεν ἔγχος, ὁ δ' αὖ πότος ἐστὶ βοείη.
οὐ Σεμέλη με λόχευσε πυριβλήτοις ὑμεναίοις
δεξαμένη θαλάμοις φόνιον φλόγα, χαλκοχίτων δὲ
ἡμέας ἠέξησε μόθων ἀκόρητος Ἐνυώ.
οὐ μακάρων ἀλέγω τεκέων Διός· ἀμφότεροι γὰρ
μοῦνοι ἐμοὶ γεγάασι θεοὶ καὶ Γαῖα καὶ Ὕδωρ.
ταῦτα μολὼν ἀγόρευε φυγοπτολέμωι Διονύσωι·
ἔρρε φυγὼν ἀκίχητος, ἕως ἔτι τόξον ἐρύκω,
ἔρρε φυγὼν ἐμὸν ἔγχος· ἐς ὑσμίνην δὲ κορύσσας
ἡμιτελεῖς σέο θῆρας ἀθωρήκτους τε γυναῖκας
Δηριάδηι πολέμιζε, καὶ Ἰνδωιην μετὰ νίκην
σύνδρομον αὖ ἐρύσω σε δορικτήτω Διονύσωι.
οὐ μὲν ἐγὼ τελέσω σε διάκτορον· οὐ δύνασαι γὰρ
λάτριον ἔργον ἔχειν οἰκοσσόον· ἀλλά σε μακροῖς
οὔασι ῥιπίζοντα παρ' εἰλαπίνῃσιν ἐάσω."
ὣς εἰπὼν ἀπέπεμψεν ἀπειλείοντι προσώπωι·
καὶ πίνακος πτυκτοῖο μέσον κενεῶνα χαράξας
τοῖον ἔπος ταχύμυθος ἐπέγραφε δίζυγι δέλτωι· @ L1[I]
"εἰ δύνασαι, Διόνυσε, κορύσσεο Δηριαδῆι."
τοῖα μὲν εἰσαΐων πάλιν ἔδραμεν ἠχέτα κῆρυξ.
Σειληνοὺς δ' ἐκίχησε γεγηθότας· ἐξανιὼν δὲ
ἐκ ῥοθίων Διόνυσος Ὀρειάσι μίγνυτο Νύμφαις·
καὶ Σάτυροι σκίρτησαν, ἐπωρχήσαντο δὲ Βάκχαι,
2 (1C) γηραλέοις δὲ πόδεσσι Μάρων ἡγήσατο μολπῆς
πῆχυν ἐπικλίνων διδυμάονος αὐχένι Βάκχης
μεσσοφανής, εὔοδμον ἀναβλύζων χύσιν οἴνου·
καὶ μέλος ἀκρήδεμνος ἐπεσμαράγησε Μιμαλλών,
ἴχνιον ἀείδουσα παλιννόστου Διονύσου.
καὶ θεὸς ἀμπελόεις προτέρας ἔρριψε μερίμνας,
τερπωλῆς δ' ἐπέβαινεν, ἐπεὶ μάθεν ἔνδοθι πόντου
2 πάντα Τορωναίοιο παρὰ Πρωτῆος ἀκούων,
ἀξείνων Ἀράβων ἐνοσίχθονα παλμὸν ἀρούρης,
καὶ σφαλερὸν Λυκόοργον ἑῶι ποδὶ τυφλὸν ἀλήτην·
ἔκλυε καὶ νομίης θανατηφόρον οἶστρον ἀνάγκης,
πῶς χορὸς ἀγρονόμων ἐλελίζετο, πῶς ἐνὶ βήσσαις
σφωιτέρας ὠδῖνας ἐδαιτρεύσαντο γυναῖκες·
ἔκλυε δ' αἰθερίων Ὑάδων χορόν, ἔκλυεν αὐτὴν
Ἀμβροσίην μετὰ γαῖαν ἐπαντέλλουσαν Ὀλύμπωι,
Ἀμβροσίην ἀκάμαντι κορυσσομένην Λυκοόργωι,
καὶ μόθον εὐόρπηκα καὶ ἀμπελόεσσαν Ἐνυώ.
τοῖσι δὲ τερπομένοισι παλίνδρομος ἤιε κῆρυξ,
ἀσκηθὴς πολύευκτος ἀγαλλομένωι Διονύσωι,

τόφρα δὲ Καυκασίοιο δι' οὔρεος εἰς πόλιν Ἰνδῶν 114 (65C)
Nonnus οἰνοφύτου Βρομίοιο ποδήνεμος ἵκετο κῆρυξ
ταυροφυής, νόθον εἶδος ἔχων κεραελκέι μορφῆι,
ἀντίτυπον μίμημα Σεληναίηισι κεραίαις,
αἰγὸς ὀρεσσινόμοιο περὶ χροῒ δέρμα συνάψας,
αὐχενίηι κληῖδι καθειμένον ἐξ ἑνὸς ὤμου,
δεξιτεροῦ πλευροῖο κατήορον εἰς πτύχα μηροῦ,
ἀμφοτέρης ἑκάτερθε παρηΐδος οὔατα σείων,
ὡς ὄνος οὐατόεις, λάσιος δέμας· ἐκ μεσάτης δὲ
ἰξύος αὐτοέλικτος ἐσύρετο σύγγονος οὐρή.
ἀμφὶ δέ μιν γελόωντες ἐπέρρεον αἴθοπες Ἰνδοί,
εἰσόκεν ἐγγὺς ἵκανεν, ὅπηι διδυμόζυγι δίφρωι
ἕζετο Δηριάδης περιμήκετος, ὄρχαμος ἀνδρῶν,
ἠλιβάτων στατὸν ἴχνος ἀναστέλλων ἐλεφάντων.
καὶ Σατύρωι γελόων φιλοκέρτομον ἴαχε φωνήν·
"οἵους Δηριάδηι διδυμόχροας ἄνδρας ἰάλλει
ταυροφυὴς Διόνυσος, ἀθύρματα δηιοτῆτος,
ἀλλοφυεῖς, οὐ φῶτας ὅλην βροτοειδέα μορφήν,
θηρῶν εἶδος ἔχοντας, ἐπεὶ διδυμάονι μορφῆι
εἰσὶ νόθοι ταῦροί τε καὶ ἀνέρες· ἀμφότερον γὰρ
καὶ βοὸς εἶδος ἔχουσι καὶ ἀνδρομέοιο προσώπου."
καὶ πυρόεις σέο Βάκχος ἀκούεται, ὅττι τεκούσης
ἐκ λαγόνων ἀνέτελλε Διοβλήτοιο Θυώνης·
καὶ πυρός ἐστιν ὕδωρ πολὺ φέρτερον· ἢν ἐθελήσηι,
χεύματι παφλάζοντι πατὴρ ἐμός, Ἰνδὸς Ὑδάσπης,
L2[O] Ζηνὸς ἀποσβέσσειε πυρίπνοον ἄσθμα κεραυνοῦ.
ἔννεπε, καὶ πολέμοιο προάγγελα σήματα φαίνων
ἀσπίδα ποικιλόνωτον ἀφειδέι τύψε μαχαίρηι
μεσσοφανῆ περίκυκλον ἐς ὀμφαλόν· ἐκ δὲ βοείης
χαλκὸς ἀρασσομένης ἐπεβόμβεε λοίγιον ἠχώ.
καὶ βλοσυρῶι βασιλῆι τεθηπότα χείλεα λύσας
ἀγγελίην Βρομίοιο ταχύδρομος ἔννεπε κῆρυξ· 3 (2C)
"Δηριάδη, σκηπτοῦχε, θεὸς Διόνυσος ἀνώγει
Ἰνδοὺς δεχνυμένους λαθικηδέος οἶνον ὀπώρης
σπένδειν ἀθανάτοισι, δίχα πτολέμων, δίχα μόχθων·
εἰ δέ κε μὴ δέξαιντο, κορύσσεται, εἰσόκε θύρσοις
Βασσαρίδων γόνυ δοῦλον ὑποκλίνειεν Ὑδάσπης.
ἀγγελίης ἤκουσας ἀληθέος· εἰπὲ καὶ αὐτὸς
εἰρομένωι τινὰ μῦθον, ἵν' ἀγγείλω Διονύσωι." 3
ὣς φαμένου σκηπτοῦχος ἀνήρυγε λυσσάδα φωνήν·
"ὢ πόποι, οἷον ἔπος θρασὺς ἔννεπεν ἀνδρόμεος θήρ.
αἰδέομαι κήρυκα μαχήμονι χειρὶ δαμάσσαι,
οὐ δόρυ θοῦρον ἔχοντα καὶ οὐ ψαύοντα βοείης.
ἔκλυον, ὅσσα μόγησε τεὺς πρόμος· ἔκλυε Γάγγης
◆ ἀδρανίην Βρομίοιο καὶ ἠνορέην Λυκοόργου·
οἶδα τεὸν βασιλῆα, νόθον θεόν, ὁππότε φεύγων
εἰς βυθὸν ὠλίσθησεν ἀλεξικάκοιο θαλάσσης.
ἢν δ' ἐθέλῃς, πόδα κάμψον ὁμούριον εἰς χθόνα Μήδων·
κεῖθι μολὼν ἀγόρευε χοροστασίας Διονύσου.
δύεο Βάκτριον οὖδας, ὅπηι θεὸς ἔπλετο Μίθρης,

μίμνέ μοι, αὐτόθι μίμνε δεδεγμένος υἷα Θυώνης,
εἰσόκε νοστήσειε θαλασσαίων ἀπὸ κόλπων." Nonnus
τοῖα μὲν ἀμπελόεσσα κορυμβοφόρωι φάτο φωνῆι
Ἀμβροσίη τανύφυλλος, ἀρασσομένοιο Λυκούργου·
καὶ χλοεροῖς δεσμοῖσι κατάσχετος ἄγριος ἀνὴρ
ἀρραγέων ἀτίνακτος ἀλυκτοπέδηισι πετήλων
ἀμφιπαγὴς ἀλάλαζεν ἀπειλείων Διονύσωι·
οὐδὲ φυγεῖν σθένος εἶχε, μάτην δ' ἐτίνασσεν ἀνάγκηι
οὐτιδαναῖς ἑλίκεσσι περίπλοκον ἀνθερεῶνα·
οὐδὲ δι' ἀσφαράγοιο μέση πορθμεύετο φωνὴ
θλιβομένου στεφανηδόν· ἐκυκλώσαντο δὲ Βάκχαι
αὐχένα μιτρωθέντα μέσον πνικτῆρι κορύμβωι.
καὶ πέλεκυν δασπλῆτα δορυσσόος ἥρπασεν Ἄρης
παιδὸς ἑοῦ· Βρομίην γὰρ ἐδείδιε λυσσάδα Βάκχην,
μὴ φονίωι βουπλῆγι δέμας πλήξειε Λυκούργου·
οὐδὲ Δρυαντιάδην χλοερῶν ἀπελύσατο δεσμῶν,
καὶ μάλα περ ποθέων, στεροπῆι δ' ὑπόειξε τοκῆος
δοῦπον ἀπειλητῆρα Διὸς βρονταῖον ἀκούων.
καὶ δολιχὴν προθέλυμνον ἐπιπροχυθεῖσα καρήνωι
ἀνδρὸς ἀμαιμακέτοιο κόμην ὤλοψε Πολυξώ·
γαστέρι δ' ἀντιβίου μανιώδεα χεῖρα βαλοῦσα,
ἁπτομένη θώρηκος, ἀνέσπασεν ἅρπαγι παλμῶι,
χωομένη δ' ἔρρηξε — μαχήμονες, εἴπατε, Μοῦσαι,
θηλυτέροις ὀνύχεσσι, σιδηρείου περ ἐόντος —· down 1
οἷον ἔην τότε θαῦμα δαϊζομένοιο χιτῶνος
καὶ ταναοῖς πλέξασα λύγοις ἑλικώδεα σειρὴν L2[O]
Κλείτη λυσιέθειρα καὶ ἀμπελόεσσα Γιγαρτὼ
εὐπετάλωι μάστιγι δέμας φοίνιξε Λυκούργου
αἱμαλέηι σμώδιγγι χαρασσομένων ἐπὶ νώτων·
Φλειὼ δ' εὐρυτέρηισι κατέγραφε ταρσὸν ἀκάνθαις
αἰνομανής· Ἐρίφη δὲ συνέμπορος Εἰραφιώτηι
δραξαμένη μέσσοιο δασύτριχος ἀνθερεῶνος
ἄνδρα βαλεῖν μενέαινεν ἐπὶ χθονί· μαρναμένη δὲ
Βακχείης Φασύλεια κυβερνήτειρα χορείης
δυσμενέος κενεῶνα κατέγραφεν ὀξέι κέντρωι·
καὶ Θεόπη κεκόρυστο, τιθηνήτειρα Λυαίου,
ῥινοτόρωι νάρθηκι· δέμας δ' ἤρασσε Λυκούργου
καὶ Βρομίη Βρομίοιο φερώνυμος· αἷς ἅμα Νύμφη
Κισσηὶς φιλόβοτρυς ἐμάστιεν ἀνέρα κισσῶι.
καὶ πολέμωι δρυόεντι βιαζομένου Λυκοόργου
πῆμα φάνη πάλιν ἄλλο κακώτερον· Ἀρραβίηι γὰρ
πόντιον ἐννοσίγαιον ὀρεστιὰς ὤπλισε Ῥείη,
σχιζομένων καναχηδὸν ἀκοντιστῆρα θεμέθλων·
καὶ δαπέδου βαθύκολπον ἀπεστυφέλιξεν ὀχῆα
αἰχμάζων τριόδοντι θαλασσομέδων ἐνοσίχθων,
ἐνδομύχοις ἀνέμοισιν ἱμασσομένων κενεώνων,
γειοπόνοις ἀνέμοισιν, ἐπεὶ νωμήτορι παλμῶι
χάσματα κοιλαίνουσι σεσηρότα φωλάδες αὖραι·
Ἀρραβίης δ' ἀτίνακτος ἐσείετο κόλπος ἀρούρης,
ἀγχινεφῆ δὲ μέλαθρα τινάκτορι λύετο παλμῶι·

καὶ δρύες εἰς χθόνα πῖπτον, ἀρασσόμενος δὲ τριαίνηι
Νύσιος ἀμφιέλικτος Ἄραψ ὠρχήσατο πυθμήν·
καὶ πτελέη χθονὶ κεῖτο, κόμην δ᾽ ἐκονίσσατο δάφνη,
καὶ πίτυς αὐτόρριζος ἐκέκλιτο γείτονι πεύκηι.
ὄφρα μὲν ἐννοσίγαιος, ὑπὸ χθόνα λάβρος ἀήτης,
νερτερίων κευθμῶνα μετερρίζωσεν ἐναύλων,
τόφρα πέλεν κακὸν ἄλλο νεώτερον· ὑλονόμοι γὰρ
θεινόμεναι μάστιγι δρακοντοκόμοιο Μεγαίρης
Νυσιάδες ταυρηδὸν ἐμυκήσαντο γυναῖκες,
σφωιτέρων τεκέων δηλήμονες· ἐσσυμένη δὲ
ἡ μὲν ἀνηκόντιζεν ἐς ἠέρα κοῦρον ἀλήτην
ἠερόθεν προκάρηνον ὀλισθήσαντα κονίηι,
ἡ δὲ φίλον βρέφος εἷλκε, καὶ οὐκ ἐμνήσατο μαζοῦ·
ἄλλη παιδοφόνωι παλάμην φοίνιξε σιδήρωι
υἱέα δαιτρεύσασα, καὶ ἔπλετο μαινὰς Ἀγαύη.
καὶ σφετέροις τεκέεσσιν ἐπέδραμον, ἀρτιτόκους δὲ
υἱέας, οὓς ἐλόχευσαν, ἐμιστύλλοντο μαχαίρηι
{…} ἄλλος ὑποπτήσσων μανιώδεα Πανὸς ἱμάσθλην
εἰς ἐνοπὴν ἄγραυλον Ἄραψ βακχεύετο ποιμήν.
τοῖα μὲν οἰστρήεντι δόλωι κυμαίνετο βούτης
δαιτρεύων ἑὰ τέκνα, καὶ υἱέας εἰλαπινάζων
παιδοβόροις γενύεσσι· νοοσφαλέων δὲ βοτήρων
ἄτροφον ἀρσενόπαιδα τόκον τυμβεύσατο γαστήρ
{…} Νυμφάων παλάμηισι· πολυγνάμπτοις δὲ πετήλοις
ἀμφιπαγὴς πεπέδητο, καὶ οὐ γόνυ κάμψε Λυαίωι,
οὐ Διὶ χεῖρα τίταινεν, ἀλεξήτειραν ἀνάγκης,
οὐ βροντῆς φόβον εἶχεν· ἀπειλήσας δὲ προσώπωι
χώετο Βασσαρίδεσσιν· ἐπεσσυμένην δὲ καρήνωι
ἀστεροπὴν ἐνόησε, καὶ οὐχ ὑπόειξε Λυαίωι.
βάλλετο δ᾽ ἔνθα καὶ ἔνθα, πολυσπερέων δὲ βολάων
τοσσατίην ἔστηκε μένων ἀντίξοον ὁρμήν,
Ἄρεα μοῦνον ἔχων χραισμήτορα, μοῦνος ἐρίζων
Ζηνί, Ποσειδάωνι, Ῥέηι, Χθονί, Νηρέι, Βάκχωι.
καὶ μογέων ἀχάλινον ἀπερροίβδησεν ἰωήν·
“ἅψατε πῦρ, φλέξωμεν ὅλον φυτόν, ἐν πυρὶ κείσθω
Βακχικὰ ταῦτα πέτηλα, καὶ αἰθομένας διὰ πόντου
ἡμερίδας ῥίψωμεν ὑποβρυχίωι Διονύσωι,
ἠνορέης Ἀράβων σημήιον· ἀλλὰ καὶ αὐτὴ
δεξαμένη κατὰ κῦμα Θέτις πυρίκαυτον ὀπώρην
τέφρην ἀμπελόεσσαν ἀποσβέσσειε θαλάσσηι.
λύσατε φάσματα ταῦτα καὶ αἰόλα μάγγανα δεσμῶν·
μάγγανα Νηρεΐδων Ποσιδήια ταῦτα δοκεύω·
λύσατε, καὶ ῥοθίοις με πελάσσατε· μαντιπόλωι γὰρ
Πρωτέι φαρμακόεντι κορύσσομαι· ἅψατε πεύκην,
◆ ὄφρα μολὼν παρὰ πόντον ἐμῶι ποινήτορι θυμῶι
ξεινοδόκον Βρομίοιο καταφλέξωι Μελικέρτην.”
εἶπεν ἀπειλείων καὶ Νηρέι καὶ Διονύσωι. {…}
Ἀρραβίης σχεδὸν ἦλθεν· Ἐνυαλίου δὲ καμόντα
υἱέα δενδρήεντος ἀνεζώγρησε κυδοιμοῦ
Ἄρεος ἆορ ἔχουσα σιδήρεον, ἀμφὶ δὲ Βάκχαις
δαιμονίης γύμνωσε σελασφόρα νῶτα μαχαίρης,
εἰς φόβον αἰθύσσουσα Κυβηλίδα θῆλυν Ἐνυώ·
Ἀμβροσίης δὲ πέτηλα διατμήξασα σιδήρωι
δεσμοὺς βοτρυόεντας ἀπεσφήκωσε Λυκούργου.
καὶ χθονὸς ἐπρήυνε τινάκτορα κυανοχαίτην
γνωτὸν ἐὸν καὶ Ζῆνα πόσιν καὶ μητέρα Ῥείην,
ῥυσαμένη Λυκόοργον, ὅπως ἐναρίθμιος εἴη
ἀθανάτοις· Ἄραβες δὲ πολυκνίσων ἐπὶ βωμῶν,
ὡς θεόν, υἷα Δρύαντος ἐμειλίξαντο θυηλαῖς,
ἀντὶ Διωνύσοιο μελιρραθάμιγγος ὀπώρης
λύθρον ἐπισπένδοντες ἀβακχεύτωι Λυκοόργω.
καὶ τὰ μὲν ὡς ἤμελλε γέρων χρόνος ὀψὲ τελέσσαι·
Ζεὺς δὲ πατήρ, ἵνα μή τις ἀγηνορέων βροτὸς ἀνὴρ
ἄλλος ἔχων μίμημα δορίθρασέος Λυκοόργου
μῶμον ἀναστήσειεν ἀμωμήτωι Διονύσωι,
αἰνομανῆ Λυκόοργον ἐθήκατο τυφλὸν ἀλήτην,
ἄστεος ἀγνώστοιο παλινδίνητον ὁδίτην,
πομπὸν ἀναγκαίης διζήμενον ἀτραπιτοῖο,
πολλάκις αὐτοκέλευθα περιπταίοντα πεδίλοις.
καὶ τὰ μὲν ἐν σκοπέλοισιν. Ἐρυθραίωι δ᾽ ἐνὶ πόντωι
θυγατέρες Νηρῆος ἔσω βαθυκύμονος αὐλῆς
εἰναλίηι Διόνυσον ἐμειλίξαντο τραπέζηι·
καὶ Σεμέλης ῥίψασα Διιπετέος φθόνον εὐνῆς,
οἰνοφύτωι θρασὺν ὕμνον ἀνακρούουσα Λυαίωι,
μαῖα Διωνύσοιο μελίζετο, ποντιὰς Ἰνώ·
καὶ Βρομίωι γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων
σύντροφος ἰσοέτηρος ἐωινοχόει Μελικέρτης.
ὣς ὁ μὲν αὐτόθι μίμνεν ἔσω βαθυκύμονος αὐλῆς
πόντον ἔχων πλατὺν οἶκον, ὑποβρύχιος μετανάστης·
καὶ Θέτιδος βρυόεντι χυθεὶς ἐπεκέκλιτο κόλπωι·
Καδμείην δ᾽ ἀκόρητος ἑὴν εὔπαιδα τιθήνην
αὐτοκασιγνήτην προσπτύξατο μητέρος Ἰνώ,
καὶ φιλίωι πήχυνε Παλαίμονα πολλάκι δεσμῶι
σύντροφον ἰσοέτηρον. ἀδουπήτωι δὲ πεδίλωι
οὐκέτι πουλυέλικτον ἀνακρούουσα χορείην,
Βάκχου μὴ παρεόντος, ἀνεπτοίητο Μιμαλλὼν
ἴχνια μαστεύουσα θαλασσοπόροιο Λυαίου·
καὶ Σάτυρος φιλόμοχθος ἔχων ἀγέλαστον ὀπωπὴν
ξείνωι πένθεϊ κάμνεν, ὀριπλάγκτοισι δὲ χηλαῖς
ἔτρεχον οἰστρήεντες ἀνὰ δρυμὰ Πᾶνες ἀλῆται,
Πᾶνες, ἐρευνητῆρες ἀκηρύκτου Διονύσου·
Σειληνὸς δ᾽ ἀχόρευτος, ἀκηδέα κύμβαλα ῥίψας,
κεῖτο κατηφιόων· Κρονίη δ᾽ ἐλελίζετο Νύμφη
Μάκρις ἀπενθήτοιο Διωνύσοιο τιθήνη,
Βακχείης ὁμόδιφρος ἐυκνήμιδος ἀπήνης.
ὣς οἱ μὲν δεδόνηντο κατηφέες· ἀχνυμένοις δὲ
Σκέλμις ἀκυμάντοιο λιπὼν κευθμῶνα θαλάσσης
πατρῴην ἀδίαντον ἑὴν ἤλαυνεν ἀπήνην,
νόστον ἐπερχομένοιο προαγγέλλων Διονύσου.
ὄφρα μὲν ἄμφεπε Βάκχος ἀλίτροφα δεῖπνα τραπέζης,

Nonnus

καί σφιν ἅμα χραίσμησε συνέμπορος υἱέι μήτηρ,
εἰσέτι κυδαίνουσα λεχώια δένδρεα Λητώ.
Βασσαρίδων δὲ φάλαγγα κορυμβοφόρους τε γυναῖκας
ἐκ βυθίου ῥύσαντο πολυφλοίσβοιο κυδοιμοῦ
θυγατέρες Κύδνοιο, φιλοζεφύρου ποταμοῖο,
πλωτὸν ἐπιστάμεναι διερὸν δρόμον, ἃς ἐπὶ νίκηι
Ἄρεος Ἰνδῴοιο πατὴρ δωρήσατο Βάκχωι,
Νηιάδας πολέμοιο δαήμονας, ἅς ποτε χάρμην
μαρνάμενος Κρονίωνι Κίλιξ ἐδίδαξε Τυφωεύς.
καὶ στρατὸς ὡμάρτησεν ὁμόστολος· ἐσσυμένους δὲ
Εὔιος ἔφθασε πάντας, ὀρεσσαύλων ἐπὶ δίφρων
ἄξονος ἀβρέκτοιο διαξύων ῥόον ὁλκῶι·
καὶ Σατύρων δρόμον εἶχεν ὁμόστολον, οἷς ἅμα Βάκχαι
ὑγροπόροι καὶ Πᾶνες ὁμήλυδες· ἔξοχα δ' ἄλλων
ὠκύτεροι Τελχῖνες ἁλιτρεφέων ὑπὲρ ἵππων,
πατρῴιης ἐλατῆρες ἁλικρήπιδος ἀπήνης,
εἰς δρόμον ὡμάρτησαν ἐπειγομένωι Διονύσωι.
ἄλλοι δ' ἦσαν ὄπισθεν, ἐπεσσεύοντο δὲ πορθμῶι
ἐξ ἑτέρης ἀνιόντες ἀθηήτοιο κελεύθου,
ἧχι θεὸς πόμπευεν· ἐπεὶ πτερὸν ἠρέμα πάλλων
αἰετὸς ἡγεμόνευε δι' οὔρεος ἀντίτυπος Ζεύς,
φειδομένοις ὀνύχεσσι μετάρσιον υἷα κομίζων,
Αἰακὸν ἠερίηι πεφορημένον ὕψι κελεύθωι.
Ἰνδῴηι δ' ἐχόρευον ἐπισκαίροντες ἐρίπνηι,
καὶ σκοπέλους ἐδίωκον, ἐναυλίζοντο δὲ λόχμαις,
καὶ κλισίας πήξαντες ἐς ἠρέμα δάσκιον ὕλην {…}
L1[O] οἱ δὲ τανυκραίρων ἐλάφων κεμαδοσσόον ἄγρην
εἶχον ἅμα σκυλάκεσσιν· Ἀμαδρυάδεσσι δὲ Νύμφαις
Ὑδριάδες μίσγοντο φιλοπτόρθου Διονύσου.
Βασσαρίδων δὲ φάλαγγες Ἐρυθραίηι παρὰ λόχμηι
σκύμνον ὀρεσσαύλοιο τιθηνήσαντο λεαίνης,
αὐτοχύτου δὲ γάλακτος ἀνέβλυον ἰκμάδα μαζοί·
ἄλλη ἐχιδναίοιο πόθον μεθέπουσα κορύμβου
ἰοβόλων μάστευε δι' οὔρεος ἄντρα δρακόντων,
θηροσύνην δ' ἀνέφαινεν· ἀκοντιστῆρι δὲ θύρσωι
ἡ μὲν νεβρὸν ἔβαλλεν ἀελλόπον· ἡ δὲ λαθοῦσα
ἅλματι λυσσήεντι κατέδραμε λυσσάδος ἄρκτου·
ἡ δὲ μελαρρίνων ῥαχίης ἐδράξατο θηρῶν
καὶ λοφίης ἐπέβαινεν ὀρεσσινόμων ἐλεφάντων.
καί τις ὀιστοβόλων βέλος ἥρμοσε κυκλάδι νευρῆι
καὶ πτελέην τόξευεν· ὁ δὲ σκοπὸν εἶχεν ἐλαίην·
καὶ πίτυν ἄλλος ἔβαλλε· πολὺς δ' ἐπὶ γείτονα πεύκην
πεμπομένων σύριζεν ἐν ἠέρι ῥοῖζος ὀιστῶν.
τοῖσι μὲν ἔβρεμε κῶμος ὀρίκτυπος. ἀχνύμενος δὲ
Δηριάδηι βασιλῆι δυσάγγελος ἵκετο Θουρεύς,
δάκρυσιν ἀφθόγγοισιν ἀπαγγέλλων φόνον Ἰνδῶν,
καὶ μόγις ἐκ στομάτων ἀνενείκατο πενθάδα φωνήν·
"Δηριάδη σκηπτοῦχε, θεηγενὲς ἔρνος Ἐνυοῦς,
◆ ἤιομεν, ὡς ἐκέλευσας, ἐς ἀντιπέραιαν ἐρίπνην,
εὕρομεν ἐν βήσσηισιν ἐρημάδα γείτονα λόχμην·
κεῖθι λόχον στήσαντες ἐμίμνομεν, εἰσόκεν ἔλθηι

◆ row of last line.

simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

Argument

The twenty-second celebrates the battle and feats of Bromios, all the deeds of Aiacos both on the plain and in the Hydaspes.

NONNUS

DIONYSIACA

BOOK 22

PREVIEW BOOK 24

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 🇺🇸 401 lines 3.0
3L 1 - 401

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: **131** to **136**

Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυκροκάλου ποταμοῖο
Βάκχου πεζὸς ὅμιλος, ὅπηι βαθυδίνεϊ πόλπωι
πλωτὸν ὕδωρ, ἅτε Νεῖλος, ἐρεύγεται Ἰνδὸς Ὑδάσπης,
δὴ τότε Βασσαρίδων ἐμελίζετο θῆλυς ἀοιδὴ
καὶ λασίων Σατύρων χορὸς ἔβρεμε μύστιδι φωνῆι·
Νυκτελίωι Φρύγα κῶμον ἀνακρούουσα Λυαίωι,
γαῖα δὲ πᾶσα γέλασσεν, ἐμυκήσαντο δὲ πέτραι,
Νηιάδες δ' ὀλόλυξαν, ὑπὲρ ποταμοῖο δὲ Νύμφαι
σιγαλέοις ἑλικηδὸν ἐμιτρώσαντο ῥεέθροις
καὶ Σικελῆς ἐλίγαινον ὁμόζυγα ῥυθμὸν ἀοιδῆς,
οἷον ἀνεκρούοντο μελιγλώσσων ἀπὸ λαιμῶν
ὑμνοπόλοι Σειρῆνες· ὅλη δ' ἐλελίζετο λόχμη,
καὶ μέλος ἐφθέγξαντο σοφαὶ δρύες εἴκελον αὐλῶι,
Ἁδρυάδες δ' ἀλάλαζον, ἐπ' εὐπετάλοιο δὲ Νύμφη
ἡμιφανὴς ἤειδεν ὑπερκύψασα κορύμβου.
χιονέωι δὲ γάλακτι χυτὴ λευκαίνετο πηγή,
ὑδρηλή περ ἐοῦσα, χαραδραίωι δ' ἐνὶ κόλπωι
Νηιάδες λούσαντο γαλαξαίοισι ῥεέθροις,
καὶ γάλα λευκὸν ἔπινον· ἐρευθιόωντι δὲ μαζῶι
οἶνον ἐρευγομένη κραναὴ πορφύρετο πέτρη,
γλεῦκος ἀμοσχεύτοιο διαβλύζουσα κολώνης
ἡδυπότοις λιβάδεσσι· καὶ αὐτοχύτων ἀπὸ κόλπων
λαρὰ μελιρραθάμιγγος ἐλείβετο δῶρα μελίσσης,
σίμβλων οὐ χατέοντα· καὶ ἀρτιτόκων ἀπὸ θάμνων
ἄγχνοον ὀξυέθειρος ἀνέδραμε μῆλον ἀκάνθης·
αὐτομάτου δὲ χυθέντος ἐπ' ἀκρεμόνεσσιν ἐλαίου
ἰκμάσιν ἀθλιβέεσσιν ἐλούετο δένδρον Ἀθήνης.
καὶ κύνας ὀρχηστῆρας ἐπηχύνοντο λαγωοί·
μηκεδανοὶ δὲ δράκοντες ἐβακχεύοντο χορείηι
ἴχνια λιχμώοντες ἐχιδνοκόμου Διονύσου,
αὐχένα δοχμώσαντες, ἀνήρυγε δ' ἄλλος ἐπ' ἄλλωι
μειλίχιον σύριγμα γεγηθότος ἀνθερεῶνος·
τερπομένου δὲ δράκοντος ἔην τότε ῥυθμὸς ἐχέφρων,
καὶ δολιχῆς ἐλέλικτο περίπλοκος ὁλκὸς ἀκάνθης
ποσσὶν ἀδειμάντοισι περισκαίρων Διονύσου·
Ἰνδώιην δ' ἑλικηδὸν ἐπισκαίροντες ἐρίπνην
τίγριδες ἐψιόωντο· πολὺς δέ τις ἔνδοθι λόχμης
ἐσμὸς ἀνεσκίρτησεν ὀρεσσινόμων ἐλεφάντων.
καὶ τότε παιπαλόεντα κατ' ἄγκεα Πᾶνες ἀλῆται
δύσβατα λεπταλέηισι διέτρεχον οὔρεα χηλαῖς
φρικτά, τὰ μὴ θρασὺς ὄρνις ἐπέπτατο κοῦφος ὁδίτης
ὑψιπόρων πτερύγων διεμέτρεε δίζυγι παλμῶι.
καὶ δονέων πλοκαμῖδα παρήορον ἀνθερεῶνος
σύννομος ἀντεχόρευε λέων βητάρμονι κάπρωι·
ἀνδρομέης δ' ὄρνιθες ἀνέκλαγον εἰκόνα μολπῆς
μιμηλὴν ἀτέλεστον ὑποκλέπτοντες ἰωήν,
νίκην Ἰνδοφόνοιο προθεσπίζοντες ἀγῶνος.
καὶ χλοεροῖς μελέεσσι παρήορον ὄρθιον οὐρὴν
ἐκταδὸν αἰθύσσοντες· ὁμοζήλωι δὲ χορείηι
πόρδαλις ὑψιπότητος ἐπέτρεχε σύνδρομος ἄρκτωι.

ὑμετέρου δὲ γέραιρε Λάμου κουροτρόφον ὕδωρ·
μνώεο Μαιονίης σέο πατρίδος· ὑμετέρου γὰρ
Πακτωλοῦ χαρίεντος ἀδελφεός ἐστιν Ὑδάσπης.
καὶ σὺ τόσοις ποταμοῖσι μίαν χάριν ἄρτι τιταίνων,
γνωτοῖς ἡμετέροισι, τεὴν ἀνασείρασον αἴγλην·
μηδὲ πυρὶ φλέξηις ὑδάτων χύσιν· ἐξ ὑδάτων γὰρ
ἀστεροπὴ βλάστησε, τεοῦ Διὸς ὑέτιον πῦρ.
ἀλλὰ χόλον πρήυνε, τεοῖς ὅτι γούνασι πίπτω
μειλίχιον στορέσας ἱκέτην ῥόον· ἐν πολέμοις γὰρ
εἰ θρασὺν αὐχένα κάμπτε, καὶ ἤπιος ἔσκε Τυφωεύς,
καί κεν ἀπορρέψας παλινάγρετον ὄγκον ἀπειλῆς
ἀστεροπὴν ἀνέκοπτε πατὴρ τεός, ὑψιμέδων Ζεύς."
ὣς φαμένου Διόνυσος ἑὴν ἀνεσείρασε πεύκην.
καὶ προχοὰς Ἀρκτῷος ἀνερρίπιζεν ἀήτης
χειμερίηι μάστιγι, φέρων δυσπέμφελον αὔρην,
χεῦμα πυριβλήτοιο καταψύχων ποταμοῖο,
Ἠέλιον καὶ Βάκχον ὁμοῦ καὶ Ζῆνα γεραίρων,
καὶ ῥοθίων ἄσβεστον ἀπέσβεσε δαιμόνιον πῦρ.
ὄφρα μὲν εἰσέτι Βάκχος ἐπέπλεεν ὑγρὸν Ὑδάσπην,
τόφρα δέ, θάρσος Ἄρηος ἔχων, περιμήκετον ὁρμὴν
Δηριάδης ἐπὶ δῆριν ἐπώνυμον ὥπλισεν Ἰνδούς,
στήσας ἀμφὶ ῥέεθρον ἑὰς στίχας, ὄφρα μαχηταὶ
λαὸν ἐρητύσωσιν ἀνερχομένων ἔτι Βάκχων.
οὐδὲ Διὸς λάθεν ὄμμα πανόψιον· ἐσσυμένως δὲ
οὐρανόθεν πεφόρητο προασπίζων Διονύσου.
καὶ σφετέροισιν ἰόντες ἀρηγόνες, ἄλλος ἐπ' ἄλλωι,
σὺν Διὶ πάντες ἵκοντο θεοὶ ναετῆρες Ὀλύμπου
ἅλματι πωτήεντι· καὶ Αἰγίνης χάριν εὐνῆς
αἰετὸς ἠιώρητο τὸ δεύτερον ὑψιπέτης Ζεὺς
Ἀσωποῦ μετὰ χεῦμα, καὶ Αἰακὸν ἠεροφοίτην
φειδομένων ὀνύχων δεδραγμένος ἅρπαγι ταρσῶι
κουφίζων ἐκόμισσεν ἐς Ἄρεα Δηριαδῆος
Ἰνδώιην ἐπὶ πέζαν· ἀπ' εὐρυπόροιο δὲ κόλπου
υἱὸν Ἀρισταῖον γενέτης ἐσάωσεν Ἀπόλλων,
φαιδρὸς ἀλεξικάκων πεφορημένος ἅρματι κύκνων,
μνῆστιν ἔχων θαλάμοιο λεοντοφόνοιο Κυρήνης
καὶ κρατέων ἕο παῖδα τανύπτερος ἥρπασεν Ἑρμῆς.
υἱέα Πηνελόπης, κεραελκέα Πᾶνα κομήτην·
Οὐρανίη δ' Ὑμέναιον ἀνεζώγρησεν ὀλέθρου
παιδὸς ἑοῦ γονόεντος ἐπώνυμον, ἠερίας δὲ
ἀτραπιτοὺς ἐχάραξεν, ὁμοίιος ἀστέρος ὁλκῶι,
γνωτῶι βοτρυόεντι χαριζομένη Διονύσωι·
Καλλιόπη δ' Οἴαγρον ἑοῖς ἀνεκούφισεν ὤμοις·
καὶ τεκέων Ἥφαιστος ἑῶν ἀλέγιζε Καβείρων,
ἀμφοτέρους δ' ἥρπαξεν, ὁμοίιος ὀξέι πυρσῶι·
Ἀκταίη δ' ἐσάωσεν Ἐρεχθέα Παλλὰς Ἀθήνη
Ἰνδοφόνον, ναετῆρα θεοκρήπιδος Ἀθήνης·
Νύμφας δ' Ἁδρυάδας ναέται ζώγρησαν Ὀλύμπου
πάντες, ὅσοις μεμέληντο φίλαι δρύες, ἔξοχα δ' ἄλλων
δαφναίας ἐσάωσε φανεὶς δαφναῖος Ἀπόλλων,

22.401◆ αἱματόεις ῥόος οὗτος Ἐρινύι καὶ Διονύσωι." 117
24.1 Ζεὺς δὲ πατὴρ κοτέοντος ἀπέτραπε παιδὸς ἀπειλήν,
Nonnus δοῦπον ὁμοπλεκέων νεφέων βρονταῖον ἱμάσσων·
καὶ χόλον ἐπρήυνεν ἀτέρμονος Ὠκεανοῖο,
ὑσμίνην φλογόεσσαν ἐρητύων Διονύσου.
Ἥρη δ' ἐσμαράγησε δι' ἠέρος ἄπλετον ἠχώ,
μῆνιν ἀναστέλλουσα πυρισθενέος Διονύσου.
καὶ διερὴν παλάμην ὀρέγων οἰκτίρμονι Βάκχωι
παιδὶ Διὸς πυρόεντι γέρων ἰάχησεν Ὑδάσπης,
μῦθον ἀναβλύζων ἱκετήσιον ἀνθερεῶνος·
"φείδεό μοι, Διόνυσε, Διιπετέος ποταμοῖο,
ὕδασι καρποτόκοισι φέρων χάριν· ὑμετέρη γὰρ
ἐξ ὑδάτων εὔβοτρυς ἀνεβλάστησεν ὀπώρη.
ἀασάμην, Διόνυσε πυριτρεφές· οὐρανίην γὰρ
σῶν δαΐδων ἀμάρυγμα τεὴν κήρυξε γενέθλην.
ἀλλὰ πόθος τεκέων με βιήσατο· Δηριάδηι γὰρ
υἱέι πιστὰ φέρων ῥοθίων ἐλέλιζον ἀπειλήν,
Ἰνδοῖς κτεινομένοισι βοηθόον οἶδμα κυλίνδων.
αἰδέομαι γενετῆρι φανήμεναι, ὅττι θαλάσσηι
αἵματι μορμύροντι μεμιγμένα χεύματα σύρω
καὶ φονίηι ῥαθάμιγγι Ποσειδάωνα μιαίνω·
τοῦτό με, τοῦτο κόρυσθεν ἐριδμαίνειν Διονύσωι.
πρὸς δὲ τεοῦ ξενίοιο καὶ ἱκεσίοιο τοκῆος,
αἴδεο παφλάζοντα τεῶι πυρὶ θερμὸν Ὑδάσπην.
Νηιάδες φεύγουσιν ἐμὸν ῥόον· ἀμφὶ δὲ πηγὰς
L2[O] ἡ μὲν ναιετάει διερὸν δόμον, ἡ δ' ἐνὶ λόχμαις
σύννομος Ἀδρυάδεσσι φυτὸν μετὰ πόντον ἀμείβει,
ἄλλη δ' Ἰνδὸν ἔχει μετανάστιος, ἡ δὲ φυγοῦσα
ποσσὶ κονιομένοισιν ἐδύσατο διψάδα πέτρην
Καυκασίην, ἑτέρη δὲ μεταΐξασα Χοάσπην
ναίει ξεῖνα ῥέεθρα καὶ οὐκέτι πάτριον ὕδωρ.
μὴ καλάμους ὀλέσειας, ἐμῶν βλάστημα ῥοάων, 2
οἷσιν ἀεξομένοισιν ἐρείδεται οἰνάδος ὄρπηξ
ἀμπελόεις· δόνακες γὰρ ἐπ' ἀλλήλοισι δεθέντες
ὑμετέρην εὔυδρον ἐλαφρίζουσιν ὀπώρην·
μὴ δόνακας φλέξειας, ὅθεν σέο Μυγδόνες αὐλοί,
μή ποτέ σοι μέμψαιτο τεὴ φιλόμολπος Ἀθήνη,
ἤ ποτε Γοργείων βλοσυρὸν μίμημα καρήνων
φθεγγομένων Λίβυν εὗρεν ὁμοζυγέων τύπον αὐλῶν· 3
καὶ σέο μυστιπόλοιο κυβερνήτειραν ἀοιδῆς
Πανιάδος σύριγγος ὁμόθροον αἴδεο μολπήν·
λῆγε τεῶι νάρθηκι ῥόον ποταμοῖο μαραίνων,
ὅττι ῥόος ποταμοῖο τεοὺς νάρθηκας ἀέξει.
οὐ ξένον οἶδμα πέρησας ἐπώνυμον· ἀλλοφυῆ γὰρ
ἄλλον ἐγὼ Διόνυσον ἐμοῖς φαίδρυνα λοετροῖς,
ὁπλοτέρου Βρομίοιο φερώνυμον, εὖτε Κρονίων
Ζαγρέα παιδοκόμοισιν ἐμαῖς παρακάτθετο Νύμφαις·
καὶ σὺ φέρεις Ζαγρῆος ὅλον δέμας· ἀλλὰ σὺ κείνωι
◆ δὸς χάριν ὀψιτέλεστον, ὅθεν πέλες· ἀρχεγόνου γὰρ
24.49 ἐκ κραδίης ἀνέτελλες, ἀειδομένου Διονύσου. 133

καὶ βαλίων σκυλάκων ἀνεσείρασεν Ἄρτεμις ὁρμὴν
μειλιχίης ὁρόωσα χοροίτυπον ἅλμα λεαίνης· Nonnus
αἰδομένη δ' εὔκυκλον ἑὴν ἀνελύσατο νευρήν,
τερπομένους μὴ θῆρας ὀιστεύσειε βελέμνοις.
καί τις ἐσαθρήσας ἑτερότροπα θαύματα Βάκχου,
ὄμμα βαλὼν πυκινοῖο δι' ἀκροτάτοιο κορύμβου,
φύλλα περιστείλας θηήτορα κύκλον ὀπωπῆς,
τόσσον ἰδεῖν μεθέηκεν, ὅσον περιδέρκεται ἀνὴρ
ὄμμασι ποιητοῖσι διοπτεύων τρυφαλείης,
ἢ ὁπότε τραγικοῖο χοροῦ δεδαημένος ἀνήρ,
φρικτὸν ἔχων μύκημα τανυφθόγγων ἀπὸ λαιμῶν,
ἐνδόμυχον τυκτοῖο δι' ὄμματος ὄμμα τιταίνει,
ψευδαλέον βροτέοιο φέρων ἴνδαλμα προσώπου·
ὣς ὅ γε θαύματα πάντα λαθὼν ὑπὸ δάσκιον ὕλην
ἀπροϊδὴς ἐδόκευεν ὑποκλέπτοντι προσώπωι·
ἀντιβίοις δ' ἤγγειλε· φόβωι δ' ἐλελίζετο Θουρεὺς
μεμφόμενος Μορρῆι καὶ ἄφρονι Δηριαδῆι.
ἔτρεμε δ' Ἰνδὸς ὅμιλος, ἀφειδήσας δὲ κυδοιμοῦ
χάλκεα ταρβαλέων ἀπεσείσατο τεύχεα χειρῶν,
δένδρεα παπταίνων δεδονημένα θυιάδι ῥιπῆι.
καί νύ κεν Ἰνδὸς ὅμιλος ἑλὼν ἀπὸ γείτονος ὄχθης
μάρτυρον ἱκεσίης γλαυκόχροα θαλλὸν ἐλαίης
αὐχένα δοῦλον ἔκαμψεν ἀδηρίτωι Διονύσωι·
ἀλλὰ μεταλλάξασα δέμας πολυμήχανος Ἥρη
δυσμενέας θάρσυνε καὶ ἥπαφεν ὄρχαμον Ἰνδῶν,
Θεσσαλίδων μάγον ὕμνον ἐφαψαμένη Διονύσωι, L2[O]
καὶ Κίρκης κυκεῶνα θεοκλήτοις ἐπαοιδαῖς,
οἷά τε φαρμακτῆρος ἀφαρμάκτου ποταμοῖο.
καὶ πίθεν ἀντιβίους ταχυπειθέας· εἶπε δ' ἑκάστωι,
μή ποτέ τις σφάλλοιτο κατάσχετος αἴθοπι δίψηι
κλεψινόου ποταμοῖο πιὼν δεδολωμένον ὕδωρ.
καί νύ κεν ἀφράστοιο διαθρώισκοντες ἐναύλου
δαινυμέναις στρατιῆισιν ἐπέχραον αἴθοπες Ἰνδοί·
ἀλλά τις ἠνεμόεντος ὑπερκύψασα κορύμβου
ἐκ λασίου κενεῶνος Ἀμαδρυὰς ἄνθορε Νύμφη·
χειρὶ δὲ θύρσον ἔχουσα φυὴν ἰνδάλλετο Βάκχηι,
μιμηλὴν δρυόεντι πυκαζομένη τρίχα κισσῶι·
δυσμενέων δ' ἐνέπουσα δόλον σημάντορι σιγῆι
οὔασι βοτρυόεντος ἐπεψιθύριζε Λυαίου·
"ἀμπελόεις Διόνυσε, φυτηκόμε κοίρανε καρπῶν,
σὸν φυτὸν Ἀδρυάδεσσι χάριν καὶ κάλλος ὀπάσσει·
Βασσαρὶς. οὐ γενόμην, οὐ σύνδρομός εἰμι Λυαίου,
μοῦνον ἐμῆι παλάμηι ψευδήμονα θύρσον ἀείρω·
οὐ πέλον ἐκ Φρυγίης, σέο πατρίδος, οὐ χθόνα Λυδῶν
ναιετάω παρὰ χεῦμα ῥυηφενέος ποταμοῖο·
εἰμὶ δὲ καλλιπέτηλος Ἀμαδρυάς, ἧχι μαχηταὶ
δυσμενέες λοχόωσιν, ἀφειδήσασα δὲ πάτρης
ῥύσομαι ἐκ θανάτοιο τεὸν στρατόν· ὑμετέροις γὰρ
πιστὰ φέρω Σατύροισι, καὶ Ἰνδώιη περ ἐοῦσα,
ἀντὶ δὲ Δηριαδῆος ὁμοφρονέω Διονύσωι· 22.100

◆ σοὶ γὰρ ὀφειλομένην ὀπάσω χάριν, ὅττι ῥεέθρων
ὑγροτόκους ὠδῖνας, ὅτι δρύας αἰὲν ἀέξει
ὀμβρηρῆι ῥαθάμιγγι πατὴρ μέγας ὑέτιος Ζεύς.
δός μοι σεῖο πέτηλα, καὶ ἐνθάδε ταῦτα φυτεύσω,
δός μοι σεῖο κόρυμβα, τά περ λύουσι μερίμνας.
ἀλλά, φίλος, μὴ σπεῦδε ῥόον ποταμοῖο περῆσαι,
μή σοι ἐπιβρίσωσιν ἐν ὕδασι γείτονες Ἰνδοί·
εἰς δρύας ὄμμα τίταινε καὶ εὐπετάλωι παρὰ λόχμηι
ἀπροϊδῆ σκοπίαζε καλυπτομένων λόχον ἀνδρῶν.
ἀλλὰ τί σοι ῥέξουσιν ἀνάλκιδες ἔνδοθι λόχμης;
δυσμενέες ζώουσιν, ἕως ἔτι θύρσον ἐρύκεις.
σιγῆι ἐφ' ἡμείων, μὴ δήιος ἐγγὺς ἀκούσηι,
μὴ κρυφίοις Ἰνδοῖσιν ἐπαγγείλειεν Ὑδάσπης."
ὣς φαμένη παλίνορσος Ἁμαδρυὰς ᾤχετο Νύμφη,
ὡς πτερὸν ἠὲ νόημα, μεταλλάξασα δὲ μορφὴν
ἰσοφυὴς ὄρνιθι διέτρεχε φωλάδος ὕλης,
ἥλικος ἀίσσουσα κατὰ δρυός. αὐτὰρ ὁ σιγῆι
μίσγετο Βασσαρίδεσσιν, Ἁμαδρυάδος δὲ θεαίνης
εἶπεν ἑοῖς προμάχοισιν ἐς οὔατα μῦθον ἑκάστου
νεύμασι δενδίλλων, νοερῆι δ' ἐκέλευε σιωπῆι
τεύχεσι θωρηχθέντας ἀνὰ δρύας εἰλαπινάζειν,
καὶ κρυφίων ἀγόρευε δολορραφέων δόλον Ἰνδῶν,
μή σφιν ἐπιβρίσωσιν ἀθωρήκτοισι μαχηταί,
εἰσέτι δαινυμένοισιν ἀνὰ στρατόν· οἱ δὲ Λυαίωι
κεκλομένωι πείθοντο, καὶ εἰς μόθον ἦσαν ἑτοῖμοι
L2[I] σιγαλέον παρὰ δεῖπνον ἀκοντοφόροιο τραπέζης.
καὶ ταχινὸν μετὰ δόρπον ἐπέρρεον ἀσπιδιῶται
γείτονος ἐκ ποταμοῖο πιεῖν ἐπιδόρπιον ὕδωρ,
νεύμασι θεσπεσίοισι περισσονόου Διονύσου,
μὴ στρατὸν εὐνήσειε μέθη καὶ κῶμα καὶ ὄρφνη.
καὶ στρατὸς ἔνθα καὶ ἔνθα φιλοπτολέμωι πέσεν εὐνῆι
βαιὸν ἐνυαλίης ὑπὲρ ἀσπίδος ὕπνον ἰαύων.
Ζεὺς δὲ πατὴρ δολόεντα μετατρέψας νόον Ἰνδῶν
ἑσπερίην ἀνέκοψε μάχην μυκήτορι βόμβωι,
ὄμβρου παννυχίοιο χέων ἀπερείσιον ἠχώ.
ἀλλ' ὅτε χιονόπεζα χαραξαμένη ζόφον Ἠὼς
ὄρθρον ἀμεργομένη δροσερῆι πορφύρετο πέτρηι,
ἄκρον ὑπερκύψαντες ἐγερσιμόθου σκέπας ὕλης
δυσμενέες προύτυψαν ἀολλέες· ἦρχε δὲ Θουρεύς,
Ἰνδῴου πολέμοιο πέλωρ πρόμος, εἴκελος ὁρμὴν
ἠλιβάτωι Τυφῶνι καταΐσσοντι κεραυνοῦ.
καὶ στρατιαὶ πινυτοῖο δολόφρονι νεύματι Βάκχου
ψευδαλέον φόβον εἶχον ἀταρβέες, ἐκ δὲ κυδοιμοῦ
αὐτόματοι χάζοντο θελήμονες, εἰσόκεν Ἰνδοὶ
εἰς πεδίον προχέοντο λελοιπότες ἔνδια λόχμης.
τεύχεσι δ' ἀφνειοῖσι κορύσσετο Λύδιος ἀνήρ,
χρυσοφαῆ Λυκίοιο τύπον Γλαύκοιο κομίζων,
κηρύσσων ἑὸν οὖδας, ὅπηι Πακτωλίδος ὄχθης
φαιδρὸς ἐρευθομένης ἀμαρύσσεται ὄλβος ἐέρσης,
καὶ ῥοδέαις ἤστραψε βολαῖς ἀντώπιον Ἠοῦς,

118 (67C) κεκλιμέναις ἀκτῖσι μέσον κύκλοιο χαράσσει,
δίζυγι κεκριμένωι μαλακῶι πυρί· μεσσατίης δὲ
γυμνὰ χαρασσομένης ἔτι φαίνετο κύκλα Σελήνης.
οὐδὲ μάχης ἀπέληγε συναιχμάζων Διονύσωι
Αἰακὸς ἀπτοίητος, ἐβακχεύθη δὲ κυδοιμῶι
κτείνων ἔνθα καὶ ἔνθα· καὶ ἐκ πεδίοιο διώκων
εἰς προχοὰς ποταμοῖο μετήγαγε λαὸν ἀλήτην.
συμφερτοὶ δ' ἕνα μοῦνον ἐκυκλώσαντο μαχηταὶ
τυπτόμενον ξιφέεσσι καὶ οὐκ ἀλέγοντα μαχαίρης,
οὐ βέλεος πτερόεντος· ἐπασσυτέρηισι δὲ ῥιπαῖς
κυανέης ἤμησε σιδήρεα λήια χάρμης
κραιπνὸς ἀνὴρ καὶ πᾶσιν ἐμάρνατο, τοὺς μὲν ἐπ' ὄχθαις,
τοὺς δὲ κάτω ποταμοῖο μαχήμονι χειρὶ δαΐζων·
καὶ νεκύων ἔπλησεν ὅλον ῥόον· ὀλλυμένων δὲ
αἵματι μορμύρων ἐρυθαίνετο λευκὸς Ὑδάσπης.
καί τις ἀνὴρ προμάχοιο φυγὼν ἀνεμώδεα ῥιπὴν
κύμβαχος αὐτοκύλιστος ἐπωλίσθησε ῥεέθρωι,
καὶ πολὺς ἀρτιδάικτος ἀκοντιστῆρι σιδήρωι
σύρετο κυματόεντι νέκυς πεφορημένος ὁλκῶι
οἰδαλέοις μελέεσσιν· ὑποβρυχίοιο δὲ λύθρου
Νηιάδες λούσαντο δαφοινήεντι ῥεέθρωι,
καὶ φονίαις λιβάδεσσιν ἐφοινίχθη μέλαν ὕδωρ.
πολλοὶ δ' ἐν προχοῆισιν ἀπορρίψαντες ἀκωκὴν
ἱκεσίην ἀνέφαινον ἀτευχέες, ὃς μὲν ἐπ' ὄχθαις,
ὃς δὲ παρὰ ψαμάθοις τετανυσμένος, ὃς δ' ἐπὶ γαίηι
ὄρθιας ὀκλάζων, κυρτούμενον αὐχένα κάμπτων· L2[I]
ἀλλὰ λιτὰς ἀπέειπεν ἄνω νεύοντι προσώπωι
Αἰακὸς ἀντιβίοισιν ἀκαμπέα μῆνιν ἀέξων·
αἰχμητὴν δ' ἀσίδηρον ἔτι ψαύοντα λιτάων
οὐχ ἕνα μοῦνον ἔπεφνε Λυκάονα, δυσμενέας δὲ
χερσὶν ἀθωρήκτοισι κυλινδομένους ἐπὶ γαίηι
3 (1C) νηρίθμους κεράιζε, ῥόον ποταμοῖο μιαίνων·
καὶ πολὺν Ἀστεροπαῖον ἐδέξατο νεκρὸν Ὑδάσπης.
οὐδ' ἀθεεὶ πολέμιζε καὶ Αἰακός· ἀντιβίους γάρ,
ὡς γενέτης Πηλῆος, ἔσω ποταμοῖο δαΐζων
ἰκμαλέον μόθον εἶχε καὶ ὑδατόεσσαν Ἐνυώ,
οἷα προθεσπίζων ποταμοῦ περὶ χεῦμα Καμάνδρου
φύλοπιν ἡμιτέλεστον ἐπεσσομένην Ἀχιλῆι·
4 καὶ μόθον υἱωνοῖο μόθος μαντεύσατο πάππου.
καί τις ἐνὶ προχοῆισιν ἀσάμβαλος ἴαχε Νύμφη
Νηιὰς ἀκρήδεμνος ὑπερκύψασα ῥοάων·
"Νηιάδων ὁμόφυλε, Διιπετὲς αἷμα κομίζων,
ἁγνὸν ὕδωρ ἐλέαιρε Διιπετέος ποταμοῖο.
ἄρκιον Ἰνδὸν ὄλεσσε τεὸν δόρυ· παύεο Νύμφαις
δάκρυα Νηιάδεσσιν ἀδακρύτοισιν ἐγείρων·
Νηιὰς ὑδατόεσσα καὶ ὑμετέρη πέλε μήτηρ·
κούρην γὰρ ποταμοῖο τεὴν Αἴγιναν ἀκούω.
μνώεο, τίς σε λόχευσε, καὶ οὐκέτι χεῦμα μιαίνεις.
ἵξομαι εἰς ῥόον ἄλλον ἀκήρατον, εἰς ἅλα βαίνω,
καί με θαλασσαίη δέχεται Θέτις· ἀλλὰ μελέσθω

◆ ὀκλαδὸν ἐστήριξεν ἀριστερὸν ἴχνος ἀρούρηι
Nonnus λοξὸς ἐπὶ πλευρῇσιν, ὀπισθοτόνοιο δὲ ταρσοῦ
ἴχνιον ἠέρταζε μετάρσιον, ὀρθὰ τιταίνων
δεξιτεροῦ ποδὸς ἄκρα πεπηγότα δάκτυλα γαίηι,
Ἰνδικὸν ἑπταβόειον ἔχων σάκος, εἰκόνα πύργου,
γυμνὸν ἔχων ξίφος ὀξύ· προϊσχόμενος δὲ προσώπου
ἀσπίδα χαλκεόνωτον ἐπέδραμεν Ἰνδὸς ἀγήνωρ,
ἢ θανέειν ἢ φῶτα βαλεῖν ἢ πῶλον ἐλάσσαι
ἄορι τολμήεντι· καὶ ὀμφαλόεντι σιδήρωι
δόχμιος ἀντικέλευθον ἀνακρούσας γένυν ἵππου
πεζὸς ἐὼν ἐτίναξεν ὑπέρτερον ἡνιοχῆα·
καί νύ κεν εἰς χθόνα ῥῖψεν ἀμήτορος ἀστὺν Ἀθήνης,
ἀλλά μιν ἔγχεϊ νύξε παρ' ὀμφαλὸν ἄκρον Ἐρεχθεὺς
καὶ φονίωι μέσον ἄνδρα πεπαρμένον ὀξέι χαλκῶι
εἰς πέδον ἠκόντιζεν· ὁ δὲ στροφάδεσσιν ἐρωαῖς.
ἠερόθεν προκάρηνος ἐπωλίσθησε κονίηι
κρᾶτα κυβιστητῆρα φέρων βητάρμονι παλμῶι.
τὸν δὲ λιπὼν σπαίροντα, μετατρέψας δρόμον ἵππου,
ἄλλοις δυσμενέεσσιν ἐπέχραεν ἀστὸς Ἀθήνης.
{…} κυκλώσας ἑὰ τόξα, καὶ ἁπλώσας ἐπὶ νευρὴν
ὄρθιον ἀκροτάτου τετανυσμένον ἄχρι σιδήρου
εἰς σκοπὸν εἷλκε βέλεμνον· ἀριστοτόκωι δ' ἐπὶ νύμφηι
νίκης ἐλπίδα πᾶσαν ἐπέτρεπε Καλλιοπείηι.
ἐννέα μὲν προέηκε τανυγλώχινας ὀιστούς,
ἐννέα δ' ἄνδρας ἔπεφνεν· ἔην δέ τις ἶσος ἀριθμὸς
L3[O] πεμπομένοις βελέεσσι καὶ ὀλλυμένοισι μαχηταῖς·
ὧν ὁ μὲν ἄκρα μέτωπα διέσχισεν ἰὸς ἀλήτης,
ὃς δὲ δασυστέρνοιο **κατέγραφεν** ἄντυγα μαζοῦ,
ἄλλος ὑπὲρ λαγόνων, ἕτερος δ' ἐπὶ νηδύι πίπτων
μεσσατίηι πεφόρητο χαρασσομένου κενεῶνος,
ὃς δὲ διὰ πλευροῖο διέδραμεν, ὃς δὲ φυγόντος
ὀρθὸς ἀελλήεντι ποδῶν ἐνεπήγνυτο ταρσῶι
καὶ χθονίωι σφήκωσεν ὁμοζεύκτωι πόδα δεσμῶι.
ἠνεμόεν δὲ βέλεμνον ἀνείρυσεν· ἐκ δὲ φαρέτρης
ἄλλου πεμπομένοιο κατέδραμεν ἄλλος ἐπ' ἄλλωι
ἠερίηι στροφάλιγγι κατάσσυτος ὄμβρος ὀιστῶν.
ὡς δ' ὅτε χαλκείωι τις ἐπ' ἄκμονι χαλκὸν ἐλαύνων
ἀκαμάτωι ῥαιστῆρι πυρίβρομον ἦχον ἰάλλει,
τύπτων γείτονα μύδρον, ἀποθρώισκουσι δὲ πολλοὶ
ἀλλόμενοι σπινθῆρες ἀρασσομένοιο σιδήρου,
ἠέρα θερμαίνοντες, ἀμοιβαίηισι δὲ ῥιπαῖς
ὃς μὲν ἔην προκέλευθος, ὁ δὲ σχεδόν, ἄλλος ὀρούσας
ἄλλον ἔτι θρώισκοντα κιχάνεται αἴθοπι παλμῶι·
ὣς ὅ γε τοξεύων στρατιὴν ἀντώπιον Ἰνδῶν
μαρναμένων ἐκέδασσεν ἀλωφήτων ἀπὸ τόξων,
κτείνων ἄλλοθεν ἄλλον ἐπασσυτέροισι βελέμνοις.
μεσσατίης δὲ φάλαγγος ἀλευαμένης νέφος ἰῶν
χῶρος ἐγυμνώθη, κεραῆς ἴνδαλμα Σελήνης,
ἀμφιφαὴς ὅτε βαιὸν ἀποστίλβουσα κεραίης
ἄκρα διαπλήσασα δύω νεοφεγγέος αἴγλης

119 (68C) σείων ξανθὰ μέτωπα ῥυηφενέος τρυφαλείης
Λυδὸς ἀνὴρ ἀρίδηλος, ἀπὸ στέρνων δὲ φορῆος **Nonnus**
μαρμαρυγὴ σελάγιζεν ἐρευθομένοιο χιτῶνος·
καὶ κυνέην στίλβουσαν ἐπὶ κροτάφοιο τινάσσων
ἐξ Ἀλύβης πρόμος ἄλλος ἀριστεύων Διονύσωι
πάτριον ὄλβον ἔφαινεν, ἀπ' εὐφαέος δὲ καρήνου
ἀργυρέης πήληκος ἐλάμπετο μάρμαρος αἴγλη
χιονέηι σέλας ἶσον ἀκοντίζουσα Σελήνηι.
καὶ θεὸς ἀστήρικτος ὅλους ἐφόβησε μαχητὰς
δυσμενέων, οὐ γυμνὸν ἔχων ξίφος, οὐ δόρυ πάλλων,
ἀλλὰ μέσος προμάχων πεφορημένος εἴκελος αὔραις
δεξιὸν ἐκ λαιοῖο κέρας κυκλώσατο χάρμης,
θύρσον ἀκοντίζων δολιχόσκιον, ἄνθεϊ γαίης,
ἔγχεϊ κισσήεντι διασχίζων νέφος Ἰνδῶν.
οὐδέ μιν ὑψικάρηνος ὁ τηλίκος ἤλασε Θουρεύς,
οὐ στρατός, οὐ πρόμος ἄλλος· ἐπ' ἀλλήλοις δὲ χυθέντες
εἴκαθον ἔνθα καὶ ἔνθα διεσσυμένωι Διονύσωι.
κυανέην δ' Οἴαγρος ἀνεστυφέλιξεν Ἐνυὼ
ἀμώων ἀκόρητος ἐπασσυτέρων στίχας ἀνδρῶν,
ἔγχεϊ Βιστονίωι κορυθαιόλα λήια τέμνων.
ὡς δ' ὅτε τις προχέων ποταμὸς δυσπέμφελον ἀλκὴν
ἄστατος ἐκ σκοπέλοιο χαραδρήεντι ῥεέθρωι
ἔρχεται, εἰς πεδίον πεφορημένος, οὐδέ μιν αὐταὶ
ἕρκεσιν ἀρραγέεσσιν ἀναστέλλουσιν ἀλωαὶ
λαϊνέης μέσα νῶτα διαξύοντα γεφύρης·
πολλὴ μὲν κεκύλιστο πίτυς, πολλὴ δὲ πεσοῦσα **L3[O]**
ὑψιφανὴς προθέλυμνος ἐσύρετο χεύματι πεύκη·
ὣς ὅ γε δυσμενέων στρατὸν ἄμφεπεν, ἄλλον ἐπ' ἄλλωι
πεζὸν ἐπιστροφάδην ὀλέκων Σιθωνίδι λόγχηι,
καί μιν ἐκυκλώσαντο, καὶ ἣν καλέουσι μαχηταὶ
μιμηλὴν σακέεσσιν ἐπυργώσαντο χελώνην·
4 (2C) ἴχνεσι μὲν στατὸν ἴχνος ἐρείδετο, κεκλιμένη δὲ
ἀσπὶς ἔην προθέλυμνος ἀμοιβαδὶς ἀσπίδι γείτων
στεινομένηι, καὶ ἔνευε λόφωι λόφος, ἀγχιφανὴς δὲ
ἀνδρὸς ἀνὴρ ἔψαυεν· ἐγειρομένης δὲ κονίης
ἱππείοις ὀνύχεσσιν ἐλευκαίνοντο μαχηταί.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον Ἄιδι πέμπων
Βιστονίης Οἴαγρος ἀπέθρισεν ἀστὺς ἀρούρης,
5 κτείνων ἄλλοθεν ἄλλον, ἑῆς ἀλόχοιο τελέσσας
ἔργα φατιζομένης ἐπιδευέα Καλλιοπείης;
τὸν μὲν ὑπὲρ μαζοῖο θοῶι δορί, τὸν δὲ δαΐζων
ἄορι κωπήεντι κατ' αὐχένος, αἰνομανῆ δὲ
δήιον ἄλλον ἔνυξε παρ' ὀμφαλόν, ἐκ φονίης δὲ
ὠτειλῆς ἑὸν ἔγχος ἀνείρυσεν, ἑλκομένωι δὲ
σπλάγχνα δαφοινήεντι συνέσπασε θερμὰ σιδήρωι·
ἄλλου μαρναμένοιο κατέδραμε φάσγανον ἕλκων,
ἄορι δ' εὐθήκτωι παλάμην τάμεν, ἡ δὲ πεσοῦσα
αἱμοβαφὴς ἤσπαιρεν ἐπὶ χθονὸς ἀλλομένη χείρ·
καὶ παλάμη τέτμητο καὶ οὐ μεθέηκε βοείην
ἄκρα περισφίγγουσα κονιομένου τελαμῶνος·

ψυχὴ δ' ἠνεμόφοιτος ἀναΐξασα θανόντος
συμπλεκέος ποθέεσκεν ἐθήμονα σώματος ἥβην.
ἄλλον ἀπηλοίησεν ἀφειδέι δουρὶ πατάξας,
θηγαλέηι γλωχῖνι βραχίονος ἄκρα τορήσας,
ἄορι δ' ἀσπίδα τύψεν, ἀρασσομένης δὲ σιδήρωι
ἀργαγέος βόμβησε μεσόμφαλα νῶτα βοείης.
αὐτὰρ ὁ λυσσήεντι μόθου δεδονημένος οἴστρωι
ἐγχείην ἐλέλιζε μετήλυδα κυκλάδι τέχνηι
ἢ πλευρῆς ἑκάτερθεν ἢ αὐχένος ἢ σχεδὸν ὤμου·
σείων δ' ἔνθα καὶ ἔνθα παλινδίνητον ἀκωκὴν
στεινομένης μέσα νῶτα διέτμαγε δηιοτῆτος,
κραιπνός, ἀερσιλόφοιο καθήμενος ὑψόθεν ἵππου.
ὡς δ' ὅτε ῥιγαλέου σκιερὴν μετὰ χείματος ὥρην
φαίνεται ἀσκεπέων νεφέων γυμνούμενος ἀήρ,
φέγγεος εἰαρινοῖο δεδεγμένος αἴθριον αἴγλην·
ὣς ὅ γε βακχεύων πυκινὰς στίχας ἄτρομος ἀνὴρ
Ἰνδῶν σχιζομένων μεσάτην γυμνώσατο χάρμην.
καὶ τότε τις προμάχοιο περὶ στόμα χαλκὸν ἐρείσας
δεξιτερὴν δασπλῆτι γενειάδα τύψε μαχαίρηι·
καί τις ἐπ' ἀντιβίοισιν ἐν ἠέρι βόμβον ἰάλλων
εἰς σκοπὸν ὑψικέλευθον ἐπέμπετο λᾶας ἀλήτης,
καὶ λίθος ἠερόφοιτος ἐπεσμαράγησε καρήνωι,
καὶ λόφον εὐπήληκος ἀπεστυφέλιξεν ἐθείρης,
αὐχενίου δεσμοῖο παρ' ἀνθερεῶνα λυθέντος·
τῆς δὲ κυλινδομένης κεφαλὴ γυμνοῦτο φορῆος.
L3[I] οὐ μοῦνοι τότε φῶτες ἐπέβρεμον, ἀλλὰ καὶ αὐτοὶ
ἵπποι χαλκοχίτωνες ἐπεσμαράγησαν Ἐνυώ,
Ἄρεα σαλπίζοντες ἐνυαλίωι χρεμετισμῶι.
κούρη δ' ὑστερόφωνος ὀρεσσαύλων ἀπὸ λαιμῶν
πετραίοις στομάτεσσιν ἀμειβομένη κτύπον αὐτῶν
μιμηλὴ χρεμέτιζε μέλος πολεμήιον Ἠχώ.
καὶ πολὺς ἀρτιδάικτος ἑλίσσετο νεκρὸς ἀρούραις
θερμὸν ἀποπτύων ῥόον αἵματος· ὀλλυμένων δὲ
οἱ μὲν ἐπὶ πλευρῇσιν ἐπηιώρηντο θανόντες,
ὃς δὲ τυπεὶς ἐλέλικτο χαρασσομένου κενεῶνος,
ἄλλος ὑπὲρ δαπέδοιο χυτῆι κεκύλιστο κονίηι,
ἄλλος ἐπεστήρικτο παρ' ὀμφαλόν, ὃς δ' ἐπὶ γαίηι
ἀνέρος ἀσπαίροντος ἐπεσκίρτησε καρήνωι,
ὃς δὲ πεσὼν ἰάχησε τετυμμένος ἀνθερεῶνα,
καὶ πόδας ἀμφελέλιξεν ἔχων ὀρχηθμὸν ὀλέθρου·
πρηνὴς δ' ἄλλος ἔκειτο, καὶ ὡς κοτέων ὀλετῆρι
εὐρυχανὴς ἔσφιγξε μεμηνότι γαῖαν ὀδόντι.
ἄλλου βαλλομένοιο τανυγλώχινι σιδήρωι
λευκὸς ἀκοντιστῆρι χιτὼν ἐρυθαίνετο λύθρωι·
ἄλλου μαρναμένοιο τιταινομένων ἀπὸ τόξων
αἱμοβαφὴς πτερόεντι χαράσσετο μηρὸς ὀιστῶι.
καί τις ἑὴν σάλπιγγα μάτην περὶ χεῖλος ἐρείσας
Nonnus ἐχθρὸς ἀνὴρ κελάδησεν ἐγερσιμόθου μέλος ἠχοῦς,
ὀκναλέον φύξηλιν ἑὸν στρατὸν εἰς μόθον ἕλκων.
οἱ δὲ βοῆς ἀΐοντες ἐπὶ κλόνον ἔρρεον Ἰνδοί
120 (69C) θαρσαλέοι δ' ἥψαντο παλιννόστοιο κυδοιμοῦ.
αἰδόμενοι βασιλῆι φανήμεναι ἔκτοθι νίκης.
καὶ πολέες στεφανηδὸν ἀπόσσυτον εἰν ἑνὶ χώρωι
Αἰακὸν εὐθώρηκες ἐκυκλώσαντο μαχηταί.
αὐτὰρ ὁ μέσσος ἔην βεβιημένος, οὐ τρυφαλείηι,
οὐ πίσυνος σακέεσσι καὶ οὐ θώρηκι κυδοιμοῦ·
ἀλλά ἑ πατρώιοις πεπυκασμένον ἀντὶ σιδήρου
ἀρρήκτοις νεφέεσσιν ὅλον πύργωσεν Ἀθήνη,
οἷς πάρος ἀβρέκτοιο κατέσβεσεν αὐχμὸν ἀρούρης
διψαλέην ἐπὶ γαῖαν ἄγων βιοτήσιον ὕδωρ
Ζηνὸς ἐπομβρήσαντος, ἀμαλλοτόκοιο δὲ γαίης
αὔλακες εὐώδινες ἐνυμφεύθησαν ἀρότρωι·
καὶ μέσος ἀντιβίων κυκλούμενος ἔνθεος ἀνὴρ
τοὺς μὲν ἀπηλοίησε θοῶι δορί, τοὺς δὲ μαχαίρηι,
τοὺς δὲ λίθοις κραναοῖσι· πέδον δ' ἐρυθαίνετο λύθρωι
Ἰνδῶν κτεινομένων, καὶ ἀκαμπέος ἀνέρος αἰχμῆι
κεῖτο πολυσπερέων νεκύων χύσις, ὧν ὁ μὲν αὐτῶν
ἡμιθανὴς ἤσπαιρεν, ὁ δὲ χθόνα ποσσὶν ἀράσσων
ὕπτιος αὐτοκύλιστος ὁμίλεε γείτονι πότμωι·
καὶ δαπέδωι στείνοντο, νέκυς δ' ἐπερείδετο νεκρῶι
κεκλιμένωι μετρηδόν, ἀπ' ἀρτιτόμοιο δὲ λαιμοῦ
ψυχρὸν ἐρευθιόωντι δέμας θερμαίνετο λύθρωι·
καὶ φόνος ἄσπετος ἦεν, ἐπασσυτέρων δὲ πεσόντων
Γαῖα κελαινιόωσα κατάρρυτος αἵματος ὁλκῶι,
υἱέας οἰκτείρουσα, χαραδραίηι φάτο φωνῆι·
"υἱὲ Διὸς ζείδωρε μιαιφόνε — καὶ γὰρ ἀνάσσεις L3[I]
ὄμβρου καρποτόκοιο καὶ αἱμαλέου νιφετοῖο —,
ὄμβρωι μὲν γονόεσσαν ὅλην ἐδίηνας ἀλωὴν
Ἑλλάδος, Ἰνδώιην δὲ κατέκλυσας αὔλακα λύθρωι,
ὁ πρὶν ἀμαλλοφόρος, θανατηφόρος· ἀγρονόμοις μὲν
σὸς νιφετὸς στάχυν εὗρε, σὺ δὲ στρατὸν ἔθρισας Ἰνδῶν
5 (3C) ἀνέρας ἀμώων ἅτε λήιον· ἀμφότερον δὲ
ἐκ Διὸς ὄμβρον ἄγεις, ἐξ Ἄρεος αἵματι νίφεις."
τοῖα μὲν ἔννεπε Γαῖα φερέσβιος. ἀλλὰ Κρονίων
οὐρανόθεν κελάδησε, καὶ Αἰακὸν εἰς φόνον Ἰνδῶν
βρονταίοις πατάγοισι Διὸς προκαλίζετο σάλπιγξ.
καί τις ἐν ἀντιβίοισιν ἐς Αἰακὸν ὄμμα τανύσσας
πέμπε βέλος, καὶ βαιόν, ὅσον χροὸς ἄκρον ἀμύξαι,
6 μηρὸν ἐπιγράψαντα παρέτραπεν ἰὸν Ἀθήνη.
μάρνατο δ' εἰσέτι μᾶλλον ἀνώδυνος εἰς μέσον Ἰνδῶν
Αἰακὸς ἀστήρικτος, ἐπεὶ βέλος ἥπτετο μηροῦ,
λεπτὸς ὄνυξ ἅτε φωτός, ὅτε χροὸς ἄκρα χαράξηι.
καί τις ἀνὴρ ἀκίχητος ἐχάζετο πεζὸς ὁδίτης
ἴχνεσιν ὠκυτέροισι, καὶ ἤθελε γείτονα λόχμην
δύμεναι, ἧχι πάροιθεν ἐκεύθετο· τὸν δὲ διώκων
εἰς δρόμον ἡνιόχευε ποδήνεμον ἵππον Ἐρεχθεύς·
ἀλλ' ὅτε τόσσον ἔμαρψεν, ὅσον προμάχοιο βαλόντος
ἔγχεος ἱπταμένοιο τιταίνεται ὄρθιος ὁρμή, Nonnus
δὴ τότε οἵ μετὰ νῶτα βαλὼν ἀντώπιος ἔστη
πεζὸς ἀνήρ, ἱππῆα δεδεγμένος· αὐτὰρ ὁ κάμψας

Nonnus

αἰθέρα γυμνώσας διεροῦ πυρός· ὑψιπόρους δὲ 121
Ἰχθύας ἀστερόεντας ἐμοὺς πάλιν εἰς ἅλα σύρω,
νηχομένους μετ' Ὄλυμπον ἐν ὕδασιν. ἔγρεο, Τηθύς,
ὕδασιν αἰθέρος ἄστρα καλύψομεν, ὄφρα νοήσω
Ταῦρον, ἀκυμάντοιο πάλαι πλωτῆρα θαλάσσης,
κύμασι λαβροτέροις πεφορημένον ὑγρὸν ὁδίτην,
Εὐρώπης μετὰ λέκτρον· ὀρινέσθω δὲ καὶ αὐτή,
δερκομένη κερόεσσαν ἐμὴν ταυρώπιδα μορφήν,
ταυροφυὴς κερόεσσα βοῶν ἐλάτειρα Σελήνη·
ἵξομαι ὑψικέλευθος ἐς οὐρανόν, ὄφρα νοήσω
ἰκμαλέον Κηφῆα καὶ ὑγροχίτωνα Βοώτην,
ὡς πάρος ἐννοσίγαιος, ὅτε θρασὺς ἀμφὶ Κορίνθου
ὑγρὸς Ἄρης ἀλάλαζεν ἐς ἀστερόεσσαν Ἐνυώ·
κρύψω δ' ἔμπυρον Αἶγα, Διὸς τροφόν, ὑγροκόρωι δὲ
ἄρμενον Ὑδροχοῆι χαρίζομαι ἄφθονον ὕδωρ.
Τηθύς, καὶ σύ, θάλασσα, κορύσσεο· ταυροφυῆ γὰρ
Ζεὺς νόθον υἷα λόχευσεν, ἵνα ξύμπαντας ὀλέσσηι
καὶ ποταμοὺς καὶ φῶτας ἀμεμφέας· ἀμφότερον δὲ
Ἰνδοὺς θύρσος ἔπεφνε καὶ ἔφλεγε πυρσὸς Ὑδάσπην."
◆ ἔννεπε παφλάζων βαθυκύμονος οἴδματι φωνῆς.

25.1 Μοῦσα, πάλιν πολέμιζε σοφὸν μόθον ἔμφρονι θύρσωι·
οὔ πω γὰρ γόνυ δοῦλον ὑποκλίνων Διονύσωι
φύλοπιν ἑπταέτηρον Ἑώιος εὔνασεν Ἄρης·
ἀλλὰ δρακοντείοιο τεθηπότες ἄκρα γενείου
Ἰνδώιης πλατάνοιο, πάλιν κλάζουσι νεοσσοί,
L1[O] Βακχείου πολέμοιο προμάντιες. οὐ μὲν ἀείσω
πρώτους ἓξ λυκάβαντας, ὅτε στρατὸς ἔνδοθι πύργων
Ἰνδὸς ἔην· τελέσας δὲ τύπον μιμηλὸν Ὁμήρου
ὕστατον ὑμνήσω πολέμων ἔτος, ἑβδομάτης δὲ
ὑσμίνην ἰσάριθμον ἐμῆς στρουθοῖο χαράξω·
Θήβηι δ' ἑπταπύλωι κεράσω μέλος, ὅττι καὶ αὐτὴ
ἀμφ' ἐμὲ βακχευθεῖσα περιτρέχει, οἷα δὲ νύμφη 1
μαζὸν ἑὸν γύμνωσε κατηφέος ὑψόθι πέπλου,
μνησαμένη Πενθῆος· ἐποτρύνων δέ με μέλπειν
πενθαλέην ἕο χεῖρα γέρων ὤρεξε Κιθαιρὼν
αἰδόμενος, μὴ λέκτρον ἀθέσμιον ἠὲ βοήσω
πατροφόνον πόσιν υἷα παρευνάζοντα τεκούσηι.
Ἀονίης αἴω κιθάρης κτύπον· εἴπατε, Μοῦσαι,
τίς πάλιν Ἀμφίων λίθον ἄπνοον εἰς δρόμον ἕλκει; 1
οἶδα, πόθεν κτύπος οὗτος· ἀειδομένηι τάχα Θήβηι
Πινδαρέης φόρμιγγος ἐπέκτυπε Δώριος ἠχώ.
◆ ἀλλὰ πάλιν κτείνωμεν Ἐρυθραίων γένος Ἰνδῶν·
οὔ ποτε γὰρ μόθον ἄλλον ὁμοίιον ἔδρακεν αἰὼν
Ἠώιον πρὸ μόθοιο, καὶ οὐ μετὰ φύλοπιν Ἰνδῶν
ἄλλην ὀψιτέλεστον ἰσόρροπον εἶδεν Ἐνυώ,
οὐδὲ τόσος στρατὸς ἦλθεν ἐς Ἴλιον, οὐ στόλος ἀνδρῶν
τηλίκος. ἀλλὰ νέοισι καὶ ἀρχεγόνοισιν ἐρίζων
εὐκαμάτους ἱδρῶτας ἀναστήσω Διονύσου,
κρίνων ἠνορέην τεκέων Διός, ὄφρα νοήσω,
τίς κάμε τοῖον ἀγῶνα, τίς εἴκελος ἔπλετο Βάκχου.
Περσεὺς μὲν ταχύγουνος, ἐύπτερον ἴχνος ἑλίσσων,

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the twenty-third I sing Indian Hydaspes crossed, and the affray of water and fire.

NONNUS
DIONYSIACA
BOOK 23

PREVIEW BOOK 25

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 320 lines 3.0
2L 1 - 320

PRINT 2-SIDED: **137** to **140**

Ὣς φαμένη πατρῷιον ἐδύσατο φοίνιον ὕδωρ
Νηιὰς ὑδατόεσσα διάβροχος αἵματι Νύμφη.
αὐτὰρ ὁ βάρβαρα φῦλα παρ' ἠιόνας ἄορι τύπτων
εἰς προχοὰς ἔτρεψε· διωκόμενοι δὲ σιδήρωι
δυσμενέες κτείνοντο φόβωι στείνοντες Ὑδάσπην.
καὶ πολὺς ἐν ῥοθίοισι πόδας καὶ χεῖρας ἑλίσσων
νηχομένους μιμεῖτο, καὶ ἤθελε πότμον ἀλύξαι
χερσὶν ἀπειρήτοις ποταμήια χεύματα τέμνων·
ἀλλὰ ῥόωι κεκάλυπτο· καὶ ὕδασιν ἄλλος ἐπ' ἄλλωι
ἔγκυος οἰδαίνων διερῶι τυμβεύετο πότμωι.
οὐδ' ἐπὶ δὴν παρὰ θῖνα φερεσσακέος ποταμοῖο
πληθύι τοσσατίηι φονίων κυκλούμενος Ἰνδῶν
Αἰακὸς εἰσέτι μίμνεν, ἐπεὶ μογέοντι παρέστη
Ἰνδοφόνος Διόνυσος ἀκαχμένα θύρσα τινάσσων.
ἔνθα πολὺν στρατὸν ἄλλον ἀφειδέι δούρατι νύσσων
Αἰακὸς ἐπρήνιξεν· ἐμαίνετο δ' οἷά περ Ἄρης,
σύνδρομος εὐθώρηκι κασιγνήτωι Διονύσωι.
καὶ διερῆι Διόνυσος ὁμίλεε σύζυγι χάρμηι
ὑγρὸν ἐπ' ἀντιβίοισι φέρων μόρον. εἰ δέ τις ἀνὴρ
✦ νήχετο δαιδαλέης ὑπὲρ ἀσπίδος οἴδματα τέμνων,
νηχομένων κεράιξε μετάφρενον· εἰ δέ τις Ἰνδῶν
ἡμιφανὴς πολέμιζεν ἐπ' ἰλύι ταρσὸν ἐρείσας,
θύρσωι στῆθος ἔτυψεν ἢ αὐχένα, κύματα τέμνων,
δυομένων· βυθίων γὰρ ἐπίστατο κόλπον ἐναύλων,
ἐξ ὅτε μιν φεύγοντα μόθον δασπλῆτα Λυκούργου
L1[I] δώματι κυμαίνοντι γέρων ὑπεδέξατο Νηρεύς.
πολλοὶ δ' ἔνθα καὶ ἔνθα περικλείοντο ῥεέθρωι,
υἷα Διὸς τρομέοντες ὀρίδρομον, ὧν ὁ μὲν αὐτῶν
ὄρθιος ἰλυόεντι πόδας σφηκώσατο πηλῶι,
αὐτοπαγὴς δ' ἀτίνακτος ἀπ' ἰξύος ἄχρι καρήνου
ἡμιφανὴς ἀνέτελλε καλυπτομένην πτύχα μηροῦ·
καὶ Βρομίωι πολέμιζεν ἐν ὕδασι μᾶλλον ἀρούρης
ἀμφοτέραις παλάμαις διδυμάονα δούρατα πάλλων·
καὶ τὸ μὲν αἰχμάζεσκεν ἐς ἠιόνας ὑψόσε πέμπων,
Αἰακὸν ἀντικέλευθον ἔχων σκοπόν, ἄλλο δὲ σείσας
ἔγχος ἀνουτήτοιο κατηκόντιζε Λυαίου.
καί τις ἐνεστήρικτο μέσον κενεῶνα καλύπτων,
ὃς δὲ φυγεῖν οὐχ εὗρε, τετυμμένος ὀξέι θύρσωι,
ἴχνια πηλώεντι φέρων πεπεδημένα δεσμῶι,
ταρσὸν ἔχων ψαμάθοισι κατάσχετον· ἵστατο δ' ἄλλος
κνήμης βαλλομένης· ὁ δὲ γούνατος ἄκρα διαίνων
ὑγρὴν αἰμαλέοιο δι' ὕδατος εἶχεν Ἐνυώ·
ἄλλος ἐνερρίζωτο δεδυκότος ἄχρι γενείου,
καὶ πόδας ἠιώρησε λελουμένον ὦμον ἀείρων,
φεύγων φρικτὰ ῥέεθρα καταΐσσοντα προσώπου·
ἄλλος ἐνὶ προχοῇσιν ὅλον δέμας ἐκ ποδὸς ἄκρου
ἄχρι μέσου στέρνοιο κατάρρυτος, ὃς δὲ διαίνων
ὤμους διχθαδίους, ὁ δὲ βόστρυχον ἄκρον ἐρεύσας
δέχνυτο κυματόεσσαν ἐπαΐσσουσαν ἀπειλήν.
εἰς βυθὸν ἄλλος ἔδυνε διάβροχα χείλεα σείων

122 (70C) Ἠριδανῶι φλεχθέντι κεκαυμένον ἶσον Ὑδάσπην."
ὣς φαμένωι βαρύδουπος ἐχώσατο μᾶλλον Ὑδάσπης
κύμασι λαβροτέροισι χέων ὑψίδρομον ὕδωρ.
καί νύ κεν ἔκρυφε πᾶσαν ἀβακχεύτων στίχα Βάκχων,
εἰ μὴ Βάκχος ἄμυνεν, ἀπ' ἀγχιπόροιο δὲ λόχμης
πυρσοτόκον νάρθηκα λαβὼν ἀντώπιον Ἠοῦς
Ἠελίωι θέρμηνεν· ἐριφλεγέος δὲ κορύμβου
αὐτογόνωι σπινθῆρι λοχεύετο δουράτεον πῦρ·
καὶ προχοαῖς φλόγα ῥῖψεν· ἀπειλητῆρι δὲ δαλῶι
καιομένου ποταμοῖο ῥοαῖς ἐπεπάφλασαν ὄχθαι·
καὶ πολὺς ἠερόφοιτος ἑλίσσετο καπνὸς ἀλήτης
λωτοῦ καιομένοιο μαραινομένου τε κυπείρου·
καὶ θρύα πῦρ ἀμάθυνε· πολυστροφάλιγγι δὲ ῥιπῆι
καπνοῦ λιγνυόεντος ἕλιξ ἐμέθυσσεν ἀυτμὴ
ἠερίας ἁψῖδας, ὅλη δ' ἐμελαίνετο λόχμη
εὐόδμοις ἀνέμοισιν ἱμασσομένων δονακήων.
καὶ σέλας εἰς βυθὸν εἷρπεν· ἐνεκρύπτοντο δὲ πηλῶι
ἰχθύες αἰθαλόεντες· ὑποβρυχίοιο δὲ πυρσοῦ
νηχομένωι σπινθῆρι διάβροχος ἔζεεν ἰλὺς
ὑγρὸν ἀναπτομένη· βυθίων δ' ἀπὸ καπνὸς ἐναύλων
ἔμπυρος ὑδατόεντι διέσσυτο σύνδρομος ἀτμῶι.
Ὑδριάδων δὲ φάλαγγες ἀνάμπυκες ὠκέι ταρσῶι
γυμναὶ κυματόεντος ἀπεπλάζοντο μελάθρου·
καί τις ἀναινομένη φλογερὸν πατρώιον ὕδωρ
Νηιὰς ἀκρήδεμνος ἀήθεα δύσατο Γάγγην·
ἄλλη δ' Ἰνδὸν ἔναιεν ἐριβρεμέτην Ἀκεσίνην L1[I]
ἀζαλέοις μελέεσσιν· ἀλωομένην δὲ Χοάσπης
ἄλλην οὐρεσίφοιτον ἀνάμπυκα Νηίδα Νύμφην
παρθενικὴν ἀπέδιλον ἐδέξατο, Περσίδι γείτων.
Ὠκεανὸς δ' ἰάχησεν ἀπειλείων Διονύσωι,
ὑδατόεν μύκημα χέων πολυπίδακι λαιμῶι,
2 (1C) καὶ ῥόον ἀενάων στομάτων κρουνηδὸν ἰάλλων
ἠιόνας κόσμοιο κατέκλυσε χεύματι μύθων·
"ἥλικος Ὠκεανοῖο παρευνέτι, σύγχρονε κόσμου,
παντρόφε συμμιγέων ὑδάτων, αὐτόσπορε Τηθύς,
ἀρχαίη φιλότεκνε, τί ῥέξομεν; αἰθαλόεις γὰρ
εἰς ἐμὲ καὶ σέο τέκνα κορύσσεται ὑέτιος Ζεύς·
ἅρπαγα γὰρ νόθον ὄρνιν ἔχει Κρονίωνα φονῆα
2 Ἀσωπὸς γενετῆρα, καὶ υἱέα Βάκχον Ὑδάσπης.
ἀλλὰ Διὸς στεροπῆισιν ἄγων ἀντίξοον ὕδωρ
ἠέλιον πυρόεντα ῥόωι σβεστῆρι καλύψω,
κρύψω δ' αἰθέρος ἄστρα· καὶ ἀθρήσει με Κρονίων
χεύματι μορμύροντι κατακλύζοντα Σελήνην·
Ἀρκτώιην δ' ὑπὸ πέζαν ἐμαῖς προχοῇσι λοέσσω
ἄξονος ἄκρα κάρηνα καὶ ἄβροχον ὁλκὸν Ἀμάξης·
καὶ βυθίης ἀρχαῖον ἐμῆς πλωτῆρα θαλάσσης
αἰθέριον Δελφῖνα πάλιν πλωτῆρα τελέσσω,
κρυπτόμενον πελάγεσσι· καὶ ἀστερόφοιτον ἐρύσσω
νόστιμον οὐρανόθεν μετανάστιον εἰς χθόνα Κελτῶν
Ἠριδανὸν πυρόεντα, καὶ ὑδατόεντα τελέσσω,

Βάκχης νηχομένης ἑλικώδεας ἔκλυσε χαίτας·
Nonnus ἄλλη βριθομένη διεροὺς ἀπεθήκατο πέπλους,
νεβρίδας οἰδαλέοισιν ἐπιτρέψασα ῥεέθροις,
καί οἱ ἐπὶ στέρνοισιν κορυσσομένου ποταμοῖο
ὄγκος ἐρευθιόωντι μέλας ἐπεσύρετο μαζῶι·
καὶ Σάτυρος παλάμῃσιν ἐρετμώσας χυτὸν ὕδωρ
ἰκμαλέην ἐλέλιζε δι᾽ ὕδατος ὄρθιον οὐρήν·
γηραλέοις δὲ πόδεσσι μεθυσφαλὲς ἴχνος ἐρέσσων
ἄστατος ὑδατόεντι Μάρων πεφορημένος ὁλκῶι
κύμασιν ἀσκὸν ἔλειπε βεβυσμένον ἡδέος οἴνου·
πυκνὰ δὲ σειομένη διδυμόζυγι σύνδρομος αὐλῶι
Πανιὰς ἀκροτάτοιο δι᾽ ὕδατος ἔπλεε σύριγξ,
κύμασιν αὐτοέλικτος· ἀμιλλητῆρι δὲ παλμῶι
Σειληνοῦ λασίοιο κατ᾽ αὐχένος ἔρρεε χαίτη.
καὶ ποταμὸς κελάδησεν ἀφυσγετὸν οἴδματι σύρων,
ξανθὸν ὑπὲρ πεδίοιο χέων μετανάστιον ὕδωρ,
κικλήσκων Διόνυσον ἐς ὑδατόεσσαν Ἐνυώ·
καὶ ῥόος ἐγρεκύδοιμος ἔχων ἀντίπνοον αὔρην
ἀγχινεφὴς ὑψοῦτο, διάβροχον ἠέρα φαίνων,
✦ οἴδματι παφλάζοντι καταθρώισκων Διονύσου.
οὐχ οὕτω Σιμόεντος Ἀρειμανὲς ἔβρεμεν ὕδωρ,
οὐχ οὕτω ῥόος ἔσκεν ἐγερσιμόθοιο Καμάνδρου
χεύματι κυματόεντι κατακλύζων Ἀχιλῆα,
ὡς τότε Βακχείην στρατιὴν ἐδίωξεν Ὑδάσπης.
καὶ ποταμῶι Διόνυσος ἀνήρυγε θυιάδα φωνήν·
L2[O] "τί κλονέεις Διὸς υἷα, Διιπετές; ἢν ἐθελήσω,
τερσαίνει σέο χεῦμα πατὴρ ἐμός, ὑέτιος Ζεύς.
ἐκ νεφέων βλάστησας ἐμοῦ Κρονίδαο τοκῆος,
καὶ νεφεληγερέταο Διὸς βλάστημα διώκεις;
πατρὸς ἐμοῦ πεφύλαξο βέλος λοχίοιο κεραυνοῦ,
μὴ στεροπὴν Βρομίοιο γενέθλιον εἰς σὲ κορύσσῃ·
ἅζεο, μὴ βαρύγουνος, ὅπως Ἀσωπός, ἀκούσῃς·
σὴν προχοὴν πρήυνον, ἕως ἔτι μῆνιν ἐρύκω.
ὑδατόεις πυρόεντι κορύσσεαι· οὐ δύνασαι δὲ
τλήμεναι αἰθαλόεντος ἕνα σπινθῆρα κεραυνοῦ.
εἰ δὲ μέγα φρονέεις χάριν Ἀστερίης σέο νύμφης,
ἣ λάχεν αἰθερίης Ὑπερίονος αἷμα γενέθλης,
Ἠελίου θρασὺν υἷα, πυρώδεος ἡνιοχῆος,
οὐρανὸν ἱππεύοντα πατὴρ ἐμὸς ἔφλεγε πυρσῶι,
καὶ νέκυν ἔστενε παῖδα πυρὸς ταμίης Ὑπερίων,
οὐδὲ χάριν Φαέθοντος ἐμῶι πολέμιζε τοκῆι,
οὐ πυρὶ πῦρ ἀνάειρε, καὶ εἰ πυρὸς ἡγεμονεύει.
εἰ χάριν ὑμετέρου μεγαλίζεαι Ὠκεανοῖο,
Ἠριδανὸν σκοπίαζε Διὸς πληγέντα βελέμνωι,
ὑμέτερον πυρίκαυτον ἀδελφεόν· αἰνοπαθὴς δὲ
σὸς διερὸς προπάτωρ, μιτρούμενος ἄντυγι κόσμου,
χεύμασι τοσσατίοισι χέων γαιήοχον ὕδωρ,
υἱὸν ἴδε φλεχθέντα, καὶ οὐ πολέμιζεν Ὀλύμπωι,
οὐ προχοαῖς ἐρέδαινε πυριγλώχινι κεραυνῶι.
ἀλλὰ τεῶν ὑδάτων ἔτι φείδεο, μή σε νοήσω

123 (71C) ἀνδροφόνον παρὰ χεῦμα σεσηρότος ἀνθερεῶνος.
καί τις ἑοὺς ἑτάρους δεδοκημένος Ἰνδὸς ἀγήνωρ Nonnus
τοὺς μὲν κτεινομένους δολιχῶι δορί, τοὺς δὲ μαχαίρῃ,
ἄλλον ὀιστευθέντα χαραδρήεντι βελέμνωι,
τὸν δὲ πολυπλέκτωι δεδαϊγμένον ὀξέι θύρσωι,
Θουρέι νεκρὸν ὅμιλον ἐδείκνυεν, ἀχνύμενος δὲ
τίλλε κόμην, φλογερῶι δὲ χόλου βακχεύετο πυρσῶι,
σφίγγων καρχαρόδοντι μεμυκότα χείλεα δεσμῶι·
καὶ ταχὺς αὐτοφόνον μιμούμενος Ἰνδὸν Ὀρόντην,
βάρβαρον αἷμα φέρων καὶ βάρβαρον ἦθος ἀέξων,
ἆορ ἑὸν γύμνωσεν, ἀπορρίψας δὲ χιτῶνα,
Ἄρεος ἀρραγὲς ἕρκος, ἀλεξητῆρα βελέμνων,
καὶ ξίφος ἀπτοίητος ἑῶι κενεῶνι πελάσσας
ὑστατίην ταχύποτμος ἀγήνορα ῥήξατο φωνήν·
"γαστήρ, δέχνυσο τοῦτο φίλον ξίφος· αἰδέομαι γάρ,
μή τις ἐμὲ κτείνειεν ἀνάρσιος ἀπτόλεμος χείρ.
αὐτὸς ἐμῶι κενεῶνι θελήμονα χαλκὸν ἐλάσσω,
μή με πατὴρ μέμψαιτο δεδουπότα θήλεϊ θύρσωι,
μὴ Σάτυρον, μὴ Βάκχον ἐμὸν καλέσειε φονῆα."
ἔννεπε κυανέης κατὰ γαστέρος ἆορ ἐρείσας
τολμηραῖς παλάμῃσιν, ἅτε ξένον ἄνδρα δαΐζων,
καὶ θάνεν αὐτοδάικτος ἐν ἀντιβίοισι Μενοικεύς,
αἰδόμενος μετὰ δῆριν ἰδεῖν ἔτι Δηριαδῆα·
ὄμμασι δ᾽ ἀκλαύτοισι θελήμονι κάτθανε πότμωι,
καὶ μανίης ἀπάνευθεν ἐφαίνετο χάλκεος Αἴας.
καὶ φόνος ἄσπετος ἦεν· ἀναινομένωι δὲ ῥεέθρωι L2[O]
κτεινομένους ἐκάλυψε καὶ ἔπλετο τύμβος Ὑδάσπης.
καί τις ἔσω ποταμοῖο πανυστατίην χέε φωνήν·
"καὶ σύ, πάτερ, προχοῇσι πόθεν σέο τέκνα καλύπτεις;
πολλάκι Βάκτρον Ἄρηα μετήιον, ἀλλὰ ῥεέθροις
οὔ ποτε Μῆδον ὅμιλον ἀπέκτανε Μῆδος Ἀράξης·
3 (2C) Περσικὸς Εὐφρήτης οὐκ ἔκρυφε γείτονα Πέρσην·
πολλάκι μοι παρὰ Ταῦρον ἔην μόθος, ἀλλ᾽ ἐνὶ χάρμῃ
οὐ Κίλικάς ποτε Κύδνος ἑῶι τυμβεύσατο κόλπωι·
οὐ Τάναϊς χιονῶδες ἄγων πετρούμενον ὕδωρ
γείτονι Σαυρομάτῃ θωρήσσεται, ἀλλὰ κορύσσων
Κόλχοις ἀντιβίοισι χαραδρήεσσαν Ἐνυὼ
πολλάκι παχνήεντι κατεπρήνιξε βελέμνωι.
3 Ἠριδανὸς πέλε σεῖο μακάρτερος, ὅττι ῥεέθροις
ἀλλοδαπὸν Φαέθοντα καὶ οὐκ ἔκρυψε πολίτην,
οὐ Γαλάτην ἐκάλυψε καὶ οὐ τάφος ἔπλετο Κελτῶι,
ἀλλὰ φίλοις ναέτῃσι ῥυηφενέων ἀπὸ δένδρων
Ἡλιάδων ἤλεκτρα φεραυγέα δῶρα κυλίνδει·
Ῥῆνος Ἴβηρ βρεφέεσσι κορύσσεται, ἀλλὰ δικάζων,
καὶ κρυφίην ὠδῖνα διασχίζων τοκετοῖο
κτείνει ξεῖνα γένεθλα· σὺ δὲ φθιμένων ναετήρων
κρύπτεις γνήσια τέκνα καὶ οὐ νόθον αἷμα καλύπτεις.
πῶς δύνασαι ποταμοῖσι μιγήμεναι ἠὲ καὶ αὐτῶι
Ὠκεανῶι γενέτῃ καὶ Τηθύι, σεῖο τεκούσῃ,
αἱμαλέαις λιβάδεσσι φόνου πλημμυρίδα σύρων;

ἄζεο, μὴ νεκύεσσι Ποσειδάωνα μιήνηις.
σεῖο ῥόος Βρομίοιο κακώτερος, ὅττί με θύρσοις
οὐ κλονέει Διόνυσος, ὅσον κλονέεις με ῥεέθροις."
ὣς εἰπὼν βαρύποτμος ἐδέχνυτο λοίσθιον ὕδωρ.
καὶ πλόος ἦν εὔοπλος· ἐκουφίζοντο δὲ λαοὶ
οἰδαλέοις μελέεσσιν· ἀποφθιμένου δὲ φορῆος
ἡμιφανὴς πλωτῆρι λόφωι πορθμεύετο πήληξ
δυομένη κατὰ βαιόν· ἐφαλλόμεναι δὲ ῥεέθροις
ἐκταδὸν ἐν ῥοθίοισιν ἅτε πρυμνήσια νηῶν
νηχομένους τελαμῶνας ἐναυτίλλοντο βοεῖαι,
στοιχάδες ἔνθα καὶ ἔνθα· βαρυνόμενον δὲ σιδήρωι
εἰς βυθὸν ὑγροχίτωνα κατέσπασεν ἀνέρα θώρηξ.
οὐδὲ μόθου Διόνυσος ἑοὺς ἀνέκοψε μαχητάς,
εἰ μὴ πάντας ἔπεφνεν ἑῶι ταμεσίχροϊ θύρσωι,
καλλείψας ἕνα μοῦνον ὅλων κήρυκα θανόντων·
Θουρέα μοῦνον ἔλειπε θεουδέα μάρτυρα νίκης.
Ἥρη δ' ὡς ἐνόησε δαϊκταμένων φόνον Ἰνδῶν,
οὐρανόθεν πεπότητο, δι' ὑψιπόρου δὲ κελεύθου
ἄστατος ἠνεμόεντι κατέγραφεν ἠέρα ταρσῶι.
Ἀντολίηι δ' ἐπέβαινε, καὶ ἤλασεν Ἰνδὸν Ὑδάσπην
φύλοπιν αἱματόεσσαν ἀναστῆσαι Διονύσωι.
ἀλλ' ὅτε βαρβαρόφωνος Ἑώιος ὤκλασεν Ἄρης,
δὴ τότε ναυτιλίης ἑτερότροπα μάγγανα τεύχων
χεύμασιν ἀκλύστοισι χορὸς πορθμεύετο Βάκχων.
καὶ θεὸς ἡγεμόνευε, δι' οἴδματος ἡνιοχεύων
ἅρμασι χερσαίοισι νόθον πλόον, ὑγροπόρων δὲ
πορδαλίων ἀδίαντος ὄνυξ ἐχάραξεν Ὑδάσπην·
καὶ στρατιαὶ πλόον εἶχον ἀκυμάντου ποταμοῖο,
ὧν ὁ μὲν Ἰνδώιην σχεδίην πολύδεσμον ἐρέσσων,
ὃς δέ, κυβερνήσας διερὴν ἀκάτοιο πορείην,
ἐνδάπιον σκάφος εἶχε λινορραφέων ἁλιήων
ἁρπάξας· ἕτερος δὲ νόθωι ναυτίλλετο θεσμῶι,
καὶ ξύλον αὐτόπρεμνον ὁμοίιον ὁλκάδι τεύχων,
ἅμματι τεχνήεντι περίπλοκα δούρατα δήσας,
ἔκτοθι πηδαλίου, δίχα λαίφεος, ἐκτὸς ἐρετμῶν,
οὐ Βορέην καλέων νηοσσόον — ἰθυτενὲς γὰρ
εἰς βυθίους κενεῶνα ὑποβρύχιον δόρυ πέμπων
Ἄρεος ὑγροπόροιο δορυσσόος ἔπλεε ναύτης —,
καὶ πλωτῆς ἀδίαντος ἐπ' ἀσπίδος οἴδματα τέμνων,
πεῖσμα φέρων τελαμῶνα, σακέσπαλον εἶχε πορείην,
ξείνην ναυτιλίην ψευδήμονι νηὶ χαράσσων.
καὶ στρατὸς ἱππήων ῥόον ἔστιχε, καὶ πλόος ἵππων
ποσσὶν ἔην ῥαχίηισιν ἀειρομένων ἐλατήρων·
καὶ τότε νηχομένου διερὸν δρόμον εὔποδος ἵππου
ἰξύι κουφίζοντος ὑπέρτερον ἡνιοχῆα
ὑψιφανὴς ἀνέτελλε δι' ὕδατος ἄβροχος αὐχήν.
καὶ στρατὸς ἐγρεμόθων πρυλέων ἀκάτοιο χατίζων,
ἀσκοῖς οἰδαλέοισι χέων ποιητὸν ἀήτην,
δέρματι φυσαλέωι διεμέτρεεν Ἰνδὸν Ὑδάσπην,
ἐνδομύχων δ' ἀνέμων ἐγκύμονες ἔπλεον ἀσκοί.
αἰγείοις δὲ πόδεσσι διέτρεχε Παρράσιος Πὰν
ἄκρα γαληναίοιο διαστείχων ποταμοῖο·
καὶ Λύκος ἡνιόχευε θαλασσαίων δρόμον ἵππων
πατρώιην ἀδίαντον ἄγων τέθριππον ἀπήνην·
καὶ γνωτῶι περόωντι συνέστιχε Δαμναμενῆι
Σκέλμις ἀκυμάντοιο καθιππεύων ποταμοῖο.
ἄλλος ὑπὲρ νώτοιο θορὼν ὁμόφοιτον ἀέλλαις
εἰς πλόον ἡνιόχευε καλαύροπι ταῦρον ὁδίτην,
καὶ βοέοις ὀνύχεσσι κατέγραφεν ἄψοφον ὕδωρ·
Σειληνοὶ δὲ γέροντες ἐναυτίλλοντο θαλάσσηι
καὶ ποσὶ καὶ παλάμηισιν ἐρετμώσαντες Ὑδάσπην
καὶ προχέων κρουνηδὸν ἀλεξήτειραν ἰωὴν
γνωτῶι κυματόεντι γέρων ἰάχησεν Ὑδάσπης,
μῦθον ἀπειλητῆρα χέων πολυπίδακι λαιμῶι·
"γνωτὲ πέπον, τέο μέχρι τεὸς ῥόος ἄψοφος ἕρπει;
οἴδματα σεῖο κόρυσσον ἐπιβρίθων Διονύσωι,
ὄφρα κατακρύψωμεν ἐν ὕδασι πεζὸν ὁδίτην.
σοὶ καὶ ἐμοὶ πέλεν αἶσχος, ὅτε Βρομίοιο μαχηταὶ
ἀβρέκτοις ἐμὸν οἶδμα διασχίζουσι πεδίλοις·
Αἰόλε, καὶ σὺ τέλεσσον ἐμοὶ χάριν, ἀντιβίοις δὲ
σοὺς προμάχους θώρηξον ἀελλήεντας ἀήτας
μαρναμένους Σατύροισιν, ὅτι στρατὸς ὑγρὸς ὁδίτης
ἅρμασι χερσαίοισι βατὸν ποίησεν Ὑδάσπην,
καὶ δρόμον ὑγρὸν ἔχουσιν ἐν ὕδασιν ἡνιοχῆες·
σοὺς ἀνέμους θώρηξον ἐμῶι πορθμῆι Λυαίωι
χεύμασι δ' ἑλκέσθω Σατύρων στόλος, ἡνιόχων δὲ
συρομένων προχοῆισιν ἐμὸς ῥόος ἅρμα δεχέσθω,
οἴδματι λυσσήεντι καλυπτομένων ἐλατήρων.
οὐ μὲν ἐγὼ νήποινον ἀήθεα πορθμὸν ἐάσω·
σοὶ καὶ ἐμοὶ πέλεν αἶσχος, ὅταν Βρομίοιο μαχηταὶ
ἀτραπὸν ἡνιόχοισι καὶ ἀβρέκτοισιν ὁδίταις
ὑγροπόρους δὲ λέοντας ἀιστώσω Διονύσου.
εἰπέ, πόθεν βατὸς ἔσκεν ἐμὸς ῥόος, ὑγροβαφὴς δὲ
Νηιὰς ἐν προχοῆισι πόθεν χρεμετισμὸν ἀκούει
καὶ ῥάχιν ἰχθυόεσσαν ὄνυξ ἵππειος ἀράσσει;
αἰδέομαι ποταμοῖσι μιγήμεναι, ὅττι γυναῖκες
ἡμέας ἀκλύστοισι διαστείβουσι πεδίλοις.
οὔ ποτε τολμήεντες ἐμὸν ῥόον ἔξεον Ἰνδοὶ
ἅρμασιν ἠλιβάτοισι, καὶ οὐ πατρώιον ὕδωρ
Δηριάδης ἐχάραξεν ἑῶι περιμηκεῖ δίφρωι,
ὑψιλόφων λοφίηισιν ἐφεδρήσσων ἐλεφάντων."
ὣς εἰπὼν ἐκόρυσσεν ἑὸν ῥόον· ἆλτο δὲ Βάκχωι
αἰχμάζων ῥοθίοισιν· ἀελλήεσσα δὲ πολλὴ
μαρναμένων ὑδάτων διερὴ μυκήσατο σάλπιγξ·
καὶ ποταμὸς κελάρυζεν ἄγων ὑψούμενον ὕδωρ,
μαρνάμενος Σατύροισι· πολυφλοίσβωι δὲ κυδοιμῶι
Βασσαρὶς ἀβροχίτων ἀπεσείσατο κύμβαλα χειρῶν
καὶ πόδας ἀμφελέλιζεν, ἐρεσσομένοιο δὲ ταρσοῦ
ξανθὰ πολυρραφέων ἀπεσείσατο δεσμὰ πεδίλων,
καὶ ῥόος ἠνεμόεις πεφορημένος ἄχρι καρήνου

125

Nonnus

σὸς δόλος οὔ με λέληθε· τεὸς τάχα νυμφίος Ἄρης
εἰς γάμον ἱμερόεντας ἀπαιτίζει σε χιτῶνας.
Ἀρεϊ πέπλον ὕφαινε· νεοκλώστωι δ' ἐνὶ πέπλωι
ἀσπίδα μὴ ποίκιλλε· τί γὰρ σακέων Ἀφροδίτηι;
τεῦχε τεῆς Φαέθοντα φεραυγέα μάρτυρον εὐνῆς,
φώριον ἀγγέλλοντα τεῶν συλήτορα λέκτρων·
ἢν ἐθέληις, ποίκιλλε καὶ ἀρχαίους σέο δεσμούς,
καὶ θεὸν ἀσκήσειε νόθον πόσιν αἰδομένη χείρ·
καὶ σὺ τεὸν μετὰ τόξον, Ἔρως, ἄτρακτον ἑλίσσων
μητέρι νήματα τεῦχε φιληλακάτωι Κυθερείηι,
ὄφρα μετὰ πτερόεντα καὶ ἱστοπόνον σε καλέσσω,
καὶ μετὰ νεῦρα βόεια θεὸν πυρόεντα νοήσω
πηνίον ἐξέλκοντα παρὲκ μίτον ἀντὶ βελέμνων.
χρυσῶι τεῦξον Ἄρηα μετὰ χρυσῆς Ἀφροδίτης
κερκίδα χειρὶ φέροντα καὶ οὐ πάλλοντα βοείην,
δίπλακα ποικίλλοντα σὺν ἐργοπόνωι Κυθερείηι.
ἀλλά, θεὰ Κυθέρεια, φιληλακάτων ἀπὸ χειρῶν
ῥῖπτε μίτους ἀνέμοισι καὶ ἄμφεπε κεστὸν ἱμάντα,
συζυγίης δ' ἀλέγιζε τὸ δεύτερον· ἀρχέγονος γὰρ
πλάζεται εἰσέτι κόσμος, ἕως ἔτι πέπλον ὑφαίνεις."
  ὣς φαμένου μείδησαν, ὅσοι ναετῆρες Ὀλύμπου.
καὶ μίτον ἡμιτέλεστον ἀπορρίψασα χιτῶνος
αἰδομένη γλαυκῶπιν ἑῆς ἐπεβήσατο Κύπρου
ἀνδρομέης Κυθέρεια τιθηνήτειρα γενέθλης·
καὶ βίον αἰολόμορφον Ἔρως πάλιν ἥρμοσε κεστῶι
L1[O] σπείρων εὐαρότοιο λεχώιον ἄντυγα κόσμου.
  τοίην ἱμερόφωνον ἀνέπλεκε Λεῦκος ἀοιδὴν
ἠλακάτης ἀδίδακτον ἀνυμνείων Ἀφροδίτην,
ἐργοπόνωι μέγα νεῖκος ἀναστήσασαν Ἀθήνηι.
  ἀλλ ὅτε δὴ κόρος ἔσκε φιλακρήτοιο τραπέζης,
οἶνον ἀναβλύζοντες ἐρημάδι κάππεσον εὐνῆι·
οἱ μὲν δαιδαλέης ἐπὶ νεβρίδος, οἱ δ' ἐπὶ φύλλων 1
πεπταμένων, ἕτεροι δὲ χυτῆς ἐφύπερθε κονίης
δέρμασιν αἰγείοισιν ἐπεστορέσαντο χαμεύνην·
ἄλλοι δ' ἐγρεμόθοισιν ἐφωμίλησαν ὀνείροις,
χάλκεον ἀπλώσαντες ἐνυαλίωι δέμας ὕπνωι,
ὧν ὁ μὲν Ἰνδὸν ἔβαλλε καθήμενον ὑψόθεν ἵππου,
ἄλλος δ' Ἰνδὸν ἔνυξε κατ' αὐχένος, ὃς δὲ δαΐζων
ἄορι πεζὸν ἔτυψεν, ὁ δ' οὔτασε Δηριαδῆα· 1
ἄλλος δ' ἠερόφοιτον ἑὸν βέλος ὑψόσε πέμπων
ἠλιβάτους ἐλέφαντας ὀνειρείωι βάλεν ἰῶι.
  πορδαλίων δὲ γένεθλα καὶ ἄγρια φῦλα λεόντων
καὶ κύνες ἀγρευτῆρες ἐρημονόμου Διονύσου
εἶχον ἀμοιβαίης φυλακῆς ἄγρυπνον ὀπωπήν,
πάννυχον ἐγρήσσοντες ὀρειάδος ἔνδοθεν ὕλης,
μή σφιν ἐπαΐξειε μελαινομένων μόθος Ἰνδῶν·
καὶ δαΐδες στοιχηδὸν ἐπαστράπτεσκον Ὀλύμπωι,
24.348 ◆ Βακχιάδος λαμπτῆρες ἀκοιμήτοιο χορείης.
26.1 Δηριάδηι δ' εὕδοντι κατηφέος ὑψόθεν εὐνῆς
26.2 Βάκχωι πιστὰ φέρουσα παρίστατο θοῦρις Ἀθήνη,
γνωτῶι δ' ἐσσομένη ἑτέρην μνηστεύετο νίκην·

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The twenty-fourth has the infinite mourning of the Indians, and the shuttle and distaff of Aphrrodite working at the loom.

NONNUS

DIONYSIACA

BOOK 24

PREVIEW BOOK 26

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 348 lines 3.0
2L 1 - 348

PRINT 2-SIDED: **141** to **144**

Ζεὺς δὲ πατὴρ κοτέοντος ἀπέτραπε παιδὸς ἀπειλήν,
δοῦπον ὁμοπλεκέων νεφέων βρονταῖον ἱμάσσων·
καὶ χόλον ἐπρήυνεν ἀτέρμονος Ὠκεανοῖο,
ὑσμίνην φλογόεσσαν ἐρητύων Διονύσου.
Ἥρη δ' ἐσμαράγησε δι' ἠέρος ἄπλετον ἠχώ,
μῆνιν ἀναστέλλουσα πυρισθενέος Διονύσου.
καὶ διερὴν παλάμην ὀρέγων οἰκτίρμονι Βάκχωι
παιδὶ Διὸς πυρόεντι γέρων ἰάχησεν Ὑδάσπης,
μῦθον ἀναβλύζων ἱκετήσιον ἀνθερεῶνος·
"φείδεό μοι, Διόνυσε, Διιπετέος ποταμοῖο,
ὕδασι καρποτόκοισι φέρων χάριν· ὑμετέρη γὰρ
ἐξ ὑδάτων εὔβοτρυς ἀνεβλάστησεν ὀπώρη.
ἀασάμην, Διόνυσε πυριτρεφές· οὐρανίην γὰρ
σῶν δαΐδων ἀμάρυγμα τεὴν κήρυξε γενέθλην.
ἀλλὰ πόθος τεκέων με βιήσατο· Δηριάδηι γὰρ
υἱέι πιστὰ φέρων ῥοθίων ἐλέλιζον ἀπειλήν,
Ἰνδοῖς κτεινομένοισι βοηθόον οἶδμα κυλίνδων.
αἰδέομαι γενετῆρι φανήμεναι, ὅττι θαλάσσηι
αἵματι μορμύροντι μεμιγμένα χεύματα σύρω
καὶ φονίηι ῥαθάμιγγι Ποσειδάωνα μιαίνω·
τοῦτό με, τοῦτο κόρυσθεν ἐριδμαίνειν Διονύσωι.
πρὸς δὲ τεοῦ ξενίοιο καὶ ἱκεσίοιο τοκῆος,
αἴδεο παφλάζοντα τεῶι πυρὶ θερμὸν Ὑδάσπην.
Νηιάδες φεύγουσιν ἐμὸν ῥόον· ἀμφὶ δὲ πηγὰς
ἡ μὲν ναιετάει διερὸν δόμον, ἡ δ' ἐνὶ λόχμαις
σύννομος Ἁδρυάδεσσι φυτὸν μετὰ πόντον ἀμείβει,
ἄλλη δ' Ἰνδὸν ἔχει μετανάστιος, ἡ δὲ φυγοῦσα
ποσσὶ κονιομένοισιν ἐδύσατο διψάδα πέτρην
Καυκασίην, ἑτέρη δὲ μεταΐξασα Χοάσπην
ναίει ξεῖνα ῥέεθρα καὶ οὐκέτι πάτριον ὕδωρ.
μὴ καλάμους ὀλέσειας, ἐμῶν βλάστημα ῥοάων,
οἷσιν ἀεξομένοισιν ἐρείδεται οἰνάδος ὄρπηξ
ἀμπελόεις· δόνακες γὰρ ἐπ' ἀλλήλοισι δεθέντες
ὑμετέρην εὔυδρον ἐλαφρίζουσιν ὀπώρην·
μὴ δόνακας φλέξειας, ὅθεν σέο Μυγδόνες αὐλοί,
μή ποτέ σοι μέμψαιτο τεὴ φιλόμολπος Ἀθήνη,
ἥ ποτε Γοργείων βλοσυρὸν μίμημα καρήνων
φθεγγομένων Λίβυν εὗρεν ὁμοζυγέων τύπον αὐλῶν·
καὶ σέο μυστιπόλοιο κυβερνήτειραν ἀοιδῆς
Πανιάδος σύριγγος ὁμόθροον αἴδεο μολπήν·
λῆγε τεῶι νάρθηκι ῥόον ποταμοῖο μαραίνων,
ὅττι ῥόος ποταμοῖο τεοὺς νάρθηκας ἀέξει.
οὐ ξένον οἶδμα πέρησας ἐπώνυμον· ἀλλοφυῆ γὰρ
ἄλλον ἐγὼ Διόνυσον ἐμοῖς φαίδρυνα λοετροῖς,
ὁπλοτέρου Βρομίοιο φερώνυμον, εὖτε Κρονίων
Ζαγρέα παιδοκόμοισιν ἐμαῖς παρακάτθετο Νύμφαις·
καὶ σὺ φέρεις Ζαγρῆος ὅλον δέμας· ἀλλὰ σὺ κείνωι
δὸς χάριν ὀψιτέλεστον, ὅθεν πέλες· ἀρχεγόνου γὰρ
ἐκ κραδίης ἀνέτελλες, ἀειδομένου Διονύσου.
ὑμετέρου δὲ γέραιρε Λάμου κουροτρόφον ὕδωρ·

Παλλάδος ἔργον ἔτευχε παλίλλυτον, ἀλλοτρίωι δὲ
ἀτρίπτους ἕο χεῖρας ἀήθεϊ τείρετο μόχθωι·
καὶ κτενὶ πουλυόδοντι διαξύουσα χιτῶνα
καὶ λίθον ὀρχηστῆρα περικρεμάσασα μεσάκμωι
κερκίδι πέπλον ὕφαινε, καὶ ἔπλετο Κύπρις Ἀθήνη;
καὶ πόνος ἦν ἀγέλαστος· ὑφαινομένοιο δὲ πέπλου
εὐρυτενὴς ὠγκοῦτο πέλωρ μίτος· αὐτόματοι δὲ
στήμονες ἐρρήγνυντο παχυνομένοιο χιτῶνος·
εἶχε δὲ διχθαδίοισι πόνοις ἐπιμάρτυρα τέχνης
Ἠέλιον καὶ λύχνον ἀναγκαίην τε Σελήνην.
οὐ χορὸν ὠρχήσαντο χορίτιδες Ὀρχομενοῖο
ἀμφίπολοι Παφίης· τροχαλῆι δ' ἐλέλιξεν ἐρωῆι
Πασιθέη κλωστῆρα, καὶ εἰροκόμος πέλε Πειθώ,
καὶ μίτον Ἀγλαΐη καὶ νήματα δῶκεν ἀνάσσηι.
καὶ μερόπων ἀλάλητο γάμων βίος· ἁρμονίην δὲ
ἔστενεν ἀχρήιστον ἀνυμφεύτων ὑμεναίων
ἡνίοχος βιότοιο γέρων δεδονημένος Αἰών·
καὶ φλογερὴν ἀγέραστος Ἔρως ἀνελύσατο νευρήν,
παπταίνων ἀλόχευτον ἀνήροτον αὔλακα κόσμου.
οὐ τότε φορμίγγων ἐρόεις κτύπος, οὐ τότε σύριγξ,
οὐ λιγὺς αὐλὸς ἔμελπεν 'Ὑμὴν Ὑμέναιε' λιγαίνων·
ἀλλὰ βίου μινύθοντος ἱμασσομένης τε γενέθλης
συζυγίης ἀλύτοιο μετωχλίσθησαν ὀχῆες.
καὶ Παφίην φιλόμοχθον ἴδεν ταλαεργὸς Ἀθήνη,
καὶ χόλον εἶχε γέλωτι μεμιγμένον, ὡς ἴδε μακρὴν
τρηχαλέην μήρινθον ἀπειροπόνου Κυθερείης·
ἀθανάτοις δ' ἤγγειλε· βαρυζήλωι δὲ μενοινῆι
ἔννεπε, μεμφομένη καὶ Κύπριδι καὶ γενετῆρι·
"σὴ δόσις ἀλλοπρόσαλλος ἀμείβεται, οὐράνιε Ζεῦ·
οὐκέτι Μοιράων μεθέπωι δόσιν· ἱστοπόνος γὰρ
κλῆρον ἐμὸν σύλησε τεὴ θυγάτηρ Ἀφροδίτη.
κλῆρον Ἀθηναίης οὐχ ἥρπασε δεσπότις Ἥρη,
γνωτὴ καὶ παράκοιτις ἐμοῦ Διός, ἀλλὰ χαλέπτει
ἐκ γενετῆς σακέεσσι κορυσσομένην Ἀγελείην
ἡ ταμίη θαλάμων, ἁπαλὴ θεός. ὑμετέρου δὲ
ἀπτόλεμος Κυθέρεια πότε προμάχιζεν Ὀλύμπου,
ἠὲ τίνας Τιτῆνας ἀπώλεσε θήλεϊ κεστῶι,
ὅττι μετὰ πτολέμους με βιάζεται; ἀλλὰ καὶ αὐτὴ
εἰπέ μοι, ἰοχέαιρα, τεῆς πότε μεσσόθεν ὕλης
εἶδες ὀιστεύουσαν ἢ ἀγρώσσουσαν Ἀθήνην;
τίς καλέει γλαυκῶπιν, ὅτ' ὠδίνουσι γυναῖκες;"
ὣς φαμένης ἀγέροντο θεοὶ ναετῆρες Ὀλύμπου,
ἱστὸν ἰδεῖν ἐθέλοντες ἐποιχομένην Ἀφροδίτην.
καὶ καμάτους ὁρόωντες ἀπειρομόθου Κυθερείης
θαμβαλέοι νόθον ἔργον ἐκυκλώσαντο θεαίνης·
καὶ γελόων ἀγόρευε πάλιν φιλοκέρτομος Ἑρμῆς·
"ἱστὸν ἔχεις, Κυθέρεια· τεὸν λίπε κεστὸν Ἀθήνηι.
εἰ μίτον ἀμφαφάαις, εἰ κερκίδα χερσὶ τιταίνεις,
καὶ δόρυ θοῦρον ἄειρε καὶ αἰγίδα Τριτογενείης.
οἶδα, πόθεν, Κυθέρεια, πολύκροτον ἱστὸν ὑφαίνεις,

“οὐ πίομαι πατρῷιον ἐμόν ποτε πικρὸν Ὑδάσπην· 127 (74C)
οὐκέτι κεῖνα ῥέεθρα παρέρχομαι, οὐκέτι δειλὴ
σεῖο νέκυν κρύψαντος ἐπιψαύσω ποταμοῖο,
οὐ μὰ σὲ καὶ σέο φόρτον, ὃν ἔνδοθι γαστρὸς ἀείρω,
οὐ μὰ σὲ καὶ τὸν ἔρωτα, τὸν οὐ χρόνος οἶδε μαραίνειν.
τίς με λαβὼν κομίσειεν, ὕπου πέσε νεκρὸς ἀκοίτης,
ὄφρα περιπτύξω διερὸν νέκυν, ὄφρα καὶ αὐτὴν
κῦμα κατακρύψηι με σὺν ὑγροπόρωι παρακοίτηι;
αἴθε δὲ καὶ τέκον υἷα καὶ ἔτρεφον· ἄρτι δὲ δειλὴν
γαστέρος ὄγκος ἔχει με πεπαινομένου τοκετοῖο.
εἰ δὲ τέκω ποτὲ παῖδα καὶ αἰτίζηι γενετῆρα,
υἱέι παππάζοντι πόθεν δείξαιμι τοκῆα;”
εἶπε τὸν οὐκ ἀίοντα κινυρομένη παρακοίτην.
ἄλλη δ’ ἐστενάχιζεν ἀνυμφεύτους ὑμεναίους
ὀλλυμένου μνηστῆρος, ὃν οὐκ ἴδεν εὔγαμος ὥρη
στέμματι νυμφιδίωι πεπυκασμένον, οὐδ’ ἐνὶ παστῶι
ἡδυμελὴς ἤεισε βιοσσόος αὐλὸς Ἐρώτων.
τοῖσι μὲν ἀχνυμένοισιν ἔην γόος. ἀμφὶ δὲ λόχμας
Βάκχος ἑοῖς Σατύροισι καὶ Ἰνδοφόνοισι μαχηταῖς
εἰλαπίνην ἔστησεν· ἐδαιτρεύοντο δὲ ταῦροι,
καὶ δαμάλαι στοιχηδὸν ἐμιστύλλοντο μαχαίρηι
θεινόμεναι πελέκεσσιν, Ἐρυθραίης δ’ ἀπὸ ποίμνης
πυκνὰ δορικτήτων ἱερεύετο πώεα μήλων.
ἑζόμενοι δ’ ἀγεληδὸν ἐπ’ εὐκύκλοιο τραπέζης
Σειληνοὶ Σάτυροί τε σὺν εὐθύρσωι Διονύσωι
L2[O] χερσὶ πολυσπερέεσσι μιῆς ἔψαυσαν ἐδωδῆς·
πίνετο δ’ ἄσπετος οἶνος ἀμοιβαδίς· οἰνοχόοι δὲ
εὐόδμους ἐκένωσαν ἀπείρονας ἀμφιφορῆας,
νεκταρέης ἀρύοντες ἀμεμφέα βότρυν ὀπώρης.
τοῖσι δὲ τερπομένοισι παρὰ κρητῆρα λιγαίνων
Λέσβιος αὐτοδίδακτος ἀνέπλεκε Λεῦκος ἀοιδήν,
πῶς πρότεροι Τιτῆνες ἐθωρήχθησαν Ὀλύμπωι· 3 (2C)
καὶ Διὸς ὑψιμέδοντος ἀληθέα μέλπετο νίκην,
πῶς Κρόνον εὐρυγένειον ὑποκλάζοντα κεραυνῶι
Ταρταρίωι ζοφόεντι κατεσφρηγίσσατο κόλπωι,
χείματος ὑδρηλοῖσι μάτην κεκορυθμένον ὅπλοις.
Κυπριάδος δὲ Λάπηθος ἀτευχέος ἀστὸς ἀρούρης
ἔμφρονι φορμικτῆρι παρέζετο, καί οἱ ἐδωδῆς
πίονα μοῖραν ὄρεξε, καὶ ἤιτεε κεῖνον ἀείδειν 3
τερπνὸν ἀσιγήτοισι μεμηλότα μῦθον Ἀθήναις,
ἱστοπόνον Κυθέρειαν ἐριδμαίνουσαν Ἀθήνηι.
αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο Κύπριν ἀείδειν,
ὥς ποτε κέντρον ἔχουσα φιληλακάτοιο μερίμνης
χερσὶν ἀπειρήτοισι μετήιεν ἱστὸν Ἀθήνης,
κερκίδα κουφίζουφα καὶ οὐκέτι κεστὸν Ἐρώτων.
καὶ Παφίης τετάνυστο παχὺς μίτος, οἷά τὸ μακρὴ
οἰσυΐνη μήρινθος ἐΰστροφος, ἥν τινι τέχνηι
◆ ὁλκοῖς μηκεδανοῖσι γέρων ἐρράψατο τέκτων,
φράξας ἀρτιτέλεστα σεσηρότα δούρατα νηῶν·
ἡ δὲ πανημερίη καὶ παννυχίη πέλας ἱστοῦ

Nonnus

μνώεο Μαιονίης σέο πατρίδος· ὑμετέρου γὰρ
Πακτωλοῦ χαρίεντος ἀδελφεός ἐστιν Ὑδάσπης.
καὶ σὺ τόσοις ποταμοῖσι μίαν χάριν ἄρτι τιταίνων,
γνωτοῖς ἡμετέροισι, τεὴν ἀνασείρασον αἴγλην·
μηδὲ πυρὶ φλέξηις ὑδάτων χύσιν· ἐξ ὑδάτων γὰρ
ἀστεροπὴ βλάστησε, τεοῦ Διὸς ὑέτιον πῦρ.
ἀλλὰ χόλον πρήυνε, τεοῖς ὅτι γούνασι πίπτω
μειλίχιον στορέσας ἱκέτην ῥόον· ἐν πολέμοις γὰρ
εἰ θρασὺν αὐχένα κάμπτε, καὶ ἤπιος ἔσκε Τυφωεύς,
καί κεν ἀπορρέψας παλινάγρετον ὄγκον ἀπειλῆς
ἀστεροπὴν ἀνέκοπτε πατὴρ τεός, ὑψιμέδων Ζεύς.”
ὣς φαμένου Διόνυσος ἑὴν ἀνεσείρασε πεύκην.
καὶ προχοὰς Ἀρκτῷος ἀνερρίπιζεν ἀήτης
χειμερίηι μάστιγι, φέρων δυσπέμφελον αὔρην,
χεῦμα πυριβλήτοιο καταψύχων ποταμοῖο,
Ἠέλιον καὶ Βάκχον ὁμοῦ καὶ Ζῆνα γεραίρων,
καὶ ῥοθίων ἄσβεστον ἀπέσβεσε δαιμόνιον πῦρ.
ὄφρα μὲν εἰσέτι Βάκχος ἐπέπλεεν ὑγρὸν Ὑδάσπην,
τόφρα δέ, θάρσος Ἄρηος ἔχων, περιμήκετον ὁρμὴν
Δηριάδης ἐπὶ δῆριν ἐπώνυμον ὥπλισεν Ἰνδούς,
στήσας ἀμφὶ ῥέεθρον ἑὰς στίχας, ὄφρα μαχηταὶ
λαὸν ἐρητύσωσιν ἀνερχομένων ἔτι Βάκχων.
οὐδὲ Διὸς λάθεν ὄμμα πανόψιον· ἐσσυμένως δὲ
οὐρανόθεν πεφόρητο προασπίζων Διονύσου.
καὶ σφετέροισιν ἰόντες ἀρηγόνες, ἄλλος ἐπ’ ἄλλωι,
σὺν Διὶ πάντες ἵκοντο θεοὶ ναετῆρες Ὀλύμπου L2[O]
ἅλματι πωτήεντι· καὶ Αἰγίνης χάριν εὐνῆς
αἰετὸς ἠιώρητο τὸ δεύτερον ὑψιπέτης Ζεὺς
Ἀσωποῦ μετὰ χεῦμα, καὶ Αἰακὸν ἠεροφοίτην
φειδομένων ὀνύχων δεδραγμένος ἅρπαγι ταρσῶι
κουφίζων ἐκόμισσεν ἐς Ἄρεα Δηριαδῆος
Ἰνδῴην ἐπὶ πέζαν· ἀπ’ εὐρυπόροιο δὲ κόλπου
υἱὸν Ἀρισταῖον γενέτης ἐσάωσεν Ἀπόλλων,
φαιδρὸς ἀλεξικάκων πεφορημένος ἅρματι κύκνων,
μνῆστιν ἔχων θαλάμοιο λεοντοφόνοιο Κυρήνης
καὶ κρατέων ἕο παῖδα τανύπτερος ἥρπασεν Ἑρμῆς.
υἱέα Πηνελόπης, κεραελκέα Πᾶνα κομήτην·
Οὐρανίη δ’ Ὑμέναιον ἀνεζώγρησεν ὀλέθρου
παιδὸς ἑοῦ γονόεντος ἐπώνυμον, ἠερίας δὲ
ἀτραπιτοὺς ἐχάραξεν, ὁμοίιος ἀστέρος ὁλκῶι,
γνωτῶι βοτρυόεντι χαριζομένη Διονύσωι·
Καλλιόπη δ’ Οἴαγρον ἑοῖς ἀνεκούφισεν ὤμοις·
καὶ τεκέων Ἥφαιστος ἑῶν ἀλέγιζε Καβείρων,
ἀμφοτέρους δ’ ἥρπαξεν, ὁμοίιος ὀξέι πυρσῶι·
Ἀκταίη δ’ ἐσάωσεν Ἐρεχθέα Παλλὰς Ἀθήνη
Ἰνδοφόνον, ναετῆρα θεοκρήπιδος Ἀθήνης·
Νύμφας δ’ Ἀδρυάδας ναέται ζώγρησαν Ὀλύμπου
πάντες, ὅσοις μεμέληντο φίλαι δρύες, ἔξοχα δ’ ἄλλων
δαφναίας ἐσάωσε φανεὶς δαφναῖος Ἀπόλλων,
καί σφιν ἅμα χραίσμησε συνέμπορος υἱέι μήτηρ,

εἰσέτι κυδαίνουσα λεχώια δένδρεα Λητώ. 128 (75C)
Βασσαρίδων δὲ φάλαγγα κορυμβοφόρους τε γυναῖκας
ἐκ βυθίου ῥύσαντο πολυφλοίσβοιο κυδοιμοῦ
θυγατέρες Κύδνοιο, φιλοζεφύρου ποταμοῖο,
πλωτὸν ἐπιστάμεναι διερὸν δρόμον, ἃς ἐπὶ νίκηι
Ἄρεος Ἰνδῴοιο πατὴρ δωρήσατο Βάκχωι,
Νηιάδας πολέμοιο δαήμονας, ἅς ποτε χάρμην
μαρνάμενος Κρονίωνι Κίλιξ ἐδίδαξε Τυφωεύς.
καὶ στρατὸς ὡμάρτησεν ὁμόστολος· ἐσσυμένους δὲ
Εὔιος ἔφθασε πάντας, ὀρεσσαύλων ἐπὶ δίφρων
ἄξονος ἀβρέκτοιο διαξύων ῥόον ὁλκῶι·
καὶ Σατύρων δρόμον εἶχεν ὁμόστολον, οἷς ἅμα Βάκχαι
ὑγροπόροι καὶ Πᾶνες ὁμήλυδες· ἔξοχα δ' ἄλλων
ὠκύτεροι Τελχῖνες ἁλιτρεφέων ὑπὲρ ἵππων,
πατρῴης ἐλατῆρες ἁλικρήπιδος ἀπήνης,
εἰς δρόμον ὡμάρτησαν ἐπειγομένωι Διονύσωι.
ἄλλοι δ' ἦσαν ὄπισθεν, ἐπεσσεύοντο δὲ πορθμῶι
ἐξ ἑτέρης ἀνιόντες ἀθηήτοιο κελεύθου,
ἧχι θεὸς πόμπευεν· ἐπεὶ πτερὸν ἠρέμα πάλλων
αἰετὸς ἡγεμόνευε δι' οὔρεος ἀντίτυπος Ζεύς,
φειδομένοις ὀνύχεσσι μετάρσιον υἷα κομίζων,
Αἰακὸν ἠερίηι πεφορημένον ὕψι κελεύθωι.
Ἰνδῴηι δ' ἐχόρευον ἐπισκαίροντες ἐρίπνηι,
καὶ σκοπέλους ἐδίωκον, ἐναυλίζοντο δὲ λόχμαις,
καὶ κλισίας πήξαντες ἐς ἠρέμα δάσκιον ὕλην {...}
L2[I] οἱ δὲ τανυκραίρων ἐλάφων κεμαδοσσόον ἄγρην
εἶχον ἅμα σκυλάκεσσιν· Ἁμαδρυάδεσσι δὲ Νύμφαις
Ὑδριάδες μίσγοντο φιλοπτόρθου Διονύσου.
Βασσαρίδων δὲ φάλαγγες Ἐρυθραίηι παρὰ λόχμηι
σκύμνον ὀρεσσαύλοιο τιθηνήσαντο λεαίνης,
αὐτοχύτου δὲ γάλακτος ἀνέβλυον ἰκμάδα μαζοί·
ἄλλη ἐχιδναίοιο πόθον μεθέπουσα κορύμβου 4 (3C)
ἰοβόλων μάστευε δι' οὔρεος ἄντρα δρακόντων,
θηροσύνην δ' ἀνέφαινεν· ἀκοντιστῆρι δὲ θύρσωι
ἡ μὲν νεβρὸν ἔβαλλεν ἀελλόπον· ἡ δὲ λαθοῦσα
ἅλματι λυσσήεντι κατέδραμε λυσσάδος ἄρκτον·
ἡ δὲ μελαρρίνων ῥαχίης ἐδράξατο θηρῶν
καὶ λοφίης ἐπέβαινεν ὀρεσσινόμων ἐλεφάντων.
καί τις ὀιστοβόλων βέλος ἥρμοσε κυκλάδι νευρῆι 4
καὶ πτελέην τόξευεν· ὁ δὲ σκοπὸν εἶχεν ἐλαίην·
καὶ πίτυν ἄλλος ἔβαλλε· πολὺς δ' ἐπὶ γείτονα πεύκην
πεμπομένων σύριζεν ἐν ἠέρι ῥοῖζος ὀιστῶν.
τοῖσι μὲν ἔβρεμε κῶμος ὀρίκτυπος. ἀχνύμενος δὲ
Δηριάδηι βασιλῆι δυσάγγελος ἵκετο Θουρεύς,
δάκρυσιν ἀφθόγγοισιν ἀπαγγέλλων φόνον Ἰνδῶν,
καὶ μόγις ἐκ στομάτων ἀνενείκατο πενθάδα φωνήν·
"Δηριάδη σκηπτοῦχε, θεηγενὲς ἔρνος Ἐννοῦς,
ἤιομεν, ὡς ἐκέλευσας, ἐς ἀντιπέραιαν ἐρίπνην,
εὕρομεν ἐν βήσσηισιν ἐρημάδα γείτονα λόχμην·
κεῖθι λόχον στήσαντες ἐμίμνομεν, εἰσόκεν ἔλθηι
θυρσομανὴς Διόνυσος· ἐπερχομένοιο δὲ Βάκχου
αὐλὸς ἐπεσμαράγησεν, ἀδεψήτου δὲ βοείης
τυπτομένης ἑκάτερθεν ἔην χαλκόκροτος ἠχὼ
καὶ καναχὴ σύριγγος· ὅλη δ' ἐλελίζετο λόχμη
καὶ δρύες ἐφθέγξαντο καὶ ὠρχήσαντο κολῶναι·
Νηιάδες δ' ὀλόλυξαν. ἐγὼ δ' ἐκόρυσσα μαχητάς,
ὀκναλέους, τρομέοντας, ἀπειθέας εἰς μόθον ἕλκων.
καὶ θεός, ὃν καλέουσιν, ἀκαχμένα θύρσα τινάσσων,
οὐτιδανοῖς πετάλοισιν ὀιστεύων γένος Ἰνδῶν,
κτεῖνε μὲν ἐν πεδίωι στρατὸν ἄσπετον ὀξέι θύρσωι
βλήμενον, ἐν ῥοθίοις δὲ τὸ λείψανον ὤλεσεν Ἰνδῶν.
ἀλλὰ σοφοὺς Βραχμῆνας ἐρείομεν, ὄφρα δαείης,
εἰ θεὸς οὗτος ἵκανεν ἐς ἡμέας ἢ βροτὸς ἀνήρ.
μὴ νυχίην ἀνόνητον ἀναστήσειας Ἐνυώ,
μὴ στρατιὴν ὀλέσειας ἀφεγγέι δηιοτῆτι·
ἤδη δ' ἀχλυόεις τέταται ζόφος· ἀγχιφανὴς δὲ
δῆριν ἀναστέλλων ἀμαρύσσεται Ἕσπερος ἀστήρ.
εἰ δὲ πόθος μεθέπει σε δυσαντήτοιο κυδοιμοῦ,
σήμερον Ἰνδὸν ἔρυκε, καὶ αὔριον εἰς μόθον ἕλκεις."
ὣς εἰπὼν παρέπεισεν ἀπειθέα Δηριαδῆα,
οὐ χάριν ἀδρανίης πειθήμονα, δυομένωι δὲ
μεμφόμενον Φαέθοντι καὶ οὐκ εἴκοντα Λυαίωι.
Ἰνδῴην δὲ φάλαγγα μεταστήσας ποταμοῖο
Δηριάδης ὑπέροπλος ἐχάζετο πενθάδι λύσσηι,
ἑζόμενος λοφίηισι παλιννόστων ἐλεφάντων.
Ἰνδοὶ δ' ἔνθα καὶ ἔνθα σὺν ἠλιβάτωι βασιλῆι L2[I]
εἰς πόλιν ἐρρώοντο πεφυζότες, ἔνδοθι πύργων
νίκην εἰσαΐοντες ἀρειμανέος Διονύσου.
ἤδη δὲ στονόεσσα δι' ἄστεος ἵπτατο φήμη,
σύγγονον ἀγγέλλουσα νεοσφαγέων φόνον Ἰνδῶν.
καὶ γόος ἄσπετος ἔσκε· φιλοθρήνων δὲ γυναικῶν
πενθαλέοις ὀνύχεσσι χαράσσετο κύκλα προσώπου,
καὶ μεσάτου στέρνοιο διεσχίζοντο χιτῶνες
στήθεα γυμνώσαντες, ἀμοιβαίηισι δὲ ῥιπαῖς
τυπτομένων παλάμηισιν ἴτυς. φοινίσσετο μαζῶν
αἱμοβαφής. πολιὸς δὲ γέρων ἐπὶ γήραος οὐδῶι
χιονέην πλοκαμῖδα κατηφέι τάμνε σιδήρωι,
τέσσαρας ἡβώοντας ὀλωλότας υἷας ἀκούων,
Αἰακὸς οὓς ἐδάμασσε μιῆι δασπλῆτι μαχαίρηι,
κτεινομένους ἐλεεινά· βαρυτλήτων δὲ γυναικῶν
ἡ μὲν ἑὸν στενάχιζεν ἀδελφεόν, ἡ δὲ τοκῆα·
ἄλλη ποικιλόδακρυς ἀνεστεναχίζετο νύμφη
νυμφίον ἀρτιχόρευτον ἐοικότα Πρωτεσιλάωι,
ἄλλη Λαοδάμεια· νεοζεύκτοιο δὲ νύμφης
ἄπλοκος ἀκρήδεμνος ἐτίλλετο βότρυς ἐθείρης.
καί τις ἀμηχανέουσα δεδουπότος εὐνέτις Ἰνδοῦ,
ἀγχιτόκους ὠδῖνας ἀναπλήσασα λοχείης
καὶ δεκάτης ὁρόωσα λεχώια κύκλα Σελήνης,
ὑδρηλῶι πολύδακρυς ἐπέστενεν ἀνδρὸς ὀλέθρωι,
καὶ ποταμῶι κοτέουσα γοήμονα ῥήξατο φωνήν·

δειδιότες, καὶ τεῖχος ἐμιτρώσαντο βοείαις
Nonnus ἄστεος ὑψιλόφοιο φυλάκτορες. ἐν δὲ κολώναις
ἀσχαλόων Διόνυσος ἐμέμφετο πολλάκις Ἥρηι,
ὅττι πάλιν φθονέουσα μάχην ἀνεσείρασεν Ἰνδῶν,
νίκης δ᾽ ἐλπίδα πᾶσαν ἀνερρίπιζον ἀῆται.
παπταίνων δὲ λέοντας ἀεργηλῆι παρὰ φάτνηι,
up 2 πλησαμένης δέκα κύκλα παλιννόστοιο Σελήνης
up 2 μετρήσασα μόθοιο τριηκοστῆς δρόμον Ἠοῦς·
οἷα λέων βρυχᾶτο καὶ ἔστενεν ἔνδοθι λόχμης
ὄμμασιν ἀκλαύτοισι· κατηφιόωντι δὲ Βάκχωι
ἑλκεχίτων Σκυθικοῖο δι᾽ οὔρεος ἄσπορος Ἄττις
ἵκετο μαστίζων μετανάστιον ἅρμα λεόντων,
Ῥείης θεσπεσίης ταχὺς ἄγγελος, ὅς ποτε χαλκῶι
φοινίξας γονόεντα τελεσσιγάμου στάχυν ἥβης
ῥῖψεν ἀνυμφεύτων φιλοτήσιον ὄγμον ἀρότρων,
ἄρσενος ἀμητοῖο θαλύσιον, αἱμαλέηι δὲ
παιδογόνωι ῥαθάμιγγι περιρραίνων πτύχα μηροῦ
θερμὸν ἀλοιητῆρι δέμας θήλυνε σιδήρωι·
ὃς τότε διφρεύων Κυβεληΐδος ἅρμα θεαίνης
ἄγγελος ἀσχαλόωντι παρήγορος ἦλθε Λυαίωι·
καί μιν ἰδὼν Διόνυσος ἀνέδραμε, μὴ σχεδὸν ἔλθηι
◆ Ῥείην πανδαμάτειραν ἄγων ἐπὶ φύλοπιν Ἰνδῶν.
στήσας δ᾽ ἄγριον ἅρμα, δι᾽ ἄντυγος ἡνία τείνας,
καὶ ῥοδέης ἀχάρακτα γενειάδος ἄκρα φαείνων
Βάκχωι μῦθον ἔλεξε, χέων ὀξεῖαν ἰωήν·
L1[O] "ἀμπελόεις Διόνυσε, Διὸς τέκος, ἔγγονε Ῥείης,
A εἰπέ μοι εἰρομένωι, πότε νόστιμος εἰς χθόνα Λυδῶν
ἵξεαι οὐλοκάρηνον ἀιστώσας γένος Ἰνδῶν;
οὔ πω ληιδίας κυανόχροας ἔδρακε Ῥείη,
οὔ πω σοὶ μετὰ δῆριν ὀρεσσαύλωι παρὰ φάτνηι
Μυγδονίων ἔσμηξε τεῶν ἱδρῶτα λεόντων
Πακτωλοῦ παρὰ χεῦμα ῥυηφενές· ἀλλὰ κυδοιμοῦ 1
ἄψοφον ἀενάων ἐτέων στροφάλιγγα κυλίνδεις·
οὔ πω θηροκόμωι θεομήτορι σύμβολα νίκης
Ἰνδώιων ἐκόμισσας ἑώια φῦλα λεόντων.
ἀλλὰ παρ᾽ Ἡφαίστοιο καὶ ἀθανάτης σέο Ῥείης
δέχνυσο τεύχεα ταῦτα, τά περ κάμε Λήμνιος ἄκμων,
σὺν χθονὶ πόντον ἔχοντα καὶ αἰθέρα καὶ χορὸν ἄστρων."
οὔ πω μῦθος ἔληγε, καὶ ἴαχε Βάκχος ἀγήνωρ· 1
"σχέτλιοί εἰσι θεοί, ζηλήμονες· ἐν πολέμοις μὲν
εἰς μίαν ἠριγένειαν ἀιστῶσαι πόλιν Ἰνδῶν
ἔγχεϊ κισσήεντι δυνήσομαι· ἀλλά με νίκης
μητρυιῆς ἀέκοντα παραπλάζει φθόνος Ἥρης.
ἀμφαδὰ Δηριάδηι πρόμος ἵσταται ἄγριος Ἄρης
μαρνάμενος Σατύροισιν· ἐγὼ δέ ἑ πολλάκι θύρσωι
οὐτῆσαι μενέαινον· ἀπειλήσας δὲ Κρονίων
βρονταίοις πατάγοισιν ἐμὴν ἀνεσείρασεν ὁρμήν.
ἀλλὰ βαρυσμαράγων νεφέων κτύπον οὐράνιος Ζεὺς
σήμερον εὐνήσειε, καὶ αὔριον Ἄρεα δήσω,
εἰσόκεν εὐπήληκα διατμήξω στάχυν Ἰνδῶν."

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the twenty-fifth you have the struggle of Perseus, and the comparison of Heracles with the valour of Dionysus.

NONNUS

DIONYSIACA

BOOK 25

PREVIEW BOOK 27

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 572 lines 3.0
A 2L 1 - 350
B 2L 351 - 572

PRINT 2-SIDED: 145 to 152

Μοῦσα, πάλιν πολέμιζε σοφὸν μόθον ἔμφρονι θύρσωι·
οὔ πω γὰρ γόνυ δοῦλον ὑποκλίνων Διονύσωι
φύλοπιν ἑπταέτηρον Ἑώιος εὔνασεν Ἄρης·
ἀλλὰ δρακοντείοιο τεθηπότες ἄκρα γενείου
Ἰνδώιης πλατάνοιο, πάλιν κλάζουσι νεοσσοί,
Βακχείου πολέμοιῶι προμάντιες. οὐ μὲν ἀείσω
πρώτους ἓξ λυκάβαντας, ὅτε στρατὸς ἔνδοθι πύργων
Ἰνδὸς ἔην· τελέσας δὲ τύπον μιμηλὸν Ὁμήρου
ὕστατον ὑμνήσω πολέμων ἔτος, ἑβδομάτης δὲ
ὑσμίνην ἰσάριθμον ἐμῆς στρουθοῖο χαράξω·
Θήβηι δ' ἑπταπύλωι κεράσω μέλος, ὅττι καὶ αὐτὴ
ἀμφ' ἐμὲ βακχευθεῖσα περιτρέχει, οἷα δὲ νύμφη
μαζὸν ἑὸν γύμνωσε κατηφέος ὑψόθι πέπλου,
μνησαμένη Πενθῆος· ἐποτρύνων δέ με μέλπειν
πενθαλέην ἑὸ χεῖρα γέρων ὤρεξε Κιθαιρὼν
αἰδόμενος, μὴ λέκτρον ἀθέσμιον ἠὲ βοήσω
πατροφόνον πόσιν υἷα παρευνάζοντα τεκούσηι.
Ἀονίης αἴω κιθάρης κτύπον· εἴπατε, Μοῦσαι,
τίς πάλιν Ἀμφίων λίθον ἄπνοον εἰς δρόμον ἕλκει;
οἶδα, πόθεν κτύπος οὗτος· ἀειδομένηι τάχα Θήβηι
Πινδαρέης φόρμιγγος ἐπέκτυπε Δώριος ἠχώ.
ἀλλὰ πάλιν κτείνωμεν Ἐρυθραίων γένος Ἰνδῶν·
οὔ ποτε γὰρ μόθον ἄλλον ὁμοίιον ἔδρακεν αἰὼν
Ἠώιον πρὸ μόθοιο, καὶ οὐ μετὰ φύλοπιν Ἰνδῶν
ἄλλην ὀψιτέλεστον ἰσόρροπον εἶδεν Ἐνυώ,
οὐδὲ τόσος στρατὸς ἦλθεν ἐς Ἴλιον, οὐ στόλος ἀνδρῶν
τηλίκος. ἀλλὰ νέοισι καὶ ἀρχεγόνοισιν ἐρίζων
εὐκαμάτους ἱδρῶτας ἀναστήσω Διονύσου,
κρίνων ἠνορέην τεκέων Διός, ὄφρα νοήσω,
τίς κάμε τοῖον ἀγῶνα, τίς ἴκελος ἔπλετο Βάκχου.
Περσεὺς μὲν ταχύγουνος, εὔπτερον ἴχνος ἑλίσσων,
ἀγχινεφῆ δρόμον εἶχεν ἐν ἠέρι πεζὸς ὁδίτης,
εἰ ἐτεὸν πεπότητο. τί δὲ πλέον, εἰ σφυρὰ πάλλων
ξείνην εἰρεσίην ἀνεμώδεϊ νήχετο ταρσῶι,
ὅττι βαθυνομένης παλάμης ληίστορι καρπῶι
Φορκίδος ἀγρύπνοιο λαβὼν ὀφθαλμὸν ἀλήτην,
ἄψοφον ἀκροπόρων πεφυλαγμένος ἅλμα πεδίλων,
ὄγμον ἐχιδνήεντα μιῆς ἤμησε Μεδούσης,
ἧς ἔτι κυμαίνουσα γοναῖς ἐθλίβετο γαστὴρ
Πήγασον ὠδίνουσα, καὶ ἔγκυον αὐχένα νύμφης
Γοργόνος Εἰλείθυια μογοστόκος ἔθρισεν ἅρπη,
αὐχένος ἱπποτόκοιο θαλύσιον; ἀπτολέμου δὲ
Περσεὺς ὠκυπέδιλος ἐκούφισε σύμβολα νίκης
ἄπνοα, Γοργείης ὀφιώδεα λήια χαίτης,
αἱμαλέηι ῥαθάμιγγι κατάρρυτα λείψανα κόρσης,
ἡμιτελὲς σύριγμα νεοτμήτων ἀπὸ λαιμῶν
λεπτὸν ὑποτρίζοντα· καὶ οὐ στίχεν ἄρσενι χάρμηι,
οὐ τότε χερσαίης ἐνοπῆς κτύπος, οὐδ' ἐνὶ πόντωι
Περσέι μαρναμένωι πολεμήια λαίφεα νηῶν
ἐγρεμόθοις ἀνέμοισιν Ἄρης κολπώσατο ναύτης,
Ἱππολύτης ἐλάχεια· Διωνύσοιο δὲ νίκη
Δηριάδης ἀπέλεθρος ἢ εἰκοσίπηχυς Ὀρόντης.
παμφαὲς υἱὲ Μέλητος, Ἀχαιίδος ἄφθιτε κῆρυξ,
ἱλήκοι σέο βίβλος ὁμόχρονος ἠριγενείηι·
Τρωιάδος ὑσμίνης οὐ μνήσομαι· οὐ γὰρ ἐΐσκω
Αἰακίδηι Διόνυσον ἢ Ἕκτορι Δηριαδῆα.
ὑμνήσειν μὲν ὄφελλε τόσον καὶ τοῖον ἀγῶνα
Μοῦσα τεὴ καὶ Βάκχον ἀκοντιστῆρα Γιγάντων,
ἄλλοις δ' ὑμνοπόλοισι πόνους Ἀχιλῆος ἐᾶσαι,
εἰ μὴ τοῦτο Θέτις γέρας ἥρπασεν. ἀλλὰ λιγαίνειν
πνεῦσον ἐμοὶ τεὸν ἆσθμα θεόσσυτόν· ὑμετέρης γὰρ
δεύομαι εὐεπίης, ὅτι τηλίκον Ἄρεα μέλπων
Ἰνδοφόνους ἱδρῶτας ἀμαλδύνω Διονύσου.
ἀλλά, θεά, με κόμιζε τὸ δεύτερον εἰς μέσον Ἰνδῶν,
ἔμπνοον ἔγχος ἔχοντα καὶ ἀσπίδα πατρὸς Ὁμήρου,
μαρνάμενον Μορρῆι καὶ ἄφρονι Δηριαδῆι
σὺν Διὶ καὶ Βρομίωι κεκορυθμένον· ἐν δὲ κυδοιμοῖς
Βακχιάδος σύριγγος ἀγέστρατον ἦχον ἀκούσω
καὶ κτύπον οὐ λήγοντα σοφῆς σάλπιγγος Ὁμήρου,
ὄφρα κατακτείνω νοερῶι δορὶ λείψανον Ἰνδῶν.
ὣς ὁ μὲν Ἰνδώιοιο περὶ ῥάχιν εὔβοτον ὕλης
ἕζετο Βάκχος ὅμιλος ἐρημάδος ἀστὸς ἐρίπνης,
ἀμβολίηι πολέμοιο· φόβωι δ' ἐλελίζετο Γάγγης
οἰκτείρων ἑὰ τέκνα· νεοφθιμένων δ' ἐπὶ πότμωι
πᾶσα πόλις δεδόνητο· φιλοθρήνων δὲ γυναικῶν
πενθαλέοις πατάγοισιν ἐπεσμαράγησαν ἀγυιαί.
Δηριάδην δ' ἐλέλιζε φόβος καὶ θαῦμα καὶ αἰδώς·
ἤδη γὰρ κλύε πάντα· τὸ δὲ πλέον ὄμματι λοξῶι
ἄχνυτο παπταίνων, ὅτι θέσκελον εἶδος ἀμείψας
οἴνωι κυματόεντι μέλας κελάρυζεν Ὑδάσπης.
κεῖθι καὶ εὐρυγένειος ἑὸν πόδα νωθρὸν ἑλίσσων
κάμμορος ἀχλυόεσσαν ἔχων ἀλαωπὸν ὀμίχλην,
ξανθὴν λυσιπόνοιο μέθης ἔρραινεν ἐέρσην
ὄμμασι κολλητοῖσιν· ἀρυομένου δὲ προσώπου
οἰνωπὰς ῥαθάμιγγας ἀνοίχθησαν ὀπωπαί·
τερπομένοις δὲ πόδεσσι γέρων ἐχόρευε λιγαίνων
ἰκμάδα φοινίσσουσαν ἀλεξικάκου ποταμοῖο·
χερσὶ δὲ γηραλέηισι ῥόον νεφεληδὸν ἀφύσσων
πορφυρέης ἔπλησε μέθης εὐώδεας ἀσκούς,
καὶ Διὶ βωμὸν ἀνῆψε καὶ οἰνοχύτωι Διονύσωι,
ἀθρήσας Φαέθοντος ἀήθεος ὄψιμον αἴγλην.
καὶ κύνας οἰνωθέντας ἐπ' ἠιόνι κοῦρος ἐάσας
λαρὸν ὕδωρ λάπτοντας ἐρευθομένου ποταμοῖο
θηρητὴρ ὁμόφοιτος ὀρειάδος ἰοχεαίρης
εἰς πόλιν ἴχνος ἔκαμψεν, ἀπειθέι Δηριαδῆι
ἀγγέλλων γλυκὺ χεῦμα μεθυσφαλέος ποταμοῖο.
ἤδη δ' ἀμπελόεσσα δι' ἄστεος ἔτρεχεν ὀδμὴ
καὶ λιαροῖς ἀνέμοισιν ὅλας ἐμέθυσσεν ἀγυιάς,
νίκην Ἰνδοφόνοιο προθεσπίζουσα Λυαίου·
πύργοις δ' ἠλιβάτοισιν ἐναυλίζοντο πολῖται

ἀρτιφύτων Ἰόλαον ἀλοιητῆρα καρήνων,
Nonnus δαλὸν ἀερτάζοντα σελασφόρον, εἰσόκεν ἄμφω
θῆλυν ὄφιν πρήνιξαν. ἐγὼ δ᾽ οὐκ οἶδα γεραίρειν
οὐτιδανῇ δύο φῶτας ἐριδμαίνοντας ἐχίδνῃ·
εἷς πόνος ἀμφοτέροισι μερίζετο· θυρσοφόρος δὲ
μοῦνος ἀποτμήξας ὀφιώδεας υἷας Ἀρούρης
Εὔιος ἔχραε πᾶσι, Διὸς πρόμος, ὧν ὑπὲρ ὤμων
ἀμφιλαφεῖς ἑκάτερθεν ἀμοιβάδες ἔρρεον ὕδραι,
ὕδρης Ἰναχίης πολὺ μείζονες, ἀντὶ δὲ Λέρνης
ἀσταθέες σύριζον ἐν αἰθέρι γείτονες ἄστρων.
ἱλήκοις, Ἰόλαε· σὺ γὰρ δέμας ἔφλεγες ὕδρης,
καὶ μόνος Ἡρακλέης, μόνος ἥρπασεν οὔνομα νίκης.
οὐ Νεμέην ἐλάχειαν ἐμὸς πρόμος, οὔ τινα Λέρνην
Βάκχος ἀνεζώγρησε πολυσφαράγων ἀπὸ λαιμῶν,
θάμνον ἐχιδνήεντα ταμὼν παλιναυξέος ὕδρης,
ἀλλὰ Νότον καὶ ταρσὰ Βορήια καὶ πτερὸν Εὔρου
καὶ Ζέφυρον κήρυκα φέρων τετράζυγι νίκῃ
Ὠκεανόν, χθόνα, πόντον ἑῶν ἔπλησεν ἀέθλων.
εἰ κλέος ἀνδρὶ φέρουσι δράκων, εἰ φωλάδες ὕδραι,
Βάκχου στέμματα ταῦτα λεχώια, ταῦτα Λυαίου
φρικτὰ δρακοντείων ὀφιώδεα δεσμὰ κομάων,
✦ ἐξ ὅτε πατρὸς ἔλειπε τελεσσιγόνου πτύχα μηροῦ.
σιγήσω κεμάδος χρύσεον κέρας, οὔ τι χαλέψω
τηλίκον Ἡρακλῆα μιῆς ἐλάφοιο φονῆα·
μὴ τρομερῆς ἐλάφου μιμνήσκεο· νεβροφόνῳ γὰρ
L2[O] θυιάδι βαιὸν ἄθυρμα πέλει κεμαδοσσόος ἄγρη.
𝔸 Κνώσσιον Ἡρακλῆος ἔα πόνον· οἰστρομανῆ γὰρ
οὐκ ἄγαμαί τινα ταῦρον, ὃν ἤλασεν, ὅττι τινάσσων
τοσσατίην κορύνην ὀλίγην ἔτμηξε κεραίην·
πολλάκι τοῦτο τέλεσσε γυνὴ μία, πολλάκι Βάκχη
ἄσπετον εὐκεράων ἀγέλην δαιτρεύσατο ταύρων,
οὐτιδανὴ θεράπαινα βοοκραίρου Διονύσου·
θηγαλέην δ᾽ ἐπίκυρτον ἀνειρύσσασα κεραίην
πολλάκις, εἰ κεράεσσιν ἐμάρνατο μαινόμενος βοῦς,
εἰς γόνυ ταῦρον ἔκαμψεν, ἀκοντιστῆρα λεόντων.
κάλλιπε καὶ τριλόφοιο καρήατα Γηρυονῆος·
καὶ γὰρ ἐμὸς Διόνυσος ἑῷ ταμεσίχροϊ κισσῷ
Ἄλπον ἀπηλοίησε, θεημάχον υἱὸν Ἀρούρης,
Ἄλπον ἐχιδναίοις ἑκατὸν κομόωντα καρήνοις,
Ἠελίου ψαύοντα καὶ αὖ ἐρύοντα Σελήνην,
ἀστραίην πλοκάμοισι περιθλίβοντα χορείην.
ἆθλα μὲν Ἡρακλῆος, ὃν ἤροσεν ἀθάνατος Ζεὺς
Ἀλκμήνης τρισέληνον ἔχων παιδοσπόρον εὐνήν,
οὐτιδανὸς πόνος ἦεν ὀρίτροφος· ἔργα δὲ Βάκχου
ἠὲ Γίγας πολύπηχυς ἢ ὑψιλόφων πρόμος Ἰνδῶν,
οὐ κεμάς, οὐ βοέης ἀγέλης στίχες, οὐ λάσιος σῦς,
οὐδὲ κύων, ἢ ταῦρος, ἢ αὐτόπρεμνος ὀπώρη
χρυσοφαής, ἢ κόπρος, ἢ ἄστατος ὄρνις ἀλήτης
οὐτιδανὴν ἀσίδηρον ἔχων πτερόεσσαν ἀκωκήν,
ἢ γένυς ἱππείη ξεινοκτόνος, οὐ μία μίτρη

131 (77C) οὐ φονίῃ ῥαθάμιγγι Λίβυς φοινίσσετο Νηρεύς,
οὐ νέκυν αὐτοκύλιστον ἐδέξατο λοίγιον ὕδωρ· Nonnus
ἀλλὰ δρακοντείης τρομέων συριγμὸν ἐθείρης
Σθεννοῦς μαινομένης πτερόεις ἐλελίζετο Περσεύς,
καὶ κυνέην Ἀΐδαο φέρων καὶ Παλλάδος ἅρπην,
καὶ πτερὸν Ἑρμάωνος ἔχων καὶ Ζῆνα τοκῆα,
ὠκυτέρῳ φύξηλις ἀνηιώρητο πεδίλῳ,
Εὐρυάλης μύκημα καὶ οὐ σάλπιγγος ἀκούων,
συλήσας Λιβύης ὀλίγον σπέος· οὐ στρατὸν ἀνδρῶν
ἔκτανεν, οὐ φλογόεντι πόλιν τεφρώσατο δαλῷ.
ἀλλ᾽ οὐ τοῖος ἔην Βρομίου μόθος· οὐ ποσὶν ἕρπων
Βάκχος ἐθωρήχθη δολόεις πρόμος, οὐδὲ λοχήσας
φρουρὸν ἀκοιμήτοιο μετήλυδα κύκλον ὀπωπῆς
Φορκίδος ἀλλοπρόσαλλον ἀμειβομένης πτερὸν Ὕπνου
ἤνυσε θῆλυν ἄεθλον ἀθωρήκτοιο Μεδούσης·
ἀλλὰ διατμήγων δηίων στίχα δίζυγι νίκῃ
χερσαίου πολέμοιο καὶ ὑγροπόροιο κυδοιμοῦ
λύθρῳ γαῖαν ἔδευσε, καὶ αἵματι κῦμα κεράσσας
Νηρεΐδας φοίνιξεν ἐρευθιόωντι ῥεέθρῳ,
κτείνων βάρβαρα φῦλα· πολὺς δ᾽ ἐπὶ μητέρι Γαίῃ
ὑψιλόφων ἀκάρηνος ἐτυμβεύθη στάχυς Ἰνδῶν,
πολλοὶ δ᾽ ἐν πελάγεσσιν ὀλωλότες ὀξέι θύρσῳ
αὐτόματοι πλωτῆρες ἐπορθμεύοντο θαλάσσῃ,
Ἰνδῶν νεκρὸς ὅμιλος. ἀνικήτῳ δὲ Λυαίῳ
ὕδασιν αἰχμάζοντος ἐγερσιμόθου ποταμοῖο
Ἄρεα κυματόεντα παρέρχομαι, ὁππότε πεύκη L2[O]
Βακχιὰς αἰθαλόεσσα κατέφλεγε βάρβαρον ὕδωρ 𝔸
μυδαλέῳ σπινθῆρι, καὶ ἔζεε κύματι θερμῷ
καπνὸν ἀναβλύζων ποταμήιον ὑγρὸς Ὑδάσπης.
ἀλλ᾽ ἐρέεις, ὅτι 'κῆτος ἀλίτροφον ἔκτανε Περσεὺς·
ὄμματι Γοργείῳ πετρώσατο θῆρα θαλάσσης'.
3 (2C) τί πλέον, εἰ φονίης δεδοκημένος ὄμμα Μεδούσης
ἀνδρομέων μελέων ἑτερότροπον εἶδος ἀμείψας
εἰς λίθον αὐτοτέλεστον ἐμορφώθη Πολυδέκτης;
Βάκχου δ᾽ Ἰνδοφόνου βριαρὸς πόνος οὐ μία Γοργώ,
οὐ λίθος ἠερόφοιτος ἀλίκτυπος ἢ Πολυδέκτης·
ἀλλὰ δρακοντοκόμων καλάμην ἤμησε Γιγάντων
Βάκχος ἀριστεύων ὀλίγῳ ῥηξήνορι θύρσῳ,
3 ὁππότε Πορφυρίωνι μαχήμονα κισσὸν ἰάλλων
Ἐγκέλαδον στυφέλιξε καὶ ἤλασεν Ἀλκυονῆα
αἰχμάζων πετάλοισιν· ὀιστεύοντο δὲ θύρσοι
Γηγενέων ὀλετῆρες, ἀοσσητῆρες Ὀλύμπου,
χερσὶ διηκοσίῃσιν ἕλιξ ὅτε λαὸς Ἀρούρης
θλίβων ἀστερόεσσαν ἴτυν πολυδειράδι κόρσῃ
λεπταλέῳ γόνυ κάμψεν ἀκοντιστῆρι κορύμβῳ,
ἐγχεϊ κισσήεντι, καὶ οὐ πυρόεντι κεραυνῷ
τηλίκος ἑσμὸς ἔπιπτεν, ὅσος ῥηξήνορι θύρσῳ.
ἀλλά, φίλοι, κρίνωμεν· ἐν ἀντολίῃ μὲν ἀρούρῃ
Ἰνδοφόνους ἱδρῶτας ὀπιπεύων Διονύσου
Ἠέλιος θάμβησεν, ὑπὲρ δυτικοῖο δὲ κόλπου

Ἑσπερίη Περσῆα τανύπτερον εἶδε Σελήνη,
βαιὸν ἀεθλεύσαντα πόνον γαμψώνυχι χαλκῶι·
καὶ Φαέθων ὅσον εὖχος ὑπέρτερον ἔλλαχε Μήνης,
τόσσον ἐγὼ Περσῆος ἀρείονα Βάκχον ἐνίψω.
Ἴναχος ἀμφοτέρων πέλε μάρτυρος, ὁππότε κισσῶι
καὶ φονίωι νάρθηκι Μυκηνίδες ἤρισαν αἰχμαὶ
χαλκοβαρεῖς, Σατύρων δὲ φιλεύιον Ἄρεα φεύγων
θυρσοφόρωι Βρομίωι δρεπανηφόρος εἴκαθε Περσεύς,
καὶ δόρυ θοῦρον ἔπεμπε μαχήμονος ἀντὶ Λυαίου
οὐτιδανὴν ἀσίδηρον ἀκοντίζων Ἀριάδνην·
οὐκ ἄγαμαι Περσῆα μίαν κτείναντα γυναῖκα,
εἵμασι νυμφιδίοισιν ἔτι πνείουσαν Ἐρώτων.

εἰ δὲ Διὸς χρυσέων μεγαλίζεται εἵνεκα λέκτρων,
οὐ Δανάην ἐκόμισσεν ἐς οὐρανὸν ὑέτιος Ζεύς,
κυδαίνων γονίμης φιλοπάρθενον ὄμβρον ἐέρσης
βαιῆς κλεψιγάμου· Σεμέλη δ' ἐπέβαινεν Ὀλύμπου
σὺν Διί, σὺν μακάρεσσι μιῆς ψαύουσα τραπέζης,
υἱέι βοτρυόεντι παρεζομένη Διονύσωι·
οὐ Δανάη λάχεν οἶκον Ὀλύμπιον, ὑγροπόρου δὲ
λάρνακος ἔνδον ἐοῦσα Διὸς ναυτίλλετο νύμφη,
μεμφομένη ζυγίων ἀπατήλιον ὄμβρον Ἐρώτων,
ἄστατον ὄλβον ἔχοντα μινυνθαδίου νιφετοῖο.

οἶδα μὲν Ἀνδρομέδην, ὅτι φαίνεται ἐντὸς Ὀλύμπου,
ἀλλὰ πάλιν μογέει καὶ ἐν αἰθέρι· καὶ τάχα δειλὴ
πολλάκι τοῖον ἔλεξεν ἔπος νεμεσήμονι φωνῆι·
"τί πλέον, εἴ με κόμισσας ἐς αἰθέρα, νυμφίε Περσεῦ;
καλὸν ἐμοὶ πόρες ἕδνον Ὀλύμπιον ἀστερόεν γὰρ
Κῆτος ἔτι κλονέει με καὶ ἐνθάδε, καὶ νέον ἄλλον
ἀντίτυπον προτέροιο μετὰ χθόνα καὶ φόβον ἅλμης
εἰσέτι δεσμὸν ἔχω καὶ ἐν ἄστρασιν· οὐ σέθεν ἅρπη
οὐρανίη με σάωσε· μάτην δέ μοι ἐντὸς Ὀλύμπου
μείλιχον ἀστραίης ἀμαρύσσεται ὄμμα Μεδούσης·
Κῆτος ἔτι κλονέει με, καὶ οὐ πτερὰ κοῦφα τιταίνεις.
μήτηρ ἀχνυμένη με βιάζεται, ὅττι καὶ αὐτὴ
δειλὴ Κασσιέπεια δι' αἰθέρος εἰς ἅλα δύνει
Νηρεΐδας τρομέουσα, καὶ ὀλβίζει δρόμον Ἄρκτου
ἄβροχον Ὠκεανοῖο καὶ οὐ ψαύοντα θαλάσσης·
καὶ φόβον Ἀνδρομέδης ὁρόων καὶ Κῆτος Ὀλύμπου
γηραλέος μετὰ γαῖαν ὀδύρεται ἐνθάδε Κηφεύς."

τοῖον ἔπος βαρύδεσμος ἀνίαχε πολλάκι νύμφη,
Περσέα κικλήσκουσα, καὶ οὐ χραίσμησεν ἀκοίτης.
εἰ δὲ καὶ Ἀνδρομέδης ἐπαγάλλεται ἄστρασι Περσεύς,
δόχμιον ὄμμα τίταινε δι' αἰθέρος, ἧχι φαείνει
αἰγλήεις Ὀφιοῦχος Ὄφιν δινωτὸν ἀείρων,
καὶ Στέφανον περίκυκλον ἐσαθρήσεις Ἀριάδνης
σύνδρομον Ἠελίοιο, συναντέλλοντα Σελήνηι,
ἵμερον ἀγγέλλοντα φιλοστεφάνου Διονύσου.

οἶδα μόθον Μίνωος, ὃν ὤπασε θῆλυς Ἐνυὼ
κεστὸν ἐλαφρίζουσα καὶ οὐ τελαμῶνα βοείης,
ὁππότε Κύπρις ἔην κορυθαιόλος, ὁππότε Πειθὼ
χάλκεον ἔγχος ἔπαλλε καὶ ἔπλετο Παλλὰς Ἀθήνη,
μαρναμένωι Μίνωι συνέμπορος, ἐν δὲ κυδοιμοῖς
ἀπτολέμων τόξευε γαμοστόλος ἑσμὸς Ἐρώτων,
καὶ Πόθος ἱμερόεις πτολιπόρθιος, ἡνίκα λαῶι
Νισαίωι Μεγαρῆι Κυδωνιὰς ἔβρεμε σάλπιγξ,
εὖτε Φόβον καὶ Δεῖμον ἰδὼν συναέθλον Ἐρώτων
ἴχνεσιν αἰδομένοισιν ἐχάζετο χάλκεος Ἄρης,
ἀσπίδα κουφίζουσαν ὀπιπεύων Ἀφροδίτην
καὶ Πόθον αἰχμάζοντα, καὶ εὐθώρηκι μαχητῆι
ἀβροχίτων ἐτέλεσσεν Ἔρως καλλίτριχα νίκην·
Σκύλλα γὰρ ὑπνώοντος ἀκερσικόμοιο τοκῆος
ἥλικα πορφυρέης ἀπεκείρατο βότρυν ἐθείρης,
καὶ πόλιν ἔπραθε πᾶσαν ἕνα τμητῆρι σιδήρωι
βόστρυχον ἀμήσασα πολισσούχοιο καρήνου.
Μίνως μὲν πτολίπορθος ἑῶι ποτε κάλλεϊ γυμνῶι
ὑσμίνης τέλος εὗρε, καὶ οὐ νίκησε σιδήρωι,
ἀλλὰ πόθωι καὶ ἔρωτι· κορυσσομένου δὲ Λυαίου
οὐ Πόθος ἐπρήυνεν ἀκοντοφόρων μόθον Ἰνδῶν,
οὐ Παφίη κεκόρυστο συναιχμάζουσα Λυαίωι,
κάλλεϊ νικήσασα, μόθου τέλος οὐ μία κούρη
οἰστρομανὴς χραίσμησεν ἐρασσαμένη Διονύσου,
οὐ δόλος ἱμερόεις, οὐ βόστρυχα Δηριαδῆος,
ἀλλὰ πολυσπερέων πολέμων ἑτερότροπος Ἰνδὸς
νίκης εὖχος ἔχων παλιναυξέος. — εἰ δὲ γεραίρεις
Ἴναχον Ἡρακλῆος, ὅλον πόνον αὐτὸς ἐλέγξω.

οἶδα μέν, ὅττι λέοντι βραχίονα λοξὸν ἑλίξας
εὐπαλάμωι πήχυνε περίπλοκον αὐχένα δεσμῶι,
πότμον ἄγων ἀσίδηρον, ὅπηι ζωαρκέι λαιμῶι
ἔμπνοος ἀσφαράγοιο μέσος πορθμεύεται ἀήρ·
οὐκ ἄγαμαι καὶ τοῦτο· παρ' εὐπετάλωι ποτὲ λόχμηι
χερσὶ λεοντοφόνοισιν ἀριστεύουσα Κυρήνη
παρθένος ἔργον ἔτευξεν ὁμοίιον, ὅττι καὶ αὐτὴ
ἄρσενα θῆρα δάμασσεν ἀκαμπέι θήλεϊ δεσμῶι·
ἀρτιθαλὴς δ' ἔτι κοῦρος ἐν οὔρεσι Βάκχος ἀθύρων
χειρὶ μιῆι λασίου δεδραγμένος ἀνθερεῶνος
φοίνιον εἷλκε λέοντα, καὶ ὤρεγε μητέρι Ῥείηι
αὐχενίου πλοκάμοιο κεχηνότα θῆρα πιέζων·
εἷλκεν ἔτι ζώοντα, περισφίγξας δὲ λεπάδνωι
θῆρα κυβερνητῆρι διεσφήκωσε χαλινῶι
ζεύξας δοῦλα γένεια, καὶ ἥμενος ὑψόθι δίφρου
ἄγρια ταρβαλέων ἐπεμάστιε νῶτα λεόντων.
πορδαλίων δὲ γένεθλα καὶ ὠμοβόρων γένος ἄρκτων
νηπιάχοις παλάμῃσιν ἐδουλώθη Διονύσου.

οἶδα καὶ Ἀρκάδα κάπρον ὀρίδρομον· ἀλλὰ Λυαίωι
παίγνια κουρίζοντι σύες καὶ φῦλα λεόντων.

τί πλέον Ἡρακλέης θρασὺς ἤνυσεν, εἴ τινα πηγὴν
πολλὰ καμὼν ὀλίγην ὀφιώδεα λύσατο Λέρνην,
τέμνων αὐτοτέλεστα θαλύσια φωλάδος ὕδρης
φυταλίην πολύδειρον ἀνασταχύοντα δρακόντων;
αἴθε δὲ μοῦνος ἔπεφνε, καὶ οὐκ ἐκάλεσσε μογήσας

ὑμεῖς μὲν δρεπάνοισι καὶ ἀμφιπλῆγι μαχαίρηι
κτείνετε Βασσαρίδων ἁπαλὰς στίχας, ὑψίκερων δὲ
παῖδα Διὸς κερόεις ποταμήιος υἱὸς ὀλέσσει,
μή τις ὑποπτήσσειεν ἰδὼν ἐλατῆρα λεαίνης
ἢ πρόμον ἀγροτέρης ἐπιβήμενον ἰξύος ἄρκτου,
μὴ θηρῶν ζυγίων βλοσυρὸν στόμα· τίς γὰρ ἀλύξει
πόρδαλιν ἠδ λέοντα κορυσσομένων ἐλεφάντων;"
ὣς φαμένου βασιλῆος ἐπὶ κλόνον ἤιον Ἰνδοί,
οἱ μὲν ὑπὲρ νώτοιο σιδηροφόρων ἐλεφάντων,
οἱ δὲ συνεστρατόωντο θυελλοπόδων ὑπὲρ ἵππων.
καὶ πέλας ἦν πρυλέων στρατὸς ἄπλετος, οἱ μὲν ἀκωκάς,
οἱ δὲ σάκος φορέοντες, ὁ δὲ κληῖδα φαρέτρης·
ἄλλος ἀνηέρταζεν ἀνὴρ χαλκήλατον ἅρπην
ἀμητὴρ πολέμοιο, καὶ ἔστιχεν ἄλλος ἀείρων
ἀσπίδα καὶ θοὰ τόξα καὶ ἠνεμόεντας ὀιστούς.
καὶ μόθον ἐστήσαντο παρὰ στόμα γείτονος Ἰνδοῦ,
εἰς πεδίον προθέοντες. ἀπ' εὐδένδροιο δὲ λόχμης
ἀσπίσι καὶ ξιφέεσσι καὶ ἀρραγέεσσι πετήλοις
θυρσοφόρος Διόνυσος ἑοὺς ἐκόρυσσε μαχητάς.
καὶ πισύρων ἀνέμων φλογερῆς ἀντώπιον Ἠοῦς
τέτραχα τεμνομένην στρατιὴν ἐστήσατο Βάκχων·
πρώτην μὲν βαθύδενδρα παρὰ σφυρὰ κυκλάδος Ἄρκτου,
ἧχι πολυσπερέων ποταμῶν πεφορημένον ὁλκῶι
Καυκασίου σκοπέλοιο Διιπετὲς ἔρχεται ὕδωρ,
τὴν ἑτέρην δὲ φάλαγγα συνήρμοσεν, ὁππόθι γαίης
μεσσατίης στεφανηδὸν ἐς ἑσπέριον κλίμα νεύων
δίστομος οὐρεσίφοιτος ἑὸν ῥόον Ἰνδὸς ἑλίσσει,
χεύμασιν ἀμφίζωστον ἐπιστέψας Παταλήνην·
τὴν αὐτὴν παρὰ πέζαν, ὅπηι περιμηκεϊ πορθμῶι
χεῦμα παλινδίνητον ἄγει βαρύδουπος Ὑδάσπης·
κύματι πορφύροντι μεσημβριὰς ἕλκεται ἅλμη·
καὶ στρατιὴν εὔχαλκον ἄναξ ἔστησε τετάρτην
καὶ τριτάτην κόσμησεν, ὅπηι νοτίωι παρὰ κόλπωι
ἀντολίης ὑπὸ πέζαν, ὅθεν δονακῆα διαίνων
στέλλεται εὐόδμοισι κατάρρυτος ὕδασι Γάγγης.
κεκριμένης δὲ φάλαγγος ἐυκνήμιδος ἑκάστης
τέσσαρας εὐπήληκας ἐκόσμεεν ἡγεμονῆας,
καὶ στρατὸν ὀτρύνων λαοσσόον ἴαχε φωνήν·
"Βασσαρίδες, καὶ δεῦρο χορεύσατε, δυσμενέων δὲ
κτείνατε βάρβαρα φῦλα, καὶ ἔγχεσι μίξατε θύρσους,
μίξατε καὶ ξιφέεσσι· καὶ ἠθάδος ἀντὶ τραπέζης
σάλπιγξ ἐγρεκύδοιμος ἐμοῖς Σατύροισι γενέσθω
πηκτὶς ἐμή· χλοερὴ δὲ καταιχμάζουσα σιδήρου
δούρατα νικήσειεν ἀκαχμένα φυλλὰς ὀπώρη·
ἀντὶ δὲ νυκτελίοιο χοροστασίης Διονύσου
αὐλὸς ἐμὸς φθέγξαιτο μετάτροπον ὕμνον Ἐνυοῦς,
τερψινόου Βρομίοιο λιπὼν ἐπιδόρπιον Ἠχώ.
εἰ μὲν ἐμοὶ γόνυ δοῦλον ὑποκλίνειεν Ὑδάσπης
μηδὲ πάλιν Βάκχοισι παλίγκοτον οἶδμα κορύσσηι,
27.178 ἔσσομαι εὐάντητος, ὅλον δέ οἱ ἀγλαὸν ὕδωρ
χεύμασι ληναίοισιν ἐς Εὔιον οἶνον ἀμείψω,

ὣς φάμενον Διόνυσον ἀμείβετο Λύδιος Ἄττις·
"Αἰθέρος ἀστερόεσσαν ἀνούτατον ἀσπίδα πάλλων,
ὦ φίλος, οὐ τρομέοις χόλον Ἄρεος, οὐ φθόνον Ἥρης,
οὐ μακάρων στίχα πᾶσαν, ἔχων παμμήτορα Ῥείην,
οὐ στρατὸν ἀγκυλότοξον, ὅπως μὴ δούρατα πέμπων
Ἠέλιον πλήξειεν ἢ οὐτήσειε Σελήνην.
τίς ξίφος Ὠρίωνος ἀμαλδύνειε μαχαίρηι,
ἢ χθονίοις βελέεσσιν ὀιστεύσειε Βοώτην;
ἀλλ' ἐρέεις γενέτην κεραελκέα Δηριαδῆος·
Ὠκεανὸν φορέοντι τί σοι ῥέξειεν Ὑδάσπης;
θαρσήεις πολέμιζε τὸ δεύτερον, ὅττι κυδοιμοῦ
νίκην ὀψιτέλεστον ἐμὴ μαντεύσατο Ῥείη·
οὐ γὰρ πρὶν πολέμου τέλος ἔσσεται, εἰσόκε χάρμης
ἕκτον ἀναπλήσωσιν ἔτος τετράζυγες Ὧραι·
οὕτω γὰρ Διὸς ὄμμα καὶ ἀτρέπτου λίνα Μοίρης
νεύμασιν Ἡραίοισιν ἐπέτρεπον· ἐσσομένωι δὲ
ἑβδομάτωι λυκάβαντι διαρραίσεις πόλιν Ἰνδῶν."
ὣς εἰπὼν Βρομίωι πόρεν ἀσπίδα· καὶ φρένα τέρπων
οἴνου λυσιπόνοιο φιλακρήτοισι κυπέλλοις
εἰλαπίνης ἔψαυσεν· ἀρεσσάμενος δὲ τραπέζηι
θυμὸν ἑὸν παλίνορσος ἐμάστιε νῶτα λεόντων,
νόστιμον εἰς Φρυγίην ὀρεσίδρομον ἅρμα νομεύων.
Καυκασίων δ' ἤλαυνε παρὰ πρηῶνας ἐναύλων,
Ἀσσυρίων δὲ κάρηνα καὶ οὔρεα δύσβατα Βάκτρων
καὶ σκοπιὰς Λιβάνοιο παρήλυθε καὶ ῥία Ταύρου,
εἰσόκε Μαιονίης ἐπέβη χθονός· αὐτοπαγῆ δὲ
Ῥείης ὀβριμόπαιδος ἐδύσατο θέσκελον αὐλήν·
ὠμοβόρους δὲ λέοντας ἀπεσφήκωσε λεπάδνων,
φάτνης δ' ἐγγὺς ἔδησε καὶ ἀμβροσίην πόρε φορβήν.
αὐτὰρ ὁ μητρώιην δεδαημένος ἔνθεον ὀμφὴν
θυρσομανὴς Διόνυσος ὀρειάσι μίσγετο Βάκχαις,
καλλείψας ἀνέμοισι κατηφέος ὄγκον ἀνίης,
χειρὶ σάκος δονέων πολυδαίδαλον, ὅπλον Ὀλύμπου,
Ἡφαίστου σοφὸν ἔργον. ἀολλίζοντο δὲ λαοί,
ποικίλα παπταίνοντες Ὀλύμπια θαύματα τέχνης,
θαύματα μαρμαίροντα, τά περ κάμεν οὐρανίη χεὶρ
ἀσπίδα δαιδάλλουσα πολύχροον, ἧς ἐνὶ μέσσωι
ἐν μὲν γαῖαν ἔτευξε περίδρομον, ἀμφὶ δὲ γαίηι
οὐρανὸν ἐσφαίρωσε χορῶι κεχαραγμένον ἄστρων,
καὶ χθονὶ πόντον ἔτευξεν ὁμόζυγον· αἰθέριον δὲ
χρυσῶι μὲν φλογέων ἐποχημένον ἄντυγι δίφρων
Ἠέλιον ποίκιλλεν, ἀπ' ἀργυρέου δὲ μετάλλου
λευκαίνων τροχόεσσαν ὅλην κύκλωσε Σελήνην·
ἐν δέ τε τείρεα πάντα, τά περ πολυφεγγέι κόσμωι
μιτρώσας στεφανηδὸν ἕλιξ ποικίλλεται αἰθὴρ
ἑπτὰ περὶ ζώνηισι, καὶ ἀξονίωι παρὰ κύκλωι
ἄβροχον οὐρανίης διδυμάονα ῥυμὸν Ἀμάξης·
ἄμφω γὰρ παρὰ νύσσαν ὑπέρτερον Ὠκεανοῖο
ἀλλήλων στιχόωσιν ἐπ' ἰξύι, καὶ τόσον αἰεὶ
νειόθι δυομένης κεφαλὴ κατακάμπτεται Ἄρκτου, 25.400

ὅσσον ἀνερχομένης ἑτέρης ἀνατείνεται αὐχήν·
διχθαδίης δὲ Δράκοντα μέσον ποίκιλλεν Ἀμάξης,
ὃς σχεδὸν ἀμφοτέρων μεμερισμένα γυῖα συνάπτων
γαστέρος οὐρανίης ἑλικώδεϊ κάμπτεται ὁλκῶι,
ἂψ ἀνασειράζων δέμας αἰόλον, οἷά τε λοξοῦ
Μαιάνδρου κελάδοντος ἕλιξ ῥόος, ὃς διὰ γαίης
δοχμώσας ἐπίκυρτον ὕδωρ σπειρηδὸν ὁδεύει,
εἰς κεφαλὴν Ἑλίκης ἀντώπιον ὄμμα τιταίνων
ἀστραίαις φολίδεσσι δέμας μιτρούμενος, Ἄρκτων
τείρεσιν ἀμφίζωστος· ἐπὶ γλώσσηι δέ οἱ ἄκρηι
φέγγος ἀποπτύων προτενὴς ἀμαρύσσεται ἀστήρ,
πέμπων πουλυόδοντα μέσην φλόγα χείλεσι γείτων.
τοῖα μὲν εἰς μέσα νῶτα σοφὸς τεχνήσατο χαλκεὺς
ἀσπίδος εὐτύκτοιο· χαριζόμενος δὲ Λυαίωι
τεῦξε λυροδμήτοιο βοόκτιτα τείχεα Θήβης,
ἑπταπόρων στοιχηδὸν ἀμοιβαίων πυλεώνων
κτιζομένων· καὶ Ζῆθος ἔην περὶ πατρίδι κάμνων,
θλιβομένηι πετραῖον ἐπωμίδι φόρτον ἀείρων·
Ἀμφίων δ' ἐλίγαινε λυροκτύπος· ἀμφὶ δὲ μολπῆι
εἰς δρόμον αὐτοκύλιστον ἕλιξ ἐχόρευε κολώνη,
οἷά τε θελγομένη καὶ ἐν ἀσπίδι· καὶ τάχα φαίης
ποιητήν περ ἐοῦσαν, ὅτι σκιρτήματι παίζων
κοῦφος ἀκινήτης ἐλελίζετο παλμὸς ἐρίπνης·
σιγαλέηι δὲ λύρηι μεμελημένον ἄνδρα δοκεύων,
κραιπνὸν ἀνακρούοντα μέλος ψευδήμονι νευρῆι
L1[I] ἀγχιμολεῖν ἔσπευδες, ὅπως τεὸν οὖας ἐρείσας
𝔹 πυργοδόμωι φόρμιγγι καὶ ὑμετέρην φρένα τέρψηις,
μολπῆς ἑπτατόνοιο λιθοσσόον ἦχον ἀκούων.
καὶ σάκος εὐδίνητον, ὅπηι χορὸς αἰόλος ἄστρων,
δαίδαλον ἅρμενον εἶχεν, ἐπεὶ Διὸς ἔνδοθεν αὐλῆς
Τρώιος οἰνοχόος ζαθέηι ποικίλλετο τέχνηι
αἰετὸν εὐποίητον ἔχων πτερόεντα φορῆα,
οἷα καὶ ἐν γραφίδεσσι, κατάσχετος ἅρπαγι ταρσῶι·
ταρβαλέος δ' ἤικτο δι' αἰθέρος ἱπτάμενος Ζεύς,
ἀδρύπτοις ὀνύχεσσι τεθηπότα κοῦρον ἀείρων,
ἠρέμα κινυμένων πτερύγων πεφιδημένος ὁρμῆι,
μὴ φονίοις ῥοθίοισι κατακρύπτοιτο θαλάσσης
ἠερόθεν προκάρηνος ὀλισθήσας Γανυμήδης·
Μοίρας δ' ἔτρεμε μᾶλλον, ὅπως μὴ πρῶτον ὀπάσσας
ἡβητὴς ἐρόεις ἑὸν οὔνομα γείτονι πόντωι
ὄψιμον ἁρπάξειε γέρας πεφυλαγμένον Ἕλληι·
οὐρανίης δ' ἤσκητο θεῶν παρὰ δαῖτα τραπέζης
κοῦρος ἀφυσσομένωι πανομοίιος· αὐτοχύτου δὲ
νεκταρέης κρητῆρα βεβυσμένον εἶχεν ἐέρσης,
καὶ Διὶ δαινυμένωι δέπας ὤρεγεν· ἕζετο δ' Ἥρη
οἷα χολωομένη καὶ ἐν ἀσπίδι, μάρτυρι μορφῆι
ψυχῆς ζῆλον ἔχουσα, παρεζομένηι δὲ θεαίνηι
Nonnus Παλλάδι δείκνυε κοῦρον, ὅτι γλυκὺ νέκταρ Ὀλύμπου
βουκόλος ἀστερόφοιτος ἐωινοχόει Γανυμήδης
πάλλων χειρὶ κύπελλα, τά περ λάχε παρθένος Ἥβη.

καὶ πολέας Κρονίδαο δεδουπότας υἷας ἀκούω·
Δάρδανος ἐκ Διὸς ἔσκε καὶ ὤλετο, καὶ θάνε Μίνως,
οὐδέ μεν ἐρρύσαντο Διὸς ταυρώπιδες εὐναί·
εἰ δὲ θεμιστεύει καὶ ἐν Ἄιδι, τίς φθόνος Ἰνδοῖς,
Αἰακὸς εἰ φθιμένοισι δικάζεται; ἣν δ' ἐθελήσηι,
κοιρανίην νεκύων ἐχέτω καὶ σκῆπτρα βερέθρου.
καὶ δολιχοῖς μελέεσσιν ἐπιψαύοντας Ὀλύμπου
Γηγενέας Κύκλωπας ὀλέσσατε, μὴ δορὸς αἰχμὴν
γαστρὶ μέσηι πήξαντες ἢ αὐχένι, χαλκοβαρὲς δὲ
ὀφθαλμῶι τροχόεντι βέλος τετορημένον ἔστω.
μὴ χθονίους Κύκλωπας ὀλέσσατε· καὶ γὰρ ἐκείνων
δεύομαι· Ἰνδώιωι δὲ παρήμενος ἐσχαρεῶνι
Βρόντης μὲν βαρύδουπον ἐμοὶ θάλπιγγα τελέσσηι
βρονταίοις πατάγοισιν ἰσόκτυπον, ὄφρά κεν εἴην
Ζεὺς χθόνιος, Στερόπης δὲ νέην ἀντίρροπον αἴγλην
ἀστεροπῆς τεύξειε καὶ ἐνθάδε· καί μεν ἐλέγξω
μαρνάμενος Σατύροισιν, ἵνα φρένα μᾶλλον ἀμύξηι
Δηριάδην κτυπέοντα καὶ ἀστράπτοντα δοκεύων
ζηλήμων Κρονίδης, πεφοβημένος ὄρχαμον Ἰνδῶν
ὑψιγόνου φλογόεντος ἀκοντιστῆρα κεραυνοῦ.
τίς φθόνος, εἰ πρηστῆρι μαχήμονα χεῖρα κορύσσω;
μητρὸς ἐμῆς γενέτης, φλογερῶν ἐπιήρανος ἄστρων,
αὐτὸς ὅλος Φαέθων πυρόεις πρόμος· εἰ δὲ τοκῆος
αἷμα φέρω ποταμοῖο, καὶ ὑδατόεντι βελέμνωι
μαρνάμενος μόθον ὑγρὸν ἀναστήσω Διονύσωι,
Βάκχων ἐχθρὰ κάρηνα ῥοαῖς ποταμοῖο καλύπτων. L1[I]
καὶ βυθίων τμήξαντες ἀλοιητῆρι σιδήρωι 𝔹
σώματα Τελχίνων τυμβεύσατε γείτονι πόντωι,
πατρὶ Ποσειδάωνι μεμηλότα, δαιδαλέου δὲ
δίφρου γλαυκὰ λέπαδνα καὶ ὑγφοπόρων γένος ἵππων
νίκης πόντια δῶρα κομίσσατε Δηριαδῆι.
καὶ ναέτην βαρύδεσμον ἀπειρώδινος Ἀθήνης
Ἡφαίστου πυρόεντος ἀπόσπορον αἴθοπι πυρσῶι
φλέξατε, τὸν καλέουσιν Ἐρεχθέα· καὶ γὰρ ἐκείνου
αἷμα φέρει περίπυστον Ἐρεχθέος, ὅν ποτε μαζῶι
παρθενικῆ φυγόδεμνος ἀνέτρεφε Παλλὰς ἀμήτωρ,
λάθριον ἀγρύπνωι πεφυλαγμένον αἴθοπι λύχνωι·
μιμνέτω Ἰνδώιηι κεκαλυμμένος αἴθοπι κίστηι,
καὶ κενεῶι ζοφόεντος ἐν ἕρκεϊ παρθενεῶνος.
καὶ τροχαλοὺς δρηστῆρας ἐυσκάρθμοιο βοείης,
ἴδμονας εὐπήληκος Ἐνυαλίοιο χορείης,
ἄξατέ μοι Κορύβαντας ἀτευχέας· ὀλλυμένοις δὲ
διχθαδίοις τεκέεσσιν ἐπικλαύσειε Καβειρώ,
Λημνιὰς ἀκρήδεμνος· ἀπορρίψας δὲ πυράγρην
αἰθαλόεις Ἥφαιστος ἑῆς ὀλετῆρα γενέθλης
ἥμενον ἀθρήσειεν ὑπὲρ δίφροιο Καβείρων
ἵππων χαλκοπόδων ἐπιβήτορα Δηριαδῆα.
κτείνω μὲν Διὸς υἷας· Ἀρισταῖον δὲ δαμάσσαι Nonnus
οὐ φθονέωι Μορρῆι, λαγωβόλον υἱέα Φοίβου,
οὐτιδανῆς ἐλατῆρα φιλοπτολέμοιο μελίσσης.
ὑμεῖς μὲν δρεπάνοισι καὶ ἀμφιπλῆγι μαχαίρῃ

ἔθνεα βουκολέοντας ἐρημονόμων ἐλεφάντων.
Nonnus πολλοὶ θῆρες ἔασι καὶ ἐνθάδε, τοῖσι συνάψω
Φῆρας ὁμοῦ καὶ Πᾶνας ὀρεσσινόμου Διονύσου·
κούρηι δ' ἡμετέρηι θαλαμηπόλον ἑσμὸν ὀπάσσω,
δαινυμένου Μορρῆος ὑποδρηστῆρα τραπέζης.
καί τις ἀνὴρ Φρυγίηθεν ὁμόστολος οἴνοπι Βάκχωι.
Ἰνδώιου ποταμοῖο δέμας λούσειε ῥεέθροις,
ἀντὶ δὲ Σαγγαρίου καλέσει πατρῶιον Ὑδάσπην·
ἄλλος ἀνὴρ Ἀλύβηθεν ὁμαρτήσας Διονύσωι
ἐνθάδε θητεύσειε, καὶ ἀργυρέου ποταμοῖο
χεύματα καλλείψας πιέτω χρυσαυγέα Γάγγην.
χάζεό μοι, Διόνυσε, φυγὼν δόρυ Δηριαδῆος·
ἔστι καὶ ἐνθάδε πόντος ἀπείριτος· ἀλλὰ θαλάσσης
Ἀρραβίης μετὰ κῦμα καὶ ἡμετέρη σε δεχέσθω·
εὐρύτερος βυθὸς οὗτος ἐρεύγεται ἀγκύλον ὕδωρ,
καὶ Σατύρους καὶ Βάκχον ἐπάρκιός ἐστι καλύψαι
καὶ στίχα Βασσαρίδων· οὐ μείλιχος ἐνθάδε Νηρεύς,
οὐ Θέτις Ἰνδώιη σε δεδέξεται, οὐδέ σε κόλπωι
ξεινοδόκον μετὰ κῦμα πάλιν φεύγοντα σαώσει,
αἰδομένη βαρύδουπον ἐμὸν πατρῶιον Ὑδάσπην.
ἀλλ' ἐρέεις· 'Κρονίωνος Ὀλύμπιον αἷμα κομίζω'.
27.50 Αἰθέρα Γαῖα λόχευσε χορῶι κεχαραγμένον ἄστρων·
Οὐρανόθεν γένος ἔσχες· ἐμὴ δέ σε Γαῖα καλύψει·
καὶ Κρόνον ὠμηστῆρα νέων θοινήτορα παίδων
Οὐρανόθεν γεγαῶτα κατέκρυφε κόλπος ἀρούρης.
L2[O] εἰμὶ δοριθρασέος στρατιῆς πρόμος· εἰμὶ Λυκούργου
𝔹 φέρτερος, ὅς σε δίωκε καὶ ἀπτολέμους σέο Βάκχας·
σὸν γένος οὐ κλονέει με Διιπετές· αἰνομόρου γὰρ
σῆς Σεμέλης ἤκουσα πυριβλήτους ὑμεναίους·
μὴ στεροπὴν ἀγόρευε Διὸς νυμφοστόλον εὐνῆς,
μὴ κεφαλὴν Κρονίωνος ἢ ἄρσενα μηρὸν ἐνίψηις·
οὐ Διὸς ὠδίνοντος ἐμὲ κλονέουσι λοχεῖαι·
πολλάκις ὠδίνουσαν ἐμὴν ἐνόησα γυναῖκα.
σὺν σοί δ', ἢν ἐθέληι, γενέτης τεὸς αὐτοτόκος Ζεὺς
ἄρσενι θωρήξειεν ἀρηγόνα θῆλυν Ἀθήνην,
Νίκην ἣν καλέουσιν, ἵνα πρηῶνας ἀράξας
Παλλάδος αἱμάξω κεφαλὴν ταμεσίχροϊ πέτρωι
ἢ δορὶ τολμήεντι, καὶ εὐκεράων ἀπὸ τόξων
μηρὸν ἀπειλητῆρος ὀιστεύσω Διονύσου,
βουκεράων Σατύρων ἡγήτορος, οὐταμένου δὲ
καὶ Διὶ καὶ Βρομίωι καὶ Παλλάδι μῶμον ἀνάψω·
εἰ δὲ σὺν ἀμφοτέροισι κορύσσεται ἀμφιγυήεις,
δεύομαι Ἡφαίστου τεχνήμονος, ὄφρα καὶ αὐτῶι
τεύχεα χαλκεύσειε πολύτροπα Δηριαδῆι.
οὐ τρομέω ποτὲ θῆλυν ἐγὼ πρόμον· εἰ δὲ τινάσσει
ἀστεροπὴν γενετῆρος, ἔχω πατρώιον ὕδωρ.
καὶ θρασύν, ὃν καλέουσιν ὁμόγνιον αἷμα Λυαίου,
Αἰακὸν οὐρανίοιο Διὸς βλάστημα τοκῆος
Ζηνὶ καταχθονίωι δεδαϊγμένον Ἄιδι πέμψω·
27.78 οὐδὲ μὲν ἁρπάξειε δι' ἠέρος ἱπτάμενος Ζεύς.

Μαιονίην δ' ἤσκησεν, ἐπεὶ τροφὸς ἔπλετο Βάκχου,
καὶ Μορίην καὶ στικτὸν ὄφιν καὶ θέσπιδα ποίην, Nonnus
καὶ χθονὸς ἄπλετον υἷα δρακοντοφόνον Δαμασῆνα,
καὶ Τύλον ἰοβόλωι κεχαραγμένον ὀξέι πότμωι
Μαιονίης ναέτην μινυώριον, ὅς ποτε βαίνων
Μυγδονίου ποταμοῖο παρ' ὀφρύσι γείτονος Ἕρμου
ἥψατο χειρὶ δράκοντος· ὁ δὲ πλατὺν αὐχένα τείνας,
ὑψώσας δὲ κάρηνον ἀφειδέι χάσματι λαιμοῦ
ἀντίον ἀνδρὸς ὄρουσε, καὶ ἰσχία φωτὸς ἱμάσσων
ὁλκαίηι ἐλέλιζε θυελλήεσσαν ὁμοκλήν,
καὶ βροτέωι στεφανηδὸν ἐπὶ χροῒ νῶτα συνάπτων,
ἁλλόμενος περὶ κύκλα νεότριχος ἀνθερεῶνος,
ὄγμωι πουλυόδοντι παρηίδος ἄκρα χαράξας
ἰοβόλοις γενύεσσιν ἀπέπτυεν ἰκμάδα Μοίρης,
καί οἱ ἐπιθρώισκοντι βαρυνομένων ὑπὲρ ὤμων
οὐραίαις ἑλίκεσσιν ἐμιτρώθη μέσος αὐχήν,
Ἄιδος ὁρμὸν ἔχων ὀφιώδεα, γείτονα Μοίρης.
καὶ νέκυς εἰς χθόνα πῖπτεν ὁμοίιος ἔρνεϊ γαίης.
καὶ νέον οἰκτείρουσα δεδουπότα μάρτυρι πότμωι
Νηιὰς ἀκρήδεμνος ἐπέστενε γείτονι νεκρῶι,
καὶ τότε θῆρα πέλωρον ἐρήτυεν, ὄφρα δαμείη·
οὐ γὰρ ἕνα πρήνιζεν ὁδοιπόρον οὐδὲ νομῆα,
καὶ Τύλον οὐ κτάνε μοῦνον ἀώριον, ἧι δ' ἐνὶ λόχμηι
ἐνδιάων καὶ θῆρας ἐδαίνυτο, πολλάκι δ' ἕλκων
ἄστατον αὐτόρριζον ὑπὸ χνοίηισίν ὀδόντων
δένδρεον εὐρώεντι κατέκρυφεν ἀνθερεῶνι, L2[O]
ἔμπαλιν αὖ ἐρύων βλοσυρὸν φύσημα γενείων· 𝔹
πολλάκι δ' ἑλκυσθέντα παλινδίνητον ὁδίτην
ἄσθμασιν ἐνδομύχοις πεφοβημένον εἰς στόμα σύρων
τηλεφανὴς ὅλον ἄνδρα κεχηνότι δέξατο λαιμῶι.
καὶ Μορίη σκοπίαζε κασιγνήτοιο φονῆα
τηλόθι παπταίνουσα, φόβωι δ' ἐλελίζετο νύμφη,
ἰοβόλων ὁρόωσα πολύστιχον ὄγμον ὀδόντων,
καὶ θανάτου στέφος εἶδε περίπλοκον ἀνθερεῶνι·
πυκνὰ δὲ κωκύουσα δρακοντοβότωι παρὰ λόχμηι
ἠλιβάτωι Δαμασῆνι συνήντεεν υἱέι Γαίης,
ὃν πάρος αὐτογόνοισι τόκοις μαιώσατο μήτηρ
ἐκ γενετῆς μεθέποντα δασύτριχα κύκλα γενείου·
τικτομένωι δέ οἱ ἦεν Ἔρις τροφός· ἔγχεα δ' αὐτῶι
μαζὸς ἔην καὶ χύτλα φόνοι καὶ σπάργανα θώρηξ,
καὶ δολιχῶν μελέων βεβαρημένος εὐρέι φόρτωι
νήπιος αἰχμάζων, βρέφος ἄλκιμον, αἰθέρι γείτων
ἐκ γενετῆς δόρυ πάλλεν ὁμόγνιον, ἀρτιφανῆ δὲ
ὥπλισεν Εἰλείθυια λεχώιον ἀσπιδιώτην.
τὸν μὲν ἐσαθρήσασα παρὰ κλέτας εὔβοτον ὕλης
κάμπτετο λισσομένη, κινυρὴ δ' ἐπεδείκνυε νύμφη
ἄπλετον ἑρπηστῆρα κασιγνήτοιο φονῆα
καὶ Τύλον ἀρτιχάρακτον ἔτι σπαίροντα κονίηι·
οὐδὲ Γίγας ἀμέλησε, πέλωρ πρόμος· ἀλλὰ πιέσας
δένδρεον αὐτόπρεμνον ἀνέσπασε μητρὸς ἀρούρης, 25.500

ὠμοβόρου δὲ δράκοντος ἐναντία δόχμιος ἔστη·
καὶ πρόμος εἱλικόεις ὀφιώδεϊ μάρνατο τιμῆι,
αὐχενίηι σάλπιγγι μόθου συριγμὸν ἰάλλων,
πεντηκονταπέλεθρος ὄφις κυκλούμενος ὁλκῶι·
καὶ διδύμωι σφιγκτῆρι πόδας σφηκώσατο δεσμῶι,
καὶ σκολιαῖς ἑλίκεσσι δέμας Δαμασῆνος ἱμάσσων
χάσματι λυσσήεντι πύλας ᾤιξεν ὀδόντων,
χείλεσι τοξεύων διερὸν βέλος, ὄμματα σείων
ὠμὰ φόνου πνείοντα, Γιγαντείωι δὲ προσώπωι
ἔπτυεν. ὀμβρηρῆισι γενειάσι πίδακας ἰοῦ,
χλωρὸν ὀιστεύων δολιχόσκιον ἀφρὸν ὀδόντων·
ὑψιλόφου δὲ Γίγαντος ἐπεσκίρτησε καρήνωι,
ὄρθιος ἀΐξας μελέων ἐνοσίχθονι παλμῶι.
ἀλλὰ δρακοντείης ἀπεσείσατο φόρτον ἀκάνθης
αἰνογίγας, σκοπέλοισιν ἐοικότα γυῖα τινάσσων·
καὶ παλάμηι τανύφυλλον ἑὴν ἐλέλιζεν ἀκωκήν,
ὀρθὸν ἀκοντίζων δρυόεν βέλος· ἀμφὶ δὲ κόρσηι
πῆξε φυτὸν προθέλυμνον, ὅπηι περὶ κυκλάδα δειρὴν
αὐχενίηι γλωχῖνι συνήπτετο δεσμὸς ἀκάνθης·
καὶ φυτὸν ἐρρίζωτο τὸ δεύτερον· ἀμφὶ δὲ γαίηι
κεῖτο δράκων ἀτίνακτος, ἕλιξ νέκυς. ἐξαπίνης δὲ
θῆλυς ὄφις ξύουσα παλιννόστωι πέδον ὁλκῶι
εὐνέτις ἀμφιέλικτος ἐδίζετο λοξὸν ἀκοίτην,
οἷα γυνὴ ποθέουσα νέκυν πόσιν· εἰς σκοπέλους δὲ
μηκεδανῆς ἐλέλιζε θοώτερον ὁλκὸν ἀκάνθης,
εἰς ὄρος ἐσσυμένη βοτανηφόρον· ἀμφὶ δὲ λόχμην
δρεψαμένη Διὸς ἄνθος ἐχιδνήεντι γενείωι
χείλεσιν ἀκροτάτοις ὀδυνήφατον ἤγαγε ποίην,
καὶ νέκυος δασπλῆτος ἀλεξήτειραν ὀλέθρου
ἀζαλέωι μυκτῆρι συνήρμοσεν, ἰοβόλωι δὲ
ζωὴν ἀνθεμόεσσαν ἀκινήτωι πόρε νεκρῶι·
καὶ νέκυς αὐτοέλικτος ἐπάλλετο· καὶ τὸ μὲν αὐτοῦ
ἄπνοον ἦν, ἕτερον δὲ διέστιχεν, ἄλλο δὲ σείων
ἡμιτελὴς νέκυς ἦεν ἔχων αὐτόσσυτον οὐρήν·
καὶ ψυχραῖς γενύεσσι παλίμπνοον ἄσθμα τιταίνων
οἰγομένωι κατὰ βαιὸν ἐθήμονι βόμβεε λαιμῶι,
συριγμὸν προχέων παλινάγρετον· ὀψὲ δὲ βαίνων
νόστιμος ἀρχαίην ὑπεδύσατο φωλάδα χειήν.

καὶ Μορίη Διὸς ἄνθος ἐκούφισεν, ἀμφὶ δὲ νεκροῦ
ζωοτόκωι μυκτῆρι φερέσβιον ἥρμοσε ποίην.
καὶ βοτάνη ζείδωρος ἀκεσσιπόνοισι κορύμβοις
ἔμπνοον ἐψύχωσε δέμας παλιναυξέι νεκρῶι.
ψυχὴ δ᾽ εἰς δέμας ἦλθε τὸ δεύτερον· ἐνδομύχωι δὲ
ψυχρὸν ἀοσσητῆρι δέμας θερμαίνετο πυρσῶι·
καὶ νέκυς ἀμφιέπων βιοτῆς παλινάγρετον ἀρχὴν
δεξιτεροῦ μὲν ἔπαλλε ποδὸς θέναρ, ἀμφὶ δὲ λαιὸν
ὀρθώσας στατὸν ἴχνος ὅλωι στηρίζετο ταρσῶι,
ἀνδρὸς ἔχων τύπον ἶσον, ὃς ἐν λεχέεσσιν ἰαύων
ὄρθριον οἰγομένης ἀποσείεται ὕπνον ὀπωπῆς.
καὶ πάλιν ἔζεεν αἷμα· νεοπνεύστοιο δὲ νεκροῦ
χεῖρες ἐλαφρίζοντο· καὶ ἁρμονίη πέλε μορφῆι,
ποσσὶν ὁδοιπορίη, φάος ὄμμασι, χείλεσι φωνή.

καὶ Κυβέλη κεχάρακτο νεητόκος, οἷά τε κόλπωι
μιμηλὴν ἀλόχευτον ἐλαφρίζουσα λοχείην
πήχεσι ποιητοῖσι, καὶ ἀστόργωι παρακοίτηι.
λαϊνέην ὠδῖνα δολοπλόκος ὤρεγε Ῥείη,
ὀκρυόεν βαρὺ δεῖπνον· ὁ δὲ βροτοειδέα μορφὴν
ἔκρυφε μάρμαρον υἷα πατὴρ θοινήτορι λαιμῶι,
ἄλλον ψευδομένοιο Διὸς δέμας εἰλαπινάζων·
καὶ λίθον ἐν λαγόνεσσι μογοστόκον ἔνδον ἀείρων
θλιβομένην πολύτεκνον ἀνηκόντιζε γενέθλην,
φόρτον ἀποπτύων ἐγκύμονος ἀνθερεῶνος.

τοῖα μὲν ἐργοπόνοιο πολύτροπα δαίδαλα τέχνης
εἶχεν ἐνυαλίη πολυπίδακος ἀσπὶς Ὀλύμπου
Βακχιάς, ἣν ὁρόωντες ἐθάμβεον ἄλλος ἐπ᾽ ἄλλωι,
καὶ σάκεος τροχόεντος ἐκυκλώσαντο φορῆα,
ἔμπυρον αἰνήσαντες Ὀλύμπιον ἐσχαρεῶνα.

τοῖσι δὲ τερπομένοισι δύσιν διεμέτρεεν Ἠώς,
φέγγος ἀναστείλασα πυριγλήνοιο προσώπου·
καὶ σκιερὴν ἐμέλαινεν ὅλην χθόνα σιγαλέη Νύξ.
λαοὶ δ᾽ ἔνθα καὶ ἔνθα χαμαιστρώτων ἐπὶ λέκτρων
ἑσπερίηι μετὰ δόρπον ὀρειάδι κάππεσον εὐνῆι.

Ἄρτι δὲ λυσιπόνοιο τιναξαμένη πτερὸν Ὕπνου
ἀντολίης ᾤιξε θύρας πολεμητόκος Ἠώς,
καὶ Κεφάλου λίπε λέκτρα σελασφόρα· βαλλόμενος δὲ
ἀντιπόρωι Φαέθοντι μέλας λευκαίνετο Γαγγης·
καὶ φυγὰς ἀρτιχάρακτος ἐχάζετο κῶνος ὁμίχλης
σχιζόμενος φαέεσσιν· ἀπὸ δροσεροῖο δὲ δίφρου
ὄρθριος εἰαρινῆισιν ἐλούετο καρπὸς ἐέρσαις.

καὶ κλόνος ἦν. Φαέθων δὲ πυριτρεφέων δρόμον ἵππων
ἀενάων ἐτέων φλογόεις ἀνεσείρασε ποιμήν,
γείτονος εἰσαΐων κορυθαιόλον Ἄρεος Ἠχώ,
καὶ στρατὸν αἰχμάζειν προκαλίζετο μάρτυρι πυρσῶι,
θερμὸν ἀκοντίζων ῥοδόεν βέλος· ἀμφὶ δὲ γαίηι
αἱμαλέης ξένον ὄμβρον ἀπ᾽ ἰκμάδος ὑέτιος Ζεὺς
οὐρανόθεν κατέχευε, φόνου πρωτάγγελον Ἰνδῶν,
καὶ φονίαις λιβάδεσσιν Ἐνυαλίου νιφετοῖο
δίψια κυανέης ἐρυθαίνετο νῶτα κονίης
Ἰνδώου δαπέδοιο· νεοσμήκτου δὲ σιδήρου
Ἠελίου σελάγιζε βολαῖς ἀντίρροπος αἴγλη.

φαινομένας δὲ φάλαγγας ἐπὶ κλόνον ὥπλισεν Ἰνδῶν
Δηριάδης ὑπέροπλος, ἐποτρύνων δὲ μαχητὰς
μῦθον ἀπειλητῆρος ἀνήρυγεν ἀνθερεῶνος·

“δμῶες ἐμοί, μάρνασθε, πεποιθότες ἠθάδι Νίκηι,
καὶ θρασὺν ὃν καλέουσι κερασφόρον υἷα Θυώνης
λάτριν ἰσοκραίροιο τελέσσατε Δηριαδῆος.
κτείνατέ μοι καὶ Πᾶνας ἀλοιητῆρι σιδήρωι·
εἰ δὲ θεοὶ γεγάασι, καὶ οὐ θέμις ἐστὶ δαΐξαι
Πανὸς ἀνουτήτοιο δέμας τμητῆρι σιδήρωι,
Πᾶνας ὀρεσσινόμους ληίσσομαι, ἔνδοθι λόχμης

ὄμμασι θαμβαλέοισιν ἐθηήσαντο μαχηταί,
Nonnus ἔγχος ἔτι κρατέοντα καὶ οὐ ῥίψαντα βοείην,
νεκρὸν ἀκοντιστῆρα καὶ ἄπνοον ἀσπιδιώτην.
καί τις Ἀθηναίοιο τυχὼν δασπλῆτι σιδήρωι
δεξιτερὴν ἤμησε, βραχίονος ἄκρον ἀράξας·
ἡ δὲ κυβιστήσασα φόνου βητάρμονι παλμῶι
ἤριπεν ἀρτιδάικτος, ὁμήλικι σύμπλοκος ὤμωι,
✦ ξανθὰ διαστίζουσα κατάρρυτα νῶτα κονίης.
καί νύ κεν ἀλλομένης ταναὸν δόρυ χειρὸς ἐρύσσας
ἔγχεϊ τηλεβόλωι παλινάγρετον εἶχεν Ἐννώ,
καὶ λαιὴ πολέμιζε δορυσσόος ἀντίτυπος χείρ·
ἀλλά μιν ἀντικέλευθος ἀνάρσιος ἔφθασεν ἀνήρ,
καὶ λαιὴν προθέλυμνον ἀμοιβάδι τύψε μαχαίρηι·
καὶ παλάμη χθονὶ πῖπτεν, ἀκοντίζων δὲ φονῆα
αἱμαλέης ἔρραινεν ἐκηβόλος ὁλκὸς ἐέρσης
πορφυρέαις λιβάδεσσιν, ὑπὲρ δαπέδοιο δὲ δειλὴ
ἅλμασιν αὐτοκύλιστος ἐπάλλετο μαινομένη χεὶρ
αἵματι φοινιχθεῖσα, καὶ ἀγκύλα δάκτυλα γαίηι
εὐπαλάμωι σφήκωσε μέσωι γαμψώνυχι δεσμῶι,
οἷα περισφίγγουσα πάλιν τελαμῶνα βοείης.
καί τινα μῦθον ἔειπεν Ἀρήια δάκρυα λείβων·
“ἄλλην εἰσέτι χεῖρα λελαίομαι, ὄφρα τελέσσω
τριχθαδίαις παλάμῃσιν ἐπάξια Τριτογενείης·
ἔμπης καὶ μετὰ χεῖρας ἀνάρσιον ἄνδρα διώξω·
τοῦτό μοι ἠνορέης ἔτι λείψανον, ὄφρά τις εἴπηι
L1[O] εὖχος Ἀθηναίων περιδέξιον, ὅττι καὶ αὐτοῖς
ποσσὶν ἀριστεύουσι δαϊζομένων παλαμάων.”
ὣς εἰπὼν προμάχοισιν ἐπέδραμεν εἴκελος αὔραις,
ὑσμίνην ἀσίδηρον ἐπεντύνων ὀλετῆρι.
οἱ δέ μιν ἀθρήσαντες ἐθάμβεον ἄλλος ἐπ’ ἄλλωι,
καὶ πρόμον ἡμιτέλεστον ἐκυκλώσαντο μαχηταὶ
ἀμφιλαφεῖς· ὁ δὲ μοῦνος ἀφειδέι δέκτο μαχαίρηι
πληγὴν ἀλλοπρόσαλλον ἀμοιβαίοιο σιδήρου·
καὶ μόγις εἰς χθόνα πίπτεν· ἔην δέ τις Ἄρεος εἰκὼν
ὀψιγόνωι ναετῆρι φυλασσομένη γενετῆρα.
οὐ τότε μοῦνος ὅμιλος ἐτέμνετο πεζὸς ὁδίτης,
ἀλλὰ καὶ ἱππήεσσιν ἔην φόνος· ἔστιχε δ’ ἄλλος
ἄλλωι πότμον ἄγων· ἐλατὴρ δ’ ἐλατῆρα κιχήσας,
ἢ προτέρω φεύγοντι μετάφρενα δουρὶ δαΐζων,
ἢ σχεδὸν ἀντιόωντα κατὰ στέρνοιο τυχήσας,
ἱππόθεν ἀρτιδάικτον ἀπεστυφέλιξε κονίηι.
καί τις ὑπὲρ λαπάρην βεβολημένος ἵππος ὀιστῶι
εἰς πέδον ἠκόντιζεν ἀπόσσυτον ἡνιοχῆα,
οἷος ἀερσιπότητος ἀλήμονι σύνδρομος αὔρηι
Πήγασος ὠκυπέτης ἀπεσείσατο Βελλεροφόντην·
ἄλλος ἐριπτοίητος ὀλισθηρῶν ἀπὸ νώτων
ὄρθιος ἱππεΐης διὰ γαστέρος εἰς χθόνα πίπτων
κύμβαχος ἐστήρικτο παρήορος, ἀμφὶ δὲ γαίηι
κρᾶτα βαλὼν ἐκύλισσε, λιπὼν πόδας εἰς ῥάχιν ἵππου.
28.172 καὶ βριαροὶ Κύκλωπες ἐκυκλώσαντο μαχητάς,
Ζηνὸς ἀοσσητῆρες· ὁμιχλήεντι δὲ λαῶι

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The twenty-sixth has the counterfeit shape of Athena, and the great assembly of the Indian host to stir up the battle.

NONNUS
DIONYSIACA
BOOK 26

PREVIEW BOOK 28

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 378 lines 3.0
3L 1 - 378

PRINT 2-SIDED: **153** to **158**

Δηριάδηι δ᾽ εὕδοντι κατηφέος ὑψόθεν εὐνῆς
Βάκχωι πιστὰ φέρουσα παρίστατο θοῦρις Ἀθήνη,
γνωτῶι δ᾽ ἐσσομένην ἑτέρην μνηστεύετο νίκην·
καὶ δέμας ἀλλάξασα μετάτροπον ἶσον Ὀρόντηι
γαμβρὸν ἀερσιλόφου μιμήσατο Δηριαδῆος·
καί μιν ἀπορρίψαντα μιαιφόνον οἶστρον Ἐννοῦς
μιμηλὴ δολίοιο παρήπαφεν ὄψις ὀνείρου,
τοῖον ἔπος βοόωσα, καὶ ὀλλυμένων ἐπὶ πότμωι
ταρβαλέον θάρσυνεν ἐς ὑσμίνην Διονύσου·
"εὕδεις, Δηριάδη· σὲ δὲ μέμφομαι· ἀστυόχων γὰρ
πάννυχον ὕπνον ἔχειν ἀλλότριόν ἐστιν ἀνάκτων·
ὕπνου μέτρον ἔχει βουληφόρος. ἀμφὶ δὲ πύργων
δυσμενέες κλονέουσι, καὶ οὐ δόρυ θοῦρον ἀείρεις,
οὐκ ἀίεις τυπάνων ῥόθιον κτύπον, οὐ μέλος αὐλῶν,
οὐ φονίης σάλπιγγος ἀγέστρατον ἦχον ἀκούεις.
ὑμετέρην δὲ θύγατρα νεήνιδα πενθάδα χήρην
Πρωτονόην ἐλέαιρε, κινυρομένην παρακοίτην,
μηδὲ λίπηις, σκηπτοῦχε, τεὸν νήποινον Ὀρόντην.
κτεῖνον ἐμοὺς ὀλετῆρας ἀτευχέας· ὠκυμόρου γὰρ
γαμβροῦ σεῖο θανόντος ἔτι ζώουσι φονῆες.
στῆθος ἐμὸν σκοπίαζε τετυμμένον ὀξέι θύρσωι·
ὤμοι, ὅτ᾽ οὐ Λυκόοργος Ἀρήιος ἐνθάδε ναίει,
ὤμοι, ὅτ᾽ οὐκ Ἀράβεσσιν ὑπερφιάλοισιν ἀνάσσεις·
οὐ θεὸς ἦν Διόνυσος, ὃν εἰς ἁλὸς οἶδμα διώκων
θνητὸς ἀνὴρ ποίησεν ὑποβρύχιον μετανάστην.
Δηριάδην ἐνόησα πεφυζότα θῆλυν Ἐνυώ.
ἄτρομος ἔσσο λέων, ὅτι χάλκεον ἀνέρα φεύγων
νεβροχίτων Διόνυσος ὁμοίιος ἔπλετο νεβρῶι.
οὐ κεῖνος κατέπεφνεν Ἀρειμανέων γένος Ἰνδῶν,
ἀλλά μιν αὐτὸς ἔπεφνε πατὴρ τεός· ἐν πολέμοις γὰρ
σοὺς προμάχους φεύγοντας ἰδὼν ἐδάμασσεν Ὑδάσπης.
οὐ σὺ πέλεις ἑτέροισιν ὁμοίιος· οὐράνιον γὰρ
θυγατέρος Φαέθοντος ἐριφλεγέος σέο πάππου
αἷμα φέρεις· οὐ θνητὸν ἔχεις δέμας· οὔ σε δαμάσσει
οὐ ξίφος ἠὲ βέλεμνον ἐπιβρίθοντα Λυαίωι."
ὣς φαμένη πρὸς Ὄλυμπον ἔβη πολύμητις Ἀθήνη,
εἶδος ὀνειρείοιο μεταλλάξασα προσώπου.
Δηριάδης δ᾽ Ἠῷος ἀπὸ πτολίων, ἀπὸ νήσων
κέκλετο κηρύκεσσι πολυσπερὲς ἔθνος ἀγείρειν·
καὶ πολὺς ἔνθα καὶ ἔνθα θυελλήεντι πεδίλωι
λαὸν ἀολλίζων ἑτερόπτολιν ἤιε κῆρυξ
Ἠώιην παρὰ πέζαν· Ἀρειμανέες δὲ μαχηταὶ
πάντοθεν ἠγερέθοντο καλεσσαμένου βασιλῆος.
πρῶτα μὲν ὡπλίζοντο κυβερνητῆρες Ἐννοῦς,
Ἀγραῖος Φλόγιός τε, συνήλυδες ἡγεμονῆες,
ἀρτιτελὲς μετὰ σῆμα νεοφθιμένοιο τοκῆος,
Εὐλαίου δύο τέκνα· συνεστρατόωντο δὲ λαοί,
ὅσσοι Κῦρα νέμοντο καὶ Ἰνδώιου ποταμοῖο
Βαίδιον Ὀμβηλοῖο παρὰ πλατὺ βάρβαρον ὕδωρ,
καὶ Ῥοδόην εὔπυργον, Ἀρειμανέων πέδον Ἰνδῶν,

καὶ μογέων ὀδύνησιν ὅλην ἐτίναξεν ἀπήνην
αὐχένι κυανέωι περιδέξιος ἠλίβατος θήρ·
καὶ γένυν αἰθύσσων σκολιὴν προβλῆτα προσώπου
αἱμοβαφῆ ζυγίων ἀνεσείρασε δεσμὰ λεπάδνων·
ἀλλὰ πόλυκλήιστον ὑπὸ ζυγὸν ἄορι κάμψας
αὐχενίων ἀνέκοψεν ὁμόζυγον ὁλκὸν ἱμάντων
ἡνίοχος ταχυεργός· ἀπ᾽ εὐρυβάτοιο δὲ φάτνης
ὑψιφανῆ νέον ἄλλον ἑλὼν ἔζευξε Κελαινεύς.
καὶ Κλύτιος θρασὺς ἔσκεν ἀνεικέος ἐλπίδι νίκης·
Δεξιόχου δὲ φονῆα καλέσσατο θυιάδι φωνῆι,
λοίγιον ὑβριστῆρι χέων ἔπος ἀνθερεῶνι·
"στῆθι, κύων, μὴ φεῦγε, Κορύμβασε, καί σε διδάξω,
οἷοι ἀκοντιστῆρες ὀπάονές εἰσι Λυαίου.
ὑμέας εἰς Φρυγίην ληίσσομαι, ἄστεα δ᾽ Ἰνδῶν
δηιώσει δόρυ τοῦτο, καὶ Ἰνδοφόνον μετὰ νίκην
Δηριάδην θεράποντα Διωνύσοιο τελέσσω·
παρθενικὴ δ᾽ ἀνάεδνος ἐὴν. λύσειε κορείην,
δεχνυμένη Σατύροιο δασυστέρνους ὑμεναίους,
Ἰνδὴ Μυγδονίοιο μιαινομένη σχεδὸν Ἕρμου."
ὣς φαμένου κεχόλωτο Κορύμβασος, ἀψιμόθου δὲ
φθεγγομένου Κλυτίοιο διέθρισεν ἀνθερεῶνα·
καὶ κεφαλὴ πεπότητο μετάρσιος ἅλματι Μοίρης,
αἱμαλέηι ῥαθάμιγγι περιρραίνουσα κονίην.
καὶ νέκυν ὀρχηστῆρα παλινδίνητον ἐάσας
Σειληνοὺς ἐφόβησε Κορύμβασός, ἔξοχος Ἰνδῶν,
ἔξοχος ἠνορέην μετὰ Μορρέα καὶ βασιλῆα.
αἰχμητὴν δὲ Σέβητα βαλὼν ὑπὲρ ἄντυγα μαζοῦ
χάλκεον ὤθεεν ἔγχος ἔσω χροός, αἱμαλέου δὲ
δούρατος ἑλκομένοιο χυτῆι κατέβαλλε κονίηι.
Οἰνομάωι δ᾽ ἐπόρουσεν· ὁ μὲν φυγὰς εἴκελος αὔραις
εἰς στρατιὴν Βρομίοιο τεθηπότι χάζετο ταρσῶι·
καί μιν ἰδὼν ἐδίωκεν ὀπίστερος, ἐν δ᾽ ἄρα νώτωι
μεσσατίωι δόρυ πῆξε· διαΐσσουσα δὲ ῥιπῆι
γαστέρος ἀντιπόροιο παρ᾽ ὀμφαλὸν ἄνθορεν αἰχμή·
αὐτὰρ ὁ φοινήεντι πεπαρμένος ἀμφὶ σιδήρωι
πρηνὴς ἀρτιδάικτος ἐπωλίσθησε κονίηι·
τὸν δὲ κατὰ βλεφάρων θανατηφόρος ἔσκεπεν ἀχλύς.
οὐδὲ μόθων ἀπέληγε πέλωρ πρόμος· ἀλλὰ μαχηταὶ
τέσσαρες εὐπήληκες ἐνὶ κτείνοντο φονῆι,
Τυνδάριός τε Θόων τε καὶ Αὐτεσίων καὶ Ὀνίτης.
καὶ Πύλος ἀρτιδάικτος ἔην νέκυς, οὐ χθονὶ πίπτων
πρηνής, οὐ δαπέδωι τετανυσμένος ὕπτιος ἀνήρ·
ἀλλὰ θανὼν ἀτίνακτος ἐπεστηρίζετο γαίηι,
μαρναμένωι προμάχωι πανομοίιος, ὡς δόρυ πάλλων,
ὡς τανύων θοὰ τόξα καὶ ὡς βέλος εἰς σκοπὸν ἕλκων.
καὶ νέκυς ἀλκήεις ποθέων μετὰ πότμον Ἐνυὼ
νήματα Μοιράων ἐβιήσατο, δούρατι κούφωι
εἴκελος αἰχμάζοντι, πολυσπερέων ἀπὸ τόξων
ἐκ κεφαλῆς βελέεσσι πεπαρμένος εἰς πόδας ἄκρους,
Ἄρεος ὀρθὸν ἄγαλμα· καὶ αἰχμητῆρα θανόντα

Σειληνοὶ δ' ἰάχησαν· ἐπεστρατόωντο δὲ Βάκχαι,
νεβρίδας ὡς θώρηκα κατὰ στέρνοιο βαλοῦσαι.
καί τις ὀρεσσινόμων Σατύρων, ἅτε πῶλον ἐλαύνων,
ποσσὶ διχαζομένοισιν ὑπὲρ ῥάχιν ἧστο λεαίνης.
Ἰνδοὶ δ' ἀνταλάλαζον, ἀολλίζων δὲ μαχητὰς
βάρβαρος ἐσμαράγησεν ἀγέστρατος αὐλὸς Ἐννοῦς·
στέμματα μὲν κορύθεσσιν, ἐπέκτυπε δ' αἰγίδι θώρηξ,
ἔγχεσι θύρσος ἔθυσε, καὶ ἰσάζοντο κοθόρνοις
ἀντίτυποι κνημῖδες· ὁμοζυγέων δὲ φορήων
στοιχάδες ἀλλήλῃσιν ἐπηρείδοντο βοεῖαι,
καὶ πρυλέες πρυλέεσσιν, ἀερσιλόφωι δὲ καρήνωι
Μυγδονίην πήληκα Πελασγιὰς ὤθεε πήληξ.
καὶ κλόνος ἦν προμάχων ἑτερότροπος· ὃς μὲν ἀείρων
Βακχείης ἐλέλιζε μετάρσιον ἅλμα χορείης,
ὃς δὲ πεσὼν στενάχιζεν, ὁ δ' ἐκροτάλιζε πεδίλωι,
ὃς δὲ τυπεὶς ἤσπαιρεν, ὁ δ' ἐσκίρτησε Λυαίωι·
ἄλλος ἀπὸ στομάτων πολεμήιον ἦχον ἰάλλων
Ἄρεος ἔγχος ἔμελπεν, ὁ δ' εἰλαπίνην Διονύσου·
καὶ τελετῆι Βρομίοιο συνεσμαράγησεν Ἐνυώ,
Εὔια δ' ἴαχε ῥόπτρα, καὶ ἡγήτειρα κυδοιμοῦ
λαὸν ἀολλίζουσα συνέκτυπε πηκτίδι σάλπιγξ,
σπονδῆι λύθρον ἔμιξε, φόνον δ' ἐκέρασσε χορείηι.
ἔνθα πολὺ πρώτιστος, ἑῶι ποδὶ κοῦφος ὀρούσας,
ἀντία Δηριάδαο κατηκόντιζε Φαληνεύς,
καὶ τύχεν ἀρρήκτοιο σιδηρείοιο χιτῶνος·
οὐ δὲ τιταινομένη χροὸς ἥψατο λοίγιος αἰχμή,
ἀλλὰ παραΐξασα πάγη χθονί· λυσσαλέος δὲ
Δηριάδῃ πέλας ἐχθρὸν ἐπαΐσσοντα νοήσας
ἀλκήεις ἐκίχησε Κορύμβασος, ἐσσυμένου δὲ
λαιμὸν ἀπηλοίησε μεσαίτατον ἄορι τύψας,
καὶ κεφαλὴν ἤμησε· δαϊζομένου δὲ καρήνου
αἱμοβαφὴς ἀκάρηνος ἐπὶ χθόνα πῖπτε Φαληνεύς.
ἀμφὶ δέ οἱ μόθος ὦρτο πολύθροος· ἀκρότατον δὲ
Δεξίοχος Φλογίοιο μεσόφρυον ἔξεσε χαλκῶι,
πλήξας ἄκρα μέτωπα διχαζομένης τρυφαλείης·
αὐτὰρ ὁ ταρβήσας, ὀλίγον γόνυ γουνὸς ἀμείβων,
μηκεδανῆι κεκάλυπτο κασιγνήτοιο βοείηι,
πατρώιηι συνάεθλον ἀδελφεὸν ἀσπίδι κεύθων.
Δαρδανίης ἅτε Τεῦκρον ὀιστευτῆρα γενέθλης
εἰς σάκος ἑπταβόειον ἐδέχνυτο σύγγονος Αἴας,
αὐτίκα δ' ἐκ κολεοῖο Κορύμβασος ἄορ ἐρύσσας
αὐχένα Δεξιόχοιο κατεπρήνιξε μαχαίρῃ·
καὶ ταχὺς ἀσπαίροντι θορὼν περιδέδρομε νεκρῶι
οἰστρομανὴς Κλύτιος, πρυλέων πρόμος· ὑψιλόφου δὲ
κραιπνὸς ἐριπτοίητος ἀκόντισε Δηριαδῆος·
ἀλλὰ δόρυ προμάχοιο παρακλιδὸν ἔτραπεν Ἥρη,
καὶ Κλυτίωι κοτέουσα καὶ Ἰνδοφόνωι Διονύσωι·
ἔμπης δ' οὐκ ἀφάμαρτε ταχὺς πρόμος· ἀλλὰ τορήσας
θηρὸς ἀμαιμακέτοιο πελώριον ἀνθερεῶνα
ὀρθοπόδην ἐλέφαντα κατέκτανε Δηριαδῆος·

καὶ κραναὸν Προπάνισον, ὅσοι τ' ἔχον ἄντυγα νήσου
Γραιάων, ὅθι παῖδες ἐθήμονος ἀντὶ τεκούσης
ἄρσενα μαζὸν ἔχουσι γαλακτοφόρου γενετῆρος,
χείλεσιν ἀκροτάτοισιν ὑποκλέπτοντες ἐέρσην·
οἵ τε Σεσίνδιον αἰπύ, καὶ οἳ λινοερκέι κύκλωι
Γάζον ἐπυργώσαντο μιτοπλέκτοισι δομαίοις,
Ἄρεος ἀκλινὲς ἕρμα, καὶ οὔ ποτε δήιος ἀνὴρ
χαλκὸν ἔχων ἔρρηξε λινοχλαίνων στίχα πύργων.
ἀρραγές, εὐποίητον ἐυκλώστοισι θεμέθλοις,
τοῖς δ' ἐπὶ θαρσήεντες ἐπεστρατόωντο μαχηταί,
Δάρδαι καὶ Πρασίων στρατιαί, καὶ φῦλα Σαλαγγῶν
χρυσοφόρων, οἷς πλοῦτος ὁμέστιος, οἷς θέμις αἰεὶ
χέδροπα καρπὸν ἔδειν βιοτήσιον· ἀντὶ δὲ σίτου
κεῖνον ἀλετρεύουσι μύλης τροχοειδέι κύκλωι·
καὶ σκολιοπλοκάμων Ζαβίων στίχες, οἷσιν ἐχέφρων
Παλθάνωρ πρόμος ἦεν, ὃς ἔστυγε Δηριαδῆα
ἤθεσιν εὐσεβέεσσιν ὁμοφρονέων Διονύσωι·
τὸν μὲν ἄναξ Διόνυσος ἄγων μετὰ φύλοπιν Ἰνδῶν
ἀλλοδαπὸν ναετῆρα λυροδμήτωι πόρε Θήβῃ·
καὶ Δίρκῃ παρέμιμνε λιπὼν πατρῷιον Ὑδάσπην,
Ἀονίου ποταμοῖο πιὼν Ἰσμήνιον ὕδωρ.
τοῖς δ' ἐπὶ κυδιόων στρατὸν ἄσπετον ὥπλισε Μορρεὺς
Διδνασίδης, γενετῆρι συνέμπορος, ὃς τότε λυγρῶι
γήραϊ πένθος ἔχων κεκερασμένον ἥψατο χάρμης,
γηραλέῃ παλάμῃ πολυδαίδαλον ἀσπίδα πάλλων
καὶ πολιῶι λειμῶνι κατάσκιον ἀνθερεῶνα
αὐτόματον κήρυκα χρόνου δολιχοῖο τινάσσων,
υἱὸν ἔτι στενάχων μινυώριον, Ἰνδὸν Ὀρόντην,
Δίδνασος αἰολόδακρυς· ἄναξ δέ οἱ ἕσπετο Μορρεὺς
ὄρθιον ἔγχος ἔχων τιμήορον, ὄφρα δαμάσσῃ
λαὸν ὅλον Βρομίοιο, καὶ ἤθελε μοῦνος ἐρίζειν
Βάκχωι γνωτοφόνωι, καὶ ἀνούτατον υἷα Θυώνης
οὐτῆσαι μενέαινε κασιγνήτοιο φονῆα.
καί σφισιν ὡμάρτησε πολυγλώσσων γένος Ἰνδῶν,
οἵ τ' ἔχον Ἠελίοιο πόλιν, καλλίκτιτον Αἴθρην,
ἀννεφέλου δαπέδοιο θεμείλιον, οἵ τ' ἔχον ἄμφω,
Ἀνθηνῆς λασιῶνα καὶ Ὠρυκίης δονακῆα,
καὶ φλογερὴν Νήσαιαν ἀχειμάντους τε Μελαίνας,
καὶ πέδον εὐδίνητον ἁλιστεφάνου Παταλήνης·
τοῖς ἔπι Δυσσαίων πυκιναὶ στίχες, οἷσι καὶ αὐτῶν
φρικτὰ δασυστέρνων ἐκορύσσετο φῦλα Σαβείρων,
τοῖσιν ἐνὶ κραδέῃ λάσιαι τρίχες, ὧν χάριν αἰεὶ
ψυχῆς θάρσος ἔχουσι καὶ οὐ πτώσσουσιν Ἐνυώ.
τοῖσι συνεστρατόωντο καὶ ἀνέρες Οὐατοκοῖται,
οἷσι θέμις δολιχοῖσιν ἐπ' οὔασιν ὕπνον ἰαύειν·
τοὺς μὲν Φρίγγος ἵκανε καὶ Ἄσπετος εἰς μόθον ἕλκων
αὐχήεις τε Δάνυκλος ὁμόστολος, οἷς ἅμα βαίνων
Ἱππουρῶι συνάεθλος ἐκηβόλος ἔστιχε Μορρεύς·
καὶ νόον ἶσον ἔχοντες ὅλον στρατὸν Οὐατοκοίτην
πέντε δαφοινήεντες ἐκόσμεον ἡγεμονῆες.

Τέκταφος εἰς μόθον ἦλθεν ἐκηβόλος, ὅς ποτε κούρης
χείλεσι πειναλέοισιν ἀλεξητήρια πότμου
πατροκόμου δολόεντος ἀμέλγετο χεύματα μαζοῦ,
Τέκταφος, αὐαλέος ψαφαρῶι χροΐ, νεκρὸς ἐχέφρων,
ὁππότε μιν σκηπτοῦχος ἔχων ἄστοργον ἀπειλὴν
Δηριάδης, σειρῆισι πολυπλέκτοισι πιέζων,
δέσμιον εὐρώεντι κατεκλήισσε βερέθρωι,
ἄτροφον, αὐχμώοντα, δέμας κεκαφηότα λιμῶι,
ἄμμορον ἠελίοιο καὶ εὐκύκλοιο σελήνης.
καὶ χθονίωι κεκάλυπτο βυθῶι πεπεδημένος ἀνήρ,
οὐ ποτόν, οὔ τινα δαῖτα φέρων, οὐ φῶτα δοκεύων,
ἀλλὰ πεδοσκαφέων λαγόνων ὑπὸ κοιλάδι πέτρηι
κεῖτο δυηπαθέων· χρονίωι δ' ἐστρεύγετο λιμῶι
πειναλέων στομάτων ὀλιγοδρανὲς ἆσθμα τιταίνων,
ἔμπνοος ἀπνεύστοισιν ὁμοίιος· οἷα δὲ νεκροῦ
ἐκ χροὸς ἀζαλέοιο δυσώδεες ἔπνεον αὖραι.
καὶ φυλάκων στρατὸς ἦεν ἐελμένον ἄνδρα φυλάσσων,
ὃν τότε κερδαλέη θυγάτηρ ἀπατήνορι μύθωι
ἤπαφεν· ἱκεσίην δὲ βαρύστονον ἴαχε φωνὴν
σεισαμένη δολόεντα νεητόκος εἵματα νύμφη·
"μή με κατακτείνητε, φυλάκτορες· οὐδὲν ἀείρω,
οὐ ποτὸν ἦλθον ἄγουσα καὶ οὔ τινα δαῖτα τοκῆι·
δάκρυα, δάκρυα μοῦνον ἐμῶι γενετῆρι κομίζω·
χεῖρες ἀπαγγέλλουσιν ἐλεύθεροι· εἰ νόος ὑμῖν,
εἰ νόος ἐστὶν ἄπιστος, ἀμεμφέα λύσατε μίτρην,
ῥίψατέ μοι κρήδεμνα, τινάξατε χερσὶ χιτῶνα·
οὐ ποτὸν ἦλθον ἄγουσα φερέσβιον. ἀλλὰ καὶ αὐτὴν
κρύψατε σὺν γενετῆρι καταχθονίωι με βερέθρωι·
οὐ φόβος, οὐ φόβος εἰμί, καὶ ἣν σκηπτοῦχος ἀκούσηι·
τίς νέκυν οἰκτείροντι χολώσεται; αἰνομόρωι δὲ
τίς κοτέει θνήσκοντι; τίς ἄπνοον οὐκ ἐλεαίρει;
ὄμματα δ' ἠμύοντα κατακλείσω γενετῆρος·
κρύψατε· τίς θανάτοιο πέλει φθόνος; ὀλλυμένους δὲ
εἷς τάφος ἀμφοτέρους, γενέτην καὶ παῖδα, δεχέσθω."
ὣς φαμένη παρέπεισε. καὶ εἰς μυχὸν ἔδραμε κούρη,
ὀρφναίωι γενετῆρι φαεσφόρος· ἐν δὲ βερέθρωι
εἰς στόμα πατρὸς ἔχευεν ἀλεξικάκων γάλα μαζῶν
ἄτρομος. Ἠερίης δὲ θεουδέος ἔργον ἀκούων
Δηριάδης θάμβησε· περισσονόοιο δὲ κούρης
εἴκελον εἰδώλωι γενέτην ἀνελύσατο δεσμῶν·
φήμη δ' ἀμφιβόητος ἀκούετο, καὶ στρατὸς Ἰνδῶν
μαζὸν ἀλεξικάκοιο δολοπλόκον ἤνεσε νύμφης.
ὃς τότε Βωλίγγεσσι μετέπρεπεν, ὡς μέσος ἄστρων
αἰθέρα φαιδρύνων ἀμαρύσσεται Ἕσπερος ἀστήρ,
Ἕσπερος, ἑσπομένης λιποφεγγέος ἄγγελος ὄρφνης.
Γίγγλων δ' ὑψικάρηνος ἀερσιπόδης τε Θυραιεὺς
ὑψινεφής θ' Ἵππαλμος ὑπὲρ πυμάτης κλίμα γαίης
ὥπλισαν αἰόλα φῦλα δοριθρασέων Ἀραχωτῶν
Δερσαίων τε φάλαγγας ὁμήλυδας, οἵ τε σιδήρωι
κτεινομένους κατ' Ἄρηα χυτῆι κρύπτουσι κονίηι

πάντων δ' ἡγεμόνευεν ἐς Ἄρεα κοίρανος Ἰνδῶν,
ὃν διερῆι φιλότητι πατὴρ ἔσπειρεν Ὑδάσπης,
Ἀστρίδος εὐώδινος ὁμιλήσας ὑμεναίοις,
κούρης Ἠελίοιο. φάτις δέ τις, ὅττί ἑ μήτηρ
Νηιὰς Ὠκεανοῖο γένος τεκνώσατο Κητώ,
ἥν ποτε παφλάζοντι διερπύζων περὶ παστῶι
νυμφίος ὑδατόεντι γάμωι πήχυνεν Ὑδάσπης
γνήσιον αἷμα φέρων Τιτήνιον· ἀρχεγόνων γὰρ
ἐκ λεχέων Θαύμαντος ἐγείνατο δίζυγα φύτλην
Ἠλέκτρη ῥοδόπηχυς ὁμευνέτις, ἧς ἀπὺ λέκτρων
καὶ ποταμὸς βλάστησε καὶ ἄγγελος Οὐρανιώνων,
Ἶρις ἀελλήεσσα καὶ ὠκυρέεθρος Ὑδάσπης,
ἡ μὲν ἐπεντύνουσα ποδῶν δρόμον, ὃς δὲ ῥοάων·
ἄμφω δ' ἀντικέλευθον ἴσην μεθέπουσι πορείην,
Ἶρις ἐν ἀθανάτοισι καὶ ἐν ποταμοῖσιν Ὑδάσπης.
τόσσος ἄρα στρατὸς ἦλθε· πόλις δ' ἐστείνετο λαῶι·
καὶ στίχες εὐπήληκες ἐμιτρώθησαν ἀήταις,
τετραπόρων πλήσαντες ἐν ἄστεϊ κύκλα κελεύθων·
οἱ μὲν ἐπὶ τριόδοισιν ἐπήτριμοι, οἱ δ' ἐνὶ βόθροις,
ἄλλοι δ' ἠλιβάτοιο πρὸ τείχεος, οἱ δ' ἐπὶ πύργων
νήδυμον ὕπνον ἴαυον ἀκοντοφόρων ἐπὶ λέκτρων.
ἡγεμόνων δὲ φάλαγγας ἑῶι ξείνισσε μελάθρωι
Δηριάδης, καὶ πάντες ἀμοιβαίων ἐπὶ θώκων
ξεινοδόκωι βασιλῆι μιῆς ἥπτοντο τραπέζης.
τοῖσι μὲν ἕσπερα δεῖπνα καὶ ἐννυχίου πτερὸν Ὕπνου
μέμβλετο, καὶ στρατὸς εὗδεν ἐνόπλιος Ἄρεϊ γείτων·
ἐγρεμόθωι δ' εὕδοντες ἐφωμίλησαν ὀνείρωι,
μιμηλὴν Σατύροισιν ἀναστήσαντες Ἐννώ.

Ἔνθά τις ἀπρήυντος ἔην ἔρις· ἀμφότεροι γὰρ
Φαῦνος Ἀρισταῖός τε μίαν συνέλασσαν Ἐννώ,
οἷσιν ἐφωμάρτησε καὶ Αἰακός, ἄξια ῥέζων
Ζηνὸς ἑοῦ γενετῆρος, ὑπὲρ νώτοιο τιταίνων
ἀσπίδα χαλκείην πολυδαίδαλον, ἧς ἐνὶ κύκλωι
δαίδαλα πολλὰ πέπαστο, τά περ κάμε Λήμνιος ἄκμων.
καὶ στρατιὴ κεκόρυστο πολύτροπος εἰς μόθον Ἰνδῶν
σπερχομένων ἀγεληδόν· ὁ μὲν ταμεσίχροϊ κισσῶι
κραιπνὸς ἐς ὑσμίνην πολυδαίδαλα δίφρα νομεύων
πορδαλίων ἐπέβαινεν, ὁ δὲ φρίσσοντι λεπάδνωι
ζεῦξεν Ἐρυθραίων ὀρεσίδρομον ἅρμα λεόντων
καὶ βλοσυρὴν ἴθυνε συνωρίδα, κυανέας δὲ
ἄλλος ἐριπτοίητος ἀκοντίζων στίχας Ἰνδῶν
ἀστεμφὴς ἀχάλινον ἐτέρπετο ταῦρον ἱμάσσων,
καί τις ἀναΐξας Κυβεληίδος εἰς ῥάχιν ἄρκτου
ἔχραε δυσμενέεσσι, καὶ οἴνοπα θύρσον ἑλίσσων
ἡνιόχους ἐφόβησε τανυκνήμων ἐλεφάντων·
ἄλλος ἀκοντίζων στρατιὴν ταμεσίχροϊ κισσῶι
οὐ ξίφος, οὐ σάκος εἶχε περίτροχον, οὐ δόρυ χάρμης
φοίνιον, ἀλλὰ πέτηλα φυτῶν ἑλικώδεα σείων
λεπτῶι χαλκοχίτωνα κατέκτανεν ἀνέρα θαλλῶι.
καὶ πάταγος βρονταῖος ἐπέκτυπεν εἴκελος αὐλῶι·

γναθμοῖς μηκεδανοῖσιν ἔχων προβλῆτας ὀδόντας
δίζυγας, ἀμητῆρι τύπωι γαμψώνυχος ἅρπης,
θηγαλέωι τμητῆρι, διαστείχει στίχα δένδρων
ποσσὶ τανυκνήμοισιν· ἔχων δ' ἴνδαλμα καμήλων
καὶ λοφίην ἐπίκυρτον, ἑῶι πολυχανδέι νώτωι
ἐσμὸν ἄγει νήριθμον ἐπασσυτέρων ἐλατήρων,
δινεύων στατὸν ἴχνος ἀκαμπέι γούνατος ὁλκῶι
καὶ τύπον εὐρυμέτωπον ἐχιδναίοιο καρήνου,
αὐχένα βαιὸν ἔχων κυρτούμενον· εἷλε δὲ λεπτὸν
ὄμμασιν ἰσοτύποισι συῶν ἴνδαλμα προσώπου,
ὑψιφανής, περίμετρος· ἑλισσομένου δὲ πορείηι
οὔατα μὲν λιπόσαρκα, παρήορα γείτονι κόρσηι,
λεπταλέων ἀνέμων ὀλίγηι ῥιπίζεται αὔρηι·
πυκνὰ δὲ μαστίζουσα δέμας νωμήτορι παλμῶι
λεπτοφυὴς ἐλάχεια τινάσσεται ἄστατος οὐρή.
πολλάκι δ' ἐν πολέμοισι γένυν προβλῆτα τινάσσων
ἀνέρι ταυροκάρηνος ἐπέχραεν ἠλίβατος θήρ,
ξείνην καρχαρόδοντα φέρων ἑτερόστομον ἅρπην,
δινεύων ἑκάτερθε γενειάδος ἔμφυτον αἰχμήν·
πολλάκι δ' εὐθώρηκα μετάρσιον ἀσπιδιώτην
ὄρθιον ἠέρταζε πεπαρμένον ἅρπαγι λαιμῶι,
ἄνδρα δὲ καρχαρόδοντι κατεπρήνιξεν ἀκωκῆι
καὶ νέκυν αὐτοκύλιστον ἐπὶ στροφάλιγγι κονίης
ὑψόθεν ἠκόντιζε παλινδίνητον ἀλήτην.
αἰθύσσων ἑλικηδὸν ἴτυν σκολιοῖο γενείου
κάρχαρον ἔνθα καὶ ἔνθα παρὰ προβολῆισιν ὀδόντων
ἀντίτυπον σπειρηδὸν ἐχιδνήεσσιν ἀκάνθαις,
ἄχρι ποδῶν τανύων κεχαραγμένον ἄορ ὀδόντων.
τοὺς μὲν ἄναξ Διόνυσος ἄγων μετὰ φύλοπιν Ἰνδῶν
Καυκασίην παρὰ πέζαν Ἀμαζονίου ποταμοῖο
εἰς φόβον εὐπήληκας ἀνεπτοίησε γυναῖκας,
ἠλιβάτων λοφίηισιν ἐφεδρήσσων ἐλεφάντων.
ἀλλὰ τὰ μὲν μετὰ δῆριν. ἐς ὑσμίνην δὲ Λυαίου
Δηριάδηι καλέοντι τότε πρόμος ἦλθε Πυλοίτης,
ὀρθοπόδην ἐλέφαντα κατὰ κλόνον ἡνιοχεύων,
καλλιτόκου Μαραθῶνος Ἀρειμανὲς αἷμα γενέθλης·
καί οἱ ἐς ὑσμίνην ἑτερόθροος ἕσπετο γείτων
λαὸς ἐυκρήδεμνον Ἐριστοβάρειαν ἐάσας.
Δερβίκων δὲ γένεθλα συνέσπετο Δηριαδῆι
Αἰθίοπές τε Σάκαι τε καὶ ἔθνεα ποικίλα Βάκτρων,
καὶ πολὺς οὐλοκόμων Βλεμύων στρατός. ἀλλοφανῆ δὲ
Αἰθίοπες μεθέπουσι τύπον τεχνήμονα χάρμης·
ἵππου γὰρ φορέοντες ὀλωλότος ἄντυγα κόρσης
ψευδόμενοι κρύπτουσιν ἀληθέα κύκλον ὀπωπῆς,
καὶ κεφαλὴν βροτέην ἑτέρωι σφίγγουσι προσώπωι,
ἄπνοον ἀσκήσαντες ἐς ἔμπνοον, ἐν δὲ κυδοιμοῖς
δήιον ἀγνώσσοντα νόθωι κλονέουσι καρήνωι·
καὶ πρόμος ἐκ στομάτων ἀπατήλιον ἦχον ἰάλλει,
ἵππιον ἀνδρομέηι προχέων χρεμετισμὸν ἰωῆι.
οἱ μὲν ἀολλίζοντο καλεσσαμένου βασιλῆος.

(κτεινομένους κατὰ δῆριν ἐτυμβεύοντο κονίηι).
καὶ στρατὸν ἀγκυλότοξον ἀολλίσσας ἐπικούρων
Ἀβράθοος βραδὺς ἦλθε· νεοτμήτων δὲ κομάων
αἰδόμενος κεκόρυστο, χόλον καὶ πένθος ἀέξων
βουκεράου βασιλῆος, ἐπεί νύ οἱ ἄφρονι λύσσηι
Δηριάδης ὑπέροπλος ὅλην ἀπεκείρατο χαίτην,
Ἰνδοῖς πικρὸν ὄνειδος. ἀναγκαῖος δὲ μαχητὴς
εἰς ἐνοπὴν μόγις ἦλθε, καὶ αἰπυλόφωι τρυφαλείηι
λωβητὴν ἐκάλυπτε λιπότριχον ἄντυγα κόρσης,
κρυπτὸν ἐνὶ κραδίηι μεθέπων κότον· ἐν δὲ κυδοιμοῖς
ἤματι μὲν πολέμιζεν, ἀεὶ δ' ὑπὸ πάννυχον ὥρην
ἄγγελον ἀγγέλλοντα νοήματα Δηριαδῆος
Βάκχωι πιστὸν ἔπεμπεν ὀπάονα· λαθριδίως δὲ
Δηριάδηι κεκόρυστο καὶ ἀμφαδίην Διονύσωι.
Ξούθων δ' ἄγρια φῦλα καὶ ἐγρεμόθων Ἀριηνῶν
καὶ Ζοάρων ἐκόρυσσε γονὴν καὶ φῦλον Ἐάρων
Κασπείρων τε γένεθλα καὶ Ἀρβίας, οἵ τ' ἔχον αὐτὸν
Ὕσπορον αἰγλήεντι διαστίλβοντα ῥεέθρωι,
ἠλέκτρου κομόωντα βαθυπλούτοισι μετάλλοις,
οἵ τ' ἔχον Ἀρσανίην εὐδείελον, ἧχι γυναῖκες
εἰς μίαν ἠριγένειαν ἐθήμονι Παλλάδος ἱστῶι
ὀξείαις παλάμηισιν ὅλον τελέουσι χιτῶνα.
τοῖς δ' ἐπὶ θωρήσσοντο κυβιστητῆρι κυδοιμῶι
Κυραῖοι, δεδαῶτες ἁλίκτυπον ἄντυγα νήσων,
Ἄρεος εἰναλίοιο δαήμονες· ὑγροπόρους δὲ
ὁλκάδας οὐ δεδάασιν, ἀδεψήτωι δὲ βοείηι
δουρατέων πλώουσι τύπωι τεχνήμονι νηῶν·
δέρμασι δ' ἰθύνουσι νόθον πλόον, οἷς ἔνι ναύτης
ἕζεται ἀκλύστοισιν ἐν οἴδμασι ποντοπορεύων,
ὁλκάσι μιμηλοῖσι θαλάσσια νῶτα χαράσσων.
τοὺς Θύαμις κόσμησε καὶ Ὅλκασος, ὄρχαμος ἀνδρῶν,
Ταρβήλου δύο παῖδες ἀκοντοφόροιο τοκῆος.
καὶ πολὺς ἐσμὸς ἵκανεν Ἀρειζάντειαν ἐάσας,
ξείνου δουρατέου μέλιτος τροφόν, ἧχι πιόντα
ἠερίης ζείδωρον Ἑώιον ἀρδμὸν ἐέρσης
δένδρεα χαιτήεντα μελίρρυτον, ὡς ἀπὸ σίμβλων,
δαιδαλέην ὠδῖνα σοφῆς τίκτουσι μελίσσης,
αὐτοτόκων πετάλων χλοερὸν ποτόν· εἰς πεδίον γὰρ
ἀρτιφανὴς Φαέθων, ὅτε λούεται Ὠκεανοῖο,
ὄμπνιον Ἠώιης ἀποσείεται ἰκμάδα χαίτης,
ῥαίνων ζωοτόκοιο φυτηκόμον αὔλακα γαίης.
τοῖον Ἀρειζάντεια φέρει μέλι, τῶι ἔπι χαίρων
νηχόμενος πτερύγεσσιν ὑπὲρ πετάλοιο χορεύων
ἵπταται ἄσπετος ὄρνις· ὄφις δέ τις ἀγκύλος ἕρπων,
μιτρώσας ἑλικηδόν, ὁμόπλοκος ἡδέι δένδρωι,
ἰκμάδα λειριόεσσαν ἀμέλγεται ἅρπαγι λαιμῶι,
χείλεσι λιχμώων γλυκερὴν ὠδῖνα κορύμβων·
δενδραίην δὲ δράκοντες ἀναβλύζοντες ἐέρσην
ἡδὺ μέλι προχέουσι, καὶ οὐ τόσον ἰὸν ἀλήτην
πικρὸν ἀποπτύουσιν, ὅσον γλυκὺ χεῦμα μελίσσης·

ἧχι μελισταγέεσσιν ἐπ' ἀκρεμόνεσσιν ἀείδει
ὡρίων, γλυκὺς ὄρνις, ὁμοίιος ἔμφρονι κύκνωι·
οὐ μὲν ἀνακρούει Ζεφυρηίδι σύνθροος αὔρηι
ὑμνοτόκων πτερύγων ἀνεμώδεα ῥοῖζον ἰάλλων,
ἀλλὰ σοφοῖς στομάτεσσι μελίζεται, οἷά τις ἀνὴρ
πηκτίδι νυμφοκόμωι θαλαμηπόλον ὕμνον ἀράσσων.
down 3 πολλάκι δ' ἠνεμύεντος ὑπὲρ δένδροιο λιγαίνων
down 3 σύνθροος ὡρίωνος ἀνέπλεκε γείτονα μολπήν,
down 3 φοινικέαις πτερύγεσσι κεκασμένος· ἦ τάχα φαίης,
down 3 μελπομένου κατρῆος ἑώιον ὕμνον ἀκούων,
down 3 ὄρθριον αἰολόδειρον ἀηδόνα κῶμον ὑφαίνειν.
κατρεὺς δ' ἐσσομένοιο προθεσπίζει χύσιν ὄμβρου,
ξανθοφυής, λιγύφωνος· ἀπὸ βλεφάρων δέ οἱ αἴγλη
πέμπεται ὀρθρινῇσι βολαῖς ἀντίρροπος Ἠοῦς·
κεῖθι καὶ ἐγρεμόθων μερόπων στρατός, οὓς ἐπὶ χάρμην
ἄτρομος Ἱππάλμοιο πάις θώρηξε Πυλοίτης,
γνωτὸν ἔχων Βιλλαῖον, ὁμόστολον ἡγεμονῆα.
τοῖς δ' ἐπὶ θωρήσσοντο Σίβαι καὶ λαὸς Ὑδάρκης,
καὶ στρατὸς ἄλλος ἵκανε πόλιν Καρμῖναν ἐάσας·
τῶν ἅμα Κύλλαρος ἦρχε καὶ Ἀστράεις, πρόμος Ἰνδῶν,
Βρόγγου δίζυγα τέκνα τετιμένα Δηριαδῆι.
καὶ στόλος ἄλλος ἵκανε τριηκοσίων ἀπὸ νήσων,
αἵ τε περιστιχόωσιν ἀμοιβάδες ἄλλυδις ἄλλαι
γείτονες ἀλλήλῃσιν, ὅπῃ περιμήκεϊ πορθμῶι
δίστομος Ἰνδὸς ἄγων μετανάστιον ἀγκύλον ὕδωρ,
L3[I] ἑρπύζων κατὰ βαιὸν ἀπ' Ἰνδώιου δονακῆος
λοξὸς ὑπὲρ δαπέδοιο παρ' Ἠώιον στόμα πόντου,
◆ ἔρχεται αὐτοκύλιστος ὑπὲρ λόφον Αἰθιοπῆα·
ἧχι θερειγενέων ὑδάτων ὑψούμενος ὁλκῶι
χεύμασιν αὐτογόνοις ἐπὶ πήχεϊ πῆχυν ἀέξει,
καὶ χθόνα πιαλέην ἀγκάζεται ὑγρὸς ἀκοίτης,
τέρπων ἰκμαλέοισι φιλήμασι διψάδα νύμφην,
οἶστρον ἔχων πολύπηχυν ἀμαλλοτόκων ὑμεναίων,
μέτρωι ἀμοιβαίωι παλιναυξέα χεύματα τίκτων
Νεῖλον ἐν Αἰγύπτωι καὶ λώιον Ἰνδὸς Ὑδάσπης.
κεῖθι μελαμψήφιδα διαξύων ῥόον ὁπλῇι
νήχεται ὑδατόεις ποταμήιος ἵππος ἀλήτης,
οἷος ἐμοῦ Νείλοιο θερειγενὲς οἶδμα χαράσσων
ἀντιάει, βυθίοιο δι' ὕδατος ὑγρὸς ὁδίτης
μηκεδαναῖς γενύεσσιν· ἐπ' αἰγιαλοῖο δὲ βαίνει
αἰχμῇι καρχαρόδοντι διασχίζων ῥάχιν ὕλης,
καὶ διερὴν ἀχάρακτον ἔχων γένυν ἅρπαγα καρπῶν
μιμηλῇι δρεπάνηι σταχυηφόρα λήια τέμνει,
ἀμητὴρ ἀσίδηρος ἀμαλλοφόρου τοκετοῖο·
τοῖα μὲν ἑπταπόροιο φατίζεται εἴκελα Νείλου
Ἰνδώιου ποταμοῖο φέρειν μένος. οἱ δὲ λιπόντες
νήσων ἀγκύλα κύκλα καὶ ἕδρανα γείτονος Ἰνδοῦ
ἄνδρες ἐθωρήσσοντο μαχήμονες, ὧν πρόμος ἀνὴρ
Ῥίγβασος ἡγεμόνευεν, ἔχων ἴνδαλμα Γιγάντων.
οὐδὲ γέρων Ἄρητος ἐλείπετο Δηριαδῆος
141 (80C) εἰς ἐνοπὴν καλέοντος, ἀνὴρ βαρύς· ἀλλὰ καθάψας
χαλκοβαρῆ λασίοιο κατὰ στέρνοιο χιτῶνα
γηραλέου κούφιζεν ὑπὲρ νώτοιο βοείην,
αὐχένι κυρτωθέντι περικρεμάσας τελαμῶνα.
καὶ στρατιὴν θώρηξεν ἀναγκαῖος πολεμιστὴς
πέντε σὺν υἱήεσσι, Λύκωι καὶ ὁμήλυδι Μύρσωι,
Γλαύκωι καὶ Περίφαντι καὶ ὀψιγόνωι Μελανῆι.
καὶ πολιὴν πλοκαμῖδα περισφίγξας τρυφαλείηι
λαιὸν ἐυτροχάλοιο μετέστιχε δηιοτῆτος,
δεξιτερὸν πολέμοιο κέρας τεκέεσσιν ἐάσας,
οὓς φύσις ἀφθόγγων στομάτων σφρηγίσσατο δεσμῶι,
γλῶσσαν ὑποσφίγξασα σοφῆς ὀχετηγὸν ἰωῆς·
ὁππότε γὰρ θαλάμοιο παρὰ φλιῇσι χορεύων
Λαοβίην ζυγίοιο γάμου πιστώσατο θεσμῶι
παιδογόνοις Ἄρητος ὁμιλήσας ὑμεναίοις,
ἔνθεον ἔπλετο θάμβος, ἐπεὶ γαμίωι παρὰ βωμῶι
νυμφοκόμωι πεπόνητο θυηπολέων Ἀφροδίτηι
νυμφίος ἀρτιχόρευτος, ἐν εὐύμνωι δὲ μελάθρωι
δοῦπον ἀνακλάγξασα λεχώιον ἀνθερεῶνος
μάντις ἐπεσσομένων ἐβαρύνετο πουλυτόκος σῦς,
ἀλλοίην καὶ ἄπιστον ἐλαφρίζουσα λοχείην,
καὶ νεπόδων ὤδινε νόθον γένος, ἐκ λαγόνων δὲ
ὑγρὴν ἰχθυόεσσαν ἀνηκόντιζε γενέθλην,
ἀντὶ τόκου χθονίοιο λοχευσαμένη τόκον ἅλμης.
καὶ συὸς ἰχθυγόνοιο πολύστομος ἵπτατο Φήμη
L3[I] λαὸν ἀολλίζουσα· πολυσπερέες δὲ πολῖται
χερσαίην πολύτεκνον ἐθηήσαντο γενέθλην,
ἰσοφυὲς μίμημα θαλασσοτόκοιο λοχείης.
μαντιπόλον δ' ἐρέεινε θεηγόρον· εἰρομένωι δὲ
ἐσσομένην θέσπιζεν ἀφωνήτων στίχα παίδων,
εἰναλίης ἴνδαλμα λιπογλώσσοιο γενέθλης.
5 (2C) καὶ τότε μάντις ἔλεξε προάγγελα θέσφατα κεύθειν,
ὄφρά κεν ἱλάσκοιτο τανύπτερον υἱέα Μαίης,
γλώσσης ἡγεμονῆα, σοφῆς ἰθύντορα φωνῆς.
Λαοβίη δ' ὤδινεν, ἀμοιβαίῃ δὲ λοχείῃ
τίκτε συὸς βρεφέεσσιν ἰσηρίθμων στίχα παίδων,
ἰχθύσιν ἀφθόγγοισιν ἐοικότας, οὓς μετὰ νίκην
Βάκχος ἄναξ ἐλέαιρε, λιποφθόγγων δ' ἀπὸ λαιμῶν
6 γλώσσης δεσμὸν ἔλυσε, καὶ ἤλασεν ἥλικα σιγήν,
φωνὴν δ' ὀψιτέλεστον ἐπεξύνωσεν ἑκάστωι.
τοῖσι συνεστρατόωντο φερεσσακέες πολεμισταί,
οἵ τε Πύλας ἐνέμοντο καὶ οἳ λάχον ἐγγύθεν Εὔρου
ναιομένην Εὔκολλα, μαχήμονος ἔνδιον Ἠοῦς,
καὶ ζαθέην Γορύανδιν ἐύσπορον αὔλακα γαίης.
τοῖς δ' ἐπὶ θωρήχθησαν, ὅσοι λάχον ἄντυγας Οἴτης,
μητέρα δενδρήεσσαν ἀμετροβίων ἐλεφάντων,
οἷς φύσις ὤπασε κύκλα διηκοσίων ἐνιαυτῶν
ζώειν ἀενάοιο χρόνου πολυκαμπέι νύσσῃ,
ἠὲ τριηκοσίων· καὶ βόσκεται ἄλλος ἐπ' ἄλλωι,
ἐκ ποδὸς ἀκροτάτου μελανόχροος ἄχρι καρήνου·

αἰγίδα σεῖο τίνασσε προασπίζουσα Λυαίου,
Nonnus σεῖο κασιγνήτου μελαναίγιδος, ὃς σέο πάτρην
ῥύσεται ἐξελάσας Βοιώτιον ἡγεμονῆα·
καὶ μέλος ἀείσει ζωάγριον ἀστὸς Ἐλευθοῦς
πιστὸν ἀνευάζων Ἀπατούριον υἷα Θυώνης,
εἰ μιγάδην Φρύγα ῥυθμὸν ἀνακρούσουσιν Ἀθῆναι
Λιμναῖον μετὰ Βάκχον Ἐλευσινίῳ Διονύσῳ.
ὢ γένος ἀλλοπρόσαλλον Ὀλύμπιον· ἆ μέγα θαῦμα·
ξείνῳ Δηριαδῆι παρίσταται Ἀργολὶς Ἥρη,
Κεκροπίδας δὲ φάλαγγας ἀναίνεται Ἀτθὶς Ἀθήνη,
μητρὶ δὲ πιστὰ φέρων, ἐμὸν υἱέα Βάκχον ἐάσας
καὶ στρατιὴν Θρήισσαν ἐφεσπομένην Διονύσῳ,
ῥύεται Ἰνδὸν ὅμιλον ἐμὸς Θρηίκιος Ἄρης.
ἀλλὰ πυρὶ φλογόεντι συναιχμάζων Διονύσῳ,
μοῦνος ἐγὼ πάντεσσι κορύσσομαι, εἰσόκε Βάκχος
κυανέην προθέλυμνον ἀιστώσειε γενέθλην.
καὶ σύ, τελεσσιγόνου φιλοπάρθενε νυμφίε Γαίης,
ἠρεμέεις, Ἥφαιστε, καὶ οὐκ ἀλέγεις Μαραθῶνος,
ἧχι θεᾶς ἀγάμου γάμιον σέλας; οὔ σε διδάξω
μυστιπόλους σπινθῆρας ἀειφανέος σέο λύχνου.
λάρνακα παιδοκόμον μιμνήσκεο παρθενεῶνος,
ᾧ ἔνι κοῦρος ἔην Γαιήιος, ᾧ ἔνι κούρη
σὸν σπόρον αὐτοτέλεστον ἀνέτρεφεν ἄρσενι μαζῷ·
σὸν πέλεκυν κούφιζε μογοστόκον, ὄφρα σαώσῃς
σῷ λοχίῳ βουπλῆγι τεῆς ναετῆρας Ἀθήνης.
L1[O] ἠρεμέεις, Ἥφαιστε, καὶ οὐ σέο τέκνα σαώσεις;
ἠθάδα πυρσὸν ἄειρε προασπιστῆρα Καβείρων,
ὄμμα δὲ σεῖο τίταινε, καὶ ἀρχαίην σέο νύμφην
μεμφομένην σκοπίαζε τεὴν φιλόπαιδα Καβειρώ·
Λημνιὰς Ἀλκιμάχεια τεῆς ἐπιδεύεται ἀλκῆς."
ὣς φαμένου σπέρχοντο θεοὶ ναετῆρες Ὀλύμπου,
ξυνοὶ ἀοσσητῆρες Ἀθηναίη καὶ Ἀπόλλων,
καὶ πυρόεις Ἥφαιστος ὁμάρτεε Τριτογενείῃ.
ἀθανάτοις δ᾽ ἑτέροισιν ὁμίλεε σύνδρομος Ἥρη,
Ἄρεα χειρὸς ἔχουσα καὶ εὐρυρέεθρον Ὑδάσπην,
δυσμενέων συνάεθλον ὁμοζήλοιο κυδοιμοῦ,
τοῖσι Φόβος καὶ Δεῖμος ὁμέμποροι, οἷσι καὶ αὐτὴ
ἀντίπαλος Βρομίοιο φερέσταχυς ἵκετο Δηώ,
ζωογόνῳ φθονέουσα φιλοσταφύλῳ Διονύσῳ,
ὅττι μέθης ποτὸν εὗρε, παλαίτερον εὖχος ἐλέγξας
27.341 ✦ Ζαγρέος ἀρχεγόνοιο φατιζομένου Διονύσου.
29.1 Ἥρη δ᾽ ὡς ἐνόησε δαϊζομένων στίχας Ἰνδῶν,
δύσμαχον ἔμβαλε θάρσος ἀγήνορι Δηριαδῆι.
καὶ πλέον οἶστρον ἔρωτος ἐδέξατο δηιοτῆτος
φρικτὸς ἄναξ· προμάχοις δὲ χέων λυσσώδεα φωνὴν
κυανέην στοιχηδὸν ὅλην περιδέδρομε χάρμην,
λαὸν ὅλον φεύγοντα παλίσσυτον εἰς μόθον ἕλκων,
ἄλλον ἐνηείῃ μετανεύμενος, ἄλλον ἀπειλῇ.
καὶ θρασὺς ἔπλετο μᾶλλον· ὁμηγερέες δὲ καὶ αὐτοὶ
29.9 κεκλομένου βασιλῆος ἐπὶ κλόνον ἔρρεον Ἰνδοί.
καὶ Σατύρων στίχα πᾶσαν ἐκηβόλος ἔσχισε Μορρεύς,

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

Argument

The twenty-seventh deals with the array in which Cronion musters the dwellers in Olympos for battle to help Dionysos.

NONNUS
DIONYSIACA
BOOK 27

PREVIEW BOOK 29

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 341 lines 3.0
2L 1 - 341

PRINT 2-SIDED:
159 to 162

Ἄρτι δὲ λυσιπόνοιο τιναξαμένη πτερὸν Ὕπνου
ἀντολίης ὤϊξε θύρας πολεμητόκος Ἠώς,
καὶ Κεφάλου λίπε λέκτρα σελασφόρα· βαλλόμενος δὲ
ἀντιπόρωι Φαέθοντι μέλας λευκαίνετο Γαγγης·
καὶ φυγὰς ἀρτιχάρακτος ἐχάζετο κῶνος ὁμίχλης
σχιζόμενος φαέεσσιν· ἀπὸ δροσεροῖο δὲ δίφρου
ὄρθριος εἰαρινῆισιν ἐλούετο καρπὸς ἐέρσαις.
καὶ κλόνος ἦν. Φαέθων δὲ πυριτρεφέων δρόμον ἵππων
ἀενάων ἐτέων φλογόεις ἀνεσείρασε ποιμήν,
γείτονος εἰσαΐων κορυθαιόλον Ἄρεος Ἠχώ,
καὶ στρατὸν αἰχμάζειν προκαλίζετο μάρτυρι πυρσῶι,
θερμὸν ἀκοντίζων ῥοδόεν βέλος· ἀμφὶ δὲ γαίηι
αἱμαλέης ξένον ὄμβρον ἀπ’ ἰκμάδος ὑέτιος Ζεὺς
οὐρανόθεν κατέχευε, φόνου πρωτάγγελον Ἰνδῶν,
καὶ φονίαις λιβάδεσσιν Ἐνυαλίου νιφετοῖο
δίψια κυανέης ἐρυθαίνετο νῶτα κονίης
Ἰνδώου δαπέδοιο· νεοσμήκτου δὲ σιδήρου
Ἠελίου σελάγιζε βολαῖς ἀντίρροπος αἴγλη.
φαινομένας δὲ φάλαγγας ἐπὶ κλόνον ὥπλισεν Ἰνδῶν
Δηριάδης ὑπέροπλος, ἐποτρύνων δὲ μαχητὰς
μῦθον ἀπειλητῆρος ἀνήρυγεν ἀνθερεῶνος·
“δμῶες ἐμοί, μάρνασθε, πεποιθότες ἠθάδι Νίκηι,
καὶ θρασὺν ὃν καλέουσι κερασφόρον υἷα Θυώνης
λάτριν ἰσοκραίροιο τελέσσατε Δηριαδῆος.
κτείνατέ μοι καὶ Πᾶνας ἀλοιητῆρι σιδήρωι·
L1[I] εἰ δὲ θεοὶ γεγάασι, καὶ οὐ θέμις ἐστὶ δαΐξαι
Πανὸς ἀνουτήτοιο δέμας τμητῆρι σιδήρωι,
Πᾶνας ὀρεσσινόμους ληίσσομαι, ἔνδοθι λόχμης
ἔθνεα βουκολέοντας ἐρημονόμων ἐλεφάντων.
πολλοὶ θῆρες ἔασι καὶ ἐνθάδε, τοῖσι συνάψω
Φῆρας ὁμοῦ καὶ Πᾶνας ὀρεσσινόμου Διονύσου·
κούρηι δ’ ἡμετέρηι θαλαμηπόλον ἐσμὸν ὀπάσσω,
δαινυμένου Μορρῆος ὑποδρηστῆρα τραπέζης.
καί τις ἀνὴρ Φρυγίηθεν ὁμόστολος οἴνοπι Βάκχωι.
Ἰνδώιου ποταμοῖο δέμας λούσειε ῥεέθροις,
ἀντὶ δὲ Σαγγαρίου καλέσει πατρώιον Ὑδάσπην·
ἄλλος ἀνὴρ Ἀλύβηθεν ὁμαρτήσας Διονύσωι
ἐνθάδε θητεύσειε, καὶ ἀργυρέου ποταμοῖο
χεύματα καλλείψας πιέτω χρυσαυγέα Γάγγην.
χάζεό μοι, Διόνυσε, φυγὼν δόρυ Δηριαδῆος·
◆ ἔστι καὶ ἐνθάδε πόντος ἀπείριτος· ἀλλὰ θαλάσσης
Ἀρραβίης μετὰ κῦμα καὶ ἡμετέρη σε δεχέσθω·
εὐρύτερος βυθὸς οὗτος ἐρεύγεται ἀγκύλον ὕδωρ,
καὶ Σατύρους καὶ Βάκχον ἐπάρκιός ἐστι καλύψαι
καὶ στίχα Βασσαρίδων· οὐ μείλιχος ἐνθάδε Νηρεύς,
οὐ Θέτις Ἰνδώη σε δεδέξεται, οὐδέ σε κόλπωι
ξεινοδόκον μετὰ κῦμα πάλιν φεύγοντα σαώσει,
αἰδομένη βαρύδουπον ἐμὸν πατρώιον Ὑδάσπην.
ἀλλ’ ἐρέεις· ‘Κρονίωνος Ὀλύμπιον αἷμα κομίζω’.
Αἰθέρα Γαῖα λόχευσε χορῶι κεχαραγμένον ἄστρων·

143 (81C) ἔννεπε δ’ Ἀπόλλωνι καὶ Ἡφαίστωι καὶ Ἀθήνηι·
“ἄξονος ὀμφαίοιο θεηγόρε κοίρανε Πυθοῦς,
τοξοσύνης σκηπτοῦχε, σελασφόρε, σύγγονε Βάκχου,
μνώεο Παρνησσοῖο καὶ ὑμετέρου Διονύσου·
Ἄμπελος οὔ σε λέληθεν ἐφήμερος· οἶσθα καὶ αὐτὴν
ἀμφοτέρων σκοπέλων διδυμάονα μύστιδα πεύκην·
ἀλλὰ κασιγνήτοιο τεοῦ προμάχιζε Λυαίου,
Βασσαρίδων ἐπίκουρος Ὀλύμπια τόξα τιταίνων·
Παρνησσοῦ δὲ γέραιρε τεὴν ξυνήονα πέτρην,
ὁππόθι κωμάζουσα χοροίτυπος ἴαχε Βάκχη,
σοὶ μέλος ἐντύνουσα καὶ ἀγρύπνωι Διονύσωι,
Δελφικὸν ἀμφοτέροισιν ὁμόζυγον ἁψαμένη πῦρ.
μνώεο σῆς, κλυτότοξε, λεοντοφόνοιο Κυρήνης·
δὸς χάριν ἀμφοτέροισι, καὶ Ἀγρέι καὶ Διονύσωι·
ὡς Νόμιος Σατύρων νομίων προμάχιζε γενέθλης.
Ἥρης ζῆλον ἄλαλκε βαρύφρονα, μή ποτε Φοίβου
μητρυιὴ γελάσειε Διωνύσοιο φυγόντος,
ἥ τις ἐμῶν μεθέπουσα χόλον καὶ ζῆλον ἐρώτων
αἰὲν ἐμοῖς τεκέεσσι κορύσσεται· οὔ σε διδάξω
μητέρος ὑμετέρης λόχιον πόνον, ἡνίκα παίδων
δίζυγα φόρτον ἔχουσα πολύπλανος ἤιε Λητώ,
κέντροις παιδογόνοισιν ἱμασσομένη τοκετοῖο,
ὁππότε Πηνειοῖο φυγὰς ῥόος, ὁππότε Δίρκη
μητέρα σὴν ἀπέειπεν, ὅτε δρόμον εἶχε καὶ αὐτὸς
Ἀσωπὸς βαρύγουνος ὀπίστερον ἴχνος ἑλίσσων,
εἰσόκε Δῆλος ἄμυνε μογοστόκος, εἰσόκε Λητὼ L1[I]
οὐτιδανοῖς πετάλοισι γέρων μαιώσατο φοῖνιξ.
καὶ σύ, Διὸς πατέρος καὶ μητέρος ἄτρομε κούρη,
γνωτῶι, Παλλάς, ἄμυνε τεῆς κοσμήτορι πάτρης·
ῥύεο σοὺς ναετῆρας ἐφεσπομένους Διονύσωι,
μηδὲ τεοῦ Μαραθῶνος ὀλωλότα τέκνα νοήσηις·
2 (1C) Ἀκταίης δὲ γέραιρε φερέπτολιν ὄζον ἐλαίης·
Ἰκαρίωι δὲ γέροντι χαρίζεο· καὶ γὰρ ἐκείνωι
δώσει ποικιλόβοτρυς ἑὴν Διόνυσος ὀπώρην·
μνώεο Τριπτολέμοιο καὶ εὐαρότου Κελεοῖο,
μὴ ταλάρους γονόεντας ἀτιμήσηις Μετανείρης·
καὶ γὰρ ἀοσσητῆρος ἐρισταφύλου σέο Βάκχου
Ζεὺς γονόεις ὠδῖνα πατὴρ ἐγκύμονι μηρῶι,
2 θηλυτέρην δ’ ἐλόχευσε τεὴν ὠδῖνα καρήνωι.
ἀλλὰ τεὴν δονέουσα γενέθλιον ἥλικα λόγχην,
αἰγίδα δ’ αἰθύσσουσα κυβερνήτειρα Ἐννοῦς,
γίνεό μοι Σατύροισι βοηθόος, ὅττι καὶ αὐτοὶ
αἰγὸς ὀρεσσινόμου λασίους φορέουσι χιτῶνας·
καὶ θεὸς ἀγρονόμων, νομίης σύριγγος ἀνάσσων,
αἰγίδος ὑμετέρης ἐπιδεύεται αἰγίβοτος Πάν,
ὃς πρὶν ἀσυλήτοισιν ἐμοῖς σκήπτροις συνερίζων
μάρνατο Τιτήνεσσι, γαλακτοφόρου δὲ τιθήνης
αἰγὸς Ἀμαλθείης ὀρεσίδρομος ἔπλετο ποιμήν·
ῥύεό μιν μετόπισθε βοηθόον Ἀτθίδι χάρμηι,
Μηδοφόνον ῥυτῆρα τινασσομένου Μαραθῶνος·

ἐλθέτω, ἣν ἐθέληι, μετανάστιος εἰς χθόνα Κελτῶν,
Nonnus ὄφρα φυτὸν γεγαυῖα σὺν Ἡλιάδεσσι καὶ αὐτὴ
πυκνὰ φιλοθρήνοισιν ἐπικλαύσειε ῥεέθροις.
σπεύσατέ μοι καὶ κύκλα μελαρρίνοιο προσώπου
Ἰνδῶν ληιδίων λευκαίνετε μύστιδι γύψωι,
καὶ θρασὺν ἀμπελόεντι περιπλεχθέντα κορύμβωι
νεβρίδα χαλκοχίτωνν καθάψατε Δηριαδῆι·
καὶ Βρομίωι γόνυ δοῦλον ὑποκλίνων μετὰ νίκην
Ἰνδὸς ἄναξ ῥίψειεν ἑὸν θώρηκα θυέλλαις,
κρείσσονι λαχνήεντι δέμας θώρηκι καλύπτων,
καὶ πόδα πορφυρέοισι περισφίγξειε κοθόρνοις
ἀργυρέας ἀνέμοισιν ἑὰς κνημῖδας ἐάσας,
καὶ μετὰ φοίνια τόξα καὶ ἠθάδος ἔργα κυδοιμοῦ
ὄργια νυκτιχόρευτα διδασκέσθω Διονύσου,
βάρβαρα δινεύων ἐπιλήνια βόστρυχα χαίτης.
δυσμενέων δὲ κάρηνα κομίσσατε σύμβολα νίκης
Τμῶλον ἐς ἠνεμόεντα, πεπαρμένα μάρτυρι θύρσωι·
πολλὰς δ' ἐκ πολέμοιο μεταστήσω στίχας Ἰνδῶν
ζωγρήσας μετ' Ἄρηα, παρὰ προπύλαια δὲ Λυδῶν
πήξω μαινομένοιο κεράατα Δηριαδῆος."
ὣς φάμενος θάρσυνεν· ἐπερρώοντο δὲ Βάκχαι,
Σειληνοὶ δ' ἀλάλαζον Ἀρηιφίλης μέλος Ἠχοῦς
καὶ Σάτυροι κελάδησαν ὁμοφθόγγων ἀπὸ λαιμῶν·
καὶ τυπάνου κελάδοντος ὁμόθροος ἔβρεμεν ἠχὼ
φρικαλέον μύκημα, φιλοκροτάλων δὲ γυναικῶν
L2[O] χερσὶν ἀμοιβαίηισιν ἀράσσετο δίκτυπος ἠχώ·
καὶ νομίη Φρύγα ῥυθμὸν ἀγέστρατος ἴαχε σύριγξ.
down 6 καὶ Σάτυροι πολέμιζον· ἐλευκαίνοντο δὲ γύψωι
down 6 μυστιπόλωι, καὶ φρικτὸν ἐπηιώρητο παρειαῖς
down 6 ψευδομένου νόθον εἶδος ἀφωνήτοιο προσώπου.
καὶ στρατιῆς προκέλευθος ἐπιβρίθουσα κυδοιμῶι
Μυγδονίη μάρμαιρε δι' ἠέρος ἁλλομένη φλόξ,
Βακχείην πυρόεσσαν ἀπαγγέλλουσα λοχείην·
Σειληνοῦ δὲ γέροντος ἀπ' εὐκεράοιο μετώπου
μαρμαρυγὴ σελάγιζεν· ὀρεσσαύλοιο δὲ Βάκχης
δέσμιος ἀπλέκτοισι δράκων ἐσφίγγετο χαίταις·
καί τις ἐπ' ἀντιβίοισι μεμηνότα τίγριν ἱμάσσων
δίφρα διεπτοίησεν ὁμοζυγέων ἐλεφάντων·
καὶ πολιὸς κεκόρυστο Μάρων ἑλικώδει θαλλῶι,
ἡμερίδων ὄρπηκι διασχίζων δέμας Ἰνδῶν
◆ μαρναμένων. — καὶ πάντες, ὅσοι ναετῆρες Ὀλύμπου,
Ζηνὶ παρεδριόωντες ἔσω θεοδέγμονος αὐλῆς
πασσυδὸν ἠγορόωντο πολυχρύσων ἐπὶ θώκων.
τοῖσι δὲ δαινυμένοισιν ἀπὸ κρητῆρος ἀφύσσων
εὐχαίτης γλυκὺ νέκταρ ἐωινοχόει Γανυμήδης.
οὐ τότε γὰρ Τρώεσσιν Ἀχαιικὸς ἔβρεμεν Ἄρης,
ὡς πάρος ὄφρα κύπελλα πάλιν μακάρεσσι κεράσσηι
Ἥβη καλλιέθειρα, καὶ ἀθανάτων ἑκὰς εἴη
Τρώιος οἰνοχόος, μὴ πατρίδος οἶτον ἀκούσηι.
τοῖσι συναγρομένοις ἀγορήσατο μητίετα Ζεύς,

144 (82C) Οὐρανόθεν γένος ἔσχες· ἐμὴ δέ σε Γαῖα καλύψει·
καὶ Κρόνον ὠμηστῆρα νέων θοινήτορα παίδων Nonnus
Οὐρανόθεν γεγαῶτα κατέκρυφε κόλπος ἀρούρης.
εἰμὶ δοριθρασέος στρατιῆς πρόμος· εἰμὶ Λυκούργου
φέρτερος, ὅς σε δίωκε καὶ ἀπτολέμους σέο Βάκχας·
σὸν γένος οὐ κλονέει με Διιπετές· αἰνομόρου γὰρ
σῆς Σεμέλης ἤκουσα πυριβλήτους ὑμεναίους·
μὴ στεροπὴν ἀγόρευε Διὸς νυμφοστόλον εὐνῆς,
μὴ κεφαλὴν Κρονίωνος ἢ ἄρσενα μηρὸν ἐνίψηις·
οὐ Διὸς ὠδίνοντος ἐμὲ κλονέουσι λοχεῖαι·
πολλάκις ὠδίνουσαν ἐμὴν ἐνόησα γυναῖκα.
σὺν σοί δ', ἣν ἐθέληι, γενέτης τεὸς αὐτοτόκος Ζεὺς
ἄρσενι θωρήξειεν ἀρηγόνα θῆλυν Ἀθήνην,
Νίκην ἣν καλέουσιν, ἵνα πρηῶνας ἀράξας
Παλλάδος αἱμάξω κεφαλὴν ταμεσίχροϊ πέτρωι
ἢ δορὶ τολμήεντι, καὶ εὐκεράων ἀπὸ τόξων
μηρὸν ἀπειλητῆρος ὀιστεύσω Διονύσου,
βουκεράων Σατύρων ἡγήτορος, οὐταμένου δὲ
καὶ Διὶ καὶ Βρομίωι καὶ Παλλάδι μῶμον ἀνάψω·
εἰ δὲ σὺν ἀμφοτέροισι κορύσσεται ἀμφιγυήεις,
δεύομαι Ἡφαίστου τεχνήμονος, ὄφρα καὶ αὐτῶι
τεύχεα χαλκεύσειε πολύτροπα Δηριαδῆι.
οὐ τρομέω ποτὲ θῆλυν ἐγὼ πρόμον· εἰ δὲ τινάσσει
ἀστεροπὴν γενετῆρος, ἔχω πατρώιον ὕδωρ.
καὶ θρασύν, ὃν καλέουσιν ὁμόγνιον αἷμα Λυαίου,
Αἰακὸν οὐρανίοιο Διὸς βλάστημα τοκῆος L2[O]
Ζηνὶ καταχθονίωι δεδαϊγμένον Ἄιδι πέμψω·
οὐδὲ μὲν ἁρπάξειε δι' ἠέρος ἱπτάμενος Ζεύς.
καὶ πολέας Κρονίδαο δεδουπότας υἷας ἀκούω·
Δάρδανος ἐκ Διὸς ἔσκε καὶ ὤλετο, καὶ θάνε Μίνως,
οὐδέ μεν ἐρρύσαντο Διὸς ταυρώπιδες εὐναί·
3 (2C) εἰ δὲ θεμιστεύει καὶ ἐν Ἄιδι, τίς φθόνος Ἰνδοῖς,
Αἰακὸς εἰ φθιμένοισι δικάζεται; ἣν δ' ἐθελήσηι,
κοιρανίην νεκύων ἐχέτω καὶ σκῆπτρα βερέθρου.
καὶ δολιχοῖς μελέεσσιν ἐπιψαύοντας Ὀλύμπου
Γηγενέας Κύκλωπας ὀλέσσατε, μὴ δορὸς αἰχμὴν
γαστρὶ μέσηι πήξαντες ἢ αὐχένι, χαλκοβαρὲς δὲ
ὀφθαλμῶι τροχόεντι βέλος τετορημένον ἔστω.
3 μὴ χθονίους Κύκλωπας ὀλέσσατε· καὶ γὰρ ἐκείνων
δεύομαι· Ἰνδώιωι δὲ παρήμενος ἐσχαρεῶνι
Βρόντης μὲν βαρύδουπον ἐμοὶ θάλπιγγα τελέσσηι
βρονταίοις πατάγοισιν ἰσόκτυπον, ὄφρά κεν εἴην
Ζεὺς χθόνιος, Στερόπης δὲ νέην ἀντίρροπον αἴγλην
ἀστεροπῆς τεύξειε καὶ ἐνθάδε· καί μεν ἐλέγξω
μαρνάμενος Σατύροισιν, ἵνα φρένα μᾶλλον ἀμύξηι
Δηριάδην κτυπέοντα καὶ ἀστράπτοντα δοκεύων
ζηλήμων Κρονίδης, πεφοβημένος ὄρχαμον Ἰνδῶν
ὑψιγόνου φλογόεντος ἀκοντιστῆρα κεραυνοῦ.
τίς φθόνος, εἰ πρηστῆρι μαχήμονα χεῖρα κορύσσω;
μητρὸς ἐμῆς γενέτης, φλογερῶν ἐπιήρανος ἄστρων,

αὐτὸς ὅλος Φαέθων πυρόεις πρόμος· εἰ δὲ τοκῆος
αἷμα φέρω ποταμοῖο, καὶ ὑδατόεντι βελέμνωι
μαρνάμενος μόθον ὑγρὸν ἀναστήσω Διονύσωι,
Βάκχων ἐχθρὰ κάρηνα ῥοαῖς ποταμοῖο καλύπτων.
καὶ βυθίων τμήξαντες ἀλοιητῆρι σιδήρωι
σώματα Τελχίνων τυμβεύσατε γείτονι πόντωι,
πατρὶ Ποσειδάωνι μεμηλότα, δαιδαλέου δὲ
δίφρου γλαυκὰ λέπαδνα καὶ ὑγφοπόρων γένος ἵππων
νίκης πόντια δῶρα κομίσσατε Δηριαδῆι.
καὶ ναέτην βαρύδεσμον ἀπειρώδινος Ἀθήνης
Ἡφαίστου πυρόεντος ἀπόσπορον αἴθοπι πυρσῶι
φλέξατε, τὸν καλέουσιν Ἐρεχθέα· καὶ γὰρ ἐκείνου
αἷμα φέρει περίπυστον Ἐρεχθέος, ὅν ποτε μαζῶι
παρθενικὴ φυγόδεμνος ἀνέτρεφε Παλλὰς ἀμήτωρ,
λάθριον ἀγρύπνωι πεφυλαγμένον αἴθοπι λύχνωι·
μιμνέτω Ἰνδώιηι κεκαλυμμένος αἴθοπι κίστηι,
καὶ κενεῶι ζοφόεντος ἐν ἕρκεϊ παρθενεῶνος.
καὶ τροχαλοὺς δρηστῆρας ἐυσκάρθμοιο βοείης,
ἴδμονας εὐπήληκος Ἐνυαλίοιο χορείης,
ἄξατέ μοι Κορύβαντας ἀτευχέας· ὀλλυμένοις δὲ
διχθαδίοις τεκέεσσιν ἐπικλαύσειε Καβειρώ,
Λημνιὰς ἀκρήδεμνος· ἀπορρίψας δὲ πυράγρην
αἰθαλόεις Ἥφαιστος ἑῆς ὀλετῆρα γενέθλης
ἥμενον ἀθρήσειεν ὑπὲρ δίφροιο Καβείρων
ἵππων χαλκοπόδων ἐπιβήτορα Δηριαδῆα.
L2[I] κτείνω μὲν Διὸς υἷας· Ἀρισταῖον δὲ δαμάσσαι
οὐ φθονέωι Μορρῆι, λαγωβόλον υἱέα Φοίβου,
οὐτιδανῆς ἐλατῆρα φιλοπτολέμοιο μελίσσης.
ὑμεῖς μὲν δρεπάνοισι καὶ ἀμφιπλῆγι μαχαίρηι
κτείνετε Βασσαρίδων ἁπαλὰς στίχας, ὑψικέρων δὲ
παῖδα Διὸς κερόεις ποταμήιος υἱὸς ὀλέσσει,
μή τις ὑποπτήσσειεν ἰδὼν ἐλατῆρα λεαίνης
ἢ πρόμον ἀγροτέρης ἐπιβήμενον ἰξύος ἄρκτον,
μὴ θηρῶν ζυγίων βλοσυρὸν στόμα· τίς γὰρ ἀλύξει
πόρδαλιν ἠδ λέοντα κορυσσομένων ἐλεφάντων;"
ὣς φαμένου βασιλῆος ἐπὶ κλόνον ἤιον Ἰνδοί,
οἱ μὲν ὑπὲρ νώτοιο σιδηροφόρων ἐλεφάντων,
οἱ δὲ συνεστρατόωντο θυελλοπόδων ὑπὲρ ἵππων.
καὶ πέλας ἦν πρυλέων στρατὸς ἄπλετος, οἱ μὲν ἀκωκάς,
οἱ δὲ σάκος φορέοντες, ὁ δὲ κληῖδα φαρέτρης·
◆ ἄλλος ἀνηέρταζεν ἀνὴρ χαλκήλατον ἅρπην
ἀμητὴρ πολέμοιο, καὶ ἔστιχεν ἄλλος ἀείρων
ἀσπίδα καὶ θοὰ τόξα καὶ ἠνεμόεντας ὀιστούς.
καὶ μόθον ἐστήσαντο παρὰ στόμα γείτονος Ἰνδοῦ,
εἰς πεδίον προθέοντες. ἀπ' εὐδένδροιο δὲ λόχμης
ἀσπίσι καὶ ξιφέεσσι καὶ ἀρραγέεσσι πετήλοις
θυρσοφόρος Διόνυσος ἑοὺς ἐκόρυσσε μαχητάς.
καὶ πισύρων ἀνέμων φλογερῆς ἀντώπιον Ἠοῦς
τέτραχα τεμνομένην στρατιὴν ἐστήσατο Βάκχων·
πρώτην μὲν βαθύδενδρα παρὰ σφυρὰ κυκλάδος Ἄρκτου,
145 (83C) ἧχι πολυσπερέων ποταμῶν πεφορημένον ὁλκῶι
Καυκασίου σκοπέλοιο Διιπετὲς ἔρχεται ὕδωρ,
τὴν ἑτέρην δὲ φάλαγγα συνήρμοσεν, ὁππόθι γαίης
μεσσατίης στεφανηδὸν ἐς ἑσπέριον κλίμα νεύων
δίστομος οὐρεσίφοιτος ἑὸν ῥόον Ἰνδὸς ἑλίσσει,
χεύμασιν ἀμφίζωστον ἐπιστέψας Παταλήνην·
τὴν αὐτὴν παρὰ πέζαν, ὅπηι περιμήκεϊ πορθμῶι up 4
χεῦμα παλινδίνητον ἄγει βαρύδουπος Ὑδάσπης· up 4
κύματι πορφύροντι μεσημβριὰς ἕλκεται ἅλμη·
καὶ στρατιὴν εὔχαλκον ἄναξ ἔστησε τετάρτην
καὶ τριτάτην κόσμησεν, ὅπηι νοτίωι παρὰ κόλπωι up 4
ἀντολίης ὑπὸ πέζαν, ὅθεν δονακῆα διαίνων
στέλλεται εὐόδμοισι κατάρρυτος ὕδασι Γάγγης.
κεκριμένης δὲ φάλαγγος ἐυκνήμιδος ἑκάστης
τέσσαρας εὐπήληκας ἐκόσμεεν ἡγεμονῆας,
καὶ στρατὸν ὀτρύνων λαοσσόον ἴαχε φωνήν·
"Βασσαρίδες, καὶ δεῦρο χορεύσατε, δυσμενέων δὲ
κτείνατε βάρβαρα φῦλα, καὶ ἔγχεσι μίξατε θύρσους,
μίξατε καὶ ξιφέεσσι· καὶ ἠθάδος ἀντὶ τραπέζης
σάλπιγξ ἐγρεκύδοιμος ἐμοῖς Σατύροισι γενέσθω
πηκτὶς ἐμή· χλοερὴ δὲ καταιχμάζουσα σιδήρου
δούρατα νικήσειεν ἀκαχμένα φυλλὰς ὀπώρη·
ἀντὶ δὲ νυκτελίοιο χοροστασίης Διονύσου
αὐλὸς ἐμὸς φθέγξαιτο μετάτροπον ὕμνον Ἐνυοῦς,
τερψινόου Βρομίοιο λιπὼν ἐπιδόρπιον Ἠχώ.
εἰ μὲν ἐμοὶ γόνυ δοῦλον ὑποκλίνειεν Ὑδάσπης L2[I]
μηδὲ πάλιν Βάκχοισι παλίγκοτον οἶδμα κορύσσηι,
ἔσσομαι εὐάντητος, ὅλον δέ οἱ ἀγλαὸν ὕδωρ
χεύμασι ληναίοισιν ἐς Εὔιον οἶνον ἀμείψω,
τεύχων λαρὰ ῥέεθρα, καὶ ἀγριάδος λόφον ὕλης
μιτρώσω πετάλοισι καὶ ἀμπελόεντα τελέσσω·
4 (3C) εἰ δὲ πάλιν προχοῇσιν ἀλεξικάκοισιν ἀρήξει
Ἰνδοῖς κτεινομένοισι καὶ υἱέι Δηριαδῆι,
ἀνδροφυὴς κερόεσσαν ἔχων ποταμηίδα μορφήν,
χεῦμα γεφυρώσαντες ὑπερφιάλου ποταμοῖο
ἴχνεσιν ἀβρέκτοισιν ὁδεύσατε δίψιον ὕδωρ,
καὶ γυμνῆι ψαμάθωι πατέων αὐχμηρὸν Ὑδάσπην
πεζὸς ὄνυξ εὔιππος ἐπιξύσειε κονίην.
4 εἰ δὲ πολυπτοίητος Ἀρειμανέων πρόμος Ἰνδῶν
αἰθερίου Φαέθοντος ἀπόσπορός ἐστι γενέθλης,
καὶ Φαέθων πυρόεσσαν ἐμοὶ στήσειεν Ἐνυώ,
θυγατέρος κερόεσσαν ἑῆς ὠδῖνα γεραίρων,
γνωτὸν ἐμοῦ Κρονίδαο πάλιν Φαεθοντίδι χάρμηι
πόντιον ὑδατόεντα πυρὸς σβεστῆρα κορύσσω·
Θρινακίην δ' ἐπὶ νῆσον ἐλεύσομαι, ὁππόθι ποῖμναι
καὶ βόες αἰθερίοιο πυραυγέος Ἡνιοχῆος,
Ἠελίου δὲ θύγατρα, δορικτήτην ἅτε κούρην,
Λαμπετίην ἀέκουσαν ὑπὸ ζυγὰ δούλια σύρω,
ὄφρα γόνυ κλίνειε· καὶ εἰς ὄρος Ἀστρὶς ἀλάσθω,
μυρομένη βαρύδεσμον ὀπάονα Δηριαδῆα·

Nonnus

ἀντὶ θυηπολίης βοέης καὶ ἐθήμονος οἴνου
λοιβὴν αἱματόεσσαν ἐπισπένδων Διονύσωι.
  ὀξυφαὴς δ' Ἰδαῖος ἐδύσατο κῶμον Ἐννοῦς,
ὀρχηστὴρ πολέμοιο πολύτροπον ἴχνος ἑλίσσων,
ἄσχετος Ἰνδοφόνοιο μόθου δεδονημένος οἴστρωι.
  καὶ ζοφερὴν στίχα πᾶσαν ἀνεπτοίησε Μελισσεύς,
θάρσος ἔχων ἀδόνητον· ἐπωνυμίην δὲ φυλάσσων
φρικτὰ κορυσσομένης μιμήσατο κέντρα μελίσσης·
  καὶ ποδὸς ἀσταθέος κυκλούμενος ἴδμονι ταρσῶι,
σύνδρομος Ὠκυθόωι κορυθαιόλος ἤιεν Ἄκμων·
μάρνατο δ' ἀστυφέλικτος ἅτε σφυρήλατος ἄκμων,
ἀσπίδα κουφίζων Κορυβαντίδα, τῆς ἐνὶ μέσσωι
πολλάκις ὕπνον ἴαυεν ἐν οὔρεσι νηπίαχος Ζεύς·
καὶ Διὸς οἶκος ἔην ὀλίγον σπέος, ἔνθά ἑ κείνη
αἴξ ἱερὴ γλαγόεντι νόθωι μαιώσατο μαζῶι,
ξεῖνον ἀναβλύζουσα σοφὸν γλάγος, εὖτε βοείη
κλεψιτόκοις πατάγοισι σακέσπαλον ἔβρεμεν Ἠχώ,
τυπτομένη μέσα νῶτα κυβιστητῆρι σιδήρωι.
καὶ βαλίου Κουρῆτος ἀκοντιστῆρα τιταίνων
μάρμαρον ἀντιπόροιο Μελισσέος ἤμβροτε Μορρεύς,
ἤμβροτεν· οὐ γὰρ ἔοικε μύλωι Κορύβαντας ὀλέσσαι.
ὧν χάριν ἀσκήσασα λίθον ψευδήμονα Ῥείη
ἀντίδοτον Κρονίδαο Κρόνου παρέθηκε τραπέζηι.
  ξυνὴν δ' εἰς ἓν ἰόντες ὁμόζυγον εἶχον Ἐννὼ
Ἄρεος ὀρχηστῆρες ἀτερπέος· ἀμφὶ δὲ δίφρωι
L1[O] Δηριάδην στεφανηδὸν ἐμιτρώσαντο βοείαις
τεύχεα πεπλήγοντες, ἐν εὐρύθμωι δὲ κυδοιμῶι
πύργον ἐκυκλώσαντο φερεσσακέεσσι χορείαις.
ἠχὴ δ' ἠερόφοιτος ἀνέδραμεν εἰς Διὸς αὐλάς,
◆ καὶ κτύπον ἀμφοτέρων ἐπεδείδιον εὔποδες Ὧραι.

Ὣς ὁ μὲν ἑπτάζωνον ἐς οὐρανὸν ἔδραμεν Ἄρης
ζηλήμων, βαρύμηνις. ἐς ὑσμίνην δὲ χορεύων 1
θαρσήεις Διόνυσος ἐπέχραεν αἴθοπι λαῶι,
πῆι μὲν ἐνὶ πρώτοισι θορὼν ἐνοσίχθονι παλμῶι,
πῆι δὲ μέσος προμάχοισιν· ἀκοντιστῆρι δὲ θύρσωι
κυανέης ἤμησε θαλύσια δηιοτῆτος,
καὶ Σατύρους θάρσυνεν ἐς Ἄρεα Δηριαδῆος,
up 1 δυσμενέος δὲ φάλαγγος ἐμαίνετο φῦλα δαΐζων·
ὡς ἴδε Βάκχος Ἄρηα λελοιπότα φύλοπιν Ἰνδῶν· 1
ἄλλωι δ' ἄλλος ἔριζε. κορυμβοφόρου δὲ κυδοιμοῦ
δεξιτερὸν στόμα λάβρον ἐπιτρέψας Διονύσωι
λαιὸν Ἀρισταῖος κέρας ἔτρεχε δηιοτῆτος.
  καὶ Βρομίου θεράποντας ὀπιπεύων ἔτι Μορρεὺς
μαρναμένους πετάλοισι καὶ ἀνθεμόεντι βελέμνωι
ἄφρονι Δηριάδηι πολυθαμβέα ῥήξατο φωνήν·
  "Δηριάδη, τί τὸ θάμβος; ἐμοὶ πίπτουσι μαχηταί,
βαλλόμενοι θύρσοισι καὶ οὐτιδανοῖσι πετήλοις,
ὁπλοφόρους δ' ὀλέκουσιν ἀνάσπιδες· ἀκλινέες δὲ
Βασσαρίδες, πελέκεσσι καὶ ἀμφιπλῆγι μαχαίρηι
τυπτόμεναι, μίμνουσιν ἀνούτατοι. εἰ θέμις εἰπεῖν,
καὶ σύ, λιπών, σκηπτοῦχε, τεὴν χαλκήλατον αἰχμὴν

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT
Look at the twenty-eighth also, where you will see a great fiery fight of Cyclopians.

NONNUS
DIONYSIACA
BOOK 28

PREVIEW BOOK 30

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 330 lines 3.0
2L 1 - 330

PRINT 2-SIDED: **163** to **166**

Ἔνθά τις ἀπρήυντος ἔην ἔρις· ἀμφότεροι γὰρ
Φαῦνος Ἀρισταῖός τε μίαν συνέλασσαν Ἐνυώ,
οἷσιν ἐφωμάρτησε καὶ Αἰακός, ἄξια ῥέζων
Ζηνὸς ἑοῦ γενετῆρος, ὑπὲρ νώτοιο τιταίνων
ἀσπίδα χαλκείην πολυδαίδαλον, ἧς ἐνὶ κύκλωι
δαίδαλα πολλὰ πέπαστο, τά περ κάμε Λήμνιος ἄκμων.
καὶ στρατιὴ κεκόρυστο πολύτροπος εἰς μόθον Ἰνδῶν
σπερχομένων ἀγεληδόν· ὁ μὲν ταμεσίχροϊ κισσῶι
κραιπνὸς ἐς ὑσμίνην πολυδαίδαλα δίφρα νομεύων
πορδαλίων ἐπέβαινεν, ὁ δὲ φρίσσοντι λεπάδνωι
ζεῦξεν Ἐρυθραίων ὀρεσίδρομον ἅρμα λεόντων
καὶ βλοσυρὴν ἴθυνε συνωρίδα, κυανέας δὲ
ἄλλος ἐριπτοίητος ἀκοντίζων στίχας Ἰνδῶν
ἀστεμφὴς ἀχάλινον ἐτέρπετο ταῦρον ἱμάσσων,
καί τις ἀναΐξας Κυβεληίδος εἰς ῥάχιν ἄρκτου
ἔχραε δυσμενέεσσι, καὶ οἴνοπα θύρσον ἑλίσσων
ἡνιόχους ἐφόβησε τανυκνήμων ἐλεφάντων·
ἄλλος ἀκοντίζων στρατιὴν ταμεσίχροϊ κισσῶι
οὐ ξίφος, οὐ σάκος εἶχε περίτροχον, οὐ δόρυ χάρμης
φοίνιον, ἀλλὰ πέτηλα φυτῶν ἑλικώδεα σείων
λεπτῶι χαλκοχίτωνα κατέκτανεν ἀνέρα θαλλῶι.
καὶ πάταγος βρονταῖος ἐπέκτυπεν εἴκελος αὐλῶι·
Σειληνοὶ δ' ἰάχησαν· ἐπεστρατόωντο δὲ Βάκχαι,
νεβρίδας ὡς θώρηκα κατὰ στέρνοιο βαλοῦσαι.
καί τις ὀρεσσινόμων Σατύρων, ἅτε πῶλον ἐλαύνων,
L1[I] ποσσὶ διχαζομένοισιν ὑπὲρ ῥάχιν ἧστο λεαίνης.
Ἰνδοὶ δ' ἀνταλάλαζον, ἀολλίζων δὲ μαχητὰς
βάρβαρος ἐσμαράγησεν ἀγέστρατος αὐλὸς Ἐνυοῦς·
στέμματα μὲν κορύθεσσιν, ἐπέκτυπε δ' αἰγίδι θώρηξ,
✦ ἔγχεσι θύρσος ἔθυσε, καὶ ἰσάζοντο κοθόρνοις
ἀντίτυποι κνημῖδες· ὁμοζυγέων δὲ φορήων
στοιχάδες ἀλλήλῃσιν ἐπηρείδοντο βοεῖαι,
καὶ πρυλέες πρυλέεσσιν, ἀερσιλόφωι δὲ καρήνωι
Μυγδονίην πήληκα Πελασγιὰς ὤθεε πήληξ.
καὶ κλόνος ἦν προμάχων ἑτερότροπος· ὃς μὲν ἀείρων
Βακχείης ἐλέλιζε μετάρσιον ἅλμα χορείης,
ὃς δὲ πεσὼν στενάχιζεν, ὁ δ' ἐκροτάλιζε πεδίλωι,
ὃς δὲ τυπεὶς ἤσπαιρεν, ὁ δ' ἐσκίρτησε Λυαίωι·
ἄλλος ἀπὸ στομάτων πολεμήιον ἦχον ἰάλλων
Ἄρεος ἔγχος ἔμελπεν, ὁ δ' εἰλαπίνην Διονύσου·
καὶ τελετῆι Βρομίοιο συνεσμαράγησεν Ἐνυώ,
Εὔια δ' ἴαχε ῥόπτρα, καὶ ἡγήτειρα κυδοιμοῦ
λαὸν ἀολλίζουσα συνέκτυπε πηκτίδι σάλπιγξ,
σπονδῆι λύθρον ἔμιξε, φόνον δ' ἐκέρασσε χορείηι.
ἔνθα πολὺ πρώτιστος, ἑῶι ποδὶ κοῦφος ὀρούσας,
ἀντία Δηριάδαο κατηκόντιζε Φαληνεύς,
καὶ τύχεν ἀρρήκτοιο σιδηρείοιο χιτῶνος·
οὐ δὲ τιταινομένη χροὸς ἥψατο λοίγιος αἰχμή,
ἀλλὰ παραΐξασα πάγη χθονί· λυσσαλέος δὲ
Δηριάδηι πέλας ἐχθρὸν ἐπαΐσσοντα νοήσας

147 (84C) ἐν πεδίωι δ' ἀλαλητός· ὀρινομένῃσι δὲ Βάκχαις
Πρυμνεὺς εὔδιος ἦλθεν, ἅτε πρυμναῖος ἀήτης
ῥυόμενος πλωτῆρα συνιππεύοντα θυέλλαις·
καὶ στρατιῆι πολύευκτος ἐπήλυθεν, οἷος ἱκάνει
νηυσὶ τινασσομένῃσι γαληναῖος Πολυδεύκης,
εὐνήσας βαρὺ κῦμα θυελλοτόκοιο θαλάσσης.
τοῖς ἅμα σύγγονος ἄλλος ἀριστεύων Ἁλιμήδης
ἠλιβάτοις μελέεσσι πέλωρ βακχεύετο Κύκλωψ,
καὶ δηίους ἐφόβησε· φυλασσόμενος δὲ προσώπου
κυκλάδος ὀμφαλόεντα προΐσχανε νῶτα βοείης.
καί μιν ἰδὼν Φλόγιος κταμένων τιμήορος Ἰνδῶν
τόξον ἑὸν κύκλωσε, καὶ ἠνεμύεν βέλος ἕλκων
μεσσοφανῆ πτερόεντι βαλεῖν ἤμελλε βελέμνωι·
ἀλλὰ τιτυσκομένοιο μαθὼν ἀντώπιον ὁρμὴν
δόχμιος ἐσσυμένοιο βολὴν ἀλέεινεν ὀιστοῦ
Κύκλωψ ὑψικάρηνος· ὁ δὲ πρηῶνα τινάσσων
ῥῖπτε κατὰ Φλογίου κραναὸν βέλος· αὐτὰρ ὁ φεύγων
ἅρμασι βουκεράοιο παρίστατο Δηριαδῆος,
καὶ μόγις ἠερόφοιτον ἀλεύατο μάρμαρον αἰχμήν,
κεῖθι μένων· κοτέων δὲ περὶ Φλογίοιο φυγόντος
λοίγιον ἀνθερεῶνα διαπτύξας Ἁλιμήδης
δώδεκα φῶτας ἔπεφνε μιῆς μυκήματι φωνῆς,
λυσσαλέης προχέων ὀλεσήνορα βόμβον ἰωῆς.
Κυκλώπων δ' ἀλαλητὸς ἐπεσμαράγησεν Ὀλύμπωι
γλώσσαις σμερδαλέῃσι. καὶ ὀρχηστῆρες Ἐνυοῦς,
Δικταῖοι Κορύβαντες ἐπεστρατόωντο κυδοιμῶι. L1[I]
Δαμνεὺς μὲν πολέμιζεν ἀνάρσια φῦλα διώκων
ποσσὶ δ' ἐλαφροτέροισι διεπτοίησε μαχητὰς
Ὠκύθοος· πολέας δὲ κατέκτανεν ὀξέι πότμωι,
τὸν μὲν ἐνὶ σταδίηι δαμάσας δορί, τὸν δὲ βελέμνωι
τηλεφανής, ἕτερον δὲ ταμὼν δασπλῆτι μαχαίρηι·
2 (1C) ἄλλον ἔτι προθέοντα, πεφυγμένον εἴκελον αὔραις,
λυσσήεις ἐκίχησε ποδήνεμα γούνατα πάλλων,
εἰς δρόμον Ἰφίκλωι πανομοίιος, ὅς τις ἐπείγων
ταρσὰ ποδῶν ἀβάτοιο κατέγραφεν ἄκρα γαλήνης,
καὶ σταχύων ἐφύπερθε μετάρσιον εἶχε πορείην,
ἀνθερίκων πάτον ἄκρον ἀκαμπέα ποσσὶν ὁδεύων.
Ὠκύθοος πέλε τοῖος ἀελλόπος. ἐν δὲ κυδοιμοῖς
2 εἰλιπόδην ἔστησε Μίμας εὔρυθμον Ἐνυώ,
καὶ στρατὸν ἐπτοίησε, χοροίτυπον ἆορ ἑλίσσων,
σκαρθμὸν ἔχων ἀγέλαστον ἐνόπλιον ἴδμονι ταρσῶι
οἷον ὅτε Κρονίοισιν ὑπ' οὔασι δοῦπον ἐγείρων
Πύρριχος Ἰδαίοισι σάκος ξιφέεσσιν ἀράσσων
ψευδομένης ἀλάλαζε μέλος μενεδήιον Ἠχοῦς,
Ζηνὸς ὑποκλέπτων παλιναυξέος ἔγκρυφον ἥβην·
τοῖον ἔχων μιμηλὸν ἐνόπλιον ἅλμα χορείης
χαλκοχίτων ἐλέλιζε Μίμας ἀνεμώδεα λόγχην·
τέμνων δ' ἐχθρὰ κάρηνα, σιδήρεα λήια χάρμης,
Ἰνδοφόνοις πελέκεσσι καὶ ἀμφιπλῆγι μαχαίρῃ
δυσμενέων ἐτίταινε θαλύσια μάρτυρι Βάκχωι,

εἰς φόνον ἀντιβίων Σικελῶι κεκόρυστο σιδήρωι,
Nonnus καὶ δονέων ῥαιστῆρα μετάρσιον ὑψόθεν ὤμων
δυσμενέων ἤρασσε καρήατα πυκνὰ σιδήρωι·
τύπτε δ' ἐπιστροφάδην ζοφερὰς στίχας, οἷά περ αἰεὶ
Αἰτναίωι πατάγωι σφυρήλατον ἄκμονα τύπτων.
καὶ σκοπιῆς πρηῶνα τανυκρήπιδος ἀράξας
ἔγχεϊ πετρήεντι κατέτρεχε Δηριαδῆος·
καὶ παλάμηι περίμετρον ἀφειδέι πέτρον ἰάλλων
ἄντα κορυσσομένοιο μελαρρίνου βασιλῆος
στήθεα λαχνήεντα χαραδραίηι βάλεν αἰχμῆι·
αὐτὰρ ὁ τοσσατίωι μεθύων μυλοειδέι πέτρωι
στέρνον ὅλον βεβάρητο· φόνον δ' ἤμυνεν Ὑδάσπης
παιδὸς ἑοῦ βληθέντος. ὁ δὲ θρασύς, ἕλκεϊ κάμνων,
ἀκαμάτων δόρυ θοῦρον ἑῶν ἀπεσείσατο χειρῶν,
χάλκεον εἰκοσίπηχυ, πέδωι δ' ἔρριψε βοείην
αἰδομέναις παλάμηισι· καὶ ἀδρανὲς ἆσθμα τιταίνων,
μαρμαρέηι γλωχῖνι τετυμμένος ἄντυγα μαζοῦ,
ἠερόθεν προκάρηνος ἀπ' ἠλιβάτου πέσε δίφρου,
ὡς ἐλάτη περίμετρος ὑπέρλοφος — ἡ δὲ πεσοῦσα
ἄσπετον εὐρείης περιδέδρομε κόλπον ἀρούρης —.
ἀμφὶ δέ μιν προχυθέντες ἐς ἅρματα κούφισαν Ἰνδοί,
δειδιότες Κύκλωπα δυσειδέα, μή τινι ῥιπῆι
ὑψιτενῆι πάλιν ἄλλον ἑλὼν πρηῶνα κολώνης
τρηχαλέωι βασιλῆα κατακτείνειε βελέμνωι,
μῆκος ἔχων ἰσόμετρον ἀερσιλόφου Πολυφήμου.
L2[O] καὶ βλοσυροῦ προμάχοιο μέσωι σελάγιζε μετώπωι
μαρμαρυγὴ τροχόεσσα μονογλήνοιο προσώπου·
καὶ βλοσυροῦ Κύκλωπος ὑποπτήσσοντες ὀπωπὴν
θαμβαλέωι· δεδόνηντο φόβωι κυανόχροες Ἰνδοί,
✦ οὐρανόθεν δοκέοντες Ὀλυμπιὰς ὅττι Σελήνη
Γηγενέος Κύκλωπος ἐναντέλλουσα προσώπωι
πλησιφαὴς ἤστραπτε, προασπίζουσα Λυαίου.
Ζεὺς δὲ πατήρ, Κύκλωπος ἰδὼν μίμημα κυδοιμοῦ,
ὑψινεφὴς ἐγέλασσεν, ὅτι χθονίων νεφελάων
δεχνυμένη ξένον ὄμβρον ἀπειρήτου διὰ κόλπου
νίφετο μὲν τότε γαῖα, χυτὴν δ' οὐκ εἶχεν ἐέρσην
ἄβροχα νῶτα φέρων γυμνούμενα δίψιος ἀήρ.
καὶ Τράχιος κεκόρυστο· κασιγνήτωι δ' ἅμα βαίνων,
ἠλιβάτωι παλάμηι δονέων σάκος ἶσον ἐρίπνηι,
ὑψινεφὴς ἐλάτην περιμήκετον εἶχεν Ἐλατρεύς,
ἔγχεϊ δενδρήεντι καρήατα δήια τέμνων.
Εὐρύαλος κεκόρυστο· διατμήξας δὲ κυδοιμῶι
ἐκ πεδίου φεύγοντα πολὺν στρατὸν ἄχρι θαλάσσης,
κόλπον ἐς ἰχθυόεντα περικλείων στίχας Ἰνδῶν,
δυσμενέας νίκησεν ἀκοντοφόρου διὰ πόντου,
ὄρθιον εἰκοσίπηχυ δι' ὕδατος ἄορ ἑλίσσων·
καὶ δολιχῶι βουπλῆγι ταμὼν ἁλιγείτονα πέτρην
ῥῖψεν ἐπ' ἀντιβίοισιν· ἀτυμβεύτοιο δὲ πολλοὶ
διχθαδίης ἐνόησαν ἀλιβρέκτου λίνα Μοίρης,
Ἄρεϊ κυματόεντι καὶ ὀκριόεντι βελέμνωι.

148 (85C) ἀλκήεις ἐκίχησε Κορύμβασος, ἐσσυμένου δὲ
λαιμὸν ἀπηλοίησε μεσαίτατον ἄορι τύψας, Nonnus
καὶ κεφαλὴν ἤμησε· δαϊζομένου δὲ καρήνου
αἱμοβαφὴς ἀκάρηνος ἐπὶ χθόνα πῖπτε Φαληνεύς.
ἀμφὶ δέ οἱ μόθος ὦρτο πολύθροος· ἀκρότατον δὲ
Δεξίοχος Φλογίοιο μεσόφρυον ἔξεσε χαλκῶι,
πλήξας ἄκρα μέτωπα διχαζομένης τρυφαλείης·
αὐτὰρ ὁ ταρβήσας, ὀλίγον γόνυ γουνὸς ἀμείβων,
μηκεδανῆι κεκάλυπτο κασιγνήτοιο βοείηι,
πατρώιηι συνάεθλον ἀδελφεὸν ἀσπίδι κεύθων.
Δαρδανίης ἅτε Τεῦκρον ὀιστευτῆρα γενέθλης
εἰς σάκος ἑπταβόειον ἐδέχνυτο σύγγονος Αἴας,
αὐτίκα δ' ἐκ κολεοῖο Κορύμβασος ἄορ ἐρύσσας
αὐχένα Δεξιόχοιο κατεπρήνιξε μαχαίρηι·
καὶ ταχὺς ἀσπαίροντι θορὼν περιδέδρομε νεκρῶι
οἰστρομανὴς Κλύτιος, πρυλέων πρόμος· ὑψιλόφου δὲ
κραιπνὸς ἐριπτοίητος ἀκόντισε Δηριαδῆος·
ἀλλὰ δόρυ προμάχοιο παρακλιδὸν ἔτραπεν Ἥρη,
καὶ Κλυτίωι κοτέουσα καὶ Ἰνδοφόνωι Διονύσωι·
ἔμπης δ' οὐκ ἀφάμαρτε ταχὺς πρόμος· ἀλλὰ τορήσας
θηρὸς ἀμαιμακέτοιο πελώριον ἀνθερεῶνα
ὀρθοπόδην ἐλέφαντα κατέκτανε Δηριαδῆος·
καὶ μογέων ὀδύνησιν ὅλην ἐτίναξεν ἀπήνην
αὐχένι κυανέωι περιδέξιος ἠλίβατος θήρ·
καὶ γένυν αἰθύσσων σκολιὴν προβλῆτα προσώπου
αἱμοβαφῆ ζυγίων ἀνεσείρασε δεσμὰ λεπάδνων· L2[O]
ἀλλὰ πολυκλήιστον ὑπὸ ζυγὸν ἄορι κάμψας
αὐχενίων ἀνέκοψεν ὁμόζυγον ὁλκὸν ἱμάντων
ἡνίοχος ταχυεργός· ἀπ' εὐρυβάτοιο δὲ φάτνης
ὑψιφανῆ νέον ἄλλον ἑλὼν ἔζευξε Κελαινεύς.
καὶ Κλύτιος θρασὺς ἔσκεν ἀνεικέος ἐλπίδι νίκης·
3 (2C) Δεξιόχου δὲ φονῆα καλέσσατο θυιάδι φωνῆι,
λοίγιον ὑβριστῆρι χέων ἔπος ἀνθερεῶνι·
"στῆθι, κύων, μὴ φεῦγε, Κορύμβασε, καί σε διδάξω,
οἷοι ἀκοντιστῆρες ὀπάονές εἰσι Λυαίου.
ὑμέας εἰς Φρυγίην ληίσσομαι, ἄστεα δ' Ἰνδῶν
δηιώσει δόρυ τοῦτο, καὶ Ἰνδοφόνον μετὰ νίκην
Δηριάδην θεράποντα Διωνύσοιο τελέσσω·
3 παρθενικὴ δ' ἀνάεδνος ἐὴν. λύσειε κορείην,
δεχνυμένη Σατύροιο δασυστέρνους ὑμεναίους,
Ἰνδὴ Μυγδονίοιο μιαινομένη σχεδὸν Ἕρμου."
ὣς φαμένου κεχόλωτο Κορύμβασος, ἀψιμόθου δὲ
φθεγγομένου Κλυτίοιο διέθρισεν ἀνθερεῶνα·
καὶ κεφαλὴ πεπότητο μετάρσιος ἅλματι Μοίρης,
αἱμαλέηι ῥαθάμιγγι περιρραίνουσα κονίην.
καὶ νέκυν ὀρχηστῆρα παλινδίνητον ἐάσας
Σειληνοὺς ἐφόβησε Κορύμβασός, ἔξοχος Ἰνδῶν,
ἔξοχος ἠνορέην μετὰ Μορρέα καὶ βασιλῆα.
αἰχμητὴν δὲ Σέβητα βαλὼν ὑπὲρ ἄντυγα μαζοῦ
χάλκεον ὤθεεν ἔγχος ἔσω χροός, αἱμαλέου δὲ

δούρατος ἑλκομένοιο χυτῆι κατέβαλλε κονίηι.
Οἰνομάωι δ' ἐπόρουσεν· ὁ μὲν φυγὰς εἴκελος αὔραις
εἰς στρατιὴν Βρομίοιο τεθηπότι χάζετο ταρσῶι·
καί μιν ἰδὼν ἐδίωκεν ὀπίστερος, ἐν δ' ἄρα νώτωι
μεσσατίωι δόρυ πῆξε· διαΐσσουσα δὲ ῥιπῆι
γαστέρος ἀντιπόροιο παρ' ὀμφαλὸν ἄνθορεν αἰχμή·
αὐτὰρ ὁ φοινήεντι πεπαρμένος ἀμφὶ σιδήρωι
πρηνὴς ἀρτιδάικτος ἐπωλίσθησε κονίηι·
τὸν δὲ κατὰ βλεφάρων θανατηφόρος ἔσκεπεν ἀχλύς.
οὐδὲ μόθων ἀπέληγε πέλωρ πρόμος· ἀλλὰ μαχηταὶ
τέσσαρες εὐπήληκες ἐνὶ κτείνοντο φονῆι,
Τυνδάριός τε Θόων τε καὶ Αὐτεσίων καὶ Ὀνίτης.
καὶ Πύλος ἀρτιδάικτος ἔην νέκυς, οὐ χθονὶ πίπτων
πρηνής, οὐ δαπέδωι τετανυσμένος ὕπτιος ἀνήρ·
ἀλλὰ θανὼν ἀτίνακτος ἐπεστηρίζετο γαίηι,
μαρναμένωι προμάχωι πανομοίιος, ὡς δόρυ πάλλων,
ὡς τανύων θοὰ τόξα καὶ ὡς βέλος εἰς σκοπὸν ἕλκων.
καὶ νέκυς ἀλκήεις ποθέων μετὰ πότμον Ἐνυὼ
νήματα Μοιράων ἐβιήσατο, δούρατι κούφωι
εἴκελος αἰχμάζοντι, πολυσπερέων ἀπὸ τόξων
ἐκ κεφαλῆς βελέεσσι πεπαρμένος εἰς πόδας ἄκρους,
Ἄρεος ὀρθὸν ἄγαλμα· καὶ αἰχμητῆρα θανόντα
ὄμμασι θαμβαλέοισιν ἐθηήσαντο μαχηταί,
ἔγχος ἔτι κρατέοντα καὶ οὐ ῥίψαντα βοείην,
νεκρὸν ἀκοντιστῆρα καὶ ἄπνοον ἀσπιδιώτην.
L2[I] καί τις Ἀθηναίοιο τυχὼν δασπλῆτι σιδήρωι
δεξιτερὴν ἤμησε, βραχίονος ἄκρον ἀράξας·
ἡ δὲ κυβιστήσασα φόνου βητάρμονι παλμῶι
ἤριπεν ἀρτιδάικτος, ὁμήλικι σύμπλοκος ὤμωι,
✦ ξανθὰ διαστίζουσα κατάρρυτα νῶτα κονίης.
καί νύ κεν ἀλλομένης ταναὸν δόρυ χειρὸς ἐρύσσας
ἔγχεϊ τηλεβόλωι παλινάγρετον εἶχεν Ἐνυώ,
καὶ λαιὴ πολέμιζε δορυσσόος ἀντίτυπος χείρ·
ἀλλά μιν ἀντικέλευθος ἀνάρσιος ἔφθασεν ἀνήρ,
καὶ λαιὴν προθέλυμνον ἀμοιβάδι τύψε μαχαίρηι·
καὶ παλάμη χθονὶ πῖπτεν, ἀκοντίζων δὲ φονῆα
αἱμαλέης ἔρραινεν ἐκηβόλος ὁλκὸς ἐέρσης
πορφυρέαις λιβάδεσσιν, ὑπὲρ δαπέδοιο δὲ δειλὴ
ἅλμασιν αὐτοκύλιστος ἐπάλλετο μαινομένη χεὶρ
αἵματι φοινιχθεῖσα, καὶ ἀγκύλα δάκτυλα γαίηι
εὐπαλάμωι σφήκωσε μέσωι γαμψώνυχι δεσμῶι,
οἷα περισφίγγουσα πάλιν τελαμῶνα βοείης.
καί τινα μῦθον ἔειπεν Ἀρήια δάκρυα λείβων·
"ἄλλην εἰσέτι χεῖρα λελαίομαι, ὄφρα τελέσσω
τριχθαδίαις παλάμῃσιν ἐπάξια Τριτογενείης·
ἔμπης καὶ μετὰ χεῖρας ἀνάρσιον ἄνδρα διώξω·
τοῦτό μοι ἠνορέης ἔτι λείψανον, ὄφρά τις εἴπηι
εὖχος Ἀθηναίων περιδέξιον, ὅττι καὶ αὐτοῖς
ποσσὶν ἀριστεύουσι δαϊζομένων παλαμάων."
ὣς εἰπὼν προμάχοισιν ἐπέδραμεν εἴκελος αὔραις,
149 (86C) ὑσμίνην ἀσίδηρον ἐπεντύνων ὀλετῆρι.
οἱ δέ μιν ἀθρήσαντες ἐθάμβεον ἄλλος ἐπ' ἄλλωι,
καὶ πρόμον ἡμιτέλεστον ἐκυκλώσαντο μαχηταὶ
ἀμφιλαφεῖς· ὁ δὲ μοῦνος ἀφειδέι δέκτο μαχαίρηι
πληγὴν ἀλλοπρόσαλλον ἀμοιβαίοιο σιδήρου·
καὶ μόγις εἰς χθόνα πίπτεν· ἔην δέ τις Ἄρεος εἰκὼν
ὀψιγόνωι ναετῆρι φυλασσομένη γενετῆρα.
οὐ τότε μοῦνος ὅμιλος ἐτέμνετο πεζὸς ὁδίτης,
ἀλλὰ καὶ ἱππήεσσιν ἔην φόνος· ἔστιχε δ' ἄλλος
ἄλλωι πότμον ἄγων· ἐλατὴρ δ' ἐλατῆρα κιχήσας,
ἢ προτέρω φεύγοντι μετάφρενα δουρὶ δαΐζων,
ἢ σχεδὸν ἀντιόωντα κατὰ στέρνοιο τυχήσας,
ἱππόθεν ἀρτιδάικτον ἀπεστυφέλιξε κονίηι.
καί τις ὑπὲρ λαπάρην βεβολημένος ἵππος ὀιστῶι
εἰς πέδον ἠκόντιζεν ἀπόσσυτον ἡνιοχῆα,
οἷος ἀερσιπότητος ἀλήμονι σύνδρομος αὔρηι
Πήγασος ὠκυπέτης ἀπεσείσατο Βελλεροφόντην·
ἄλλος ἐριπτοίητος ὀλισθηρῶν ἀπὸ νώτων
ὄρθιος ἱππείης διὰ γαστέρος εἰς χθόνα πίπτων
κύμβαχος ἐστήρικτο παρήορος, ἀμφὶ δὲ γαίηι
κρᾶτα βαλὼν ἐκύλισσε, λιπὼν πόδας εἰς ῥάχιν ἵππου.
καὶ βριαροὶ Κύκλωπες ἐκυκλώσαντο μαχητάς,
Ζηνὸς ἀοσσητῆρες· ὁμιχλήεντι δὲ λαῶι
Ἀργίλιπος σελάγιζε φεραυγέα δαλὸν ἀείρων.
καὶ χθονίωι κεκόρυστο πυριγλώχινι κεραυνῶι
μαρνάμενος δαΐδεσσι· καὶ ἔτρεμον αἴθοπες Ἰνδοὶ L2[I]
οὐρανίωι πρηστῆρι τεθηπότες ἀντίτυπον πῦρ·
καὶ πυρόεις πρόμος ἦεν· ἐπ' ἀντιβίων δὲ καρήνοις
Γηγενέος σπινθῆρες ἐτοξεύοντο κεραυνοῦ·
καὶ μελίας νίκησε καὶ ἄσπετα φάσγανα Κύκλωψ,
σείων θερμὰ βέλεμνα καὶ αἰθαλόεσσαν ἀκωκήν,
4 (3C) δαλὸν ἔχων ἅτε τόξα· καὶ ἄσπετον ἄλλον ἐπ' ἄλλωι
Ἰνδὸν ὀιστευτῆρι κατέφλεγεν ἀνέρα πυρσῶι,
οὐχ ἕνα Σαλαμωνῆα, νόθωι δ' ἤλεγξε κεραυνῶι·
οὐχ ἕνα μοῦνον ἔπεφνε θεημάχον· οὐ μία μούνου
Εὐάδνη στενάχιζε μαραινομένου Καπανῆος.
καὶ Στερόπης κεκόρυστο σέλας μιμηλὸν ἑλίσσων,
αἰθερίαις στεροπῇσι φέρων ἀντίκτυπον αἴγλην,
4 σβεστὸν ἔχων ἀμάρυγμα, τό περ τέκεν Ἑσπερίη φλόξ,
σπέρμα πυρὸς Σικελοῖο καὶ αἴθοπος ἐσχαρεῶνος·
καὶ νεφέληι σκέπας εἶχεν ὁμοίιον, ἐνδόμυχον δὲ
κρύπτε καὶ ἂψ ἀνέφηνε σέλας διδυμάονι παλμῶι,
φέγγεος οὐρανίοιο φέρων τύπον· ἀστεροπὴ γὰρ
ἐρχομένη φεύγουσαν ἔχει παλινάγρετον αἴγλην.
καὶ Βρόντης πολέμιζε μέλος κελαδεινὸν ἀράσσων,
βρονταίοις πατάγοισι χέων ἀντίκτυπον ἠχώ·
καὶ ξείνηι ῥαθάμιγγι χαμαιγενέος νιφετοῖο
ποιητὸν προχέων μινυώριον αἴθριον ὕδωρ
μιμηλαῖς λιβάδεσσι νόθος πέλεν ἀννέφελος Ζεύς.
βροντῆς δ' ἰσοτύπου τεχνήμονα δοῦπον ἐάσας

εἰς Θέμιν, εἰς Κυθέρειαν, ἐς Ἄρτεμιν εἶδος ἀμείβω.
Nonnus Πασιθέης δ᾽ ὑμέναιον ὑπόσχεο, τῆς διὰ κάλλος
ἱμείρων ἀνύσειεν ἐμὸν χρέος· οὔ σε διδάξω,
ὅττι γυναιμανέων τις ἐπ᾽ ἐλπίδι πάντα τελέσσει.”
  ὣς φαμένης πεπότητο θεὰ χρυσόπτερος Ἶρις
ἠέρα παπταίνουσα, καὶ εἰς Πάφον, εἰς χθόνα Κύπρου
ἀπλανὲς ὄμμα τίταινε, τὸ δὲ πλέον ὑψόθι Βύβλου
Ἀσσυρίου σκοπίαζεν Ἀδώνιδος εὔγαμον ὕδωρ,
διζομένη περίφοιτον ἀλήμονος ἴχνιον Ὕπνου.
εὗρε δέ μιν γαμίοιο παρὰ κλέτας Ὀρχομενοῖο·
κεῖθι γὰρ αὖτις ἔμιμνε νοοπλανὲς ἴχνος ἑλίσσων,
Πασιθέης ἐρόεντα παρὰ προπύλαια θαμίζων.
◆ καὶ δέμας ἀλλάξασα μετάτροπον ἄσκοπος Ἶρις
κυανέης ἄγνωστον ἐδύσατο Νυκτὸς ὀπωπήν·
Ὕπνου δ᾽ ἐγγὺς ἵκανε δολοπλόκος· οἷα δὲ μήτηρ
κλεψινόοις ὀάροις ἀπατήλιον ἴαχε φωνήν·
  “τέκνον ἐμόν, τέο μέχρις ἐμὲ Κρονίδης ἀθερίζει;
οὐχ ἅλις, ὡς Φαέθων με βιάζεται, ὅττι καὶ αὐτὸς
Ὄρθρος ἀκοντίζει με καὶ ἠριγένεια διώκει;
Ζεὺς νόθον υἷα φύτευσεν, ὅπως ἐμὸν Ὕπνον ἐλέγξηι.
εἷς βροτὸς αἰσχύνει με καὶ υἱέα· παννύχιος γὰρ
μυστιπόλωι σπινθῆρι φεραυγέα δαλὸν ἀνάπτων
Βάκχος ἀμαλδύνει με, καὶ ἐγρήσσων σε χαλέπτει.
Ὕπνε, τί πανδαμάτωρ κικλήσκεαι; οὐκέτι θέλγεις
ἀνέρας ἐγρήσσοντας, ὅτι χθονίοιο Λυαίου
L1[O] κῶμον ἐμὸν νίκησε νόθον σέλας· ἡμετέρων γὰρ
φαιδροτέραις δαΐδεσσι κατακρύπτει φλόγας ἄστρων.
εἷς βροτὸς αἰσχύνει με φαεσφόρος, ὅττι καλύπτει,
καὶ μεγάλην περ ἐοῦσαν, ἐμῆς ἀκτῖνα Σελήνης.
ἅζομαι ἠριγένειαν ἐπεγγελόωσαν Ὀμίχληι,
31.150 ὅττι νόθον μεθέπω νύχιον σέλας· ἀλλοτρίωι γὰρ
ποιητῶι Φαέθοντι φαείνομαι ἡματίη Νύξ.
ἀλλὰ σύ μοι, φίλε κοῦρε, χολώεο δίζυγι θεσμῶι
μυστιπόλοις Σατύροισι καὶ ἀγρύπνωι Διονύσωι·
καὶ Διὸς ὑψιμέδοντος ἀθελγέα θέλξον ὀπωπὴν
up 1 δὸς χάριν ἀχνυμένηι σέο μητέρι, δὸς χάριν Ἥρηι,
εἰς μίαν ἠριγένειαν, ὅπως Ἰνδοῖσιν ἀρήξηι,
οὓς Σάτυροι κλονέουσι καὶ εἰσέτι Βάκχος ὀρίνει.
Ὕπνε, τί πανδαμάτωρ κικλήσκεαι; ἢν ἐθελήσηις.
τρέψον ἐμοὶ τεὸν ὄμμα, καὶ ἑπταπύλωι παρὰ Θήβηι
πάννυχον ἐγρήσσοντα πάλιν Κρονίωνα νοήσεις·
λῦσον ἀτασθαλίην ἀδίκου Διός· Ἀμφιτρύων μὲν
νόσφιν ἑοῦ θαλάμοιο σιδηροχίτων μετανάστης
μάρναται· Ἀλκμήνηι δὲ παρέζεται ἐνδόμυχος Ζεύς,
νυμφιδίην ἀκόρητος ἔχων τρισέληνον ὀμίχλην.
μὴ Διὸς ἐγρήσσοντος ἴδω καὶ νύκτα τετάρτην.
ἀλλά, τέκος, Κρονίωνι κορύσσεο, μὴ πάλιν ἄλλην,
μὴ πάλιν ἐννεάκυκλον ἀναπλήσειεν ὀμίχλην.
Μνημοσύνης προτέρης μιμνήσκεο· τῆι παριαύων
31.169 ἐννέα νύκτας ἔμιμνεν, ἔχων ἄγρυπνον ὀπωπήν,
οἶστρον ἔχων πολύτεκνον ἀκοιμήτων ὑμεναίων.

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the twenty-ninth, Ares retreats from the battle, being urged to another wedding of Cythereia.

NONNUS

DIONYSIACA

BOOK 29

PREVIEW
BOOK 31

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 381 lines 3.0
3L 1 - 381

PRINT
2-SIDED:
167 to **172**

Ἥρη δ' ὡς ἐνόησε δαϊζομένων στίχας Ἰνδῶν,
δύσμαχον ἔμβαλε θάρσος ἀγήνορι Δηριαδῆι.
καὶ πλέον οἶστρον ἔρωτος ἐδέξατο δηιοτῆτος
φρικτὸς ἄναξ· προμάχοις δὲ χέων λυσσώδεα φωνὴν
κυανέην στοιχηδὸν ὅλην περιδέδρομε χάρμην,
λαὸν ὅλον φεύγοντα παλίσσυτον εἰς μόθον ἕλκων,
ἄλλον ἐνηείηι μετανεύμενος, ἄλλον ἀπειλῆι.
καὶ θρασὺς ἔπλετο μᾶλλον· ὁμηγερέες δὲ καὶ αὐτοὶ
κεκλομένου βασιλῆος ἐπὶ κλόνον ἔρρεον Ἰνδοί.
καὶ Σατύρων στίχα πᾶσαν ἑκηβόλος ἔσχισε Μορρεύς,
πῆι μὲν ἐπ' ἀντιβίοισιν ὀπισθοτόνων ἀπὸ τόξων
πέμπων ἠερόφοιτον ἐπασσυτέρων νέφος ἰῶν,
πῆι δὲ παλινδίνητον ἐὸν δόρυ θοῦρον ἑλίσσων
Σειληνῶν κερόεσσαν ἀνεπτοίησε γενέθλην.
εὐχαίτης δ' Ὑμέναιος ἐμάρνατο φάσγανα σείων,
Θεσσαλικῆς ἀκίχητος ὑπὲρ ῥάχιν ἥμενος ἵππου,
Ἰνδοὺς κυανέους ῥοδοειδέι χειρὶ δαΐζων·
ἀγλαΐηι δ' ἤστραπτεν· ἴδοις δέ μιν εἰς μέσον Ἰνδῶν
Φωσφόρον αἰγλήεντα δυσειδέι σύνδρομον ὄρφνηι·
καὶ δηίους ἐφόβησεν, ἐπεί νύ οἱ εἵνεκα μορφῆς
μαρναμένωι Διόνυσος ἐνέπνεεν ἔνθεον ἀλκήν.
τὸν μὲν ἰδὼν Ἰόβακχος ἀριστεύοντα κυδοιμῶι
τέρπετο, καὶ συνάεθλον ἑῆς οὐκ ἤθελε χάρμης
ἀστεροπὴν Κρονίωνος, ὅσον μελίην Ὑμεναίου.
εἴ ποτε πῶλον ἔλαυνεν ἀπόσσυτον εἰς μόθον Ἰνδῶν,
δαιδαλέων Διόνυσος ἐμάστιεν αὐχένα θηρῶν,
ἵππωι δ' ἅρμα πέλαζε παρ' ἡβητῆρι θαμίζων,
κοῦρον ἔχων, ἅτε Φοῖβος Ἀτύμνιον· ἵστατο δ' αἰεὶ
ἀγχιφανής, ἐρόεις δὲ καὶ ἄλκιμος εἰν ἑνὶ θεσμῶι
ἠιθέωι μενέαινε φανήμεναι· ἐν δὲ κυδοιμοῖς
καὶ νεφέων ἔψαυε συναιχμάζων Ὑμεναίωι.
ἓν δέ ἑ μοῦνον ὄρινεν, ὅτι χθονίης ἀπὸ φύτλης
υἱὸς ἔην Φλεγύαο, καὶ οὐ Κρονίδαο τοκῆος.
καί οἱ ἀεὶ παρέμιμνε, πατὴρ ἅτε παῖδα φυλάσσων,
δειμαίνων, ἵνα μή τις ἑκηβόλος ἰὸν ἰήλας
κοῦρον ὀιστεύσειεν· ἐπερχομένων δὲ βολάων
δεξιτερὴν ἐτίταινε προασπίζων Ὑμεναίου.
καί οἱ ἀριστεύοντι τόσην ἐφθέγξατο φωνήν·
"πέμπε βέλος, φίλε κοῦρε, καὶ οὐκέτι μαίνεται Ἄρης·
κάλλεϊ Βάκχον ἔβαλλες ὀιστευτῆρα Γιγάντων,
βάλλε τεοῖς βελέεσσι καὶ ἄφρονα Δηριαδῆα,
δυσμενέων βασιλῆα θεημάχον, ὄφρά τις εἴπηι·
'ἀμφοτέρων ἐτύχησε βαλὼν Ὑμέναιος ὀιστῶι,
εἰς χρόα Δηριάδαο καὶ εἰς κραδίην Διονύσου.'"
ὣς φαμένου Βρομίοιο πολὺ πλέον ἥψατο χάρμης
ἱμερόεις Ὑμέναιος ἑκηβόλος, ὧι ἔπι χαίρων
οἰστρήεις Διόνυσος ἐδύσατο μᾶλλον Ἐνυὼ
καὶ ζοφερὴν προθέλυμνον ὅλην ἐφόβησε γενέθλην·
καί τις ἰδὼν Διόνυσον ἀφειδέι λαίλαπι χάρμης
Ἰνδώιων ἀκόρητον ὀιστευτῆρα καρήνων

ὣς φαμένη συνέχευεν ὅλην φρένα Περσεφονείης,
δάκρυσι ποιητοῖσι διαινομένοιο προσώπου,
αἱμύλα κωτίλλουσα. θεὰ δ' ἐπένευσε θεαίνηι,
καί οἱ δῶκε Μέγαιραν ὁμόστολον, ὄφρα τελέσσηι
βάσκανον ὄμμα φέρουσα νόον ζηλήμονος Ἥρης.
ἡ δὲ θυελλήεντι διαΐξασα πεδίλωι
τρὶς μὲν ἀνηέρθη, τὸ δὲ τέτρατον ἵκετο Γάγγην·
καὶ νέκυν Ἰνδὸν ὅμιλον ἀμειδέι δεῖξε Μεγαίρηι
καὶ στρατιῆς ἱδρῶτα καὶ ἠνορέην Διονύσου·
Ἰνδοφόνους δὲ Μέγαιρα πόνους ὁρόωσα Λυαίου
ζηλήμων ἐμέγηρε καὶ οὐρανίης πλέον Ἥρης.
ἡ δὲ νόωι κεχάρητο· δρακοντοκόμωι δὲ θεαίνηι
σαρδόνιον γελόωσα κατηφέα ῥήξατο φωνήν·
"οὕτω ἀριστεύουσι νέοι βασιλῆες Ὀλύμπου,
οὕτω ἀκοντίζουσι νόθοι Διός· ἐκ Σεμέλης δὲ
Ζεὺς ἕνα παῖδα λόχευσεν, ἵνα ξύμπαντας ὀλέσσηι
Ἰνδοὺς μειλιχίους καὶ ἀμεμφέας· ἀλλὰ δαείη
Ζεὺς ἄδικος καὶ Βάκχος, ὅσον σθένος ἐστὶ Μεγαίρης.
ὢ πόποι, οἷον ἄθεσμον ἔχει νόον ὑψιμέδων Ζεύς·
Τυρσηνοῖς ἀδίκοις οὐ μάρναται, ὅττι μαθόντες
φώρια θεσμὰ βίαια κακοξείνων ἐπὶ νηῶν
ἅρπαγες ἀλλοτρίων Σικελῆι πλώουσι θαλάσσηι·
οὐ κτάνε δυσσεβέων Δρυόπων γένος, οἷς βίος αἰχμαὶ
καὶ φόνος· εὐσεβίηι δὲ μεμηλότας ἔκτανεν Ἰνδούς,
οὓς τάχα πασιμέλουσα Θέμις μαιώσατο μαζῶι.
ὢ πόποι, οἷον ἄθεσμον ἔχει νόον· ἀθάνατον γὰρ
θνητὸς ἀνὴρ ἔφλεξε τόσον καὶ τοῖον Ὑδάσπην,
θνητὸς ἀνὴρ ἔφλεξε, τὸν οὐράνιος τέκετο Ζεύς."
ὣς φαμένη πεπότητο δι' αἰθέρος· ἡ δὲ σιωπῆι
γείτονα Καυκασίης ὑπὸ φωλάδα πέζαν ἐρίπνης
φρικτὸν ἀμειψαμένη μελέων ὀφιώδεα μορφήν,
γλαυκὶ φυὴν ἰκέλη μένεν αὐτόθι, μέχρι νοήσηι
Ζῆνα μέγαν κνώσσοντα· τὸ γὰρ φάτο κοίρανος Ἥρη.
αὐτὴ δὲ Χρεμέταο μετήιεν Ἕσπερον ὕδωρ
Ἥρη μητιόωσα, γέρων βαρὺς ὁππόθι κάμνει
οὐρανίηι στροφάλιγγι Λίβυς κυρτούμενος Ἄτλας,
καὶ Ζεφύρου δυσέρωτος ἐδίζετο σύγγαμον Ἶριν,
Ζηνὸς ἐπειγομένοιο διάκτορον, ὄφρα τελέσσηι
ἠερόθεν σκιόεντι ποδήνεμον ἄγγελον Ὕπνωι.
τὴν δὲ καλεσσαμένη φιλίωι μειλίξατο μύθωι·
"Ἶρις, ἀεξιφύτου Ζεφύρου χρυσόπτερε νύμφη,
εὔλοχε μῆτερ Ἔρωτος, ἀελλήεντι πεδίλωι
σπεῦδε μολεῖν ζοφόεντος ἐς Ἑσπέριον δόμον Ὕπνου·
δίζεο καὶ περὶ Λῆμνον ἁλίκτυπον· εἰ δέ μιν εὕρηις,
λέξον, ἵνα Κρονίωνος ἀθελγέος ὄμματα θέλξηι
εἰς μίαν ἠριγένειαν, ὅπως Ἰνδοῖσιν ἀρήξω.
ἀλλὰ δέμας μετάμειβε, μελανζώνου δὲ θεαίνης
μορφὴν Νυκτὸς ἔχουσα δυσειδέα μητέρος Ὕπνου
γίνεο κυανέη ψευδώνυμος, ὅττι καὶ αὐτὴ
ἀντιτύποις μελέεσσιν, ὅτε χρέος ἐστὶν ἀνάγκης,
εἰς Θέμιν, εἰς Κυθέρειαν, ἐς Ἄρτεμιν εἶδος ἀμείβω.

Nonnus

καὶ δρεπάνην φοίνιξε· δαϊζομένης δὲ Μεδούσης
αἱμοβαφῆ παλάμην ὀφιώδεϊ λοῦσεν ἐέρσηι,
κρᾶτα ταμών· χρυσέωι δὲ σὺν ἄορι παῖδα λοχεύων
ἱππείην ἐλόχευσε γονὴν διδυμητόκος αὐχήν.
καὶ φθονερὸς πραπίδεσσι χόλος διεπάφλασεν Ἥρης
ζῆλον ἐρευγομένης ἐπὶ Περσέι καὶ Διονύσωι.
ἤθελε δὲ Κρονίδαο καὶ ὄμματα καὶ φρένα θέλγειν
εἰς γάμον ἠπεροπῆα καὶ εἰς πτερὸν ἡδέος Ὕπνου
ἑλκομένου μετὰ λέκτρον, ὅπως δολίηι τινὶ τέχνηι
Ζηνὸς ἔτι κνώσσοντος ἐπιβρίσειε Λυαίωι.
ὀρφναίην δ' Ἀίδαο μετήλυθε πανδόκον αὐλήν·
Περσεφόνην δ' ἐκίχησε, δολόφρονι δ' ἴαχε μύθωι·
"ὀλβίστην ἐνέπω σε, θεῶν ὅτι τηλόθι ναίεις·
οὐ Σεμέλην ἐνόησας ἔσω ναίουσαν Ὀλύμπου.
δείδια, μὴ Διόνυσόν, ὃν ἀνδρομέη τέκε γαστήρ,
ἀστεροπὴν κρατέοντα μετὰ Ζαγρῆα νοήσω
ἢ χθονίαις παλάμῃσιν ἐλαφρίζοντα κεραυνούς·
συλήθης, φερέκαρπε· παρὰ σταχυώδεϊ Νείλωι
ἀντὶ τεῆς Δήμητρος ἀμαλλοτόκοιο τεκούσης
ἄλληι κῶμον ἄγουσι, νόθη δέ τις ὄμπνια Δηὼ
ταυροφυὴς κερόεσσα φατίζεται Ἰναχὶς Ἰώ.
Ἄρεα δ', ὃν περ ἔτικτον, ὃν οὐρανέη τέκε γαστήρ,
υἱὸν ἐμὸν χθονίωι πεπεδημένον ἀκλέι δεσμῶι
κρύψεν ἔσω κεράμοιο περισφίγξας Ἐφιάλτης·
οὐδέ οἱ ἐχραίσμησεν ἐμὸς πόσις οὐράνιος Ζεύς,
ἀλλὰ τόκον Σεμέλης φλογερῶν ἐρρύσατο πυρσῶν,
καὶ βρέφος εἰσέτι Βάκχον ἀνεζώγρησε κεραυνοῦ,
ἡμιτελῆ νόθον υἷα· δαϊζομένου δὲ μαχαίραις
Ζαγρέος οὐ προμάχιζεν ἐπουρανίου Διονύσου.
τοῦτό με μᾶλλον ὄρινεν, ὅτι Κρονίδης πόλον ἄστρων
ἔδνα πόρεν Σεμέληι καὶ Τάρταρα Περσεφονείηι·
οὐρανὸς Ἀπόλλωνι φυλάσσεται, οὐρανὸν Ἑρμῆς
ναιετάει· σὺ δὲ τοῦτον ἔχεις δόμον ἔμπλεον ὄρφνης.
τί πλέον, ὅττι δράκοντος ἔχων ψευδήμονα μορφὴν
δεσμὸν ἀσυλήτοιο τεῆς σύλησε κορείης,
εἰ μετὰ λέκτρον ἔμελλε τεὰς ὠδῖνας ὀλέσσαι;
Ζεὺς μὲν ἄναξ κατ' Ὄλυμπον ἔχει δόμον ἔμπλεον ἄστρων,
γνωτῶι δ' ὑγρομέδοντι γέρας πόρεν ἁλμυρὸν ὕδωρ,
καὶ ζόφον ἀχλυόεντα τεῶι πόρεν οἶκον ἀκοίτηι.
ἀλλὰ τεὰς θώρηξον Ἐρινύας οἴνοπι Βάκχωι,
μὴ βροτὸν ἀθρήσαιμι νόθον σκηπτοῦχον Ὀλύμπου,
αἴδεο λισσομένην Διὸς εὐνέτιν, αἴδεο Δηώ,
αἴδεο λισσομένην καθαρὴν Θέμιν, ὄφρά κεν Ἰνδοὶ
βαιὸν ἀναπνεύσωσι τινασσομένου Διονύσου·
ἔσσό μοι ἀχνυμένηι τιμήορος, ὅττι Κρονίων
Βάκχωι νέκταρ ὄπασσε καὶ Ἄρεϊ λύθρον Ἐνυοῦς.
μηδὲ νέον Διόνυσον ἀνυμνήσωσιν Ἀθῆναι,
μηδὲ λάχηι γέρας ἶσον Ἐλευσινίωι Διονύσωι,
μὴ τελετὰς προτέροιο διαλλάξειεν Ἰάκχου,
μὴ τάλαρον Δήμητρος ἀτιμήσειεν ὀπώρηι."

τοῖον ἔπος κατέλεξε φιλοκτεάνωι Μελανῆι·
"τοξότα, πῆι σέο τόξα καὶ ἠνεμόεντες ὀιστοί;
ἡμέας ἀβροχίτωνες ὀιστεύουσι γυναῖκες.
ἀλλὰ βέλος προΐαλλε μινυνθαδίωι Διονύσωι·
μή σε παραπλάγξειεν Ὀλύμπιον οὔνομα φήμης·
μὴ τρομέοις ποτὲ Βάκχον, ὃς ἐκ χθονίοιο τοκῆος
ὠκύμορον λάχεν αἷμα, Διὸς δ' ἐψεύσατο φύτλην.
δεῦρο βέλος προΐαλλε καί, εἰς σκοπὸν αἴ κε τυχήσης,
δέχνυσαι ἄσπετα δῶρα βαθυπλούτου βασιλῆος,
αἴ κεν ἴδηι Διόνυσον, ἀγήνορα παῖδα Θυώνης,
πυρκαϊῆς ἐπιβάντα τεῶι δμηθέντα βελέμνωι·
ἓν δὲ βέλος λύσειεν ὅλον μόθον. ἀμφοτέροις δέ,
ὕδατι χεῖρας ἄειρε καὶ εὔχεο μητέρι Γαίηι·
ῥέζειν δ' ἀμφοτέροισι θυηπολίας μετὰ νίκην
ἀψεύστοις στομάτεσσιν ὑπόσχεο· καὶ παρὰ βωμῶι
ταυροφυὴς ἐχέτω κεραελκέα ταῦρον Ὑδάσπης,
Γαῖα δὲ κυανέη μελανόχροον ἄρνα δεχέσθω."
ὣς εἰπὼν παρέπεισεν ὀιστοβόλον Μελανῆα,
ἄνδρα νοοπλανέων κτεάνων δεδονημένον οἴστρωι·
αὐτὰρ ὁ σιγαλέος γυμνώσατο πῶμα φαρέτρης
ἰὸν ἑλὼν προβλῆτα, καὶ εἴρυσεν ἠθάδα νευρὴν
τόξον ὀπισθοτόνωι παλάμης κυκλούμενος ὁλκῶι,
ἀκρότατον δὲ σίδηρον ἐρεισάμενος περὶ τόξωι
φοίνια νεῦρα βόεια πελάσσατο γείτονι μαζῶι·
καὶ βέλος ἰθυκέλευθον ἀπεπλάγχθη Διονύσου
Ζηνὸς ἐρητύσαντος, ἐυστεφάνου δ' Ὑμεναίου
αἱμοβαφὴς πτερόεντι χαράσσετο μηρὸς ὀιστῶι.
οὐ δὲ λάθεν Διόνυσον ἀπήορος ἰὸς ἀλήτης
ἱπτάμενος ῥοιζηδόν, ἀφειδέι σύνδρομος αὔρηι·
ἀλλὰ διεσσυμένοιο βολὴν θήλυνεν ὀιστοῦ,
καὶ φονίην ἀλάωσεν ἐκηβολίην Μελανῆος·
καὶ Παφίη γλωχῖνας ἀπηκόντιζε βελέμνου,
σύγγονος ἱμείροντι χαριζομένη Διονύσωι,
καὶ βέλος ἔτραπε τόσσον ἀπὸ χροός, ὡς ὅτε μήτηρ
παιδὸς ἔτι κνώσσοντος ἀλήμονα μυῖαν ἐλάσσηι,
ἠρέμα φάρεος ἄκρον ἐπαιθύσσουσα προσώπωι.
καὶ χροὸς ἄγριον ἕλκος ἐρευθομένου διὰ μηροῦ
ἀγχιφανὴς Ὑμέναιος ἐδείκνυε γείτονι Βάκχωι,
δάκρυ χέων ἐρατεινὸν ὑπ' ὀφρύσιν, ὄφρα νοήσηι
δεξιτερὴν ἐπίκουρον ἀλεξικάκου Διονύσου,
ἰητροῦ χατέων ζωαρκέος· αὐτὰρ ὁ λευκῆς
χειρὸς ἔχων Ὑμέναιον ἑῆς ἐπέβησεν ἀπήνης,
καί μιν ἄγων ἀπάνευθε πολυφλοίσβοιο κυδοιμοῦ
νωθρὸν ἐπὶ σκιόεντι πέδωι παρὰ γείτονι φηγῶι
θῆκε καρηβαρέοντα· καὶ ὡς Ὑάκινθον Ἀπόλλων
ἔστενεν ἀνδροφόνωι βεβολημένον ὀξέι δίσκωι,
μεμφόμενος Ζεφύρου ζηλήμονος ἄσθμα θυέλλης,
οὕτω καὶ Διόνυσος ἀνέσπασε πολλάκι χαίτην,
ὄμμασιν ἀκλαύτοισιν ἐπικλαύσας Ὑμεναίωι.
καὶ χροὸς ἐκτὸς ἐόντας ἰδὼν πώγωνας ὀιστοῦ

ἀσπάσιον λάχε θάρσος· ἀφ' αἱμαλέοιο δὲ μηροῦ
λευκὸν ἐρευθομένου διδυμόχροον ἕλκος ἀφάσσων
φειδομέναις παλάμηισιν ἀνείρυσεν ἄκρον ὀιστοῦ.
δάκρυα δ' ἡβητῆρος ὀδυρομένοιο δοκεύων
ἀμφοτέροις κεχόλωτο, καὶ Ἄρεϊ καὶ Μελανῆι·
καὶ γλυκεροὺς ἱδρῶτας ἀποσμήξας Ὑμεναίου
μεμφομένοις στομάτεσσιν ὑποκρυφίην χέε φωνήν·
Ἄμπελον ἔκτανε ταῦρος, Ἄρης Ὑμέναιον ὀλέσσει.
αἴθε δὲ πάντας ἔπεφνεν, ὅσους ἐκόρυσσα μαχητάς,
καλλείψας ἕνα μοῦνον ἀνούτατον· ἐν πολέμοις γὰρ
ποῖον ἄχος κλονέει με δαϊζομένοιο Καβείρου;
ὠτειλὴ Σατύρου πότε που, πότε Βάκχον ὀρίνηι;
Σειληνὸς πεσέτω σταφυληκόμος· ἑσμὸς ἀλάσθω
Βασσαρίδων, καὶ μοῦνον ἀπήμονα παῖδα νοήσω.
ἱλήκοι κλυτότοξος· Ἀρισταίοιο πεσόντος
ποῖον ἐμοί ποτε πένθος, ἐυρραθάμιγγος ὀπώρης
κρείσσονα κικλήσκοντος ἑῆς ὠδῖνα μελίσσης;
οὐ τάχα μοι πέπρωτο φυγεῖν ποτε παιδὸς ἀνίην,
ὅττι πάλιν τάχα τοῦτον ὀλωλότα παῖδα γοήσω.
τίς βαρὺς ἀμφοτέροις φθόνος ἔχραεν; εἰ θέμις εἰπεῖν,
Ἥρη δερκομένη ζηλήμονι Βάκχον ὀπωπῆι
καὶ νέον ἀμητῆρα μελαρρίνοιο γενέθλης,
ἠιθέωι φθονέουσα καὶ ἱμείροντι Λυαίωι
ὥπλισε θοῦρον Ἄρηα βαλεῖν Ὑμέναιον ὀιστῶι,
Ἰνδώιην μεθέποντα νόθην ἄγνωστον ὀπωπήν,
ὄφρα νόον δυσέρωτος ἀνιήσειε Λυαίου.
ἀλλὰ βέλος τανύων ἢ φοίνια τόξα τιταίνων
ψευδαλέωι Μελανῆι κορύσσομαι, ὄφρα τελέσσω
ποινὴν ἱμερόεντος ὀφειλομένην Ὑμεναίου.
αἴ κε θάνηις, Ὑμέναιε, λιπὼν ἀτέλεστον Ἐνυώ,
χάζομαι ἐκ πολέμοιο καὶ οὐκέτι θύρσον ἀείρω.
δυσμενέας ξύμπαντας ἐγὼ ζώοντας ἐάσω,
ἀμήσας ἕνα φῶτα, τεὸν Μελανῆα φονῆα.
οὐ κτάνε Δηριάδης σε, καὶ εἰ κοτέει Διονύσωι.
ἱλήκοις, Κυθέρεια· μετὰ θρασὺν υἱέα Μύρρης
μείλιχον ἄλλον Ἄδωνιν ἀμείλιχος ἤλασεν Ἄρης,
ἤλασε καὶ ῥοδέου χροὸς ἥψατο, καὶ διὰ μηροῦ
ἄρτι πάλιν κελάρυζεν ἐπὶ χθονὶ λύθρος Ἐρώτων·
ἀλλὰ τεῶι ποθέοντι χαριζομένη Διονύσωι
πέμπέ μοι ἐνθάδε Φοῖβον ἀδελφεόν, ἴδμονα τέχνης
λυσιπόνου, καὶ κοῦρον ἀκέσσεται. ἴσχεο, φωνή·
Φοῖβον ἔα κατ' Ὄλυμπον ἀκηδέα, μή μιν ὀρίνω
ἕλκεος ἱμερόεντος ἀναμνήσας Ὑακίνθου.
πέμπέ μοι, ἢν ἐθέληις, Παιήονα· κεῖνος ἱκέσθω·
ἄμμορός ἐστι πόθων, ἀλλότριός ἐστιν Ἐρώτων.
ὠτειλῆς τύπον ἄλλον ἐσέδρακον· ἐν πολέμοις γὰρ
ἄλλος ἀνὴρ κενεῶνα τυπεὶς φοινίσσεται αἰχμῆι,
ἄορι δ' ἄλλος ἔχει παλάμης πόνον, ὃς δὲ βελέμνωι
εἰς λαπάρην, ἕτερος δὲ δι' οὔατος· ἐν κραδίηι δὲ
λοίγιον ἕλκος ἔχοντι συνουτήθην Ὑμεναίωι."

ἴδμονες Ἡφαίστοιο, σοφῶν ζηλήμονες ἔργων,
σοὶ δόλον ἐντύνουσι, καὶ ἀρχαίωι σέο δεσμῶι
ὁπλότερον τελέσουσιν ὁμοίιον, ὄφρα καὶ αὐτὸς
ἀμφοτέρους δολίηισιν ἀλυκτοπέδηισι πιέζων
δήσηις φῶρα γάμοιο τεῶι ποινήτορι δεσμῶι,
εἰλιπόδην Ἥφαιστον ἐπισφίγξας Ἀφροδίτηι·
καί σε θεοὶ ξύμπαντες ἐπαινήσουσιν Ὀλύμπου
δέσμιον ἀγρεύσαντα τεῶν συλήτορα λέκτρων.
ἔγρεο, καὶ σὺ γένοιο δολοπλόκος· ἔγρεο, νύμφης
ἁρπαμένης ἀλέγιζε. τί σοι κακὰ Δηριαδῆος;
σιγῆι ἐφ' ἡμείων, Φαέθων μὴ μῦθον ἀκούσηι."
ὣς φαμένη πεπότητο. καὶ αὐτίκα κῶμα τινάξας
πρώιον ἀρτιχάρακτον ὀπιπεύων φάος Ἠοῦς
θερμὸς Ἄρης ἀνέπαλτο, Φόβον καὶ Δεῖμον ἐγείρας
ζεῦξαι φοίνιον ἅρμα ταχύδρομον· οἱ δὲ τοκῆι
σπερχομένωι πείθοντο· καὶ ἀγκυλόδοντι χαλινῶι
Δεῖμος ἐριπτοίητος ἐπισφίγξας γένυν ἵππων
δέσμιον αὐχένα δοῦλον ἐπεσφήκωσε λεπάδνωι,
ζεύγλην δ' ἀμφὶς ἔδησεν· Ἄρης δ' ἐπεβήσατο δίφρου·
καὶ Φόβος ἡνιόχευεν ὄχον πατρῶιον ἐλαύνων,
εἰς Πάφον ἐκ Λιβάνου πεφορημένος, ἐκ δὲ Κυθήρων
ἄστατον ἔτραπεν ἅρμα Κεραστίδος εἰς χθόνα Κύπρου·
πολλάκι, πολλάκι Λῆμνον ἐδέρκετο, καὶ πλέον ἄλλων
ζηλήμων σκοπίαζε πυρίπνοον ἐσχαρεῶνα,
Κύπριν ἀνιχνεύων τροχαλῶι ζηλήμονι ταρσῶι,
εἴ μὲν ἐσαθρήσειε παρ' Ἡφαίστοιο καμίνοις,
ὡς πάρος, ἱσταμένην, καὶ ἐδείδιε, μή οἱ ὀπωπὴν
καπνὸς ἀμαλδύνειε μελαινομένης Ἀφροδίτης.
ἔδραμε καὶ μετὰ Λῆμνον ἐς οὐρανόν, ὄφρα σιδήρωι
νυμφιδίην μακάρεσσιν ἀναστήσειεν Ἐνυώ,
καὶ Διὶ καὶ Φαέθοντι καὶ Ἡφαίστωι καὶ Ἀθήνηι.

Ὣς ὁ μὲν Ἰνδώιοιο τυπεὶς ἴυγγι κυδοιμοῦ
Βάκχος Ἐρυθραίης περιδέδρομε κόλπον ἀρούρης,
χρύσεα χιονέηισι παρηισι βόστρυχα σείων.
Ἥρη δὲ φθονεροῖσιν ἀνοιδαίνουσα μερίμναις
ἄκρον ἀπειλητῆρι **κατέγραφεν** ἠέρα ταρσῶι,
αὐτόθι παπταίνουσα πολυσπερέων στρατὸν Ἰνδῶν
θύρσοις ἀνδροφόνοισιν ἀλοιηθέντα Λυαίου.
καὶ χόλον ἄλλον ἔγειρεν Ἐρυθραίωι παρὰ πόντωι
Ἀνδρομέδης ὁρόωσα πολύπλοκα λείψανα δεσμῶν
καὶ λίθον ἐν ψαμάθωι, βλοσυρὸν τέρας ἐννοσιγαίου.
ἀχνυμένη δ' ἑὸν ὄμμα παρέτραπε, μὴ παρὰ πόντωι
Γοργοφόνου Περσῆος ἴδηι χαλκήλατον ἅρπην.
ἤδη γὰρ ταχύγουνον ἐν ἠέρι ταρσὸν ἑλίσσων
δίψιον ἀμφὶ τένοντα Λίβυν πορθμεύετο Περσεύς,
νηχόμενος πτερύγεσσι· μονογλήνου δὲ γεραιῆς
Φορκίδος ἀγρύπνοιο λαβὼν ὀφθαλμὸν ἀλήτην
δύσβατον ἄντρον ἔδυνε, καὶ ἀμώων παρὰ πέτρηι
λήια συρίζοντα, θαλύσια λοξὰ κομάων,
Γοργόνος ὠδίνοντα διέθρισεν ἀνθερεῶνα,

αἴθοπος Ἠελίοιο μεσημβρίζουσαν ἱμάσθλην. 153 (87C)
Nonnus καὶ θεὸς ἀμπελόεις προκαλίζετο κοίρανον Ἰνδῶν,
μῦθον ἀπειλητῆρα χέων λυσσώδεϊ λαιμῶι·
“τίς φόβος; εἰ ποταμοῖο φέρει γένος ὄρχαμος Ἰνδῶν,
οὐρανόθεν λάχον αἷμα· χερειότερος δὲ Λυαίου
Δηριάδης ὑπέροπλος, ὅσον Διός ἐστιν Ὑδάσπης.
ἣν δ᾽ ἐθέλω, νεφέων σχεδὸν ἵσταμαι· ἣν δ᾽ ἐθελήσω,
ἵξεται ἰθυκέλευθον ἐμὸν βέλος ἄχρι Σελήνης.
εἰ δὲ μέγα φρονέεις μεθέπων κεραελκέα μορφήν,
εἰ δύνασαι, προμάχιζε βοοκραίρωι Διονύσωι.”
ὣς φαμένου βρυχηδὸν ἐμυκήσαντο μαχηταί·
ἄλλωι δ᾽ ἄλλος ἔριζε συναιχμάζων Διονύσωι.
αἰγείοις δὲ πόδεσσιν ἐμάρνατο μειλίχιος Πάν,
ὀξὺ δὲ τοξευτῆρος ὅλον κενεῶνα χαράξας
θηγαλέηι Μελανῆος ἀνέσχισε γαστέρα χηλῆι,
ποινὴν ἕλκος ἔχοντος ἀπαιτίζων Ὑμεναίου,
ὄφρα πυφισφρήγιστον ἐλαφρίσσειεν ἀνίην
ὄμμασιν ἀκλαύτοισιν ὀδυρομένου Διονύσου.
λυσσήεις δ᾽ Ἰόβακχος ἐπέδραμε δηιοτῆτι,
καὶ νεφέων ἔψαυσε καὶ ἥψατο χερσὶν Ὀλύμπου,
ἄλλοτε μηκύνων ταναὸν δέμας, αἰθέρι γείτων,
καὶ χθονὶ ταρσὸν ἔπηξε, καὶ ἠέρα τύψε καρήνωι.
τοῖσι δὲ μαρναμένοισιν ἐπήλυθεν Ἕσπερος ἀστήρ,
λύων Ἰνδοφόνοιο θεμείλια δηιοτῆτος.
Ἄρεϊ δ᾽ ὑπνώοντι παρίστατο νεύματι Ῥείης
L3[O] φάσματα ποικίλλουσα δολοπλόκος ὄψις ὀνείρου,
τοῖον ἔπος βοόωσα, νόθηι σκιοειδέι μορφῆι·
“Ἆρες, Ἄρες, σὺ μὲν εὗδε, δυσίμερε, μοῦνος ἰαύων
χαλκοχίτων· Παφίην δὲ τὸ δεύτερον ὑψόθι λέκτρων
ὑμετέρην Ἥφαιστος ἔχει προτέρην Ἀφροδίτην,
✦ ἐκ δὲ δόμων ἐδίωκε Χάριν, ζηλήμονα νύμφην·
ἀρχαίην δὲ δάμαρτα παλίνδρομον εἰς γάμον ἕλκων 4 (1C)
αὐτὸς Ἔρως τόξευεν ἀναινομένην Ἀφροδίτην,
Ἡφαίστωι γενετῆρι φέρων χάριν. ἀλλὰ καὶ αὐτὴ
Ζῆνα μέγαν παρέπεισε πόθων ἀδίδακτος Ἀθήνη,
παρθενικὴ δολόμητις, ὅπως Ἥφαιστον ἀλύξηι,
μνησαμένη νόθα λέκτρα πεδοτρεφέων Ὑμεναίων,
μὴ προτέρου μετὰ πότμον Ἐρεχθέος ἄρσενι μαζῶι
ἄλλον ἀεξήσειε νεώτερον υἱὸν ἀρούρης. 5
ἔγρεο, καὶ Θρήισσαν ἰὼν ἐπὶ πέζαν ἐρίπνης
δέρκεο σὴν Κυθέρειαν ἐθήμονος ἔνδοθι Λήμνου,
δέρκεο, πῶς προπύλαια Πάφου καὶ ἐδέθλια Κύπρου
ἄνθεσιν ἐστεφάνωσεν ὁμόστολος ἑσμὸς Ἐρώτων,
@ Βυβλιάδων δ᾽ ἐπάκουε μελιζομένων Ἀφροδίτην
καὶ νεαρὴν φιλότητα παλιννόστων ὑμεναίων.
Ἆρες, ἐνοσφίσθης σέο Κύπριδος· ἀνδροφόνον γὰρ
ὁ βραδὺς ὠκὺν Ἄρηα παρέδραμε. μέλπε καὶ αὐτὸς
Ἡφαίστωι πυρόεντι συναπτομένην Ἀφροδίτην.
Σικελίης δ᾽ ἐπίβηθι, παρισταμένους δὲ καμίνωι
λίσσεό μοι Κύκλωπας· ἀριστοπόνου δὲ καὶ αὐτοὶ

εἶπε καὶ ἐπτοίητο παρακλιδὸν ὄμματι λοξῶι
ὠτειλὴν χαρίεντος ὀπιπεύων Ὑμεναίου. Nonnus
μηρῶι δ᾽ ἔνθα καὶ ἔνθα φιλεύιον ἄνθος ἑλίξας,
λευκὸν ἐρευθομένωι διδυμόχροον ἕλκος ἀφάσσων,
κοῦρον ἀνεζώγρησεν ἑῶι παιήονι κισσῶι,
οἶνον ἀλεξητῆρα περιρραίνων Ὑμεναίωι.
ὡς δ᾽ ὅτ᾽ ὀπὸς ταχυεργός, ἐπειγόμενος γάλα πῆξαι,
ὄφρά μιν ἐντύνειε πεπηγμένον αἰπόλος ἀνὴρ
κυκλώσας ταλάροιο τύπωι, τροχοειδέι ταρσῶι·
χιονέης κυκόων ἀπαμείρεται ὑγρὸν ἐέρσης, up 2
ὣς ὅ γε φοίνιον ἕλκος ἀκέσσατο Φοιβάδι τέχνηι·
καὶ νέος ἀρτεμέων παλινάγρετον εἶχεν Ἐνυώ,
χειρὸς ἀκεσσιπόνοιο Διωνύσοιο τυχήσας.
καὶ βέλος ἠερόφοιτον ἑκηβόλον εἰς σκοπὸν ἕλκων
τόξα πάλιν κύκλωσε, τιτυσκόμενος δὲ βελέμνωι
ἀντίδοτον πόρεν ἕλκος ὀιστοβόλωι Μελανῆι.
καὶ θρασὺς ἔσσυτο κοῦρος· ἐφεσπόμενος δὲ Λυαίωι
αἰεὶ φῶτας ἔβαλλε καὶ οὐκέτι λείπετο Βάκχου.
ὡς δ᾽ ὅτε τις σκιόεις τύπος ἀνέρος, ἄπνοος ἕρπων,
ἀγχιφανὴς ἀχάρακτος ὁμόδρομος ἀνδρὸς ὁδεύει,
καί οἱ ἀεὶ σπεύδοντι συνέσπεται, ἱσταμένου δὲ
ἵσταται, ἑζομένου δὲ παρέζεται, ἐν δὲ τραπέζηι
μιμηλαῖς παλάμηισι συνέμπορος εἰλαπινάζει·
ὣς ὅ γε κοῦρος ἔμιμνεν ὁμόδρομος οἴνοπι Βάκχωι.
οὐδὲ μάχης Διόνυσος ἐλώφεεν· ἀλλὰ τορήσας
μεσσοπαγῆ κούφιζε πεπαρμένον ἀνέρα θύρσωι L3[O]
ὄρθιον ὑψιπότητον, ἐν ἠερίηι δὲ κελεύθωι
Ἰνδὸν ἐλαφρίζων ζηλήμονι δείκνυεν Ἥρηι.
καὶ τελέων τρισσῆισιν ἐπωνυμίηισιν Ἐνυὼ
θεῖος Ἀρισταῖος, δεδαημένος Ἄρεος Ἀγρεύς,
ὡς Νόμιος πολέμιζε καλαύροπα χερσὶ τινάσσων,
νυμφίος Αὐτονόης ἑκατηβόλος· ἐν δὲ κυδοιμοῖς
τόξον ἔχων κλυτότοξον ἑὸν μιμεῖτο τοκῆα,
θάρσος ἔχων ὑπέροπλον ὀιστοβόλοιο τεκούσης,
Κυρήνης προτέρης Ὑψηίδος· αἰνομανῆ δὲ.
δέσμιον ἐζώγρησεν ἀνάρσιον ἄτρομος Ἀγρεύς,
ἀγρεύσας ἅτε θῆρα· καὶ ἀντιβίων ὀλετῆρα
ἠθάδι χειρὶ τίταινε βαρὺν λίθον, οἷον ἐρείσας
πιαλέης ἔθλιψε χυτὰς ὠδῖνας ἐλαίης·
δυσμενέας δ᾽ ἐφόβησεν ἀγήνορας ἠθάδι ῥόμβωι,
σείων χαλκὸν ἐκεῖνον, ὃν ἐν παλάμηισι τινάσσων
φοιταλέης ἐφόβησε μεμηνότα κέντρα μελίσσης.
Θρηικίης δὲ Σάμοιο πυρισθενέες πολιῆται
Λημνιάδος δύο παῖδες ἐβακχεύοντο Καβειροῦς·
Ἡφαίστου δὲ τοκῆος ἐρευθομένου πυρὸς ἀτμῶι
συγγενέας σπινθῆρας ἀνηκόντιζον ὀπωπαί.
τοῖσι μὲν ἐξ ἀδάμαντος ἔην ὄχος· ἀμφὶ δὲ πῶλοι
χαλκείηι κροτέοντες ἀρασσομένην κόνιν ὁπλῆι
καρχαλέον χρεμετισμὸν ἀνήρυγον ἀνθερεῶνος,
οὓς γενέτης Ἥφαιστος ἀμιμήτωι κάμε τέχνηι

πυρσὸν ἀπειλητῆρα διαπνείοντας ὀδόντων, 154 (88c)
οἷα καὶ Αἰήτηι, βριαρῶι σημάντορι Κόλχων,
χαλκοπόδων μόρφωσε συνωρίδα δίζυγα ταύρων,
τεύχων θερμὰ λέπαδνα καὶ ἔμπυρον ἱστοβοῆα.
χειρὶ δὲ Λήμνιον ἔγχος, ὅ περ κάμε πάτριος ἄκμων,
δεξιτερῆι κούφιζεν, ἐπ' εὐφυέεσσι δὲ μηροῖς
φάσγανον ἠιώρησε σελασφόρον· εἰ δέ τις ἀνήρ,
ἀκροτάτοις ὀνύχεσσι λίθον τινὰ βαιὸν ἀείρας
θηγαλέης ἤρασσε πυρίδρομα νῶτα μαχαίρης,
αὐτόματοι σπινθῆρες ὀιστεύοντο σιδήρου.
up 6 Εὐρυμέδων μὲν ἔλαυνε, πυριβλήτωι δὲ χαλινῶι
up 6 ἔμπυρον ἡνιόχευε σιδηροπόδων γένυν ἵππων·
Ἄλκων δ' αἰθαλόεντι συνήρμοσε χεῖρα βελέμνωι,
πατρώιης Ἑκάτης θιασώδεα πυρσὸν ἑλίσσων.
καὶ φάλαρον σείοντες ἀερσιλόφον τρυφαλείης
Δικταῖοι Κορύβαντες ἐπεστρατόωντο κυδοιμῶι,
εἰς μόθον οἰστρηθέντες· ἀμιλλητῆρι δὲ χαλκῶι
φάσγανα τυπτομένηισιν ἐπέκτυπε γυμνὰ βοείαις
σκαρθμοῖς ἀντιτύποισι· φερεσσακέος δὲ χορείης
ῥυθμὸν ἐμιμήσαντο ποδῶν ἑλικώδεϊ παλμῶι,
Ἄρεϊ βακχευθέντες. ὀρεσσαύλων δὲ νομήων
Ἰνδώιη δεδάικτο. γονὴ Κουρῆτι σιδήρωι·
καί τις ἀνὴρ προκάρηνος ἐπωλίσθησε κονίηι,
εἰσαΐων μύκημα βαρυγδούποιο βοείης.
καί τις ἀερτόζουσα φιλάνθεμον ἔγχος Ἐννοῦς
L3[I] Βασσαρὶς ἠκόντιζεν· ἀβακχεύτου δὲ γενέθλης
ἄρσενα πολλὰ κάρηνα δαΐζετο θήλεϊ θύρσωι.
καὶ λασίηι παλάμηι σκοπιὴν λοφόεσσαν ἀείρων
οὔρεος ἄκρα κάρηνα ταμὼν ἐκορύσσετο Ληνεύς,
πέμπων ὀκριόεσσαν ἐπ' ἀντιβίοισιν ἀκωκήν.
✦ Βάκχη δ' ἀμφαλάλαζε· καὶ ἀμπελόεντες ὀιστοὶ
κισσοφόρων παλάμηισιν ἐδινεύοντο γυναικῶν. 5 (2c)
ἔνθα μέλος πλέξασα καὶ Ἄρεϊ καὶ Διονύσωι
Εὐπετάλη κεκόρυστο, φιλοσταφύλωι δὲ πετήλωι
κέντορα κισσὸν ἔπεμπεν ἀλοιητῆρα σιδήρου,
Ἰνδώιην δρυόεντι γονὴν ὀλέκουσα κορύμβωι.
καὶ δηίων κλονέουσα νέφος ῥηξήνορι θύρσωι
Τερψιχόρη φιλόβοτρυς ἐπεσκίρτησε κυδοιμῶι,
κύμβαλα δινεύουσα βαρύβρομα δίζυγι χαλκῶι· 6
οὐ τόσον Ἡρακλέης Στυμφηλίδας ἤλασε βόμβωι
χαλκὸν ἔχων βαρύδουπον, ὅσον στρατὸν ἤλασεν Ἰνδῶν
Τερψιχόρη κτυπέουσα χοροῦ πολεμήιον Ἠχώ.
καὶ Τρυγίη βαρύγουνος ἐλείπετο νόσφιν ὁμίλου
ὑστατίη καὶ ἔπηξε φόβωι πόδας· οὐδέ τις αὐτῆι
Σειληνῶν παρέμιμνε· λίπον δέ μιν αὐτόθι μούνην
ταρβαλέην, χατέουσαν ἀρηγόνος· ἀκροπότηι δὲ
χεῖρας ὄρεξε Μάρωνι, Μάρων δ' ἀπέειπε γεραιήν,
Nonnus ὅττι χοροὺς ἀνέκοπτε φιλακρήτων Κορυβάντων
καὶ Σατύρων· αἰεὶ δὲ θεοῖς ἠρᾶτο δαμῆναι
29.250 γηραλέην ἀνόνητον ὑπ' ἐγχεῖ Δηριαδῆος.

καὶ Καλύκη πολέμιζε παρισταμένη Διονύσωι
οἰστρομανής. τρομερῆς δὲ μέθης ἐλελίζετο παλμῶι
Οἰνώνη προθέουσα· βαρυνομένη δὲ κυδοιμῶι
γούνατα μὲν μογέεσκε, φιλακρήτοιο δὲ νύμφης
οἰδαλέοι σμήριγγες ἐδινεύοντο καρήνου.
καὶ στόνος ἦν βαρύδουπος· ὁμοζήλωι δὲ κυδοιμῶι
Ἀστράεις Σταφύλην, Καλύκην δ' ἐδίωκε Κελαινεύς.
Σειληνῶν δὲ φάλαγγα δορυσσόος ἤλασε Μορρεὺς
θεινομένην βουπλῆγι· μιῆι δ' ἐλατῆρος ὁμοκλῆι
Ἀστραῖος δεδόνητο, Μάρων φύγεν, ὤκλασε Ληνεύς,
Σειληνοῦ τρία τέκνα δασύτριχος, ὃς δίχα λέκτρων
ἄσπορος αὐτολόχευτος ἀνέδραμε μητρὸς ἀρούρης.
ἱμερτὴν δὲ Δόρυκλος ἀνεπτοίησε Λυκάστην {…}
τῆισι θεὸς χραίσμησε, νεουτήτων δὲ γυναικῶν
ἕλκεσι φάρμακα πάσσεν· Ἐνυαλίωι δὲ σιδήρωι
τειρομένην ποδὸς ἄκρον ἀνάμπυκα ῥύσατο Γόργην,
κλήματος ἀμπελόεντι περισφίγξας πόδα δεσμῶι·
Εὐπετάλης δ' ἰχῶρα νεόσσυτον ἔσβεσεν οἴνωι,
καὶ Σταφύλης χυτὸν αἷμα κατεπρήυνεν ἀοιδῆι·
Μυρτοῦς δ' οὐταμένην παλάμην ἰήσατο μύρτωι,
καὶ Καλύβην ἐσάωσεν ἀνειρύσσας βέλος ὤμου,
Νύσης δ' ἄλγος ἔπαυσε νεουτήτοιο προσώπου,
ἑλκεϊ φοινήεντι περιρραίνων πόμα ληνοῦ· up 1
χρίσας ἔνθα καὶ ἔνθα παρηίδα λευκάδι γύψωι·
ὄμμασι δ' ἀκλαύτοισιν ἐπεστενάχιζε Λυκάστηι.
ἀλλ' ὅτε Βασσαρίδων ὀδύνας πρηΰνατο τέχνηι L3[I]
θυρσομανὴς Διόνυσος, ἐμάρνατο μείζονι χάρμηι.
καί τις ἀμερσινόοιο κατάσχετος ἅλματι λύσσης
Βασσαρὶς Ἰνδὸν Ἄρηα μετέστιχε θυιὰς Ἐννώ,
ἀμφὶ σέ, Λύδιε δαῖμον· ἀπὸ πλοκάμοιο δὲ Βάκχης
ἀφλεγέος σελάγιζε κατ' αὐχένος αὐτόματον πῦρ.
καὶ βριαρῶν προμάχων ἑτερόζυγον ἑσμὸν ἐγείρων
αὐλὸς ἐπεσμαράγησεν ἀγέστρατον Ἄρεος Ἠχώ,
καὶ διδύμαις παλάμηισι φιλοσμαράγων Κορυβάντων
ἄντυγες ἀμφιπλῆγος ἀνεκρούοντο βοείης,
κύμβαλα δ' ἐκροτάλιζε, μεταλλάξασα δὲ μολπὴν
Πανιὰς ἡδυμέλεια μόθους ἐμελίζετο σύριγξ·
ἀντιβίων δὲ φάλαγγες ἐπέβρεμον· ἀμφιλαφεῖς δὲ
ἠερόθεν πτερόεντες ἀνερροίζησαν ὀιστοί·
λίγξε βιός, βόμβησε λίθος, μυκήσατο σάλπιγξ.
ἀλλ' ὅτε δὴ πόρον ἷξον, ὅπηι πεφορημένος ὁλκῶι
λευκὸν ὕδωρ μεθύοντι ῥόωι φοίνιξεν Ὑδάσπης,
δὴ τότε Βάκχος ἄυσε βαρυσμαράγων ἀπὸ λαιμῶν,
ὁππόσον ἐννεάχιλος ἐπέβρεμεν ἑσμὸς Ἐννοῦς
φρικτὸν ὁμογλώσσων στομάτων θρόον· ἀσταθέες δὲ
ξανθὸν ἀλυσκάζοντες ἐπὶ ῥόον ὤκλασαν Ἰνδοί,
ἄλλοι δ' ἐν πεδίω· στρατιὴ δ' ἐμερίζετο Βάκχου,
δυσμενέας κτείνουσα καὶ ἐν δαπέδωι καὶ Ὑδάσπηι, Nonnus
δίψηι καρχαλέηι κεκαφηότας, ὁππότε γαίης
ἠὼς μέσσον ἀνέσχε, καὶ ἔτρεμε θερμὸς ὁδίτης 29.300

ἢ λίθον αἰχμάζων κραναὸν βέλος· οἱ δὲ τυπέντες
δαιμονίηι καναχηδὸν ἐβακχεύθησαν ἱμάσθληι.
Φρίγγου δ' οὔτασεν ὦμον ἀριστερὸν ὀξέι θύρσωι·
ὃς δὲ θορὼν ἀκίχητος ἐχάζετο· τὸν δὲ φυγόντα
θηγαλέωι βουπλῆγι κατεπρήνιξε Μελισσεύς.
Ἐγρετίωι δ' ἐπόρουσε φιλεύιον ἔγχος ἑλίσσων
θυρσομανὴς Διόνυσος ἑκηβόλος· ἱπταμένη δὲ
Βακχιὰς ἐρροίζησε δι' ἠέρος ἔγχεος αἰχμὴ
ἄνδρα βαλεῖν ἐθέλουσα, καὶ Ἐγρετίοιο φυγόντος
ἔχραε Βωλίγγεσσι, καὶ ἐγρεμόθους Ἀραχώτας
εἰς φόβον ἐπτοίησε· φιλακρήτωι δὲ πετήλωι
φρικτὰ δοριθρασέων ἐδαΐζετο φῦλα Σαλαγγῶν·
καὶ στρατὸς ἐπτοίητο φερεσσακέων Ἀρινῶν·
καὶ προμάχους Φρίγγοιο καὶ Ἐγρετίοιο διώκων
Εὔιος ἐπτοίησεν ὅλον στρατὸν Οὐατοκοίτην·
καὶ Λύγον αἱματόεντος ἀπεστυφέλιξε κυδοιμοῦ
ἀλκήεις Ἰόβακχος· ἐφεδρήσσοντα δὲ δένδρωι
οὔτασε Μειλανίωνα δολοπλόκον οἴνοπι θύρσωι,
Βασσαρίδας κρυφίοισιν ὀιστεύοντα βελέμνοις·
ἀλλά μιν ἐζώγρησεν ἀπήμονα δύσμαχος Ἥρη,
ὅττι δόλωι κεκόρυστο καὶ ἔχραε πολλάκι Βάκχαις
κρυπταδίοις πολέμοισιν· ἀεὶ δέ μιν ἔκρυφε πέτρη
ἢ φυτὸν ὑψικάρηνον ὑποκλεφθέντα πετήλοις,
ἀνέρας ἀφράστοισιν ὀιστεύοντα βελέμνοις.
Ἰνδοὶ δ' ἀνδροφόνοιο μετεσσεύοντο κυδοιμοῦ
L1[O] ✦ ἠνορέην τρομέοντες ἀνικήτου Διονύσου.

Ὣς φαμένη παρέπεισε· δολοφράδμων δ' Ἀφροδίτη
πείθετο κερδοσύνηισιν, ἀνειρύσσασα δὲ κόλπου
Ἥρηι δῶρον ἔδωκε θελήμονι κεστὸν Ἐρώτων.
καί τινα μῦθον ἔλεξε χάριν θελκτῆρος ἱμάντος·
"δέχνυσο τοῦτον ἱμάντα, τεῆς ἐπίκουρον ἀνίης·
θέλξεις δ' εἰν ἑνὶ πάντα πόθων ἰθύντορι κεστῶι,
Ἠέλιον καὶ Ζῆνα καὶ αἰθέρα καὶ χορὸν ἄστρων
καὶ ῥόον ἀστήρικτον ἀτέρμονος Ὠκεανοῖο."
εἶπε, καὶ Ἀσσυρίην Λιβανηίδα δύσατο πέτρην.
Ἥρη δ' ἀστερόφοιτον ἐδύσατο κύκλον Ὀλύμπου,
καὶ ταχινὴ πάνλευκον ἑὴν ἐπεκόσμεε μορφήν·
πολλάκι δ' ἰσάζουσα καθειμένον ἄχρι μετώπου
πλαζομένης ἔστησε μετήλυδα βότρυν ἐθείρης·
νιψαμένη δὲ μέτωπα καλύψατο νώροπι πέπλωι,
καὶ περόνην συνέεργεν, ἑοῦ κληῖδα χιτῶνος·
καὶ πλεκτὴν θυόεντι κόμην ἐδίηνεν ἐλαίωι,
τοῦ καὶ κινυμένοιο μετ' αἰθέρα καὶ μετὰ πόντον
γαῖαν ὅλην ἐμέθυσσε μύρου δολιχόσκιος ὀδμή.
καὶ κεφαλῆι στέφος εἶχε παναίολον, ὧι ἔνι πολλαὶ
λυχνίδες ἦσαν, Ἔρωτος ὁμόστολοι, ὧν ἄπο πέμπει
φαιδρὰ τινασσομένων ἀμαρύγματα Κυπριδίη φλόξ·
εἶχε δὲ πέτρον ἐκεῖνον, ὃς ἀνέρας εἰς πόθον ἕλκει,
οὔνομα φαιδρὸν ἔχοντα ποθοβλήτοιο Σελήνης,
καὶ λίθον ἱμείρουσαν ἐρωτοτόκοιο σιδήρου,
καὶ λίθον Ἰνδώιην φιλοτήσιον, ὅττι καὶ αὐτὴ

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirtieth, Eurymedon sends Tectaphos slain to Hades, into the lowest house of contraint.

NONNUS
DIONYSIACA
BOOK 30

PREVIEW BOOK 32

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 326 lines 3.0
2L 1 - 326

PRINT 2-SIDED:
173 to 176

Ὣς ὁ μὲν ἑπτάζωνον ἐς οὐρανὸν ἔδραμεν Ἄρης
ζηλήμων, βαρύμηνις. ἐς ὑσμίνην δὲ χορεύων
θαρσήεις Διόνυσος ἐπέχραεν αἴθοπι λαῶι,
πῆι μὲν ἐνὶ πρώτοισι θορὼν ἐνοσίχθονι παλμῶι,
πῆι δὲ μέσος προμάχοισιν· ἀκοντιστῆρι δὲ θύρσωι
κυανέης ἤμησε θαλύσια δηιοτῆτος,
καὶ Σατύρους θάρσυνεν ἐς Ἄρεα Δηριαδῆος,
up 1 δυσμενέος δὲ φάλαγγος ἐμαίνετο φῦλα δαΐζων·
ὡς ἴδε Βάκχος Ἄρηα λελοιπότα φύλοπιν Ἰνδῶν·
ἄλλωι δ' ἄλλος ἔριζε. κορυμβοφόρου δὲ κυδοιμοῦ
δεξιτερὸν στόμα λάβρον ἐπιτρέψας Διονύσωι
λαιὸν Ἀρισταῖος κέρας ἔτρεχε δηιοτῆτος.
καὶ Βρομίου θεράποντας ὀπιπεύων ἔτι Μορρεὺς
μαρναμένους πετάλοισι καὶ ἀνθεμόεντι βελέμνωι
ἄφρονι Δηριάδηι πολυθαμβέα ῥήξατο φωνήν·
“Δηριάδη, τί τὸ θάμβος; ἐμοὶ πίπτουσι μαχηταί,
βαλλόμενοι θύρσοισι καὶ οὐτιδανοῖσι πετήλοις,
ὁπλοφόρους δ' ὀλέκουσιν ἀνάσπιδες· ἀκλινέες δὲ
Βασσαρίδες, πελέκεσσι καὶ ἀμφιπλῆγι μαχαίρηι
τυπτόμεναι, μίμνουσιν ἀνούτατοι. εἰ θέμις εἰπεῖν,
καὶ σύ, λιπών, σκηπτοῦχε, τεὴν χαλκήλατον αἰχμὴν
οἴνοπα θύρσον ἄειρε μιαιφόνον, ὅττι σιδήρου
δυσμενέες πολὺ μᾶλλον ἀριστεύουσι κορύμβοις.
οὔ ποτε τοῖον ὄπωπα μόθου τύπον· οὐτιδανοὶ δὲ
θύρσοι ἀκοντιστῆρες ἀρείονές εἰσιν ἀκόντων.
L1[I] ✦ δὸς καὶ ἐμοὶ κλονέειν χλοερὸν βέλος· ἡμέτεροι γὰρ
ἀπτολέμου νάρθηκος ἐνικήθησαν ὀιστοί·
δός μοι ξανθὰ πέδιλα φορήμεναι, ὅττι καὶ αὐταὶ
ἀρραγέες κνημῖδες ὑπεκλίνοντο κοθόρνοις.
τί πλέον, εἰ χάλκειον ἔχω σάκος, εὖτε γυναῖκες
μᾶλλον ἀριστεύουσιν ἀτευχέες, ἐν δὲ κυδοιμοῖς
κύμβαλα δινεύουσι, καὶ ὀκλάζουσι μαχηταί,
καὶ στεφάνοις τρυφάλεια καὶ εἴκαθε νεβρίδι θώρηξ;
πολλάκι δ' ἀντικέλευθος ἀνουτήτου Διονύσου
ὠισάμην ἄρρηκτον ἀνασχίσσαι κενεῶνα,
πέμπων εὔσκοπα δοῦρα, καὶ ὡς ἔψαυε Λυαίου,
ὀξυβελὴς ἄγναμπτος ἐκάμπτετο χαλκὸς ἀκόντων.”
ὣς φαμένου μείδησεν ἄναξ θρασύς, ἀμφὶ δὲ γαμβρῶι
ὄμματα λοξὰ τίταινε χόλου κήρυκι σιωπῆι·
καί οἱ ἀπειλήτειραν ἀπερροίβδησεν ἰωήν·
“τρομέεις Διόνυσον ἀτευχέα, νήπιε Μορρεῦ;
ἡδὺς ὁ δειμαίνων Σατύρων παίζουσαν Ἐνυώ.”
ὣς φάμενος θάρσυνεν ἀταρβέι γαμβρὸν ἀπειλῆι.
καὶ Βρομίου προμάχοισι πέλωρ ἐκορύσσετο Μορρεὺς·
οὔτασε δ' Εὐρυμέδοντα, μέσον βουβῶνα χαράξας
ἔγχεϊ φοινήεντι· διαΐσσουσα δὲ μηροῦ
πιαλέην τάμε σάρκα λιπόχροα θυιὰς ἀκωκή·
γούνατι δ' ὀκλάζοντι χαμαὶ πέσε. χαλκοχίτων δὲ
Ἄλκων οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
ἀλλὰ βιαζομένωι πρόμος ἤλυθεν ἔγχος ἀείρων
156 (89C) γνωτὸν ὅπως φεύγοντα, φόβωι πεφοβημένον Ἥρης,
εἰς ἐνοπὴν ἐρύσειε μεταστρέψαντα μενοινήν·
στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἐδράξατο Βάκχου,
μούνωι φαινομένη βλοσυρὴ θεός· ἐκ δὲ προσώπου
μαρμαρυγὴν πυρόεσσαν ἀνηκόντιζον ὀπωπαί·
καὶ νοεροὺς σπινθῆρας ἐπιπνείουσα Λυαίωι
μεμφομένηι κοτέουσα φιλοπτολέμωι φάτο φωνῆι·
“πῆι φεύγεις, Διόνυσε; τί σοι φόβος ἀντὶ κυδοιμοῦ;
πῆι σέθεν ἄλκιμα θύρσα καὶ ἀμπελόεντες ὀιστοί;
ἀμφὶ σέθεν τίνα μῦθον ἐμῶι Κρονίωνι βοήσω;
ποῖον ἴδον κατὰ δῆριν ὀλωλότα κοίρανον Ἰνδῶν;
ζώει Δηριάδης καὶ μάρναται εἰσέτι Μορρεύς.
ποίην δ' οὐρανίην ἐκεδείκνυες ἔμφυτον ἀλκήν;
ἢ Λιβύης ἐπέβης; ἢ Περσέος εἶχες ἀγῶνα;
ἢ Σθεννοῦς ἴδες ὄμμα λιθώπιδος ἠὲ καὶ αὐτῆς
δύσμαχον Εὐρυάλης μυκώμενον ἀνθερεῶνα;
ἢ πλοκάμους ἐνόησας ἐχιδνοκόμοιο Μεδούσης,
καί σε πολυσπερέων περιδέδρομε χάσμα δρακόντων;
οὐ Σεμέλη τέκε παῖδα μαχήμονα· Γοργοφόνον δὲ
ἄξιον υἷα λόχευσεν ἐμοῦ Διὸς Ἀκρισιώνη·
οὐ γὰρ ἐμὴν δρεπάνην πτερόεις ἀπεσείσατο Περσεύς,
Ἑρμείαν δὲ γέραιρεν ἑῶν δωτῆρα πεδίλων.
γείτονα μάρτυν ἔχω πετρώδεα θῆρα θαλάσσης·
εἰρεό μοι Κηφῆα, τά περ κάμε Περσέος ἅρπη·
ἀντολίην δ' ἐρέεινε καὶ ἕσπερον· ἀμφότερον γάρ,
Νηρεΐδες τρομέουσι τὸν Ἀνδρομέδης παρακοίτην, L1[I]
Ἑσπερίδες μέλπουσι τὸν ἀμητῆρα Μεδούσης.
Αἰακὸς ἀπτοίητος ὁμοίιος οὐ πέλε Βάκχωι,
οὐ φύγε Δηριάδην, οὐκ ἔτρεμε φύλοπιν Ἰνδῶν.
χθιζὰ πάλιν δε φόβησεν Ἄραψ πρόμος; ἐξέτι κείνου
ἄζομαι Ἄρεα θοῦρον ἰδὼν γενετῆρα Λυκούργου,
2 (1C) ἀδρανίην βοόωντα φυγοπτολέμου Διονύσου.
σὸς καὶ ἐμὸς γενέτης οὐκ ἔτρεμε δηιοτῆτα,
εὖτε θεοὶ Τιτῆνες ἐθωρήχθησαν Ὀλύμπωι.
ποίην Ὀρσιβόην λήισσαο δεσπότιν Ἰνδῶν;
Χειροβίην οὐκ εἶδε δορικτήτην σέο Ῥείη.
ἱλήκοι Διὸς εὖχος, ἀδελφεὸν οὔ σε καλέσσω
Δηριάδην φεύγοντα καὶ ἀπτολέμων γένος Ἰνδῶν.
2 ἀλλὰ λαβὼν σέο θύρσα πάλιν μιμνήσκεο χάρμης,
καὶ στρατιῆς προμάχιζε, κορυσσομένηισι δὲ Βάκχαις
ὄψεαι εὐθώρηκα συναιχμάζουσαν Ἀθήνην,
αἰγίδα κουφίζουσαν ἀνούτατον ὅπλον Ὀλύμπου.”
ὣς φαμένη Βρομίωι μένος ἔμπνεεν· αὐτὰρ ὁ θυμῶι
θαρσήεις πολέμιζε τὸ δεύτερον, ἐσσομένης δὲ
νίκης ἐλπίδα πᾶσαν ἐπέτρεπε Τριτογενείηι.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἔκτανε Βάκχος,
ὁππότε μιν θάρσυνε μόθων ἀκόρητος Ἀθήνη;
κτεῖνε μὲν ἀντιβίων ἑκατοντάδα νηλέι θύρσωι,
πολλοῖς δ' ἕλκος ὄπασσε πολύτροπον ἔγχεϊ τύπτων
ἠὲ φυτῶν ἑλίκεσσιν ἢ εὐόρπηκι κορύμβωι,

οὐδὲ χόλον δασπλῆτα καθαψαμένης φύγεν Ἥρης 157 (90C)
Nonnus Λημνιὰς Ἀλκιμάχεια θεημάχος· ἀλλ’ ἐνὶ γαίηι
ὀθνείηι κτερέιστο, μετὰ πτολέμους δὲ τοκῆα
οὐκ ἴδεν Ἀρπαλίωνα τὸ δεύτερον, οὐκ ἴδε πάτρην,
Λῆμνον Ἰησονίης νυμφήιον Ὑψιπυλείης·
ἀλλὰ παρὰ ξείνοισι χυτῆι κεκάλυπτο κονίηι,
πότμον ἀμειβομένη τιμήορον. ἆ μέγα δειλή,
ἤμβροτεν Ἀρπαλίωνος, ἐνοσφίσθη δὲ Λυαίου.
οὐδὲ δαϊζομένης ζαμενὴς ἐκορέσσατο Μορρεὺς
Μαινάδος Ἀλκιμάχης θεοπαίγμονος· ἀλλὰ καὶ αὐτὴν
Ἤλιδα ναιετάουσαν Ὀλύμπιον οὖδας ἀρούρης
Ἀλφειοῦ παρὰ χεῦμα φιλοστεφάνου ποταμοῖο
ἔκτανε Κωδώνην ἔτι παρθένον. ἵλατε, Μοῖραι,
οὐ πλοκάμους ἐλέαιρε μαραινομένοιο καρήνου,
οὐ ῥοδέην ἀκτῖνα κονιομένοιο προσώπου·
οὐδὲ περὶ στέρνοισιν ἴσον τροχοειδέι μήλωι
μαζὸν ἰδὼν ἐλέαιρεν, ἀκαμπέα κέντορα μίτρης,
οὐδὲ βαθυνομένοιο τομὴν ἠιδέσσατο μηροῦ,
ἀλλὰ τόσον κτάνε κάλλος ἀώριον· οὐταμένη δὲ
ἡ μὲν ἐπὶ χθονὶ πῖπτεν· ἀπειρεσίας δὲ διώκων
Μαινάδας εὐπέπλους κορυθαιόλος ἔκτανε Μορρεύς,
Εὐρυπύλην Στερόπην τε Σόην τ’ ἤμησε μαχαίρηι,
καὶ Σταφύλην ἐδάιξεν, ἐρευθαλέην τε Γιγαρτὼ
οὔτασε, καὶ ῥοδόεντος ὑπὲρ μαζοῖο τορήσας
στέρνα Μελικταίνης φονίωι πόρφυρε σιδήρωι.
L2[O] ◆ καὶ φθονεροὶ Τελχῖνες ἐπεστρατόωντο κυδοιμῶι,
ὃς μὲν ἔχων ἐλάτην περιμήκετον, ὃς δὲ κρανείου
θάμνον ὅλον πρόρριζον, ὁ δὲ πρηῶνος ἀράξας
ἄκρον ἀπηλοίησε, καὶ εἰς μόθον ἤιεν Ἰνδῶν
λᾶαν ἀκοντιστῆρα μεμηνότι πήχεϊ σείων.
Ἥρη δ’ ἀλλοπρόσαλλος ἐπιβρίθουσα Λυαίωι
δῶκε μένος καὶ θάρσος ἀγήνορι Δηριαδῆι, 3 (2C)
καί οἵ ἀριστεύοντι σελασφόρον ὤπασεν αἴγλην
εἰς φόβον ἀντιβίοισι· κορυσσομένου δὲ φορῆος
ἀσπίδος Ἰνδώιης ἀμαρύσσετο φοίνιος αἴγλη,
καὶ κυνέης σελάγιζεν ὑπὲρ λόφον ἀλλομένη φλόξ.
καὶ θρασὺς ἔτρεμε Βάκχος, ὅπως ἴδε Δηριαδῆος
ὀμφαλὸν ἀστράπτοντα πυριβλήτοιο βοείης
καὶ σέλας ἠερόφοιτον ἀναπτομένης τρυφαλείης· 3
τὸν μὲν ἰδὼν Διόνυσος ἐθάμβεεν, οὐδέ οἱ ἔτλη
ἀντιάσαι, νοέων δὲ κορυσσομένης δόλον Ἥρης
ποσσὶν ἀναινομένοισιν ἐχάζετο δηιοτῆτος.
καὶ τότε θαρσήεντες ἐπὶ κλόνον ἤιον Ἰνδοί,
ὑσμίνην Βρομίοιο λελοιπότος· εἰσορόων δὲ
Δηριάδης ἐδάϊζεν ἐπασσυτέρων στίχα Βάκχων
ἐγχείην ἑκάτερθε παλινδίνητον ἑλίσσων.
ἀσχαλόων δ’ Ἰόβακχος ἀνήιεν εἰς ῥάχιν ὕλης,
καὶ κλονέειν ἀνέμοισιν ἐπέτρεπεν ἐλπίδα χάρμης,
μητρυιῆς τρομέων χόλον ἄγριον. ἦλθε δ’ Ἀθήνη
οὐρανόθεν· πρὸ γὰρ ἧκε διάκτορον ὑψιμέδων Ζεύς,

καὶ σάκος εὐδίνητον· ὅλον δ’ ἐκάλυπτε μαχητήν,
ἀσπίδι πυργώσας δέμας ἀνέρος, ἀντιβίοις δὲ Nonnus
σείων ἔνθα καὶ ἔνθα παλινδίνητον ἀκωκὴν
γνωτῶι γνωτὸς ἄμυνε· καὶ οὐταμένωι περιβαίνων,
οἷα περὶ σκύμνοισι λέων, βρυχήσατο λαιμῶι,
χείλεϊ λυσσήεντι χέων Κορυβαντίδα φωνήν.
καί μιν ὀπιπεύων κυκλούμενον ἴδμονι ταρσῶι
ἰσοφυὴς Τυφῶνι πέλωρ βακχεύετο Μορρεύς,
γνωτοῖς διχθαδίοις κεκορυθμένος, ὄφρά κε μήτηρ
γνωτοῦ κεκλιμένοιο προασπιστῆρα Καβείρου up 2
δίζυγα δακρύσειεν ὀλωλότα τέκνα Καβειρώ,
εἰς μίαν ἠριγένειαν ἐνὶ τμηθέντα σιδήρωι.
καί νύ κεν ἀμφοτέρους ἰσοελκέι δῶκεν ὀλέθρωι,
ἀλλὰ διὰ στομάτων βεβιημένον ἄσθμα τιταίνων
Λήμνιον Εὐρυμέδων γενέτην ἐκαλέσσατο φωνῆι·
“ὦ πάτερ, ἐργοπόνοιο πυρίπνοε κοίρανε τέχνης,
δός μοι ὀφειλομένην προτέρην χάριν, ὁππότε μούνη
Σικελίην τρικάρηνον ἀλωιὰς ἥρπασε. Δηώ,
δῶρα καλυπτομένης ὀπτήρια Περσεφονείης,
Ἑσπερίους δ’ ἀνέκοψε τεοὺς φυσήτορας ἀσκοὺς
καὶ πλατὺν ἐσχαρεῶνα καὶ ἅρπαγα σεῖο πυράγρην·
ἀλλά μιν ἐπτοίησα προασπίζων γενετῆρος,
ἄκμονος ὑμετέροιο βοηθόος· ἐξ ἐμέθεν δὲ
σῶι Σικελῶι σπινθῆρι μέλας θερμαίνεται ἀήρ.
ῥύεό μοι σέο παῖδα, τὸν ἄγριος οὔτασε Μορρεύς.”
εἶπε, καὶ οὐρανόθεν πυρόεις Ἥφαιστος ὀρούσας L2[O]
σύγγονον ἀμφελέλιζε πολυσχιδὲς ἀλλόμενον πῦρ,
δινεύων παλάμηι πυρόεν βέλος· ἀμφὶ δὲ δειρὴν
Μορρέος αὐτοέλικτος ἑλίσσετο πυρσὸς ἐχέφρων,
αὐχένι μιτρώσας πυριθαλπέος ὁρμὸν ἀνάγκης
εἰλυφόων· πυρόεν δὲ μετὰ στέφος ἀνθερεῶνος
ταρσὸν ἐς ἐσχατόωντα θορὼν ἐπιβήτορι παλμῶι
ἀμφὶ πόδα προμάχοιο πυρίπλοκον ἔπλεκε σειρήν,
σείων ἐν δαπέδωι σταθερὸν σέλας ἅλματι πεζῶι·
θερμάνθη δὲ κάρηνον ἀναπτομένης τρυφαλείης.
καί νύ κεν ἐπρήνικτο τυπεὶς φλογόεντι βελέμνωι,
εἰ μὴ Δηριάδαο πατὴρ ἤμυνεν Ὑδάσπης·
ἧστο γὰρ ὑσμίνην δεδοκημένος ὑψόθι πέτρης,
ταυροφυὴς νόθον εἶδος ἔχων βροτοειδέι μορφῆι·
ὅς μιν ἀνεζώγρησε χέων ἀντίπνοον ὕδωρ,
ψύχων θερμὸν ἄημα πυριβλήτοιο προσώπου,
λύματα τεφρήεντα διασμήχων τρυφαλείης·
Μορφέα δ’ ἁρπάξας ζοφερῆι χλαίνωσεν ὀμίχληι,
πορφυρέηι νεφέληι κεκαλυμμένα γυῖα καλύψας,
μή μιν ἀποκτείνειε σελασφόρος ἀμφιγυήεις,
Λήμνιον αἰθύσσων θανατηφόρον ἁπτόμενον πῦρ,
μὴ προτέρου φθιμένοιο γέρων φιλότεκνος Ὑδάσπης
γαμβρὸν ἴδηι πάλιν ἄλλον ὀλωλότα Δηριαδῆος,
μηδὲ μόρον Μορρῆος ἅμα κλαύσειεν Ὀρόντηι.
πυρσοφόρος δ’ Ἥφαιστος ὅλους ἐδίωκε μαχητὰς

158 (91C)

ἱσταμένους περὶ παῖδα νεούτατον, ὑψόθι δ' ὤμου
υἱὸν ἐλαφρίζων ἐπερείσατο γείτονι φηγῶι,
νόσφιν ἀπὸ φλοίσβοιο, καὶ ἐξώγρησε παθόντα,
οὐταμένωι βουβῶνι φερέσβια φάρμακα πάσσων.
οὐδὲ μόθου προτέροιο λελασμένος ἔπλετο Μορρεύς·
ἀλλὰ πάλιν κεκόρυστο φυγὼν πυρόεσσαν Ἐνυὼ
καὶ πρόμον ἀστράπτοντα καὶ αἰθαλόεσσαν ἀκωκήν·
καὶ Φλόγιον Στροφίοιο πολύστροφον υἷα κιχήσας
ἔκτανεν, ὀρχηστῆρα φιλοσκάρθμου Διονύσου,
ὅς τις ἀδακρύτοιο παρ' εἰλαπίνησι Λυαίου
ἀντιτύπων ἑλέλιζε πολύτροπα δάκτυλα χειρῶν,
καὶ θάνατον Φαέθοντος ἐχέφρονι χειρὶ τινάσσων
δαιτυμόνας ποίησεν ἀήθεα δάκρυα λείβειν,
ψευδαλέου Φαέθοντος ἐπικλαίοντας ὀλέθρωι·
καὶ νέον αἰθαλόεντα καὶ αὐτοκύλιστον ὑφαίνων
λευγαλόον πόρε πένθος ἀπενθήτωι Διονύσωι.
τοῦτον ἰδὼν σκαίροντα δορυσσόος ἔννεπε Μορρεύς·
"ἀλλοῖος χορὸς οὗτος, ὃν ἔπλεκες ἄγχι τραπέζης·
ὀρχηθμὸν γελόωντα παρὰ κρητῆρι τιταίνων
ὀρχηθμὸν στονόεντα πόθεν μετὰ δῆριν ὑφαίνεις;
εἰ δὲ καὶ οἶστρος ἔχει σε χοροστασίης Διονύσου,
Ἄιδι μυστιπόλευε, καὶ οὐ γύψοιο χατίζεις
αὐτοβαφῆ μεθέπων κεκονιμένα κύκλα προσώπου·
ἢν ἐθέληις δέ, χόρευε φιλοθρήνωι παρὰ Λήθηι,
Περσεφόνη δ' ἀγέλαστος ἀγαλλέσθω σέο μολπῆι."

L2[I] ◆

ἔννεπε κυδιόων, καὶ ἐπέδραμεν ἶσος ἀέλληι,
Σειληνοὺς δ' ἐφόβησεν. ἀμαιμακέτωι δὲ μαχαίρηι
Τέκταφος ὡμάρτησε σακέσπαλος, ὅν ποτε δήσας
Δηριάδης ἔκρυψεν ἔσω γλαφυροῖο βερέθρου.
οὐδὲ φυγεῖν μόρον εὗρε τὸ δεύτερον· ἐν γὰρ ἀνάγκηι
τίς δύναταί ποτε πότμον ἀπ' ἀνέρος ἐχθρὸν ἐρύκειν.
νηλὴς πανδαμάτειρα θανεῖν ὅτε Μοῖρα κελεύει;
οὐ γὰρ Τέκταφον εὗρε δόλος θνήσκοντα σαῶσαι,
ὃς τότε λυσσώων στρατιὴν ἐδίωξε Λυαίου,
εὐκεράων Σατύρων φιλοπαίγμονα γυῖα δαΐζων·
ἐγρεμόθου δ' ἤμησε Πυλαιέος ἀνθερεῶνα,
Ὀνθυρίου δὲ μέτωπον ἀφειδέι τύψε μαχαίρηι,
καὶ Πίθον εὐρύστερνον ἀπηλοίησε σιδήρωι.
καί νύ κεν ἄλλον ὅμιλον ἐπασσυτέρων κτάνε Βάκχων,
ἀλλά μιν Εὐρυμέδων ταχὺς ἔδρακε, καί οἱ ὑπέστη
δίστομον ἀντιβίην Κορυβαντίδα χειρὶ τινάσσων·
ἔθλασε δ' ἄκρα μέτωπα· διχαζομένου δὲ καρήνου
ὄρθιος αἱμαλέης ἀνεκήκιεν αὐλὸς ἐέρσης·
καὶ πρόμος εἰς χθόνα πῖπτε, περιρραίνων δὲ κονίην
ἡμιθανὴς κεκύλιστο, πεδοσκαφέος δὲ μελάθρου
ἀρχαίην κακότητα καὶ ὁπλοτέρης λίνα Μοίρης
ἔστενε, καὶ δολίου μεμνημένος εἰσέτι φίλτρου
παιδὸς ἀλεξικάκου κινυρῆι βρυχήσατο φωνῆι,
τοῦ δὲ κινυρομένοιο κατέρρεε δάκρυα λύθρωι·
"μῆτερ ἐμὴ καὶ μαῖα, δολοπλόκε δύσγαμε κούρη,
τίπτέ μοι οὐ σχεδὸν ἦλθες, ὅτ' ἐγγύθεν ἦλθον ὀλέθρου;
νῦν πόθεν οὐ χραίσμησας ἐμοὶ πάλιν, ἄτρομε κούρη;
πῆι σέο φίλτρον ἔβη φυσίζοον; ἦ ῥα φυλάσσεις
πιστὰ τεῶι ζώοντι καὶ οὐ θνήσκοντι τοκῆι;
εἰ δόλος ἐξ Ἀΐδαο δυνήσεται ἄνδρα κομίζειν,
δίζεό μοι δόλον ἄλλον ἀρείονα, δίζεο βουλὴν
κερδαλέην θανάτοιο, μετὰ χθονίους κενεῶνας
ὄφρα πύλας Ἀίδαο καὶ ἐν πολέμοισιν ἀλύξω,
εἰ πέλε νόστιμος οἶμος ἀνοστήτοιο βερέθρου."
τοῖον ἔπος μόγις εἶπε, καὶ οὐκέτι πείθετο φωνή.
καὶ γενέτην ὁρόωσα νεούτατον ὑψόθι πύργου
οἰκτρὴ ποικιλόδακρυς ἀνέβλυε πενθάδα φωνὴν
Ἠερίη· σκολιὴν δὲ κόμην ἤισχυνε κονίηι,
στήθεα γυμνώσασα δαϊζομένοιο χιτῶνος,
καὶ κεφαλὴν ἤρασσεν· ἀνηκέστωι δὲ τοκῆι,
οἷά περ εἰσαΐοντι, τόσην ἐφθέγξατο φωνήν·
"υἱὲ πάτερ βαρύποτμε γαλακτοφόρου σέο κούρης,
σήμερον ἀπνεύστοις ἐπὶ χείλεσι σεῖο θανόντος
ποῖον ἔχω γλάγος ἄλλο φερέσβιον, ὧι ἔπι δειλὴ
ψυχὴν ὑμετέρην παλινάγρετον εἰς σὲ κομίσσω;
ποῖον ἐγὼ πάλιν ἄλλον ἀρηγόνα μαζὸν ὀρέξω;
αἴθε καὶ Ἀιδονῆα δυνήσομαι ἠπεροπεύειν.
σοί, πάτερ, ἕν γέρας ἄλλο φυλάσσεται· οὐ γὰρ ἐάσω
μοῦνον ἐνὶ φθιμένοις σε· σὺ δὲ κταμένης σέο κούρης
δέξο καὶ αὐχένος αἷμα μετὰ προτέρου γάλα μαζοῦ.

L2[I]

ἔλθετε, Δηριάδαο φυλάκτορες, ἀντὶ δὲ κείνου
δείξατέ μοι μυχὸν ἄλλον ἔσω χθονός, ἧχι μολοῦσα
νεκρὸν ἐμὸν γενετῆρα πάλιν ζώοντα τελέσσω·
οὐκ Ἀΐδης φυλάκεσσιν ὁμοίιος, ὄφρα τελέσσω
λυσίπονον δόλον ἄλλον ἀοσσητῆρα τοκῆος.
ἤθελον ἆορ ἐκεῖνο μιαιφόνον, ὄφρα δαμείην
πατροφόνωι βαρύθυμος ὀλισθήσασα σιδήρωι.

4 (3C)

οὗτος, ὃς ἡμετέρου κεφαλὴν ἔτμηξε τοκῆος,
κτεῖνε καὶ Ἠερίην μετὰ Τέκταφον, ὄφρά τις εἴπηι·
'καὶ γενέτην καὶ παῖδα μιῆι πρήνιξε μαχαίρηι.'"
ἔννεπε δακρυχέουσα· πόνος δ' ἠέξετο μείζων.
καὶ διδύμαις στρατιῆισιν ἐπερρίπιζεν Ἐνυώ
Ταιναρίδην δ' ἔκτεινε Δασύλλιον ἄορι Μορρεύς,

4

μή ποτε δυσμενέεσσιν ἀπορρίψαντα βοείην,
ἀντιβίοις ἀτίνακτον Ἀμυκλαῖον πολιήτην,
γναθμοῦ δεξιτεροῖο παρ' ὀστέον ἔγχος ἐρείσας.
ἔκτανε δ' Ἀλκιμάχειαν ὀρίδρομον, εἰν ἑνὶ θεσμῶι
ἠνορέην καὶ κάλλος ὑπέρτερον ἥλικος ἥβης,
κούρην Ἁρπαλίωνος ἐρισταφύλοιο τοκῆος,
ἣ πέλε τολμήεσσα καὶ εἰς δόμον ἤλυθεν Ἥρης.
κισσὸν ἀερτάζουσα, τὸν Ἀργολὶς ἔστυγε δαίμων,
ὅσσον ἐρευθιόωσαν ἐθήμονα φίλατο ῥοιήν·
καὶ βρέτας εὐποίητον ἐμάστιεν οἴνοπι θύρσωι,
χάλκεον ἀμπελόεντι δέμας πλήσσουσα κορύμβωι,
μητρυιὴν βαρύμηνιν ἀτιμάζουσα Λυαίου.

καὶ φθονερὴ δεδόνητο ῥοδώπιδος εἵνεκα κούρης,
Nonnus μή ποτε νικήσειεν ἐς ἀγλαΐην Ἀφροδίτην.
 ἀχνυμένη δ' ἐς Ὄλυμπον ἀνήιε, πενθάδι σιγῇ
ἄλγος ἑοῦ γενετῆρος ὑποκλέπτουσα Λυαίου·
καὶ χλόος εὐκύκλοιο παρηίδος ἄνθος ἀμείψας
μαρμαρυγὴν στίλβουσαν ἀπημάλδυνε προσώπου.
 τὴν δὲ κατηφιόωσαν Ἀδωνιὰς ἔννεπε Κύπρις,
τοῖον ἔπος βοόωσα παρήγορον, ἐκ δὲ προσώπου
Πασιθέης ἐνόησεν ἄχος κήρυκι σιωπῇ·
 "νύμφα φίλη, τί παθοῦσα τεὴν ἠλλάξαο μορφήν;
παρθένε, πῶς μετάμειψας ἐρευθαλέην σέο μορφήν;
εἰαρινὴν δ' ἀκτῖνα τίς ἔσβεσε σεῖο προσώπου;
οὐκέτι σῶν μελέων ἀμαρύσσεται ἄργυφος αἴγλη·
οὐκέτι δ', ὡς τὸ πρόσθε, τεαὶ γελόωσιν ὀπωπαί.
ἀλλὰ τεὰς ἀγόρευε μεληδόνας· ἦ ῥά σε τείρει
υἱὸς ἐμός, φιλέεις δὲ ποθοβλήτωι παρὰ πέτρηι
οἷα Σεληναίη τινὰ βουκόλον; ἦ ῥά που αὐτὴν
καὶ σὲ μετ' ἠριγένειαν Ἔρως ἐπεμάστιε κεστῶι;
◆ οἶδα, πόθεν χλοάουσι παρηίδες· ὅττί σε κούρην
νυμφίος ἀχλυόεις νυμφεύεται Ὕπνος ἀλήτης·
οὐ μὲν ἀναινομένην σε βιήσομαι, οὐδὲ συνάψω
λευκάδι Πασιθέηι μελανόχροον Ὕπνον ἀκοίτην."
 ὣς φαμένης δάκρυσε Χάρις καὶ ἀμείβετο μύθωι·
 "ἀενάου κόσμοιο φυτοσπόρε, μῆτερ Ἐρώτων,
βουκόλος οὐ κλονέει με, καὶ οὐ θρασὺς ἵμερος Ὕπνου·
L1[O] οὐ πέλον ἠριγένεια δυσίμερος ἠὲ Σελήνη,
ἀλλὰ πόνος περίφοιτος ἀνιάζει με Λυαίου,
πατρὸς ἐμοῦ φρίσσοντος Ἐρινύας· ὑμετέρου δέ,
εἰ δύνασαι, προμάχιζε κασιγνήτου Διονύσου."
 ἔννεπε, καὶ γενετῆρος ὅλον πόνον εἶπεν ἀνάσσηι
Βασσαρίδων τε φάλαγγας ἀπείρονας, ἃς κτάνε Μορρεύς,
33.50 καὶ Σατύρων φύξηλιν ὅλον στρατόν, εἶπε καὶ αὐτὴν
δαιμονίην μάστιγα τινασσομένου Διονύσου
καὶ κινυρὴν σπαίρουσαν ὑπὲρ δαπέδοιο Γιγαρτώ,
Κωδώνην τ' ἀγόρευε προώριον· αἰδομένη δὲ
πένθος ὁμοῦ καὶ κάλλος ἐπέφραδε Χαλκομεδείης.
 καὶ ῥοδέου σπινθῆρα μεταλλάξασα προσώπου
ἠθάδα ῥῖψε γέλωτα φιλομμειδὴς Ἀφροδίτη.
Ἀγλαΐην δ' ἐκέλευσε διάκτορον, ὄφρα καλέσσηι
υἱέα θοῦρον Ἔρωτα μετάρσιον ἠεροφοίτην,
ἀνδρομέης γονόεντα κυβερνητῆρα γενέθλης.
 καὶ Χάρις ἴχνος ἔκαμψε, πολυστρέπτωι δὲ προσώπωι
σὺν χθονὶ πόντον ὄπωπε καὶ οὐρανόν, εἴ που ἐφεύροι
ἄστατον ἴχνος Ἔρωτος, ἐπεὶ πτερὰ πάντοθι πάλλει,
τέτραχα τεμνομένην κυκλούμενος ἄντυγα κόσμου.
 εὗρε δέ μιν χρυσέοιο περὶ ῥίον ἄκρον Ὀλύμπου
νεκταρέας ῥαθάμιγγας ἀκοντίζοντα κυπέλλοις·
πὰρ δέ οἱ ἵστατο κοῦρος ὁμέψιος ἁβρὸν ἀθύρων,
εὐχαίτης Ὑμέναιος· ἀερσινόου δὲ τεκούσης
33.68 Οὐρανίης σοφὸν ἔργον ἐπισταμένης δρόμον ἄστρων
σφαῖραν ἄγων τροχόεσσαν ἀέθλια θήκατο νίκης,

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirty-first, Hea propitiates Sleep for Cronides, and Persephone for Bacchos.

NONNUS

DIONYSIACA

BOOK 31

PREVIEW BOOK 33

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 🇺🇸 282 lines 3.0
2L 1 - 282

PRINT 2-SIDED: 177 to 180

Ὣς ὁ μὲν Ἰνδῴοιο τυπεὶς ἴυγγι κυδοιμοῦ
Βάκχος Ἐρυθραίης περιδέδρομε κόλπον ἀρούρης,
χρύσεα χιονέῃσι παρῃῖσι βόστρυχα σείων.
Ἥρη δὲ φθονεροῖσιν ἀνοιδαίνουσα μερίμναις
ἄκρον ἀπειλητῆρι κατέγραφεν ἠέρα ταρσῶι,
αὐτόθι παπταίνουσα πολυσπερέων στρατὸν Ἰνδῶν
θύρσοις ἀνδροφόνοισιν ἀλοιηθέντα Λυαίου.
καὶ χόλον ἄλλον ἔγειρεν Ἐρυθραίωι παρὰ πόντωι
Ἀνδρομέδης ὁρόωσα πολύπλοκα λείψανα δεσμῶν
καὶ λίθον ἐν ψαμάθωι, βλοσυρὸν τέρας ἐννοσιγαίου.
ἀχνυμένη δ' ἑὸν ὄμμα παρέτραπε, μὴ παρὰ πόντωι
Γοργοφόνου Περσῆος ἴδηι χαλκήλατον ἅρπην.
ἤδη γὰρ ταχύγουνον ἐν ἠέρι ταρσὸν ἑλίσσων
δίψιον ἀμφὶ τένοντα Λίβυν πορθμεύετο Περσεύς,
νηχόμενος πτερύγεσσι· μονογλήνου δὲ γεραιῆς
Φορκίδος ἀγρύπνοιο λαβὼν ὀφθαλμὸν ἀλήτην
δύσβατον ἄντρον ἔδυνε, καὶ ἀμώων παρὰ πέτρηι
λήια συρίζοντα, θαλύσια λοξὰ κομάων,
Γοργόνος ὠδίνοντα διέθρισεν ἀνθερεῶνα,
καὶ δρεπάνην φοίνιξε· δαϊζομένης δὲ Μεδούσης
αἱμοβαφῆ παλάμην ὀφιώδεϊ λοῦσεν ἐέρσηι,
κρᾶτα ταμών· χρυσέωι δὲ σὺν ἄορι παῖδα λοχεύων
ἱππείην ἐλόχευσε γονὴν διδυμητόκος αὐχήν.
καὶ φθονερὸς πραπίδεσσι χόλος διεπάφλασεν Ἥρης
ζῆλον ἐρευγομένης ἐπὶ Περσέι καὶ Διονύσωι.
L1[I] ἤθελε δὲ Κρονίδαο καὶ ὄμματα καὶ φρένα θέλγειν
εἰς γάμον ἠπεροπῆα καὶ εἰς πτερὸν ἡδέος Ὕπνου
ἑλκομένου μετὰ λέκτρον, ὅπως δολίηι τινὶ τέχνηι
Ζηνὸς ἔτι κνώσσοντος ἐπιβρίσειε Λυαίωι.
ὀρφναίην δ' Ἀίδαο μετήλυθε πανδόκον αὐλήν·
Περσεφόνην δ' ἐκίχησε, δολόφρονι δ' ἴαχε μύθωι·
◆ "ὀλβίστην ἐνέπω σε, θεῶν ὅτι τηλόθι ναίεις· 1
οὐ Σεμέλην ἐνόησας ἔσω ναίουσαν Ὀλύμπου.
δείδια, μὴ Διόνυσόν, ὃν ἀνδρομέη τέκε γαστήρ,
ἀστεροπὴν κρατέοντα μετὰ Ζαγρῆα νοήσω
ἢ χθονίαις παλάμῃσιν ἐλαφρίζοντα κεραυνούς·
συλήθης, φερέκαρπε· παρὰ σταχυώδεϊ Νείλωι
ἀντὶ τεῆς Δήμητρος ἀμαλλοτόκοιο τεκούσης
ἄλληι κῶμον ἄγουσι, νόθη δέ τις ὄμπνια Δηὼ 2
ταυροφυὴς κερόεσσα φατίζεται Ἰναχὶς Ἰώ.
Ἄρεα δ', ὃν περ ἔτικτον, ὃν οὐρανέη τέκε γαστήρ,
υἱὸν ἐμὸν χθονίωι πεπεδημένον ἀκλέι δεσμῶι
κρύψεν ἔσω κεράμοιο περισφίγξας Ἐφιάλτης·
οὐδέ οἱ ἐχραίσμησεν ἐμὸς πόσις οὐράνιος Ζεύς,
ἀλλὰ τόκον Σεμέλης φλογερῶν ἐρρύσατο πυρσῶν,
καὶ βρέφος εἰσέτι Βάκχον ἀνεζώγρησε κεραυνοῦ,
ἡμιτελῆ νόθον υἷα· δαϊζομένου δὲ μαχαίραις
Nonnus Ζαγρέος οὐ προμάχιζεν ἐπουρανίου Διονύσου.
τοῦτό με μᾶλλον ὄρινεν, ὅτι Κρονίδης πόλον ἄστρων
31.50 ἔδνα πόρεν Σεμέληι καὶ Τάρταρα Περσεφονείηι·
Τρώιον ἡβητῆρα, Διὸς δρηστῆρα κυπέλλων,
οὐχ ἅλις αἶσχος ἐκεῖνο θεοστυγές, ὅττι δοκεύω up 1
οὐρανὸν αἰσχύνοντα καὶ οἰνοχόον Διὸς Ἥβην,
χερσὶν ἐπιχθονίῃσιν ὅτε γλυκὺ νέκταρ ἀφύσσει;
αἰδομένη δ' ἐπὶ γαῖαν ἐλεύσομαι· ἀμφοτέροις δὲ
αἰθέρα καλλείψω, Γανυμήδεϊ καὶ Διονύσωι·
αἰθέρα καλλείψω, Σεμέλης δόμον. εἷς δόμος ἔστω
οὐρανὸς ἀμφοτέροις, καὶ Περσέι καὶ Διονύσωι.
ἵξομαι εἰς ἐμὸν Ἄργος, ἐς ἀγλαὸν ἄστυ Μυκήνης,
ἐν χθονὶ ναιετάουσα· σὺν ἀχνυμένηι δὲ τεκούσηι
ἕσπεται αὐτὸς Ἄρης, σέο νυμφίος· ἀλλὰ καὶ αὐτὴ
Σπάρτης σῆς ἐπίβηθι, καὶ εὐθώρηκα δεχέσθω
χαλκείωι σὺν Ἄρηι χολωομένην Ἀφροδίτην.
οἶδα, πόθεν μεθέπω τάδε πήματα· πατρὸς Ἐρινὺς
ὕβριν ἀπαιτίζει με βιαζομένοιο τοκῆος,
ὅττι Κρόνου γενετῆρος ἐπιβρίθουσα κυδοιμῶι
σὺν Διὶ μαρναμένωι Τιτηνιὰς ἔχραεν Ἥρη·
καλὸν ἐμοί, Διόνυσον ἰδεῖν κατὰ μέσσον Ὀλύμπου
ἥμενον ἐγγὺς Ἔρωτος, ὁμέστιον ἀφρογενείηι,
αἰγίδα κουφίζοντα μετὰ Κρονίδην καὶ Ἀθήνην.
ἀλλά, θεά, χραίσμησον, ἐμῆς δ' ἐπίκουρον ἀνίης
εἰς μίαν ἠριγένειαν, ὅπως Διὸς ὄμματα θέλξω,
δός μοι κεστὸν ἱμάντα, τεὴν πανθελγέα μίτρην, up 1
καὶ Διὸς ὑπνώοντος ἐμοῖς Ἰνδοῖσιν ἀρήξω.
δὸς χάριν ὀψιτέλεστον, ἐπεὶ κυανόχροες Ἰνδοὶ
ξεινοδόκοι γεγάασιν Ἐρυθραίης Ἀφροδίτης, L1[I]
οἷς κοτέων Διόνυσος ἐπέχραεν, οἷσι καὶ αὐτὸς
θηλυμανὴς ἄστοργος ἐχώσατο παιδοτόκος Ζεύς,
καὶ στεροπὴν ἐλέλιξε συναιχμάζων Διονύσωι·
δός μοι κεστὸν ἱμάντα βοηθόον, ὧι ἔνι μούνωι
θέλγεις εἰν ἑνὶ πάντα· καὶ ἄξιός εἰμι φορῆσαι,
ὡς ζυγίη γεγαυῖα καὶ ὡς συνάεθλος Ἐρώτων." 31.282
33.1 Αὐτὰρ ὁ φοιταλέωι πεφορημένος ἅλματι ταρσῶν
εὐκεράωι ταχύγουνος ὁμοίιος ἔσσυτο ταύρωι,
λοίγιον ἆσθμα χέων ἑτερόφρονος οἴδματι λύσσης.
καὶ Χάρις ὠκυπέδιλος Ἐρυθραίωι παρὰ κήπωι
φυταλιὴν εὔοδμον ἀμεργομένη δονακήων,
ὄφρα πυριπνεύστων Παφίων ἔντοσθε λεβήτων
Ἀσσυρίου μίξασα χυτὰς ὠδῖνας ἐλαίου
ἄνθεσιν Ἰνδῴοισι μύρον τεύξειεν ἀνάσσηι,
ὁππότε παντοίην δροσερὴν ἐδρέψατο ποίην,
χῶρον ὅλον θηεῖτο· καὶ ἀγχιπόρωι παρὰ λόχμηι.
λύσσαν ἑοῦ γενετῆρος ὀπιπεύουσα Λυαίου
ἀχνυμένη δάκρυσε, φιλοστόργωι δὲ μενοινῆι
πενθαλέοις ὀνύχεσσιν ἑὰς ἐχάραξε παρειάς·
καὶ Σατύρους σκοπίαζεν ὑποπτήσσοντας Ἐνυώ,
Κωδώνην δ' ἐνόησε μινυνθαδίην τε Γιγαρτὼ
κεκλιμένας ἐφύπερθεν ἀτυμβεύτοιο κονίης· Nonnus
Χαλκομέδην δ' ἐλέαιρε θυελλήεντι πεδίλωι
μαινομένου Μορρῆος ἀλυσκάζουσαν ἀκωκήν, 33.18

160 (92C) κεστὸν ἀερτάζουσα, πόθου θελξίφρονα μίτρην.
Nonnus καὶ Παφίην μάστευεν· ὑπὲρ Λιβάνοιο δὲ μούνην
Ἀσσυρίην ἐκίχησεν ἐρημαίην Ἀφροδίτην
ἑζομένην· Χάριτες γὰρ ἐς ἄνθεα ποικίλα κήπων
εἰαριναὶ στέλλοντο, χορίτιδες Ὀρχομενοῖο,
ἡ μὲν ἀμεργομένη Κίλικα κρόκον, ἡ δὲ κομίζειν
βάλσαμον ἱμείρουσα καὶ Ἰνδῴου δονακῆος
φυταλίην, ἑτέρη δὲ ῥόδων εὐώδεα ποίην.
θαμβαλέη δ' ἀδόκητος ἑῶν ἀνεπήλατο δίφρων,
ὡς Διὸς εἶδε δάμαρτα, Διὸς θυγάτηρ Ἀφροδίτη·
ἀχνυμένην δ' ὁρόωσα πολύτροπον ἴαχε φωνήν·
"Ἥρη, Ζηνὸς ἄκοιτι, τί σοι χλοάουσι παρειαί;
τίπτε τεαί, βασίλεια, κατηφέες εἰσὶν ὀπωπαί;
ἦ ῥα πάλιν πέλεν ὄμβρος ἐπίκλοπος ὑέτιος Ζεύς;
μὴ πάλιν ἔπλετο ταῦρος ἐν ὕδασιν ὑγρὸς ὁδίτης;
τίς πάλιν Εὐρώπη σε βιάζεται; ἠὲ τίς ἄλλη
Ἀντιόπη Νυκτῆος ἀναινομένου γενετῆρος
ψευδαλέου Σατύρου λασίηι νυμφεύεται εὐνῆι;
μὴ νέος εἰς γάμον ἄλλον ἐπείγεται ἵππος ἐχέφρων,
μιμηλοῖς στομάτεσσι νόθον χρεμετισμὸν ἰάλλων;
μὴ Σεμέλην ἑτέρην λοχίωι μνηστεύσατο πυρσῶι
καὶ στεροπὴν ἐλέλιζε κυβερνήτειραν Ἐρώτων,
μὴ δαμάλης ἐπὶ λέκτρον ἐυκραίροιο χορεύει
μυκηθμὸν προχέων φιλοτήσιον; ἣν ἐθελήσηις,
Ζηνὸς ὀπιπευτῆρα βοοσκόπον ἄλλον ἐγείροις,
L2[O] βουκόλον ἀγρύπνοις κεχαραγμένον Ἄργον ὀπωπαῖς.
εἰπέ μοι εἰρομένηι, καὶ ὅσον σθένος ἐστίν, ἀρήξω."
ὣς φαμένην δολόεντι θεὰ προσπτύξατο μύθωι·
"Κύπρι θεά, θνητοῖσιν ἐάσομεν οὖδας Ὀλύμπου·
Ζεὺς Σεμέλην ἐς Ὄλυμπον ἀνήγαγε, μητέρα Βάκχου,
ἄξει καὶ Διόνυσον ἐς αἰθέρα. τίς δόμος Ἥρην
◆ 2 (1C) δέξεται; ἢ τίνα χῶρον ἐλεύσομαι; αἰδέομαι δέ,
μὴ Σεμέλην ἐσίδοιμι νόθην βασίλειαν Ὀλύμπου.
δείδια, μὴ ζοφόεντος ἴδω δόμον Ἰαπετοῖο,
μή με λαβὼν ἐλάσειε μετὰ Κρόνον ἐκτὸς Ὀλύμπου.
δισσὴ ἐγὼ γενόμην ἑκυρὴ σέθεν· ἡμετέρου γὰρ
υἱέος Ἡφαίστοιο καὶ Ἄρεος ἔπλεο νύμφη.
δείδια, μὴ μετὰ γαῖαν ἐν αἰθέρι νέκταρ ἐλέγχων
3 ἄμπελον, ἣν καλέουσι, καὶ ἐν μακάρεσσι φυτεύσηι.
μή ποτε τοῦτο γένοιτο, Δίκη καὶ Γαῖα καὶ Ὕδωρ.
κλήματα μὴ κομίσειεν ἐς αἰθέρα, μὴ χάριν οἴνης
οὐρανὸν ἀμπελόεντα μετ' ἀστερόεντα καλέσσω,
μηδὲ πίω ποτὸν ἄλλο μετὰ γλυκὺ νέκταρ Ὀλύμπου.
δείδια, μὴ μενέχαρμον ἴδω μεθύουσαν Ἀθήνην,
μὴ δόρυ κουφίσσειεν ἐπ' Ἄρεϊ καὶ Κυθερείηι,
μὴ σφαλερῆι ῥαθάμιγγι νοοσφαλέος Διονύσου
αἰθέρι τολμήεσσαν ἀναστήσωσιν Ἐνυὼ
ἀστέρες οἰνοπλῆγες ἐπ' ἀλλήλοισι μανέντες,
μή ποτε βακχευθέντες ὅλοι ναετῆρες Ὀλύμπου
ὄργια μιμήσαντο φερεσσακέων Κορυβάντων.

οὐρανὸς Ἀπόλλωνι φυλάσσεται, οὐρανὸν Ἑρμῆς
ναιετάει· σὺ δὲ τοῦτον ἔχεις δόμον ἔμπλεον ὄρφνης. Nonnus
τί πλέον, ὅττι δράκοντος ἔχων ψευδήμονα μορφὴν
δεσμὸν ἀσυλήτοιο τεῆς σύλησε κορείης,
εἰ μετὰ λέκτρον ἔμελλε τεὰς ὠδῖνας ὀλέσσαι;
Ζεὺς μὲν ἄναξ κατ' Ὄλυμπον ἔχει δόμον ἔμπλεον ἄστρων,
γνωτῶι δ' ὑγρομέδοντι γέρας πόρεν ἁλμυρὸν ὕδωρ,
καὶ ζόφον ἀχλυόεντα τεῶι πόρεν οἶκον ἀκοίτηι.
ἀλλὰ τεὰς θώρηξον Ἐρινύας οἴνοπι Βάκχωι,
μὴ βροτὸν ἀθρήσαιμι νόθον σκηπτοῦχον Ὀλύμπου,
αἴδεο λισσομένην Διὸς εὐνέτιν, αἴδεο Δηώ,
αἴδεο λισσομένην καθαρὴν Θέμιν, ὄφρα κεν Ἰνδοὶ
βαιὸν ἀναπνεύσωσι τινασσομένου Διονύσου·
ἔσσό μοι ἀχνυμένηι τιμήορος, ὅττι Κρονίων
Βάκχωι νέκταρ ὄπασσε καὶ Ἄρεϊ λύθρον Ἐνυοῦς.
μηδὲ νέον Διόνυσον ἀνυμνήσωσιν Ἀθῆναι,
μηδὲ λάχηι γέρας ἶσον Ἐλευσινίωι Διονύσωι,
μὴ τελετὰς προτέροιο διαλλάξειεν Ἰάκχου,
μὴ τάλαρον Δήμητρος ἀτιμήσειεν ὀπώρηι."
ὣς φαμένη συνέχευεν ὅλην φρένα Περσεφονείης,
δάκρυσι ποιητοῖσι διαινομένοιο προσώπου,
αἱμύλα κωτίλλουσα. θεὰ δ' ἐπένευσε θεαίνηι,
καί οἱ δῶκε Μέγαιραν ὁμόστολον, ὄφρα τελέσσηι
βάσκανον ὄμμα φέρουσα νόον ζηλήμονος Ἥρης.
ἡ δὲ θυελλήεντι διαΐξασα πεδίλωι
τρὶς μὲν ἀνηέρθη, τὸ δὲ τέτρατον ἵκετο Γάγγην· L2[O]
καὶ νέκυν Ἰνδὸν ὅμιλον ἀμειδέι δεῖξε Μεγαίρηι
καὶ στρατιῆς ἱδρῶτα καὶ ἠνορέην Διονύσου·
Ἰνδοφόνους δὲ Μέγαιρα πόνους ὁρόωσα Λυαίου
ζηλήμων ἐμέγηρε καὶ οὐρανίης πλέον Ἥρης.
ἡ δὲ νόωι κεχάρητο· δρακοντοκόμωι δὲ θεαίνηι
σαρδόνιον γελόωσα κατηφέα ῥήξατο φωνήν·
"οὕτω ἀριστεύουσι νέοι βασιλῆες Ὀλύμπου,
οὕτω ἀκοντίζουσι νόθοι Διός· ἐκ Σεμέλης δὲ
Ζεὺς ἕνα παῖδα λόχευσεν, ἵνα ξύμπαντας ὀλέσσηι
Ἰνδοὺς μειλιχίους καὶ ἀμεμφέας· ἀλλὰ δαείη
Ζεὺς ἄδικος καὶ Βάκχος, ὅσον σθένος ἐστὶ Μεγαίρης.
ὢ πόποι, οἷον ἄθεσμον ἔχει νόον ὑψιμέδων Ζεύς·
Τυρσηνοῖς ἀδίκοις οὐ μάρναται, ὅττι μαθόντες
φώρια θεσμὰ βίαια κακοξείνων ἐπὶ νηῶν
ἅρπαγες ἀλλοτρίων Σικελῆι πλώουσι θαλάσσηι·
οὐ κτάνε δυσσεβέων Δρυόπων γένος, οἷς βίος αἰχμαὶ
καὶ φόνος· εὐσεβίηι δὲ μεμηλότας ἔκτανεν Ἰνδούς,
οὓς τάχα πασιμέλουσα Θέμις μαιώσατο μαζῶι.
ὢ πόποι, οἷον ἄθεσμον ἔχει νόον· ἀθάνατον γὰρ
θνητὸς ἀνὴρ ἔφλεξε τόσον καὶ τοῖον Ὑδάσπην,
θνητὸς ἀνὴρ ἔφλεξε, τὸν οὐράνιος τέκετο Ζεύς."
ὣς φαμένη πεπότητο δι' αἰθέρος· ἡ δὲ σιωπῆι
γείτονα Καυκασίης ὑπὸ φωλάδα πέζαν ἐρίπνης
φρικτὸν ἀμειψαμένη μελέων ὀφιώδεα μορφήν,

γλαυκὶ φυὴν ἰκέλη μένεν αὐτόθι, μέχρι νοήσηι 161 (93C)
Ζῆνα μέγαν κνώσσοντα· τὸ γὰρ φάτο κοίρανος Ἥρη.
αὐτὴ δὲ Χρεμέταο μετήιεν Ἕσπερον ὕδωρ
Ἥρη μητιόωσα, γέρων βαρὺς ὁππόθι κάμνει
οὐρανίηι στροφάλιγγι Λίβυς κυρτούμενος Ἄτλας,
καὶ Ζεφύρου δυσέρωτος ἐδίζετο σύγγαμον Ἶριν,
Ζηνὸς ἐπειγομένοιο διάκτορον, ὄφρα τελέσσηι
ἠερόθεν σκιόεντι ποδήνεμον ἄγγελον Ὕπνωι.
τὴν δὲ καλεσσαμένη φιλίωι μειλίξατο μύθωι·
"Ἶρις, ἀεξιφύτου Ζεφύρου χρυσόπτερε νύμφη,
εὔλοχε μῆτερ Ἔρωτος, ἀελλήεντι πεδίλωι
σπεῦδε μολεῖν ζοφόεντος ἐς Ἑσπέριον δόμον Ὕπνου·
δίζεο καὶ περὶ Λῆμνον ἁλίκτυπον· εἰ δέ μιν εὕρηις,
λέξον, ἵνα Κρονίωνος ἀθελγέος ὄμματα θέλξηι
εἰς μίαν ἠριγένειαν, ὅπως Ἰνδοῖσιν ἀρήξω.
ἀλλὰ δέμας μετάμειβε, μελανζώνου δὲ θεαίνης
μορφὴν Νυκτὸς ἔχουσα δυσειδέα μητέρος Ὕπνου
γίνεο κυανέη ψευδώνυμος, ὅττι καὶ αὐτὴ
ἀντιτύποις μελέεσσιν, ὅτε χρέος ἐστὶν ἀνάγκης,
εἰς Θέμιν, εἰς Κυθέρειαν, ἐς Ἄρτεμιν εἶδος ἀμείβω.
Πασιθέης δ' ὑμέναιον ὑπόσχεο, τῆς διὰ κάλλος
ἱμείρων ἀνύσειεν ἐμὸν χρέος· οὔ σε διδάξω,
ὅττι γυναιμανέων τις ἐπ' ἐλπίδι πάντα τελέσσει."
ὣς φαμένης πεπότητο θεὰ χρυσόπτερος Ἶρις
ἠέρα παπταίνουσα, καὶ εἰς Πάφον, εἰς χθόνα Κύπρου
L2[I] ἀπλανὲς ὄμμα τίταινε, τὸ δὲ πλέον ὑψόθι Βύβλου
Ἀσσυρίου σκοπίαζεν Ἀδώνιδος εὔγαμον ὕδωρ,
διζομένη περίφοιτον ἀλήμονος ἴχνιον Ὕπνου.
εὗρε δέ μιν γαμίοιο παρὰ κλέτας Ὀρχομενοῖο·
κεῖθι γὰρ αὖτις ἔμιμνε νοοπλανὲς ἴχνος ἑλίσσων,
Πασιθέης ἐρόεντα παρὰ προπύλαια θαμίζων.
◆ καὶ δέμας ἀλλάξασα μετάτροπον ἄσκοπος Ἶρις 3 (2C)
κυανέης ἄγνωστον ἐδύσατο Νυκτὸς ὀπωπήν·
Ὕπνου δ' ἐγγὺς ἵκανε δολοπλόκος· οἷα δὲ μήτηρ
κλεψινόοις ὀάροις ἀπατήλιον ἴαχε φωνήν·
"τέκνον ἐμόν, τέο μέχρις ἐμὲ Κρονίδης ἀθερίζει;
οὐχ ἅλις, ὡς Φαέθων με βιάζεται, ὅττι καὶ αὐτὸς
Ὄρθρος ἀκοντίζει με καὶ ἠριγένεια διώκει;
Ζεὺς νόθον υἷα φύτευσεν, ὅπως ἐμὸν Ὕπνον ἐλέγξηι. 4
εἷς βροτὸς αἰσχύνει με καὶ υἱέα· παννύχιος γὰρ
μυστιπόλωι σπινθῆρι φεραυγέα δαλὸν ἀνάπτων
Βάκχος ἀμαλδύνει με, καὶ ἐγρήσσων σε χαλέπτει.
Ὕπνε, τί πανδαμάτωρ κικλήσκεαι; οὐκέτι θέλγεις
ἀνέρας ἐγρήσσοντας, ὅτι χθονίοιο Λυαίου
κῶμον ἐμὸν νίκησε νόθον σέλας· ἡμετέρων γὰρ
φαιδροτέραις δαΐδεσσι κατακρύπτει φλόγας ἄστρων.
εἷς βροτὸς αἰσχύνει με φαεσφόρος, ὅττι καλύπτει,
καὶ μεγάλην περ ἐοῦσαν, ἐμῆς ἀκτῖνα Σελήνης.
ἄζομαι ἠριγένειαν ἐπεγγελόωσαν Ὀμίχληι,
ὅττι νόθον μεθέπω νύχιον σέλας· ἀλλοτρίωι γὰρ

ποιητῶι Φαέθοντι φαείνομαι ἠματίη Νύξ.
ἀλλὰ σύ μοι, φίλε κοῦρε, χολώεο δίζυγι θεσμῶι
μυστιπόλοις Σατύροισι καὶ ἀγρύπνωι Διονύσωι·
καὶ Διὸς ὑψιμέδοντος ἀθελγέα θέλξον ὀπωπὴν
δὸς χάριν ἀχνυμένηι σέο μητέρι, δὸς χάριν Ἥρηι, up 1
εἰς μίαν ἠριγένειαν, ὅπως Ἰνδοῖσιν ἀρήξηι,
οὓς Σάτυροι κλονέουσι καὶ εἰσέτι Βάκχος ὀρίνει.
Ὕπνε, τί πανδαμάτωρ κικλήσκεαι; ἢν ἐθελήσηις.
τρέψον ἐμοὶ τεὸν ὄμμα, καὶ ἑπταπύλωι παρὰ Θήβηι
πάννυχον ἐγρήσσοντα πάλιν Κρονίωνα νοήσεις·
λῦσον ἀτασθαλίην ἀδίκου Διός· Ἀμφιτρύων μὲν
νόσφιν ἑοῦ θαλάμοιο σιδηροχίτων μετανάστης
μάρναται· Ἀλκμήνηι δὲ παρέζεται ἐνδόμυχος Ζεύς,
νυμφιδίην ἀκόρητος ἔχων τρισέληνον ὁμίχλην.
μὴ Διὸς ἐγρήσσοντος ἴδω καὶ νύκτα τετάρτην.
ἀλλά, τέκος, Κρονίωνι κορύσσεο, μὴ πάλιν ἄλλην,
μὴ πάλιν ἐννεάκυκλον ἀναπλήσειεν ὁμίχλην.
Μνημοσύνης προτέρης μιμνήσκεο· τῆι παριαύων
ἐννέα νύκτας ἔμιμνεν, ἔχων ἄγρυπνον ὀπωπήν,
οἶστρον ἔχων πολύτεκνον ἀκοιμήτων ὑμεναίων.
πανδαμάτωρ θεὸς ἄλλος ὁμόπτερος, εἴκελος Ὕπνωι,
βαιὸς Ἔρως, Κρονίδην ὀλίγωι νίκησε βελέμνωι.
Γηγενέων δ' ἐλέαιρε γονὴν μελανόχροον Ἰνδῶν·
δὸς χάριν· ὑμετέρης γὰρ ὁμόχροές εἰσι τεκούσης·
ῥύεο κυανέους, κυανόπτερε· μηδὲ χαλέψηις
Γαῖαν ἐμοῦ γενετῆρος ὁμήλικα, τῆς ἄπο μούνης L2[I]
πάντες ἀνεβλάστησαν, ὅσοι ναετῆρες Ὀλύμπου.
μὴ τρομέοις Κρονίδην, ὅτε σύγγαμος ἵλαος Ἥρη·
μὴ τρομέοις Σεμέλην, ἣν ἔφλεγεν αὐτὸς ἀκοίτης.
οὐ στεροπὴ πυρόεσσα δυνήσεται ἰσοφαρίζειν,
οὐ βροντὴ βαρύδουπος ἀρασσομένων νεφελάων·
μοῦνον ἐμοὶ πτερὰ πάλλε, καὶ ἀκλινέων ἐπὶ λέκτρων
μίμνει Ζεὺς ἀτίνακτος, ὅσον χρόνον, Ὕπνε, κελεύεις.
ἔκλυον, ὡς ποθέεις Χαρίτων μίαν· ἀλλ' ἐνὶ θυμῶι
οἶστρον ἔχων θαλάμοιο φυλάσσεο, μηδὲ χαλέψηις
μητέρα Πασιθέης, ζυγίην θαλαμηπόλον Ἥρην.
εἰ δὲ σὺ ναιετάεις παρὰ Τηθύι Λευκάδα πέτρην,
Δηριάδηι χραίσμησον, ὃν ἤροσεν Ἰνδὸς Ὑδάσπης·
γείτονι πιστὰ φύλαξον, ἐπεὶ τεὸς ἠχέτα γείτων
Ὠκεανὸς κελάδων προπάτωρ πέλε Δηριαδῆος."
ὣς φαμένη παρέπεισε. καὶ οἷά τε μητρὸς ἀκούων
Ὕπνος ἀνεπτοίητο, καὶ ὤμοσεν ὄμματα θέλγειν
Ζηνὸς ἀκοιμήτοιο καὶ εἰς τριτάτης δρόμον Ἠοῦς·
ἀλλά μιν ἤιτεεν Ἶρις, ἵνα Κρονίωνα πεδήσηι
ὑπνώειν ἕνα μοῦνον ἐπὶ δρόμον ἠριγενείης.
αὐτόθι δ' Ὕπνος ἔμιμνε, δεδεγμένος εὔγαμον ὥρην.
καὶ ταχινὴ πεπότητο θεὰ παλινόστιμος Ἶρις·
σπερχομένη δ' ἤγγειλεν ἀμεμφέα μῦθον ἀνάσσηι.
ἡ δὲ θυελλήεντι δι' ἠέρος ἵπτατο ταρσῶι,
καὶ δόλον ἔπλεκεν ἄλλον, ὅπως Διὸς ἐγγύθεν ἔλθηι

ἄψοφον ἴχνος ἔχουσα διέστιχεν εἰς ῥάχιν ὕλης·
Nonnus οὐδὲ Θέτις δήθυνεν ἐπ᾽ ἠιόνος, ἀλλὰ καὶ αὐτὴ
πατρώιην βρυόεσσαν ἐδύσατο Νηρέος αὐλήν.
ἤδη δ᾽ ἀννεφέλοιο δι᾽ ἠέρος ὄμμα τιταίνων
ἄντυγας ἀστραίας ὀρόων ἐκορέσσατο Μορρεύς·
καί τινα μῦθον ἔειπε μεληδόσε θυμὸν ἱμάσσων·
◆ "πλάζεται ἀλλοπρόσαλλος ἐμὸς νόος· οὐ μία βουλή,
εἷς νόος οὐ μεθέπει με· πολυσπερέες δὲ μενοιναὶ
ἀμφ᾽ ἐμὲ κυκλώσαντο, καὶ οὐ μίαν οἶδα τελέσσαι·
κτείνω Χαλκομέδειαν ἐπήρατον; ἀλλὰ τί ῥέξω,
μή με πόθωι μετὰ πότμον ἀποκτείνειε καὶ αὐτή;
ἀλλὰ λίπω ζώουσαν ἀνούτατον, ἀμφαδίην δὲ
παρθένον εἰς ὑμέναιον ἐφέλκομαι; ἀλλ᾽ ἐνὶ θυμῶι
Δηριάδην τρομέω καὶ Χειροβίην ἐλεαίρω.
οὐ μὲν ἐγὼ κτείνω ποτὲ παρθένον· ἣν δὲ δαμάσσω,
πῶς δύναμαι ζώειν, ὅτε παρθένον οὐκέτι λεύσσω;
κάμνω, Χαλκομέδης ὅτε λείπομαι εἰς μίαν ὥρην."
τοῖα μάτην ἐνέπων πολυμήχανος ἤιε Μορρεύς,
παφλάζων ὀδύνῃσι ποθοβλήτοιο μερίμνης.
τὸν δὲ παλινδίνητον ἀλώμενον ὑψόθεν ὄχθης
μουνάδος ἀμνήστοιο λελοιπότα δέμνια νύμφης,
ἔδρακεν ἐγρήσσων θρασὺς Ὕσσακος· ὡς δολόεις δὲ
κρυπτὸν ἀτεκμάρτων ἐφράσσατο κέντρον Ἐρώτων,
πιστότατος θεράπων· δολίωι δέ μιν εἴρετο μύθωι,
τοῖον ἔπος προχέων ἀπατήλιον ἀνθερεῶνος·
L1[O] "τίπτε λιπὼν σέο λέκτρα καὶ ὑπναλέην σέο νύμφην
πλάζεαι ἔνθα καὶ ἔνθα κατὰ κνέφας, ἄτρομε Μορρεῦ;
μὴ τάχα Δηριάδης σε διεπτοίησεν ἀπειλῆι;
μή σοι Χειροβίη κοτέει ζηλήμονι θυμῶι,
ἐλπομένη φιλέειν σε δορικτήτην τινὰ Βάκχην;
καὶ γὰρ ὅτ᾽ εἰσορόωσιν ἐρωμανέοντας ἀκοίτας,
κρυπταδίην διὰ Κύπριν ἀεὶ φθονέουσι γυναῖκες.
μὴ τάχα πανδαμάτωρ θρασὺς Ἵμερος εἰς σὲ κορύσσει
νυμφιδίους σπινθῆρας ἀκοιμήτοιο φαρέτρης;
μή τινα Βασσαρίδων ποθέεις μίαν; ὡς μὲν ἀκούω,
τρεῖς Χάριτες γεγάασι, χορίτιδες Ὀρχομενοῖο,
ἀμφίπολοι Φοίβοιο, χοροπλεκέος δὲ Λυαίου
εἰσὶ τριηκοσίων Χαρίτων στίχες, ὧν μία μούνη
πασάων προφέρουσα φαείνεται, οἷα καὶ αὐτὴ 1
φαιδροτέραις ἀκτῖσι κατακρύπτει σέλας ἄστρων
μαρμαρυγὴν εὔκυκλον ἀκοντίζουσα Σελήνη.
καὶ διδύμοις βελέεσσι κορύσσεται εἰν ἑνὶ θεσμῶι,
κάλλεϊ τοξεύουσα καὶ αἰχμάζουσα σιδήρωι·
ἔστι δὲ Πασιθέη κορυθαιόλος, ἥν τινα Βάκχαι
Χαλκομέδην καλέουσιν· ἐγὼ δέ μιν αὐτὸς ἐνίψω
Ἄρτεμιν ἀργυρόπεζαν ἢε χρύσασπιν Ἀθήνην."
ὣς φάμενος σίγησε· καὶ ὀφρύος ἄκρα καθέλκων
αἰδομένοις στομάτεσσι δυσίμερος ἔννεπε Μορρεύς·
34.50 ἀτρεκέως Διόνυσος ἐδύσατο κῦμα θαλάσσης
34.51 δειμαίνων Λυκόοργον, ὑποβρυχίοιο δὲ κόλπου
Νηρεΐδας θώρηξε, καὶ ἐξ ἁλὸς ἦλθε κομίζων

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT
In the thirty-second are battles, and the bed of sleeping Zeus, and teh madness of Bacchos.

NONNUS
DIONYSIACA
BOOK 32

PREVIEW BOOK 34

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 🇺🇸 299 lines 3.0
2L 1 - 299

PRINT 2-SIDED:
181 to **184**

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

Ὣς φαμένη παρέπεισε· δολοφράδμων δ' Ἀφροδίτη
πείθετο κερδοσύνηισιν, ἀνειρύσσασα δὲ κόλπου
Ἥρηι δῶρον ἔδωκε θελήμονι κεστὸν Ἐρώτων.
καί τινα μῦθον ἔλεξε χάριν θελκτῆρος ἱμάντος·
"δέχνυσο τοῦτον ἱμάντα, τεῆς ἐπίκουρον ἀνίης·
θέλξεις δ' εἰν ἑνὶ πάντα πόθων ἰθύντορι κεστῶι,
Ἠέλιον καὶ Ζῆνα καὶ αἰθέρα καὶ χορὸν ἄστρων
καὶ ῥόον ἀστήρικτον ἀτέρμονος Ὠκεανοῖο."
εἶπε, καὶ Ἀσσυρίην Λιβανηίδα δύσατο πέτρην.
Ἥρη δ' ἀστερόφοιτον ἐδύσατο κύκλον Ὀλύμπου,
καὶ ταχινὴ πάνλευκον ἑὴν ἐπεκόσμεε μορφήν·
πολλάκι δ' ἰσάζουσα καθειμένον ἄχρι μετώπου
πλαζομένης ἔστησε μετήλυδα βότρυν ἐθείρης·
down 20 νιψαμένη δὲ μέτωπα καλύψατο νώροπι πέπλωι,
down 20 καὶ περόνην συνέεργεν, ἑοῦ κληῖδα χιτῶνος·
καὶ πλεκτὴν θυόεντι κόμην ἐδίηνεν ἐλαίωι,
τοῦ καὶ κινυμένοιο μετ' αἰθέρα καὶ μετὰ πόντον
γαῖαν ὅλην ἐμέθυσσε μύρου δολιχόσκιος ὀδμή.
καὶ κεφαλῆι στέφος εἶχε παναίολον, ὧι ἔνι πολλαὶ
λυχνίδες ἦσαν, Ἔρωτος ὁμόστολοι, ὧν ἄπο πέμπει
φαιδρὰ τινασσομένων ἀμαρύγματα Κυπριδίη φλόξ·
εἶχε δὲ πέτρον ἐκεῖνον, ὃς ἀνέρας εἰς πόθον ἕλκει,
οὔνομα φαιδρὸν ἔχοντα ποθοβλήτοιο Σελήνης,
καὶ λίθον ἱμείρουσαν ἐρωτοτόκοιο σιδήρου,
καὶ λίθον Ἰνδώιην φιλοτήσιον, ὅττι καὶ αὐτὴ
L1[I] ἐξ ὑδάτων βλάστησεν ὁμόγνιος ἀφρογενείης,
κυανέην θ' ὑάκινθον, ἐράσμιον εἰσέτι Φοίβωι·
ἀμφὶ δ' ἑοῖς πλοκάμοισιν ἐρωτίδα δήσατο ποίην,
ἣν φιλέει Κυθέρεια καὶ ὡς ῥόδον, ὡς ἀνεμώνην,
καὶ φορέει μέλλουσα μιγήμεναι υἱέι Μύρρης·
καὶ λαγόνας στεφανηδὸν ἀήθεϊ δήσατο κεστῶι·
εἶχε δὲ ποικίλον εἷμα παλαίτατον, ὧι χύτο νύμφης
κρυπταδίηι φιλότητι κασιγνήτων ὑμεναίων
νυμφίον ἀρχαίης ἔτι λείψανον αἷμα κορείης,
κουριδίης φιλότητος ἵνα μνήσειεν ἀκοίτην·
καὶ δέμας ἀσκήσασα καὶ ἀθρήσασα κατόπτρωι
ὡς πτερὸν ἠὲ νόημα δι' αἰθέρος ἔδραμεν Ἥρη.
καὶ Διὸς ἐγγὺς ἵκανεν· ἰδὼν δέ μιν ὑψιμέδων Ζεὺς
θερμοτέρους ἐς Ἔρωτας ἱμάσσετο κέντορι κεστῶι·
καὶ Ζιὸς εἰσορόωντος ἐδουλώθησαν ὀπωπαί·
καί μιν ὀπιπεύων Κρονίδης ἐξείρετο μύθωι·
"Ἥρη, τίπτε βέβηκας Ἑώιον εἰς κλίμα γαίης;
τίς χρειώ σε κόμιζε; τί σήμερον ἐνθάδε βαίνεις;
ἦ ῥα πάλιν κοτέουσα κορύσσεαι οἴνοπι Βάκχωι,
καὶ ποθέεις Ἰνδοῖσιν ὑπερφιάλοισιν ἀρῆξαι;"
ἔννεπε καὶ γελόωντι νόωι πολυμήχανος Ἥρη
ζηλομανὴς ἀγόρευε παραιφαμένη παρακοίτην·
Nonnus "Ζεῦ πάτερ, ἄλλος ἔχει μὲ φίλος δρόμος· οὐ γὰρ ἱκάνω
✦ Ἄρεος Ἰνδώιοιο καὶ Ἰνδοφόνου Διονύσου
32.50 ἀλλοτρίας μεθέπουσα μελεδόνας, ἀντολίης δὲ

οὐ γὰρ ἔχειν μενέαινε λεοντείην ἔτι πέτρην,
ἀλλὰ λιποσθενέων ἐλάφων ἐκίχησε καλιὴν
ἤθεσιν ἀδρανέεσσιν, ἐπεὶ προτέρην φρένα Βάκχη
εἰς κραδίην ἐλάφοιο μετέτραπεν ἀντὶ λεαίνης.
καί τις ἀελλοπόδων Σατύρων δειδήμονι ταρσῶι
ἔτρεχεν, ἀσταθέεσσιν ἀσάμβαλος εἴκελος αὔραις,
φεύγων Δηριάδαο θεημάχον ὄγκον ἀπειλῆς.
καὶ σκοπέλους ἐδίωκε γέρων Σειληνὸς ἀλήτης·
πολλάκι δ' εἰς χθόνα πῖπτε κονιομένοιο προσώπου,
ὀκλάζων βαρύγουνος ὀλισθηροῖσι πεδίλοις,
ἔμπαλιν ὀρθώσας λάσιον δέμας· ἐν δὲ κολώναις
ἀντὶ μόθου κεκάλυπτο, καὶ Εὔιον ἔγχος ἀνάγκηι
κάλλιπεν ἀπτολέμοισι μεμηλότα θύρσον ἀέλλαις,
καὶ μόγις εὐπήληκος ἀλεύατο Μορρέος αἰχμήν.
ὀκναλέοις δὲ πόδεσσιν ἐχάζετο νωθρὸς Ἐρεχθεύς,
ἐντροπαλιζομένην τανύων εὔκυκλον ὀπωπήν,
αἰδόμενος μενέχαρμον ἑὴν πολιοῦχον Ἀθήνην.
Βακχείην δ' ἀέκων ἠρνήσατο Μαινάδα χάρμην
λαιὸν Ἀρισταῖος βεβολημένος ὦμον ὀιστῶι.
καὶ στρατιὴν ἀλέεινε δοριθρασέων Κορυβάντων
οὐτηθεὶς λασίοιο κατὰ στέρνοιο Μελισσεύς,
μαζὸν Ἐρυθραίηι κεχαραγμένος ἄκρον ἀκωκῆι.
καὶ βλοσυροὶ Κύκλωπες ἀναιδέες εὔποδι ταρσῶι
εἰς φόβον ἠπείγοντο τεθηπότες, οἷς ἅμα φεύγων
Ἰνδώιην ἀδόνητος ἐλίμπανε Φαῦνος Ἐνυώ.
εὐκεράου δὲ φάλαγγος ὅλον στρατὸν εἰς φόβον ἕλκων L1[I]
πρεσβυγενὴς φύξηλις ἐχάζετο Παρράσιος Πάν,
σιγαλέοις δὲ πόδεσσιν ἐδύσατο δάσκιον ὕλην,
μή μιν ἴδηι φεύγοντα δι' οὔρεος ἄστατος Ἠχώ,
καί οἱ ἐπεγγελάσειε καὶ ἀδρανέοντα καλέσσηι.
καὶ πρόμαχοι τότε πάντες ὑπέκφυγον· ἐν δὲ κυδοιμοῖς
1 (1C) Αἰακὸς αὐτόθι μοῦνος ἐλείπετο, μαρνάμενος δὲ
δεύετο μὴ παρεόντος ἀνικήτου Διονύσου·
ἔμπης δ' αὐτόθι μίμνεν. ἀπὸ σκοπέλοιο δὲ Νύμφαι
Νηιάδος βυθίοισιν ἐνεκρύπτοντο μελάθροις·
αἱ μὲν Ὑδασπιάδεσσιν ὁμήλυδες, αἱ δὲ φυγοῦσαι
Ἰνδὸν ἐς ἀγχικέλευθον ἐναυλίζοντο ῥεέθροις,
ἄλλαι Συδριάδεσσιν ὁμόστολοι, αἱ δ' ἐνὶ Γάγγηι
2 λύθρον ἀπεσμήξαντο νεόσσυτον, ἃς τότε πολλὰς
ἐρχομένας ἀγεληδὸν ἐς ὑδατόεντας ἐναύλους
Νηιὰς ἀργυρόπεζα φιλοξείνωι πυλεῶνι
δέξατο κυματόεντος ἐς αὔλια παρθενεῶνος.
ἄλλαι Ἀμαδρυάδος σκιεροῖς κρύπτοντο κορύμβοις,
δυσάμεναι δρυόεντας ἀνοιγομένους κενεῶνας.
πολλαὶ δ' ὑγροτόκους ὑπὸ πίδακας ἐγγύθι πέτρης
Βασσαρίδες κρουνηδὸν ἐκώκυον· ἀρτιχύτωι δὲ
ὄμβρωι δακρυόεντι φιλοθρήνοιο προσώπου
πληθομένη βαθύκολπος ὅλη πορφύρετο πηγή, Nonnus
μυρομένη βαρὺ πένθος ἀπενθήτου Διονύσου. 32.299

Κούρη δ' οὐρεσίφοιτος ἑῶι ταχυδινέϊ ταρσῶι 34.1

Κύπριος, ἀρτιχάρακτον ἔχων ἔτι κύκλον ὑπήνης, 163 (94C)
ὑψικόμωι φοίνικι πανείκελος· ἐν δὲ κυδοιμοῖς
ἁβρὸς ἀκερσικόμης ἐκυλίνδετο λαμπάδα σείων,
πληγεὶς ἰσχίον ἄκρον, ὅπηι χροὸς ἥλικι δεσμῶι
συμφερτὸν κοτύληι φύσις ἥρμοσεν ἄξονα μηροῦ·
καὶ θάνεν ἁπτομένην κρατέων ἔτι μυστίδα πεύκην,
ἀσπαίρων δὲ κάρηνον ἑῶι τεφρώσατο πυρσῶι,
φλέξας λιγνυόεντι πολύπλοκα βόστρυχα δαλῶι.
καί οἱ ἐπαυχήσας φιλοκέρτομος ἴαχε Μορρεύς·
“κοῦρε, φατιζομένης ἀλλότριε σεῖο τιθήνης,
ἡβητὴρ Ἐχέλαε, γονὴν ἐψεύσαο Κύπρου·
οὐκ ἀπὸ Πυγμαλίωνος ἔχεις γένος, ὧι πόρε Κύπρις
μηκεδανὴν βιότοιο πολυχρονίοιο πορείην·
οὔ σε τεῆς Παφίης ἐρρύσατο νυμφίος Ἄρης·
οὐδέ σοι ἄσπετα κύκλα παλιννόστων ἐνιαυτῶν
δῶκε τεὴ Κυθέρεια καὶ οὐ σκάζουσαν ἀπήνην,
ὄφρα φύγηις σέο πότμον ἀλεξιμόρων ἐπὶ δίφρων,
ἡμιόνων βαρύγουνον ἀεὶ δρόμον ἡνιοχεύων.
ἤλιτον, ἐκ Κύπροιο φέρεις γένος· ὠκύμορον γὰρ
Ἄρης καὶ σὲ δάμασσεν ὁμοίιον υἱέι Μύρρης.”
ὣς εἰπὼν πρυλέεσσι δορυσσόος ἤιχμασε Μορρεύς·
εἰλιπόδην δὲ Βίλιθον ἑλὼν καὶ Δένθιν ὀλέσσας,
αὐχένα δ’ ὀρχηστῆρος Ἐριγβώλοιο δαΐξας
ἔγχεϊ τηλεβόλωι Φρυγίους ἐφόβησε μαχητάς·
Σηβέα δ’ ὀκριόεντι κατεπρήνιξε βελέμνωι·
L2[O] Θηβαίων δὲ φάλαγγα καὶ Ἀκταίωνα διώκων
ἔκτανεν Εὐβώτην, Καδμηίδος ἀστὸν ἀρούρης,
σύννομον Ἀκταίωνος. ὁμοφθόγγωι δ’ ἀλαλητῶι
πολλοὶ Δηριάδαο πεφυζότες ἄπλετον ἀλκὴν
πασσυδὸν ὠλίσθησαν ὁμόζυγος εἰς λίνα Μοίρης,
αὐτοφόνωι θνήσκοντες ἀλοιητῆρι σιδήρωι,
ἀνδρὸς ἑνὸς ῥιπῆισιν· ἐπ’ ἀλλήλοις δὲ πεσόντες 2 (2C)
αἱμαλέηι στοιχηδὸν ἐπεστόρνυντο κονίηι
Κρίμισος, Ἱμαλέων, Φράσιος, Θάργηλος, Ἰάων,
οἷσι δαϊζομένοις ἐναρίθμιος ἤριπε Κοίλων,
καὶ νέκυς αἱματόεντι Κύης ἐκυλίνδετο πότμωι·
καὶ φόνος ἄσπετος ἔσκε· δαϊζομένων δὲ σιδήρωι
ἐχθρῶι διψὰς ἄρουρα θελήμονι λούσατο λύθρωι,
δεχνυμένη ξένον ὄμβρον Ἐνυαλίου νιφετοῖο. 3
Βακχείης δὲ φάλαγγος ἔην κλόνος· ἀσταθέες γὰρ
πεζοὶ μὲν δεδόνηντο, φυγοπτολέμων δ’ ἐλατήρων
εἰς φόβον εὐλάιγγες ἀνεκρούοντο χαλινοί·
ὧν ὁ μὲν οὐρεσίφοιτος ἐδύσατο κοιλάδα πέτρην,
ὃς δὲ μολὼν τανύφυλλον ὑπὸ κλέτας ἕζετο λόχμης
κρυπτόμενος πετάλοισιν, ὁ δὲ σπήλυγγα λεόντων,
ἄλλος ἀμαιμακέτοιο μετήιεν ἔνδιον ἄρκτου·
καί τις ἀερσιλόφοιο διὰ πρηῶνος ἀλύξας
ποσσὶν ὀρεσσινόμοισι διέστιχεν ἄκρα κολώνης.
◆ Βάκχη δ’ ἀρτιτόκοιο παρήλυθε θηρὸς ἐναύλους,
ταρβαλέωι πρηῶνα διαστείβουσα πεδίλωι·

Nonnus

γείτονος Ἠελίοιο μετέρχομαι αἴθοπας αὐλὰς
σπερχομένη· πτερόεις γὰρ Ἔρως παρὰ Τηθύος ὕδωρ
Ὠκεανηιάδος Ῥοδόπης δεδονημένος οἴστρωι
συζυγέην ἀπέειπε· καὶ ἔπλετο κόσμος ἀλήτης,
καὶ βίος ἀχρήιστος ἀποιχομένων ὑμεναίων·
τοῦτον ἐγὼ καλέουσα παλίνδρομος ἐνθάδε βαίνω·
οἶσθα γάρ, ὡς Ζυγίη κικλήσκομαι, ὅττι καὶ αὐτῆς
χεῖρες ἐμαὶ κρατέουσι τελεσσιγόνου τοκετοῖο.”
τοῖον ἔπος βοόωσαν ἀμείβετο θερμὸς ἀκοίτης·
“νύμφα φίλη, λίπε δῆριν· ἐμὸς Διόνυσος ἀγήνωρ
ἀμώων προθέλυμνον ἀβακχεύτων γένος Ἰνδῶν
χαιρέτω· ἀμφοτέρους δὲ γαμήλια λέκτρα δεχέσθω·
οὐ γὰρ ἐπιχθονίης ἀλόχου πόθος, οὐδὲ θεαίνης
θυμὸν ἐμὸν θελκτῆρι τόσον βακχεύσατο κεστῶι
οὐδ’ ὅτε Τηϋγέτης Ἀτλαντίδος, ἧς ἀπὸ λέκτρων
πρεσβυγενὴς πολιοῦχος ἀεξήθη Λακεδαίμων·
οὐ τόσον ἠρασάμην Νιόβης παρὰ γείτονι Λέρνηι,
κούρης ἀρχεγόνοιο Φορωνέος· οὐ τόσον Ἰοῦς
φοιτάδος Ἰναχίης ταυρώπιδος, ἣ παρὰ Νείλωι
τίκτε γονὴν Ἐπάφοιο καὶ ἀρχεγόνου Κεροέσσης·
οὐ Παφίης τόσον ἦλθον ἐς ἵμερον, ἧς χάριν εὐνῆς
Κενταύρους ἐφύτευσα βαλὼν σπόρον αὔλακι γαίης·
ὡς σέο νῦν μεθέπω γλυκερὸν πόθον. ἦ ῥα καὶ αὐτὴ
ὡς Ζυγίη γεγαυῖα καὶ ὡς μεδέουσα γενέθλης
Κυπριδίοις βελέεσσιν ὀιστεύεις παρακοίτην;”
ὣς εἰπὼν χρυσέας νεφέλας πυργηδὸν ἑλίξας L2[O]
δινωτὴν ἐπίκυρτον ἐνεσφαίρωσε καλύπτρην·
καὶ θαλάμου ποιητὸς ἔην τύπος, ὃν τότε κύκλωι
Ἴριδος αἰθερίης ἑτερόχροος ἔστεφε μορφὴ
πορφυρέη, καὶ Ζηνὶ καὶ ἀγλαοπήχεϊ νύμφηι
αὐτόματον σκέπας ἦεν ὀρεσσαύλων ὑμεναίων,
καὶ τύπος αὐτοτέλεστος ἀναγκαίης πέλεν εὐνῆς.
οἱ δὲ γάμου χαρίεντος ὁμίλεον ἠδέι θεσμῶι·
Γαῖα δὲ κηώεσσαν ἀναπτύξασα λοχείην
ἄνθεσιν ἱμερτοῖσι γαμήλιον ἔστεφεν εὐνήν·
καὶ κρόκος ἐβλάστησε Κίλιξ καὶ ἐφύετο μῖλαξ,
καὶ λέχος ἀμφοτέρων ἐπεκόσμεε διπλόος ὄρπηξ, down 2
θηλεῖ δ’ ἄρσενα φύλλα συνέπλεκε γείτονι ποίηι,
οἷα πόθον πνείων καὶ ἐν ἄνθεσιν ἁβρὸς ἀκοίτης,
Ζῆνα κρόκωι πυκάσας καὶ μίλακι σύγγαμον Ἥρην·
καὶ Διὸς ὀξὺν ἔρωτα νοήμονι δείκνυε σιγῆι
ἱμερόεις νάρκισσος ἐπιθρώισκων ἀνεμώνηι.
οὐδέ τις ἀθανάτων σκιόεν λέχος, οὐ τότε Νύμφαι
γείτονες, οὐ Φαέθων πανεπόψιος, οὐδὲ καὶ αὐτῆς
ἔδρακεν ἄφθιτα λέκτρα βοώπιδος ὄμμα Σελήνης·
πυκνοῖς γὰρ νεφέεσσιν ἐμιτρώθη σκέπας εὐνῆς,
καὶ Διὸς ὄμματα θέλξεν ὁμόστολος Ὕπνος Ἐρώτων.
ὄφρα μὲν ἁβρὸς ἴαυεν ἐν ἄνθεσι θελγόμενος Ζεύς,
ἀγκὰς ἔχων παράκοιτιν ἀθηήτων ἐπὶ λέκτρων,
τόφρα δὲ ποικιλόμορφος ἐν οὔρεσι φοιτὰς Ἐρινὺς

νεύμασιν Ἡραίοισιν ἐθωρήχθη Διονύσωι·
καὶ κτύπον ἐσμαράγησεν ἐπ’ ὀφθαλμοῖσι Λυαίου,
σεισαμένη βαρύδουπος ἐχιδνήεσσαν ἱμάσθλην·
καὶ κεφαλὴν ἐλέλιξε, δρακοντείων δὲ κομάων
φρικτὰ τινασσομένων ἐπεσύρισε λοίγιος ἠχώ,
καὶ σκοπιὴν ἔρραινον ἐρημάδα πίδακες ἰοῦ
ἄλλοτε θηρείοιο τύπον φαίνουσα προσώπου
αἰνομανὴς ἔφριξε λέων πυκινότριχι λαιμῶι,
χάσματι φοινήεντι καταΐσσων Διονύσου.
τὸν μὲν ἀμερσινόοιο κατάσχετον ἅλματι λύσσης
Ἄρτεμις ἐσκοπίαζε, καὶ ἤθελε λύσσαν ἐλάσσαι,
ἀλλά μιν ἐπτοίησε βαρύκτυπος ὑψόθεν Ἥρη,
πυρσὸν ἀκοντίζουσα· καὶ εἴκαθε δεσπότις ἄγρης
μητρυιῆι κοτέουσα· φύλαξ δέ τις ἔπλετο Βάκχου
μαινομένου, καὶ θῆρας ἑοὺς ἀνέκοψεν ἀπειλῆι,
καὶ κύνας ἀγρευτῆρας ἐπεσφηκώσατο δεσμῶι,
αὐχενίων σφίγξασα πολύπλοκον ὁλκὸν ἱμάντων,
μὴ χρόα δηλήσαιντο νοοσφαλέος Διονύσου.
νερτερίωι δὲ Μέγαιρα κελαινιόωσα χιτῶνι
εἰς ζόφον αὖτις ἵκανεν, ἐπαιθύσσουσα Λυαίωι
φάσματα ποικιλόμορφα· κατὰ Βρομίοιο δὲ πολλαὶ
ἰοβόλοι ῥαθάμιγγες ὀιστεύοντο καρήνου
καὶ βλοσυροὶ σπινθῆρες· ἀεὶ δέ οἱ ἔνδον ἀκουῆς
Ταρταρίης σύριζε λαθίφρονος ἦχος ἱμάσθλης.
καὶ μογέων Διόνυσος ἐρημάδος ἔνδοθι λόχμης
L2[I] δύσβατα φοιτητῆρι διέστιχεν οὔρεα ταρσῶι
ἄσθματι δαιμονίωι δεδονημένος· ἀμφὶ δὲ πέτραις,
οἰστρομανὴς ἅτε ταῦρος, ἑὰς ἤρασσε κεραίας,
τρηχαλέον μύκημα χέων λυσσώδεϊ λαιμῶι·
Πᾶνα δὲ καλλείψασα καὶ ὑστερόφωνον ἀοιδὴν
φθόγγωι μαινομένωι μυκήσατο δύσθροος Ἠχώ,
ἀντίτυπον θρασὺν ἦχον ἀμειβομένη Διονύσου.
καὶ βαλίας ἐλάφους, λασίας δ’ ἐδίωκε λεαίνας
Βάκχος ἀελλήεις, μεθέπων ὀρεσίδρομον ἄγρην·
οὐδέ οἱ ἄγχι λέων θρασὺς ἤιε· ταρβαλέη δὲ
ἄρκτος ἐριπτοίητος ἐκεύθετο φωλάδι πέτρηι
λύσσαν ἀπειλητῆρος ὑποπτήσσουσα Λυαίου,
δεχνυμένη βλοσυρῆισι θεήλατον ἦχον ἀκουαῖς·
μηκεδανοὺς δὲ δράκοντας ἐρειδομένους τινὶ πέτρηι
μείλιχα λιχμώοντας ἀπέθρισε νηλέι θύρσωι·
καὶ σκοπιὰς ἐτίναξε τανυγλώχινι κεραίηι
κτείνων ἀκλινέων ἱκετήσια φῦλα λεόντων·
καὶ δρύας εὐκάρποιο μετερρίζωσεν ἀρούρης,
Ἁδρυάδας δ’ ἐδίωκεν· ὀιστεύων δὲ κολώνας
Νηιάδας ποταμοῖο μετήλυδας ἤλασε Νύμφας.
Βασσαρίδες δ’ ἀλάληντο καὶ οὐχ ἥπτοντο Λυαίου,
καὶ Σάτυροι φρίσσοντες ἐνεκρύπτοντο θαλάσσηι,
οὐδέ οἱ ἐγγὺς ἵκοντο τεθηπότες ὄγκον ἀπειλῆς,
μή σφιν ἐπαΐξειε χέων ἑτερόθροον ἠχώ,
ἀφρὸν ἀκοντίζων χιονώδεα, μάρτυρα λύσσης.

164 (95C) Δηριάδης δ’ ὑπέροπλον ἔχων θράσος ἔχραε Βάκχαις,
νεύμασιν Ἡραίοισι τινασσομένου Διονύσου.
ὡς δ’ ὅτε χειμερίων ῥοθίων μυκώμενος ὁλκῶι
ἄπλοος ἀντιπόροις βακχεύετο πόντος ἀέλλαις,
κύμασιν ἠλιβάτοισι κατάρρυτον ἠέρα νίφων,
πρυμναίους δὲ κάλωας ἀφειδέι κύματος ὁρμῆι
λαίλαπες ἐρρήξαντο, καὶ ἄσθματι λαῖφος ἑλίξας
ἱστὸν ἀνεχλαίνωσε κεκυφότα λάβρος ἀήτης
λαίφεσιν ἀμφίζωστον, ἐδοχμώθη δὲ κεραίη,
ναῦται δ’ ἀσχαλόωντες ἐπέτρεπον ἐλπίδα πόντωι·
ὣς τότε Βάκχον ὄρινεν ὅλον στρατὸν Ἰνδικὸς Ἄρης.
ἔνθά τις οὐ κατὰ κόσμον ἔην ἔρις, οὐ κλόνος ἀνδρῶν
ἶσος ἔην, οὐ δῆρις ὁμοίιος· ἀκάματος γὰρ
νόστιμος ἐγρεκύδοιμος ἐπέβρεμε χάλκεος Ἄρης,
Μωλαίου προμάχοιο φέρων τύπον, ὃς πλέον ἄλλων
ὑσμίνης ἀκόρητος ἀτερπέι τέρπετο λύθρωι,
ὧι πλέον εἰλαπίνης φόνος εὔαδεν· ἐν δὲ βοείηι,
οἷά τε Γοργείων πλοκάμων ὀφιώδεας ὁλκούς,
γραπτὸν ἐυσμήριγγος ἔχων ἴνδαλμα Μεδούσης
Δηριάδηι πέλεν ἶσος, ὁμόχροος· οὗ τότε μορφῆς
ῥιγεδανῆς ἀγέλαστον ἔχων μίμημα προσώπου,
καὶ σκολιὴν πλοκαμῖδα φέρων καὶ σῆμα βοείης,
αἰνομανὴς πεφόρητο μόθωι λαοσσόος Ἄρης,
καὶ προμάχους θάρσυνεν. ὁμογλώσσωι δ’ ἀλαλητῶι
Βάκχου μὴ παρεόντος ἀταρβέες ἔβρεμον Ἰνδοί,
καὶ κτύπον ἐννεάχιλον ἐπέκτυπε λοίγιος Ἄρης, L2[I]
φοιταλέην συνάεθλον ἔχων Ἔριν· ἐν δὲ κυδοιμοῖς
στῆσε Φόβον καὶ Δεῖμον ὀπάονα Δηριαδῆος.
καὶ στρατιὴν οἴστρησαν ἐρημονόμου Διονύσου
Δηριάδης καὶ κῶμα Διὸς καὶ σύνδρομος Ἄρης.
συμμιγέες δὲ φάλαγγες ὁμοζήλοιο κυδοιμοῦ
3 (3C) Βασσαρίδων στίχα πᾶσαν ἐμιτρώσαντο σιδήρωι,
καὶ πολέες φεύγοντες ἐνὶ κτείνοντο φονῆι,
θεινόμενοι ξιφέεσσιν. Ὁμηρίδες, εἴπατε, Μοῦσαι,
τίς θάνε, τίς δούπησεν ὑπ’ ἔγχεϊ Δηριαδῆος·
Αἰβίαλος Θύαμίς τε καὶ Ὀρμένιος καὶ Ὀφέλτης,
Κρίασος Ἀργασίδης, Τελέβης καὶ Λύκτιος Ἀνθεὺς
καὶ Θρόνιος καὶ Ἄρητος ἐυμμελίης τε Μοληνεὺς
4 ἀλκήεις τε Κόμαρκος· ἐτείνετο δ’ ἄλλος ἐπ’ ἄλλωι
ἔγχεϊ Δηριάδαο νέκυς στρατός· ὀλλυμένων δὲ
ὃς μὲν ἔην δαπέδωι τετανυσμένος, ὃς δὲ ῥεέθροις
πλώετο κυματόεντα φέρων μόρον, ὃς δὲ θαλάσσηι
ἀγχιπόρωι δέδμητο, διωκόμενον δὲ σιδήρωι
κύμασιν ἀρτιχάρακτον Ἄραψ τυμβεύσατο Νηρεύς·
ὃς δὲ θυελλήεντι δι’ οὔρεος ἔδραμε ταρσῶι
Κῆρα φυγών, ἕτερος δὲ πεπαρμένον ἔγχος ἐάσας
μεσσοπαγὲς περὶ νῶτα μετέστιχεν ἔνδια λόχμης,
χρηίζων ἀπεόντος ἀλεξικάκου Διονύσου.
αὐχήεις δ’ Ἐχέλαος ἀτυμβεύτωι πέσε πότμωι,
Μορρέος ἠλιβάτοιο τυπεὶς ῥηξήνορι πέτρωι,

Nonnus

εἵματι χιονέωι πεπυκασμένος, ὥς περ Ἀπόλλων,
ὄφρα Πόθος καὶ Κύπρις ἐνὶ ζεύξειαν ὀχῆι
ἡμέας ἀμφοτέρους γαμέης ἐπιβήτορας εὐνῆς,
Μορρέα θοῦρος Ἔρως καὶ Χαλκομέδην Ἀφροδίτη.
οὐ δέχομαι χάλκειον ἐγὼ πόσιν ὑψόθι λέκτρων,
αἵματι φοινίσσοντα καὶ αὐχμώοντα κονίηι·
ἀλλὰ ῥόωι φαίδρυνε τεὸν δέμας, ὄφρα φανείης
ὡς Φαέθων προχοῇσι λελουμένος Ὠκεανοῖο·
ῥῖψον Ἐνυαλίην σέθεν ἀσπίδα, ῥῖψον ἀκωκήν,
μή ποτέ με πλήξειε τεὴ θανατηφόρος αἰχμή·
κάτθεό μοι δασπλῆτα τεῶν πήληκα κομάων,
ὅττι λόφος κλονέει με τινασσομένης τρυφαλείης·
μὴ νόθον εἶδος ἴδοιμι σιδηρείοιο προσώπου·
τίς πόθος εὐφραίνει με καλυπτομένης σέο μορφῆς;
οὐκέτι Μαιονίης ἐπιβήσομαι· οὐδ᾽ ἐνὶ παστῶι
δέξομαι, ἣν ἐθέλῃς, μετὰ Μορρέα Βάκχον ἀκοίτην·
ἔσσομαι Ἰνδώιη καὶ ἐγώ, φίλος· ἀντὶ δὲ Λυδῆς
κυδαίνω θυέεσσιν Ἐρυθραίην Ἀφροδίτην
κρυπταδίη Μορρῆος ὁμευνέτις· ἐν δὲ κυδοιμοῖς
Ἰνδὸς ἀνὴρ ἐχέτω με συναιχμάζων Ἀφροδίτηι·
εἰς σὲ γὰρ ἶσα βέλεμνα καὶ εἰς ἐμὲ διπλόα πέμπων
Ἵμερος ἀμφοτέροισι μίαν ξύνωσεν ἀνίην,
εἰς κραδίην Μορρῆι καὶ εἰς φρένα Χαλκομεδείηι.
κάμνον ἐγὼ κρύπτουσα τεὸν πόθον· οὐ γὰρ ἀκοίτην
παρθένος αἰδομένη προκαλίζεται εἰς Ἀφροδίτην."
L1[O] ὣς φαμένη παρέπεισε γυνὴ δυσέρωτα μαχητὴν
ψευσαμένη· γελάσας δὲ δυσίμερος ἔννεπε Μορρεύς·
◆ "οὐ νέμεσις, Μορρῆα τὸν εὐπήληκα μαχητὴν
χάλκεον ἔγχος ἔχειν ἐνὶ παστάδι Χαλκομεδείης,
ὄφρα περιπτύξω σε, φερώνυμε, χαλκὸν ἀείρων·
ἔμπης φοίνιον ἔγχος ἀναίνομαι, οὐδὲ βοείης
ἅπτομαι· ὡς ἐθέλεις δέ, λελουμένος εἰς σὲ χορεύω
χερσὶν ἀναιμάκτοισι, καὶ ἔσσομαι οὖλος ἀκοίτης,
γυμνὸς Ἄρης μετὰ δῆριν ἔχων γυμνὴν Ἀφροδίτην.
κούρην Δηριαδῆος ἀναίνομαι· αὐτὸς ἐλάσσω
ἐκ μεγάρων ἀέκουσαν ἐμὴν ζηλήμονα νύμφην·
35.150 οὐκέτι Βασσαρίδεσσι κορύσσομαι, εἴ με κελεύεις,
ἀλλὰ φίλοις ναέτῃσι μαχέσσομαι· Ἰνδὸν ὀλέσσω
οἴνοπα θύρσον ἔχων, οὐ χάλκεον ἔγχος ἀείρων·
ῥίψω δ᾽ ἔντεα πάντα καὶ ἄνθεα λεπτὰ τινάξω,
ὑμετέρωι βασιλῆι συναιχμάζων Διονύσωι."
ὣς εἰπὼν παλάμης μελίην ἀπεσείσατο Μορρεύς,
καὶ λόφον ἱδρώοντος ἀπεσφήκωσε καρήνου,
μυδαλέης δ᾽ ἔρριψεν ἑῆς τελαμῶνα βοείης
εὐκαμάτωι ῥαθάμιγγι λελουμένον ἠθάδος ὤμου·
λύσατο καὶ χάλκειον ἀπὸ στέρνοιο χιτῶνα,
αἱμαλέον θώρηκα. καὶ ἔντεα κείμενα γαίηι
Μορρέος ἱμείροντος ἐδείκνυεν Ἄρεϊ Κύπρις
μορφῆι ἀθωρήκτωι νικώμενα Χαλκομεδείης·
35.163 καί τινα μῦθον ἔειπεν, ἑὸν δ᾽ ἐρέθιζεν ἀκοίτην·
"Ἄρες, ἐσυλήθης· πολέμους ἠρνήσατο Μορρεύς,

◆ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirty-third, furious Love masters Morrheus, and sets him aflame for the beauty of Chalcomedeia.

NONNUS

DIONYSIACA

BOOK 33

PREVIEW BOOK 35

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 387 lines 3.0
3L 1 - 387

PRINT 2-SIDED: **185** to **190**

Αὐτὰρ ὁ φοιταλέωι πεφορημένος ἅλματι ταρσῶν
εὐκεράωι ταχύγουνος ὁμοίιος ἔσσυτο ταύρωι,
λοίγιον ἄσθμα χέων ἑτερόφρονος οἴδματι λύσσης.
καὶ Χάρις ὠκυπέδιλος Ἐρυθραίωι παρὰ κήπωι
φυταλιὴν εὔοδμον ἀμεργομένη δονακήων,
ὄφρα πυριπνεύστων Παφίων ἔντοσθε λεβήτων
Ἀσσυρίου μίξασα χυτὰς ὠδῖνας ἐλαίου
ἄνθεσιν Ἰνδώιοισι μύρον τεύξειεν ἀνάσσηι,
ὁππότε παντοίην δροσερὴν ἐδρέψατο ποίην,
χῶρον ὅλον θηεῖτο· καὶ ἀγχιπόρωι παρὰ λόχμηι.
λύσσαν ἑοῦ γενετῆρος ὀπιπεύουσα Λυαίου
ἀχνυμένη δάκρυσε, φιλοστόργωι δὲ μενοινῆι
πενθαλέοις ὀνύχεσσιν ἑὰς ἐχάραξε παρειάς·
καὶ Σατύρους σκοπίαζεν ὑποπτήσσοντας Ἐνυώ,
Κωδώνην δ' ἐνόησε μινυνθαδίην τε Γιγαρτὼ
κεκλιμένας ἐφύπερθεν ἀτυμβεύτοιο κονίης·
Χαλκομέδην δ' ἐλέαιρε θυελλήεντι πεδίλωι
μαινομένου Μορρῆος ἀλυσκάζουσαν ἀκωκήν,
καὶ φθονερὴ δεδόνητο ῥοδώπιδος εἵνεκα κούρης,
μή ποτε νικήσειεν ἐς ἀγλαΐην Ἀφροδίτην.
ἀχνυμένη δ' ἐς Ὄλυμπον ἀνήιε, πενθάδι σιγῆι
ἄλγος ἑοῦ γενετῆρος ὑποκλέπτουσα Λυαίου·
καὶ χλόος εὐκύκλοιο παρηίδος ἄνθος ἀμείψας
μαρμαρυγὴν στίλβουσαν ἀπημάλδυνε προσώπου.
τὴν δὲ κατηφιόωσαν Ἀδωνιὰς ἔννεπε Κύπρις,
τοῖον ἔπος βοόωσα παρήγορον, ἐκ δὲ προσώπου
Πασιθέης ἐνόησεν ἄχος κήρυκι σιωπῆι·
"νύμφα φίλη, τί παθοῦσα τεὴν ἠλλάξαο μορφήν;
παρθένε, πῶς μετάμειψας ἐρευθαλέην σέο μορφήν;
εἰαρινὴν δ' ἀκτῖνα τίς ἔσβεσε σεῖο προσώπου;
οὐκέτι σῶν μελέων ἀμαρύσσεται ἄργυφος αἴγλη·
οὐκέτι δ', ὡς τὸ πρόσθε, τεαὶ γελόωσιν ὀπωπαί.
ἀλλὰ τεὰς ἀγόρευε μεληδόνας· ἦ ῥά σε τείρει
υἱὸς ἐμός, φιλέεις δὲ ποθοβλήτωι παρὰ πέτρηι
οἷα Σεληναίη τινὰ βουκόλον; ἦ ῥά που αὐτὴν
καὶ σὲ μετ' ἠριγένειαν Ἔρως ἐπεμάστιε κεστῶι;
οἶδα, πόθεν χλοάουσι παρηίδες· ὅττί σε κούρην
νυμφίος ἀχλυόεις νυμφεύεται Ὕπνος ἀλήτης·
οὐ μὲν ἀναινομένην σε βιήσομαι, οὐδὲ συνάψω
λευκάδι Πασιθέηι μελανόχροον Ὕπνον ἀκοίτην."
ὣς φαμένης δάκρυσε Χάρις καὶ ἀμείβετο μύθωι·
"ἀενάου κόσμοιο φυτοσπόρε, μῆτερ Ἐρώτον,
βουκόλος οὐ κλονέει με, καὶ οὐ θρασὺς ἵμερος Ὕπνου·
οὐ πέλον ἠριγένεια δυσίμερος ἠὲ Σελήνη,
ἀλλὰ πόνος περίφοιτος ἀνιάζει με Λυαίου,
πατρὸς ἐμοῦ φρίσσοντος Ἐρινύας· ὑμετέρου δέ,
εἰ δύνασαι, προμάχιζε κασιγνήτου Διονύσου."
ἔννεπε, καὶ γενετῆρος ὅλον πόνον εἶπεν ἀνάσσηι
Βασσαρίδων τε φάλαγγας ἀπείρονας, ἃς κτάνε Μορρεύς,
καὶ Σατύρων φύξηλιν ὅλον στρατόν, εἶπε καὶ αὐτὴν
ὄφρα τεοῖς μελέεσσιν ἀνώδυνον ἄνθος ἑλίξας
ἐξ Ἄιδος ζώουσαν ἀνοστήτοιο σαώσω.
ποῖον ἔχω μάγον ὕμνον ἢ ἀστερόεσσαν ἀοιδήν,
οὐταμένου τεὸν αἷμα κατευνήσω κενεῶνος;
ὄφρα θεοκλήτωι προχέων μέλος εὐάδι φωνῆι
ἤθελον ἐγγὺς ἔχειν φυσίζοον ἐνθάδε πηγήν,
ὄφρα τεοῖς μελέεσσι βαλὼν ὀδυνήφατον ὕδωρ
πρηΰνω τεὸν ἕλκος ἐπήρατον, ὄφρα καὶ αὐτὴν
ψυχὴν ὑμετέρην παλινάγρετον εἰς σὲ κομίσσω.
Γλαῦκε πολυσπερέων ἐτέων στροφάλιγγα κυλίνδων,
εἰ θέμις, ἀτρυγέτοιο λιπὼν κευθμῶνα θαλάσσης
δεῖξον ἐμοὶ βοτάνην ζωαρκέα, δεῖξον ἐκείνην,
ἧς ποτε σοῖς στομάτεσσιν ἐγεύσαο, καὶ βίον ἕλκεις
ἄμβροτον, ἀενάοιο χρόνου κυκλούμενος ὁλκῶι."
ὣς εἰπὼν παράμειβε, νέκυν πόθον ἐν φρεσὶ κεύθων.
καὶ πόσιος κταμένου τιμήορος ἄνθορε νύμφη
Πρωτονόη, στενάχουσα καὶ εἰσέτι νεκρὸν Ὀρόντην·
θηλυτέρην δὲ φάλαγγα διέστιχεν· ἣν δὲ νοῆσαι
ἄλλην ἀντιάνειραν Ἐρυθραίην Ἀταλάντην.
Χειροβίη δὲ λαβοῦσα σάκος καὶ Μορρέος αἰχμὴν
ἔχραε Βασσαρίδεσσι, καὶ εἴκελος ἔπλετο Γόργηι,
ἣ πάρος εὐπύργοιο τινασσομένης Καλυδῶνος
Τοξέος αἰθύσσουσα κασιγνήτοιο βοείην,
μάρνατο θῆλυς ἐοῦσα χολωομένου Μελεάγρου.
Ὀρσιβόη δὲ φανεῖσα σὺν ἐγρεμόθωι παρακοίτηι
θάρσος Ἐνυαλίης μιμήσατο Δηιανείρης,
ὁππότε Παρνησσοῖο κακοξείνωι παρὰ πέτρηι
θωρήχθη Δρυόπεσσι καὶ ἔπλετο θῆλυς Ἀμαζών.
πολλαὶ δ' εὐρυχόροισι περικλείοντο μελάθροις,
καὶ στόνος ἄπλετος ἦεν ὑπωροφίοιο κυδοιμοῦ·
ἄλλη δ' εἰνοδίην ὑπεδύσατο δηιοτῆτα,
παρθένος ἐγρεκύδοιμος, ὑπὲρ τεγέων δὲ καὶ ἄλλαι
λαϊνέοις βελέεσσιν ἐθωρήσσοντο γυναῖκες·
ἐνδόμυχοι δὲ φάλαγγες ἐπεσμαράγησαν Ἐνυώ.
ὄφρα μὲν ἐγρεμόθοιο δι' ἄστεος ἔβρεμεν Ἄρης,
Λύδια Βασσαρίδων ὀρεσίδρομα φῦλα δαΐζων,
τόφρα δὲ Χαλκομέδεια πρὸ τείχεος ἵστατο μούνη
νόστιμον ἐκ πολέμοιο μεταστρέψασα πορείην,
οἰστρομανῆ Μορρῆα δεδεγμένη, εἴ ποθεν ἔλθηι·
καὶ τότε πουλυέλικτον ἐρωμανὲς ὄμμα τιταίνων,
παρθένον ὡς ἐνόησε, ποδήνεμος ἵκετο Μορρεύς,
εἰς δρόμον ἱμερόεντα θοώτερα γούνατα πάλλων.
τῆς δὲ διωκομένης ἀνεκούφισε πέπλον ἀήτης·
θέλγετο δ' εἰσέτι μᾶλλον ἀνείμονι κάλλεϊ μορφῆς,
παπταίνων προθέουσαν ἀνάμπυκα λευκάδα νύμφην.
ἡ δέ μιν ἠπερόπευε, καὶ αἰδομένηι φάτο φωνῆι,
ὠκυτέρην Μορρῆος ὑποπτήσσουσα πορείην·
"εἰ ἐτεὸν μεθέπεις ἐμὰ δέμνια, νυμφίε Μορρεῦ,
κάτθεο σὸν θώρηκα σιδήρεον, οἷα χορεύει
εἰς γάμον ἀβροχίτων, ὅτε Κύπριδι μίσγεται, Ἄρης,

καί τις ὑπὲρ μεγάροιο περικλινθεῖσα τιθήνηι
παρθένος ἑλκεσίπεπλος ἐδέρκετο θῆλυν Ἐνυώ,
καὶ κταμένηι βαρύδακρυς ἐπέστενεν ἥλικι κούρηι.
οὐδέ τις ἱμερόεσσαν ἑλὼν ἐβιήσατο νύμφην,
ὅττι γυναιμανέεσσιν ἄναξ ἐπετέλλετο λαοῖς,
φεύγειν δήια λέκτρα δορικτήτων ὑμεναίων,
μὴ Παφίης ἀλέγοντες ἀφειδήσωσιν Ἐνυοῦς.
  καί τις ὑπὲρ δαπέδοιο περισκαίρουσα κονίηι
παρθενικὴ γυμνοῦτο· παρελκομένου δὲ χιτῶνος
ἀγλαΐηι κεκόρυστο καὶ ἱμείροντα φονῆα
οὔτασεν οὐτηθεῖσα, βέλος δέ οἱ ἔπλετο μορφή,
καὶ φθιμένη νίκησε· κατ᾽ ἀντιβίοιο δὲ γυμνοὶ
μηροὶ ἐθωρήχθησαν, ὀιστευτῆρες Ἐρώτων.
καί νύ κε νεκρὸν ἔχων πόθον ἄπνοον, ὥς περ Ἀχιλλεύς,
ἄλλην Πενθεσίλειαν ὑπὲρ δαπέδοιο δοκεύων
ψυχρὰ κονιομένης προσπτύξατο χείλεα νύμφης,
εἰ μὴ Δηριαδῆος ἐδείδιεν ὄγκον ἀπειλῆς.
καὶ γυμνῆς σκοπίαζεν ἀναινομένης χρόα κούρης,
καὶ σφυρὰ λευκὰ δόκευε καὶ ἀσκεπέων πτύχα μηρῶν,
καὶ μελέων ἔψαυσε, καὶ ἥψατο πολλάκι μαζοῦ
οἰδαλέου ῥοδόεντος, ἐοικότος εἰσέτι μήλωι·
ἤθελε καὶ φιλότητι μιγήμεναι· ὀψὲ δὲ κάμνων
τοίην ἱμερόεσσαν ἀνήρυγεν ἄφρονα φωνήν·
  "παρθενικὴ ῥοδόπηχυ, τεὸν δυσέρωτα φονῆα
οὔτασας οὐταμένη, φθιμένη ζώοντα δαμάζεις,
L2[O] καὶ σὺ τεὸν βλεφάροισιν ὀιστεύεις ὀλετῆρα·
ἔγχος ἐνικήθη σέο κάλλεϊ· σεῖο προσώπου
◆ μαρμαρυγαὶ κλονέουσιν, ὅσον γλωχῖνες ἀκόντων·
στῆθος ἔχεις ἅτε τόξον, ἐπεὶ σέο μᾶλλον ὀιστῶν
μαζοὶ ἀριστεύουσιν, ὀιστευτῆρες Ἐρώτων.
ξεῖνον ἔχω καὶ ἄπιστον ἐγὼ πόθον, ὅττι διώκω
κούρης νεκρὸν ἔρωτα καταφθιμένων ὑμεναίων· 2
ἄπνοος οἶστρος ἔχει με τὸν ἔμπνοον· εἰ θέμις εἰπεῖν,
χείλεα φωνήεντα καὶ ἔμπνοα ταῦτα γενέσθω,
σῶν γλυκερῶν στομάτων ἵνα, παρθένε, μῦθον ἀκούσω
{…} τοῖον ἔπος βοόωσα· 'κυλινδομένην ἐνὶ γαίηι,
35.50 ἣν κτάνες, ἣν σύλησας, ἀτάσθαλε, κάλλιπε κούρην·
ἣν σέο χαλκὸς ἔταμνεν, ἐμοῦ μὴ ψαῦε χιτῶνος·
τί κρατέεις κενεῶνα, τὸν οὔτασας; ἴσχεο δειλῆς 3
ἀμφαφόων ἐμὸν ἕλκος, ὅ μοι πόρες.' ἐρρέτω αἰχμή,
ἐρρέτω ἡμετέρης παλάμης θράσος, ὅττι λιποῦσα
Σειληνοὺς πολιῇσιν ὑποφρίσσοντας ἐθείραις
καὶ Σατύρων δύσμορφον ὅλον γένος, ἀντὶ γερόντων,
ἀντὶ δασυστέρνων ἁπαλὴν ἐδάμασσε γυναῖκα.
ἀλλὰ ποθοβλήτοιο τεοῦ χροὸς ἕλκος ἀφάσσων
ποίην καλλιβότοιο διαστείχων ῥάχιν ὕλης
ἕλκεος ὑμετέροιο βοηθόον εἰς σὲ καλέσσω
γηραλέον Χείρωνα φερέσβιον; ἢ πόθεν εὕρω
φάρμακα, λυσιπόνου Παιήονος ὄργια τέχνης;
35.63 ἤθελον, ἣν καλέουσιν, ἔχειν Κενταυρίδα ποίην,

δαιμονίην μάστιγα τινασσομένου Διονύσου
καὶ κινυρὴν σπαίρουσαν ὑπὲρ δαπέδοιο Γιγαρτώ,
Κωδώνην τ᾽ ἀγόρευε προώριον· αἰδομένη δὲ
πένθος ὁμοῦ καὶ κάλλος ἐπέφραδε Χαλκομεδείης.
  καὶ ῥοδέου σπινθῆρα μεταλλάξασα προσώπου
ἠθάδα ῥῖψε γέλωτα φιλομμειδὴς Ἀφροδίτη.
Ἀγλαΐην δ᾽ ἐκέλευσε διάκτορον, ὄφρα καλέσσηι
υἱέα θοῦρον Ἔρωτα μετάρσιον ἠεροφοίτην,
ἀνδρομέης γονόεντα κυβερνητῆρα γενέθλης.
  καὶ Χάρις ἴχνος ἔκαμψε, πολυστρέπτωι δὲ προσώπωι
σὺν χθονὶ πόντον ὄπωπε καὶ οὐρανόν, εἴ που ἐφεύροι
ἄστατον ἴχνος Ἔρωτος, ἐπεὶ πτερὰ πάντοθι πάλλει,
τέτραχα τεμνομένην κυκλούμενος ἄντυγα κόσμου.
  εὗρε δέ μιν χρυσέοιο περὶ ῥίον ἄκρον Ὀλύμπου
νεκταρέας ῥαθάμιγγας ἀκοντίζοντα κυπέλλοις·
πὰρ δέ οἱ ἵστατο κοῦρος ὁμέψιος ἁβρὸν ἀθύρων,
εὐχαίτης Ὑμέναιος· ἀερσινόου δὲ τεκούσης
Οὐρανίης σοφὸν ἔργον ἐπισταμένης δρόμον ἄστρων
σφαῖραν ἄγων τροχόεσσαν ἀέθλια θήκατο νίκης,
Ἄργου δαιδαλέης ἀντίρροπον εἰκόνα μορφῆς·
καὶ πτερόεις εὔκυκλον Ἔρως μητρῶιον ἀείρων
χρύσεον ὅρμον ἔθηκε θαλασσαίης Ἀφροδίτης,
νίκης φαιδρὸν ἄγαλμα παναίολον· ἀργύρεος δὲ
κεῖτο λέβης ἐν ἀγῶνι, καὶ οἰνοχύτου βρέτας Ἥβης
μεσσοφανῆ σκοπὸν εἶχε· καὶ ἱμερόεις Γανυμήδης
οἰνοχόος Κρονίδαο δικασπόλος ἦεν ἀγῶνος, L2[O]
στέμμα φέρων παλάμηισι. φιλακρήτων δὲ βολάων
λαχμὸς ἔην, μεθέπων ἑτερότροπα δάκτυλα χειρῶν·
καὶ τὰ μὲν ὀρθώσαντες ἀνέσχεθον, ἄλλα δὲ καρπῶι
χειρὸς ἐπεσφήκωτο συνήορα σύζυγι δεσμῶι·
ἀμφοτέροις δ᾽ ἔρις ἦεν ἐπήρατος. ἁβροκόμης δὲ
πρῶτα λαχὼν Ὑμέναιος ἕλεν δέπας, ἱπταμένην δὲ
νεκταρέην ῥαθάμιγγα μετάρσιον ἠέρι πέμπων
ῥῖψε λέβητος ὕπερθε· καὶ οὐ τότε μητέρι Μούσηι
εὐχωλὴν ἀνέφηνε· διεσσυμένη δὲ κυπέλλου
ἠέρα μέσσον ἔτυψεν ἀερσιπότητος ἐέρση,
ἀλλὰ παρατρέψασα βολὴν βητάρμονι παλμῶι
ἑλκομένη παλίνορσος ἀγάλματος ἀμφὶ προσώπωι
ἄψοφος ἄκρον ἔτυψεν ἀδουπήτοιο καρήνου·
δεύτερος αἰολόμητις Ἔρως τεχνήμονι θεσμῶι
ἱμερόεν δέπας εἷλε, καὶ εὔξατο Κυπρογενείηι
λάθριος ἐν πραπίδεσσι, καὶ ἀπλανὲς ὄμμα τανύσσας
εἰς σκοπὸν ἠκόντιζεν ἑκηβόλον ἰκμάδα πέμπων·
νεκταρέου δὲ ποτοῖο παλινδίνητος ἐέρση
ἰθυτενὴς ἄγναμπτος ἀγάλματος ὑψόθι κόρσης
ἠερόθεν βαρύδουπος ἐπεσμαράγησε μετώπωι·
ἴαχε δ᾽ ἁβρὸν ἄγαλμα, καὶ υἱέι Κυπρογενείης
χρυσέωι ἐσμαράγησε λέβης ἐπινίκιον ἠχώ·
καὶ στέφος ἁβρὸν Ἔρωτι πόρεν γελάσας Γανυμήδης·
καὶ ταχὺς αἰόλον ὅρμον ἑλὼν καὶ σφαῖραν ἀείρων **33.**100

διπλόον εἶχεν ἄεθλον ἐυρραθάμιγγος ἀγῶνος,
σκιρτήσας δὲ πόδεσσι, κυβιστήσας δὲ καρήνωι
κυδιόων ἐχόρευεν Ἔρως θρασύς· ἀντιπάλου δὲ
πολλάκις ἀχνυμένοιο κατήγαγε χεῖρα προσώπου.
Ἀγλαΐη δέ οἱ ἄγχι παρίστατο· τερψινόου δὲ
δέξατο χερσὶν ἄνακτος ἀέθλια· νεῦσε δὲ κούρωι
νόσφι μολεῖν, καὶ Ἔρωτος ἐς οὔατα μάρτυρι σιγῆι
ψευδομένης ἀγόρευε δολόφρονα μῦθον ἀνάσσης·
“πανδαμάτωρ ἀδάμαστε, βιοσσόε σύγχρονε κόσμου,
σπεῦσον, ἐπεὶ Κυθέρεια βιάζεται, οὐδέ τις αὐτῆι
ἀμφιπόλων παρέμιμνε, Χάρις φύγεν, ᾤχετο Πειθώ,
καὶ Πόθος ἀστήρικτος ἐχάζετο· σοὶ δέ με μούνην
πέμψεν ἀνικήτοιο τεῆς χατέουσα φαρέτρης.”
ὣς φαμένην ἐρέεινεν Ἔρως, ἵνα πάντα δαείη·
ὅττι νέοι ξύμπαντες, ἀτέρμονος ὁππότε μύθου
ἀρχὴν εἰσαΐουσι, τέλος σπεύδουσιν ἀκοῦσαι·
καὶ στομάτων ἀχάλινον ἀπερροίβδησεν ἰωήν·
“τίς Παφίην ἀκάχησεν ἐμήν; ἵνα χεῖρα κορύσσω
μαρνάμενος πάντεσσι· βιαζομένης δὲ τεκούσης
νευρὴν πανδαμάτειραν ἐπὶ Κρονίωνα τανύσσω,
καὶ πάλιν οἰστρηθέντα γαμοκλόπον ὄρνιν Ἐρώτων
αἰετόν, ἤ τινα ταῦρον ἁλὸς πλωτῆρα τελέσσω·
εἰ δέ ἑ Παλλὰς ὄρινε καὶ ἤκαχεν ἀμφιγυήεις
Κεκροπίου λύχνοιο φεραυγέα δαλὸν ἀνάψας,
μάρναμαι ἀμφοτέροισι, καὶ Ἡφαίστωι καὶ Ἀθήνηι·
L2[I] εἰ δέ μιν ἰοχέχιρα λαγωβόλος εἰς χόλον ἕλκει,
ἔμπυρον Ὠρίωνος Ὀλύμπιον ἄορ ἐρύσσας
Ἄρτεμιν οἰστρήσαιμι, καὶ αἰθέρος ἐκτὸς ἐλάσσω
κουφίζων πτερύγεσσιν ὁμόστολον υἱέα Μαίης,
οὐτιδανὴν καλέοντα μάτην ἐπαρηγύνα Πειθώ·
καλλείψας δὲ βέλεμνα καὶ ἔμπυρον ἅμμα φαρέτρης
δαφναίοις πετάλοισι θελήμονα Φοῖβον ἱμάσσω,
δέσμιον αὐδήεντι περισφίγξας ὑακίνθωι·
οὐ μὲν Ἐνυαλίου τρομέω σθένος, οὐδὲ μογήσω
Ἄρεα μαστίζων πεπεδημένον ἡδέι κεστῶι·
καὶ διδύμους φωστῆρας ὑποδρήσσοντας ἐρύσσω
◆ εἰς Πάφον οὐρανόθεν, καὶ ὀπάονα μητρὶ κομίσσω
σὺν Κλυμένηι Φαέθοντα, σὺν Ἐνδυμίωνι Σελήνην,
πάντες ἵνα γνώωσιν, ὅτι ξύμπαντα δαμάζω.”
εἶπε, καὶ ἰθυκέλευθον ἐν ἠέρι ταρσὸν ἑλίσσων
ἔφθασεν Ἀγλαΐην πτερύγων διδυμάονε ῥοίζωι,
ἄχρι δόμων ἐπέβαινεν ἐπειγομένης Ἀφροδίτης.
καὶ μέσον ἀγκὰς ἑλοῦσα γαληνιόωντι προσώπωι
πεπταμένωι πήχυνε γεγηθότι κοῦρον ἀγοστῶι,
γούνασι κουφίζουσα φίλον βάρος· ἑζομένου δὲ
καὶ στόμα παιδὸς ἔκυσσε καὶ ὄμματα· θελξινόου δὲ
ἁπτομένη τόξοιο καὶ ἀμφαφόωσα φαρέτρην,
Nonnus οἷα χόλου πνείουσα, δολόφρονα ῥήξατο φωνήν·
“τέκνον ἐμόν, Φαέθοντος ἐλήσαο καὶ Κυθερείης·
33.150 οὐκέτι Πασιφάη μυκώμενα λέκτρα διώκει·

“τέτλαθι, Χαλκομέδη, μὴ δείδιθι Μορρέος εὐνήν·
αἴσιον ὄρνιν ἔχεις με τεῆς ἀλύτοιο κορείης,
μαρτυρίην μεθέπουσαν ἀνυμφεύτων σέο λέκτρων.
εἰμὶ Θέτις φυγόδεμνος ὁμοίιος, εἰμὶ καὶ αὐτή,
οἷά τε Χαλκομέδη, φιλοπάρθενος· οὐρανόθεν δὲ
Ζεύς με πατὴρ ἐδίωκε καὶ ἤθελεν εἰς γάμον ἕλκειν,
εἰ μή μιν ποθέοντα γέρων ἀνέκοπτε Προμηθεὺς
θεσπίζων Κρονίωνος ἀρείονα παῖδα φυτεῦσαι,
μὴ Θέτιδός ποτε κοῦρος ἐπιβρίσειε τοκῆι
καὶ Κρονίδην ἐλάσειεν, ἅτε Κρόνον ὑψιμέδων Ζεύς.
γίνεό μοι δολόεσσα φερέσβιος· αὐτοφόνος γὰρ
αἴ κε θάνηις ἀδίδακτος ἀνυμφεύτων ὑμεναίων,
Βασσαρίδων στίχα πᾶσαν ἀνάρσιος Ἰνδὸς ὀλέσσει·
ἀλλά μιν ἠπερόπευε, καὶ ἐκ θανάτοιο σαώσεις
σὴν στρατιὴν φύξηλιν ἱμασσομένου Διονύσου,
ψευδομένη Παφίης κενεὸν πόθον· εἰ δέ σε Μορρεὺς
εἰς εὐνὴν ἐρύσειεν, ἀναινομένην ὑμεναίους,
οὐ χατέεις ἐπὶ Κύπριν ἀρηγόνος· ὑμετέρης γὰρ
φρουρὸν ἔχεις ἀπέλεθρον ὄφιν χραισμήτορα μίτρης·
ὑμέτερον δὲ Δράκοντα λαβὼν μετὰ φύλοπιν Ἰνδῶν
στηρίξει Διόνυσος ἐν ἀστεροφεγγέι κύκλωι,
ἄγγελον οὐ λήγοντα τεῆς ἀλύτοιο κορείης,
ἐγγὺς ἑοῦ Στεφάνοιο φεραυγέος, εὖτε τελέσσηι
ἀστερόεν μέγα σῆμα Κυδωναίης Ἀριάδνης·
Ἀρκτώιωι δὲ Δράκοντι δράκων τεὸς ἰσοφαρίζων
ἀστράψει μερόπεσσι, συναστράπτων Ὀφιούχωι. L2[I]
ὕστερον αἰνήσεις ἁλίην Θέτιν, εὖτε νοήσηις
ἀστέρα σὸν πυρόεντα συναστράπτοντα Σελήνηι.
ἔσσο δὲ θαρσήεσσα γάμου χάριν· οὐ γὰρ ἀκοίτης
ἔμπεδον ὑμετέρης ἀναλύσεται ἅμμα κορείης,
οὐ μὰ σὲ καὶ Διόνυσον ἐμῆς ψαύσαντα τραπέζης,
οὐ μὰ σὲ καὶ σέο θύρσα, καὶ εἰναλίην Ἀφροδίτην.”
εἶπε παραιφαμένη· νεφέληι δ' ἐκαλύψατο κούρην,
μή μιν ἐσαθρήσωσι φυλάκτορες ἢ σκοπὸς ἀνήρ,
φώριον ἴχνος ἔχων δολίωι ποδὶ νυκτὸς ὁδίτης,
ἠὲ γυναιμανέων θρασὺς αἰπόλος, ἑσπερίην δὲ
παρθενικὴν ἐρύσειε παρ' εἰνοδίους ὑμεναίους. 33.387

Δηριάδης δ' ἀπέλεθρος ἐμάρνατο θυιάδι χάρμηι, 35.1
καὶ Βρομίου προπόλοισιν ἐπέχραε κοίρανος Ἰνδῶν,
πῆι μὲν ἀκοντίζων δολιχῶι δορί, πῆι δὲ δαΐζων
ἄορι κωπήεντι, χαραδραίοις δὲ βελέμνοις
τοξεύων πεφόρητο καὶ ὀξυτέροισιν ὀιστοῖς.
ὣς αἱ μὲν κλονέοντο κατὰ πτόλιν ἔνδοθι πύργων
ἔγχει Δηριάδαο· πολυγλώσσωι δὲ κυδοιμῶι
ἀμφοτέρων κτύπος ἦεν· ἐρευθιόωντι δὲ λύθρωι
ἄστεος εὐλάιγγες ἐφοινίχθησαν ἀγυιαὶ
κτεινομένων καναχηδὸν ἐν ἄστει θηλυτεράων.
ἀκλινέες δὲ γέροντες ἀερσιλόφων ἐπὶ πύργων Nonnus
φύλοπιν ἐσκοπίαζον· ὑπὲρ τεγέων δὲ καὶ αὐταὶ
θυρσοφόρον στίχα πᾶσαν ἐθήσαντο γυναῖκες· 35.13

“ἔκλυον, ὡς Σατύρωι πανομοίιος ὑψιμέδων Ζεὺς
Nonnus Ἀντιόπην δολόεντι τύπωι νυμφεύσατο κούρην
μιμηλῆι φιλότητι φιλοσκάρθμων ὑμεναίων·
τοῖον ἔχειν ἐθέλω καὶ ἐγὼ δέμας, ὄφρα χορεύσω
εἰς στρατὸν εὐκεράων Σατύρων ἄγνωστος ἱκάνων,
Χαλκομέδης ἵνα λέκτρα φιλακρήτοιο τελέσσω.
οἶδα, πόθεν, Κυθέρεια, χολώεαι υἱάσιν Ἰνδῶν·
γείτονας Ἠελίοιο τεοὶ κλονέουσιν ὀιστοί·
οὔ πω μνῆστιν ὄλεσσας ἐλεγχομένων σέο δεσμῶν.
οὐ Φαέθων με φύτευσε· τί με κλονέεις, Ἀφροδίτη;
οὐ τέκε Πασιφάη με βοοσκόπος, οὐκ Ἀριάδνης
γνωτὸς ἐγώ. φθέγξασθε, λίθοι, πετρώδεα φωνήν.
Χαλκομέδην ποθέω, καὶ ἀναίνεται. ἔρρε, φαρέτρη,
ἔρρετε, φοίνια τόξα καὶ ἠνεμόεντες ὀιστοί·
Ἄρης οὔ με σάωσε κορυσσομένης Ἀφροδίτης·
βαιὸς Ἔρως με δάμασσε, τὸν οὐ κτάνε Βάκχος ἀγήνωρ.”
τοῖα μάτην κατὰ νύκτα δυσίμερος ἔννεπε Μορρεύς.
οὐδὲ νοοπλανέος πτερὸν εὔνασεν ἡδέος Ὕπνου
Χαλκομέδην φυγόδεμνον, ἐπεὶ πόθον εἶχεν ὀλέθρου,
Μορρέα δειμαίνουσα μεμηνότα, μή μιν ἐρύσσας
θερμὸς ἀνὴρ ζεύξειεν ἀναγκαίοις ὑμεναίοις
Βάκχου μὴ παρεόντος· Ἐρυθραίηι δὲ θαλάσσηι
ἔννυχον ἴχνος ἔκαμψε καὶ ἴαχε κύματι κωφῶι·
“Μηλίς, ἐπολβίζω σε· σὺ γάρ ποτε, νῆις Ἐρώτων,
αὐτομάτηι στροφάλιγγι δέμας ῥίψασα θαλάσσηι
L3[O] λέκτρα γυναιμανέοντος ἀλεύαο Δαμναμενῆος·
σὸν μόρον ὀλβίζω φιλοπάρθενον· οἰστρομανῆ γὰρ
νυμφίον εἰς σὲ κόρυσσεν ἁλὸς θυγάτηρ Ἀφροδίτη,
καί σε θάλασσα φύλαξε, καὶ εἰ Παφίης πέλε μήτηρ,
καὶ θάνες ἐν ῥοθίοις ἔτι παρθένος. ἀλλὰ καὶ αὐτὴν
Χαλκομέδην ἐθέλουσαν ὕδωρ κρύψειε θαλάσσης
Μορρέος ἱμείροντος ἀπειρήτην ὑμεναίων,
ὄφρα νέη Βρυτόμαρτις ἐγὼ φυγόδεμνος ἀκούσω,
ἥν ποτε πόντος ἔδεκτο καὶ ἔμπαλιν ὤπασε γαίηι,
Κυπριδίων Μίνωος ἀφειδήσασαν Ἐρώτων.
οὔ με διεπτοίησεν ἐρωμανέων ἐνοσίχθων.
✦ οἷά περ Ἀστερίην φιλοπάρθενον, ἣν ἐνὶ πόντωι
πλαζομένην ἐδίωκε παλίνδρομον, εἰσόκεν αὐτὴν
ἄστατον ἱππεύουσαν ἀμοιβάδι σύνδρομον αὔρηι
κύμασιν ἀστυφέλικτον ἐνερρίζωσεν Ἀπόλλων.
δέξό με, δέξο, θάλασσα, φιλοξείνωι σέο κόλπωι·
δέχνυσο Χαλκομέδην μετὰ Μηλίδα· δέξο καὶ αὐτὴν
ὁπλοτέρην Βριτόμαρτιν ἀναινομένην ὑμεναίους,
ὄφρα φύγω Μορρῆα καὶ ὑμετέρην Ἀφροδίτην·
Χαλκομέδην ἐλέαιρε, βοηθόε παρθενικάων.”
ὣς φαμένη δεδόνητο νόον παρὰ γείτονι πόντωι·
καί νύ κεν αὐτοκύλιστος ἐδύσατο κῦμα θαλάσσης,
ἀλλὰ Θέτις χραίσμησε χαριζομένη Διονύσωι,
καὶ δέμας ἀλλάξασα παρίστατο Χαλκομεδείηι,
Βάκχης δ’ εἶδος ἔχουσα παρήγορον ἴαχε φωνήν·

168 (96C) Ἠέλιος γελάαι με, καὶ Ἀστρίδος αἷμα κορύσσει
παιδὸς ἑῆς υἱῆα μαχήμονα Δηριαδῆα, Nonnus
Βασσαρίδων ὀλετῆρα γυναιμανέος Διονύσου,
καὶ Σατύρων Βρομίοιο ποθοβλήτων ἐλατῆρα.
τοῦτό με μᾶλλον ὄρινεν, ὅτι βροτοειδέι μορφῆι
Ἄρης ἐγρεκύδοιμος ἔχων συνάεθλον Ἐνυώ,
ἀρχαίης φιλότητος ἀφειδήσας Ἀφροδίτης,
νεύμασιν Ἡραίοισιν ἐθωρήχθη Διονύσωι,
Ἰνδώιωι βασιλῆι συνέμπορος. ἀλλ’ ἐνὶ χάρμηι
Ἄρης Δηριάδαο, σὺ δὲ προμάχιζε Λυαίου·
ἔγχος ἔχει, σὺ δὲ τόξον ὑπέρτερον, ὧι γόνυ κάμπτει
Ζεὺς ὕπατος καὶ θοῦρος Ἄρης καὶ θέσμιος Ἑρμῆς·
δειμαίνει σέο τόξα καὶ ὁ κλυτότοξος Ἀπόλλων.
εἰ δὲ τεῆι, φίλε κοῦρε, χαρίζεαι ἀφρογενείηι,
Βασσαρίδων προμάχιζε καὶ ἡμετέρου Διονύσου.
ἀλλὰ μολὼν ἀκίχητος Ἑώιον εἰς κλίμα γαίης
Ἰνδώιην παρὰ πέζαν, ὅπηι θεράπαινα Λυαίου
ἐστί τις ἐν Βάκχηισιν, ὑπέρτερος ἥλικος ἥβης,
οὔνομα Χαλκομέδη φιλοπάρθενος — εἰ δέ κεν ἄμφω
Χαλκομέδην καὶ Κύπριν ἔσω Λιβάνοιο νοήσηις,
οὐ δύνασαι, φίλε κοῦρε, διακρίνειν Ἀφροδίτην —·
κεῖθι μολὼν χραίσμησον ἐρημονόμωι Διονύσωι,
Μορρέα τοξεύσας ἐπὶ κάλλεϊ Χαλκομεδείης·
σεῖο δὲ τοξοσύνης γέρας ἄξιον ἐγγυαλίξω
Λήμνιον εὐποίητον ἐγὼ στέφος, εἴκελον αἴγλαις
Ἠελίου φλογεροῖο· σὺ δὲ γλυκὺν ἰὸν ἰάλλων L3[O]
δὸς χάριν ἀμφοτέροις, καὶ Κύπριδι καὶ Διονύσωι·
σὸν καὶ ἐμὸν κύδαινε γαμοστόλον ὄρνιν Ἐρώτων,
εὐφροσύνης κήρυκα βιοζυγέων ὑμεναίων.”
εἶπε θεά· καὶ μάργος Ἔρως ἀνεπάλλετο κόλπου
μητρὸς ἑῆς, καὶ τόξον ἐκούφισεν, ἀμφὶ δὲ βαιῶι
4 (1C) ὤμωι πανδαμάτειραν ἐπηιώρησε φαρέτρην·
καὶ πτερόεις πεπότητο δι’ αἰθέρος· ἀμφὶ δὲ Κέρνηι
κυκλώσας πτερὰ κοῦφα βολαῖς ἀντώπιος Ἠοῦς
ἵπτατο μειδιόων, ὅτι τηλίκον ἡνιοχῆα
δίφρων οὐρανίων ὀλίγοις ἔφλεξε βελέμνοις,
καὶ σέλας Ἠελίοιο σέλας νίκησεν Ἐρώτων.
καὶ ταχὺς Ἰνδώιοιο μολὼν κατὰ μέσσον ὁμίλου
5 τόξον ἑὸν στήριζεν ἐπ’ αὐχένι Χαλκομεδείης·
καὶ βέλος ἰθύνων ῥοδέης περὶ κύκλα παρειῆς
Μορρέος εἰς φρένα πέμψεν. ἐρετμώσας δὲ πορείην
νηχομένων πτερύγων ἑτερόζυγι σύνδρομος ὁλκῶι
πατρώιους ἀνέβαινεν ἐς ἀστερόεντας ὀχῆας,
καλλείψας πυρόεντι πεπαρμένον Ἰνδὸν ὀιστῶι.
αἰεὶ δ’ ἔνθα καὶ ἔνθα πόθου δεδονημένος ἰῶι,
παρθένος ἧχι βέβηκε, δυσίμερος ἤιε Μορρεύς,
μείλιχον ἄορ ἔχων, πεφιδημένον ἔγχος ἀείρων,
καὶ θρασὺν ἱμερόεντι νόον μαστίζετο κεστῶι·
ἀμφὶ δέ μιν περίκυκλον ἐρωμανὲς ὄμμα τιταίνων
νεύμασι Κυπριδίοισιν ἀθελγέας εἷλκεν ὀπωπάς.

ἡ δὲ δολοφρονέουσα παρήπαφεν ὄρχαμον Ἰνδῶν,
οἷά περ ἱμείρουσα, πόθον δ' ἀπεμάξατο κούρη
ψευδαλέον μίμημα· καὶ αἰθέρος ἥπτετο Μορρεύς,
ἐλπίδι μαψιδίῃ πεφορημένος· ἐν κραδίῃ γὰρ
παρθενικὴν ἐδόκησεν ἔχειν βέλος ἶσον Ἐρώτων,
κοῦφος ἀνήρ, ὅτι παῖδα σαόφρονα δίζετο θέλγειν
κυανέοις μελέεσσι, καὶ οὐκ ἐμνήσατο μορφῆς.
καί οἱ ἐπεγγελόωσα δόλῳ φιλοπαίγμονι κούρη
ἀγχιφανὴς ἐρέθιζε δυσίμερον, ἀντιβίῳ δὲ
εἶπεν ἀνυμφεύτοιο ποδήνεμα γούνατα νύμφης,
πῶς ποτε Φοῖβον ἔφευγε, Βορηΐδι σύνδρομος αὔρῃ,
πῶς διερὸν παρὰ χεῦμα τιταινομένου ποταμοῖο
παρθένιον πόδα πῆξε παρ' εὐρυρέεθρον Ὀρόντην,
ὁππότε γαῖα χανοῦσα παρ' εὐύδρου στόμα λίμνης
παῖδα διωκομένην οἰκτίρμονι δέξατο κόλπῳ.
τοῖον ἔπος φαμένης ἀνεπάλλετο χάρματι Μορρεύς·
ἐν δέ ἑ μοῦνον ὄρινε, διωκομένην ὅτι Δάφνην
καὶ θεὸς οὐκ ἐκίχησε καὶ οὐκ ἐμίηνεν Ἀπόλλων·
καὶ βραδὺν ἔννεπε Φοῖβον· ἀεὶ δ' ὑπεμέμφετο γαίῃ,
παρθένον ὅττι κάλυψεν ἀπειρήτην ὑμεναίων·
δείδιε γὰρ τρομέων γλυκερῷ πυρί, μή τι καὶ αὐτὴ
εἴη Χαλκομέδη φιλοπάρθενος, οἷά τε Δάφνη,
μή μιν ἰδὼν φεύγουσαν ἐτώσιον εἰς δρόμον ἔλθῃ,
μοχθίζων ἀτέλεστον ἐς ἵμερον, ὥς περ Ἀπόλλων.
ἀλλ' ὅτε νὺξ ἀνέτελλε, κατευνήτειρα κυδοιμοῦ,
L3[I] Χαλκομέδη μὲν ἵκανεν ἐρημάδος εἰς ῥάχιν ὕλης,
ἴχνια μαστεύουσα νοοπλανέος Διονύσου·
οὐ τότε ῥόπτρα φέρουσα καὶ Εὔια κύμβαλα Ῥείης
ὄργια μυστιπόλευεν ἀκοιμήτοιο Λυαίου,
ἀλλὰ κατηφιόωσα καὶ οὐ ψαύουσα χορείης
εἶχεν ἀσιγήτοισιν ἀήθεα χείλεσι σιγήν,
νοῦσον ἀλεξητῆρος ἐπισταμένη Διονύσου.
ὀκναλέοις δὲ πόδεσσι μόγις βραδὺς ἤιε Μορρεύς,
ἐντροπαλιζομένῳ δεδοκημένος ὄμματι νύμφην,
μεμφόμενος Φαέθοντα ταχύδρομον· ἑσπόμενον δὲ
Χαλκομέδῃ νόον εἶχεν ὁμόστολον· ἀσχαλόων δὲ
✦ Κυπριδίοις ὀάροισιν ἀνήρυγε θῆλυν ἰωήν,
αἰθύσσων νυχίων ὑποκάρδιον ἰὸν Ἐρώτων·
"ἔρρε, βέλος καὶ τόξον Ἀρήιον· ἱμερόεν γὰρ
φέρτερον ἄλλο βέλος με βιάζεται· ἔρρε, φαρέτρη·
κεστὸς ἱμὰς νίκησεν ἐμῆς τελαμῶνα βοείης.
οὐκέτι Βασσαρίδεσσι μαχήμονα χεῖρα κορύσσω·
ἀλλὰ θεὸν πατρῷιον, ὕδωρ καὶ γαῖαν ἐάσας
βωμὸν ἀναστήσω καὶ Κύπριδι καὶ Διονύσῳ,
ῥίψας χάλκεον ἔγχος Ἐνυαλίου καὶ Ἀθήνης.
οὐκέτι πυρσὸν ἔχων θωρήσσομαι· ἀδρανέος γὰρ
δαλὸν Ἐνυαλίοιο κατέσβεσε πυρσὸς Ἐρώτων·
ἄλλῳ θερμοτέρῳ πυρὶ βάλλομαι. αἴθε καὶ αὐτός,
αἴθε γυναιμανέων Σάτυρος πέλον, ὄφρα χορεύσω
μεσσόθι Βασσαρίδων, παλάμῃ δ' ἵνα πῆχυν ἐρείσας
σφίγξω δεσμὸν ἔρωτος ἐπ' αὐχένι Χαλκομεδείης.
εἰς Φρυγίην Διόνυσος ὀπάονα Δηριαδῆος
δουλοσύνης ἐρύσειεν ὑπὸ ζυγόν, ἀντὶ δὲ πάτρης
Μαιονίη πολύολβος ἐὸν ναέτην με δεχέσθω·
Τμῶλον ἔχειν ἐθέλω μετὰ Καύκασον· ἀρχέγονον δὲ
Ἰνδὸν ἀπορρίψας ἐμὸν οὔνομα Λυδὸς ἀκούσω,
αὐχένα δοῦλον Ἔρωτος ὑποκλίνων Διονύσῳ·
Πακτωλὸς φερέτω με· τί μοι πατρῷιος Ὑδάσπης;
Χαλκομέδης δ' ἐχέτω με δόμος γλυκύς· ἐν πολέμοις γὰρ
Κύπρις ὁμοῦ καὶ Βάκχος ὑπ' ἀμφοτέροισι βελέμνοις
γαμβροῖς Δηριαδῆος ἐπέχραον, ὄφρά τις εἴπῃ·
'Μορρέα κεστὸς ἔπεφνε, καὶ ἔκτανε θύρσος Ὀρόντην.'"
τοῖα μὲν ἠύτησε· πολυφλοίσβῳ δὲ μερίμνῃ
τήκετο Χαλκομέδης μεμνημένος· ἐν γὰρ ὁμίχλῃ
θερμότεροι γεγάασιν ἀεὶ σπινθῆρες Ἐρώτων.
ἤδη γὰρ σκιόεντι θορὼν αὐτόχθονι παλμῷ
ἄψοφος ἀννεφέλοιο μελαίνετο κῶνος ὁμίχλης,
καὶ τρομερῇ ξύμπαντα μιῇ ξύνωσε σιωπῇ·
οὐδέ τις ἴχνος ἔπειγε δι' ἄστεος Ἰνδὸς ὁδίτης,
οὐδὲ γυνὴ χερνῆτις ἐθήμονος ἥπτετο τέχνης,
οὐδέ οἱ ἐν παλάμῃσι φιληλακάτῳ παρὰ λύχνῳ
κύκλον ἐς αὐτοέλικτον ἰὼν ἄτρακτος ἀλήτης
ἄστατος ὀρχηστῆρι τιταίνετο νήματος ὁλκῷ,
ἀλλὰ καρηβαρέουσα φιλαγρύπνῳ παρὰ λύχνῳ
εὗδε γυνὴ ταλαεργός· ὄφις δέ τις ἥσυχος ἕρπων
κεῖτο πεσών, κεφαλῇ δ' ἐρύων παλινάγρετον οὐρὴν L3[I]
γαστέρος ὑπναλέης ἀνεσείρασεν ὁλκὸν ἀκάνθης·
καί τις ἀερσιπόδης ἐλέφας παρὰ γείτονι τοίχῳ
ὄρθιον ὕπνον ἴαυεν, ὑπὸ δρυὶ νῶτον ἐρείσας.
καὶ τότε μοῦνος ἄυπνος ἀπόσσυτος ἄψοφος ἕρπων
ποσσὶ παλιννόστοισιν ἕλιξ ἐστρεύγετο Μορρεύς,
5 (2C)
μούνην Χειροβίην θαλάμοις εὕδουσαν ἐάσας·
καί τινος ἀρχαίοιο σοφοῦ πάρα μῦθον ἀκούσας
ἀνδράσι πὰρ Κιλίκεσσιν ἔχων μόθον ἐγγύθι Ταύρου
ἔνθεον ἀστραίων δεδαημένος οἶστρον Ἐρώτων,
ἠέρι πεπταμένην μετανεύμενος αἰθριον αὐλὴν
νυμφίον Εὐρώπης ἐπεδέρκετο, Ταῦρον Ὀλύμπου·
ἀξονίῳ δὲ τένοντι πολυπλανὲς ὄμμα τιταίνων
6
Καλλιστὼ σκοπίαζε καὶ ἄστατον ὁλκὸν Ἀμάξης,
γινώσκων, ὅτι θῆλυς ἐδέξατο θῆλυν ἀκοίτην
μιμηλῆς μεθέποντα νόθον δέμας ἰοχεαίρης
ἀγνώστοις μελέεσσιν· ὑπερτέλλοντα δὲ Ταύρου
Μυρτίλον ἐσκοπίαζε, πυρίπνοον Ἡνιοχῆα,
ὅττι γάμῳ χραίσμησε, καὶ εἰς δρόμον Ἱπποδαμείης
ἀντίτυπον ποίησε τύπον τροχοειδέι κηρῷ,
ἄχρι Πέλοψ γάμον εὗρε· καὶ ἀγχόθι Κασσιεπείης
Αἰετὸν Αἰγίνης τανυσίπτερον εἶδεν ἀκοίτην,
καὶ δόλον ἤθελε τοῖον ἐπίκλοπον, ὄφρα καὶ αὐτὸς
Χαλκομέδης λύσειεν ἀνυμφεύτοιο κορείην,
καί τινα μῦθον ἔειπεν ἔχων ἄγρυπνον ὀπωπήν·

Nonnus

στήσατε· Δηριάδης δὲ κορυσσέσθω Διονύσωι.
ἡμερίδων δὲ πέτηλα καὶ ὄργανα ποικίλα Βάκχου
φλέξατε, καὶ κλισίας ἐμπρήσατε· Μαιναλίδας δὲ
δμωίδας αὐχήεντι κομίσσατε Δηριαδῆι·
καὶ πυρὶ δήια θύρσα μαραίνετε· βουκεράων δὲ
Σειληνῶν Σατύρων τε πολυσπερέων κεφαλάων
λήιον ἀμήσαντες ἀλοιητῆρι σιδήρωι
36.150 στέψατε πάντα μέλαθρα βοοκραίροισι καρήνοις.
μὴ Φαέθων στρέψειε πυραυγέας εἰς δύσιν ἵππους,
πρὶν Σατύρους καὶ Βάκχον ἀλυκτοπέδῃσι κομίσσω
σφιγγόμενον, καὶ στικτὸν ἐμῆι δεδαϊγμένον αἰχμῆι
ῥωγαλέον φορέοντα κατὰ στέρνοιο χιτῶνα,
θύρσον ἀπορρίψαντα· τανυπλοκάμων δὲ γυναικῶν
χαίτην ἀμπελόεσσαν ἐμῶι τεφρώσατε δαλῶι.
θαρσαλέοι δὲ γένεσθε, καὶ Ἰνδώιην μετὰ χάρμην
νίκην κυδιάνειραν ἀείσατε Δηριαδῆος,
ὄφρά τις ἐρρίγῃσι καὶ ὀψιγόνων στρατὸς ἀνδρῶν
Ἰνδοῖς Γηγενέεσσιν ἀνικήτοισιν ἐρίζειν."
ἔννεπε, καὶ προμάχους μετανεύμενος ἄλλον ἐπ' ἄλλωι
ἡνιόχους οἴστρησεν ἀμετροβίων ἐλεφάντων,
καὶ πρυλέων πομπῆας ἐπεστήριξεν ὁμίλωι
μαρναμένους πυργηδόν. ὁμοζήλωι δὲ κυδοιμῶι
θυρσομανὴς Διόνυσος ἐρημονόμων στίχα θηρῶν
εἰς ἐνοπὴν βάκχευεν· ὀριτρεφέες δὲ μαχηταὶ
δαιμονίῃ βρυχηδὸν ἐβακχεύθησαν ἱμάσθλῃ,
L1[O] καὶ πολὺς ἐκ στομάτων ἐκορύσσετο μαινόμενος θήρ·
ὠμοβόρων δὲ δράκοντες ἀποπτύοντες ὀδόντων
τηλεβόλους πόμπευον ἐς ἠέρα πίδακας ἰοῦ
χάσματι συρίζοντι μεμυκότος ἀνθερεῶνος,
λοξὰ παρασκαίροντες· ἐς ἀντιβίους δὲ θορόντες
αὐτόματον σκοπὸν εἶχον ἐχιδνήεντες ὀιστοί·
καὶ σκολιαῖς ἑλίκεσσιν ἐμιτρώθη δέμας Ἰνδῶν
εἰλομένων, βροτέους δὲ πόδας σφηκώσατο σειρὴ
εἰς δρόμον ἀίσσοντας. Ἀρειμανέες δὲ γυναῖκες
δῆριν ἐμιμήσαντο δρακοντοβόλου Φιδαλείης,
ἥ ποτε κέντρον ἔχουσα γυναικείοιο κυδοιμοῦ
δυσμενέας νίκησεν ἐχιδνήεσσι κορύμβοις
{…} καί τις ἀπὸ στομάτων δολιχόσκιον ἔγχος ἰάλλων
ἰὸν ἀκοντιστῆρα κατέπτυε Δηριαδῆος,
καὶ φονίῃ ῥαθάμιγγι χάλυψ ἐδιαίνετο θώρηξ.
καὶ νέκυς ἐν χθονὶ κεῖτο τυπεὶς ζώοντι βελέμνωι,
ἄπνοος ἀμφιέπων βέλος ἔμπνοον. ὀρθοπόδων δὲ
εἰς λοφιὴν ἐπίκυρτον ἀναΐξας ἐλεφάντων
πόρδαλις ἠιώρητο μετάρσιος ἅλματι ταρσῶν·
πυκνὰ δὲ θηρείοιο κατεστήρικτο καρήνου,
καὶ δρόμον ἠιώρησε τανυκνήμων ἐλεφάντων.
καὶ πολὺς ἑσμὸς ἔπιπτε, βαρυσμαράγων ἀπὸ λαιμῶν
φρικτὸν ἐρημονόμων ἀέων βρύχημα λεόντων·
καί τις ἐνικήθη τρομέων μυκήματα ταύρου,
36.192 καὶ βοὸς εἰσορόων βλοσυρῆς γλωχῖνα κεραίης
λοξὸν ἀκοντίζουσαν ἐς ἠέρα· φοιταλέος δὲ

1

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirty-fourth, Deriades attacks and massacres the Bacchant women within the walls.

NONNUS

DIONYSIACA

BOOK 34

PREVIEW BOOK 36

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 358 lines 3.0
3L 1 - 358

PRINT 2-SIDED:
191 to **196**

Κούρη δ’ οὐρεσίφοιτος ἑῶι ταχυδίνεϊ ταρσῶι
ἄψοφον ἴχνος ἔχουσα διέστιχεν εἰς ῥάχιν ὕλης·
οὐδὲ Θέτις δήθυνεν ἐπ’ ἠιόνος, ἀλλὰ καὶ αὐτὴ
πατρώιην βρυόεσσαν ἐδύσατο Νηρέος αὐλήν.
ἤδη δ’ ἀννεφέλοιο δι’ ἠέρος ὄμμα τιταίνων
ἄντυγας ἀστραίας ὁρόων ἐκορέσσατο Μορρεύς·
καί τινα μῦθον ἔειπε μεληδόσε θυμὸν ἱμάσσων·
“πλάζεται ἀλλοπρόσαλλος ἐμὸς νόος· οὐ μία βουλή,
εἷς νόος οὐ μεθέπει με· πολυσπερέες δὲ μενοιναὶ
ἀμφ’ ἐμὲ κυκλώσαντο, καὶ οὐ μίαν οἶδα τελέσσαι·
κτείνω Χαλκομέδειαν ἐπήρατον; ἀλλὰ τί ῥέξω,
μή με πόθωι μετὰ πότμον ἀποκτείνειε καὶ αὐτή;
ἀλλὰ λίπω ζώουσαν ἀνούτατον, ἀμφαδίην δὲ
παρθένον εἰς ὑμέναιον ἐφέλκομαι; ἀλλ’ ἐνὶ θυμῶι
Δηριάδην τρομέω καὶ Χειροβίην ἐλεαίρω.
οὐ μὲν ἐγὼ κτείνω ποτὲ παρθένον· ἣν δὲ δαμάσσω,
πῶς δύναμαι ζώειν, ὅτε παρθένον οὐκέτι λεύσσω;
κάμνω, Χαλκομέδης ὅτε λείπομαι εἰς μίαν ὥρην.”
τοῖα μάτην ἐνέπων πολυμήχανος ἤιε Μορρεύς,
παφλάζων ὀδύνῃσι ποθοβλήτοιο μερίμνης.
τὸν δὲ παλινδίνητον ἀλώμενον ὑψόθεν ὄχθης
μουνάδος ἀμνήστοιο λελοιπότα δέμνια νύμφης,
ἔδρακεν ἐγρήσσων θρασὺς Ὕσσακος· ὡς δολόεις δὲ
κρυπτὸν ἀτεκμάρτων ἐφράσσατο κέντρον Ἐρώτων,
πιστότατος θεράπων· δολίωι δέ μιν εἴρετο μύθωι,
τοῖον ἔπος προχέων ἀπατήλιον ἀνθερεῶνος·
“τίπτε λιπὼν σέο λέκτρα καὶ ὑπναλέην σέο νύμφην
πλάζεαι ἔνθα καὶ ἔνθα κατὰ κνέφας, ἄτρομε Μορρεῦ;
μὴ τάχα Δηριάδης σε διεπτοίησεν ἀπειλῆι;
μή σοι Χειροβίη κοτέει ζηλήμονι θυμῶι,
ἐλπομένη φιλέειν σε δορικτήτην τινὰ Βάκχην;
καὶ γὰρ ὅτ’ εἰσορόωσιν ἐρωμανέοντας ἀκοίτας,
κρυπταδίην διὰ Κύπριν ἀεὶ φθονέουσι γυναῖκες.
μὴ τάχα πανδαμάτωρ θρασὺς Ἵμερος εἰς σὲ κορύσσει
νυμφιδίους σπινθῆρας ἀκοιμήτοιο φαρέτρης;
μή τινα Βασσαρίδων ποθέεις μίαν; ὡς μὲν ἀκούω,
τρεῖς Χάριτες γεγάασι, χορίτιδες Ὀρχομενοῖο,
ἀμφίπολοι Φοίβοιο, χοροπλεκέος δὲ Λυαίου
εἰσὶ τριηκοσίων Χαρίτων στίχες, ὧν μία μούνη
πασάων προφέρουσα φαείνεται, οἷα καὶ αὐτὴ
φαιδροτέραις ἀκτῖσι κατακρύπτει σέλας ἄστρων
μαρμαρυγὴν εὔκυκλον ἀκοντίζουσα Σελήνη.
καὶ διδύμοις βελέεσσι κορύσσεται εἰν ἑνὶ θεσμῶι,
κάλλεϊ τοξεύουσα καὶ αἰχμάζουσα σιδήρωι·
ἔστι δὲ Πασιθέη κορυθαιόλος, ἥν τινὰ Βάκχαι
Χαλκομέδην καλέουσιν· ἐγὼ δέ μιν αὐτὸς ἐνίψω
Ἄρτεμιν ἀργυρόπεζαν ἠὲ χρύσασπιν Ἀθήνην.”
ὣς φάμενος σίγησε· καὶ ὀφρύος ἄκρα καθέλκων
αἰδομένοις στομάτεσσι δυσίμερος ἔννεπε Μορρεύς·
ἀτρεκέως Διόνυσος ἐδύσατο κῦμα θαλάσσης

Τρίτων δ’ εὐρυγένειος ἐβόμβεεν ἠθάδι κόχλωι
ἀνδροφυὴς ἀτέλεστος, ἀπ’ ἰξύος ἔγχλοος ἰχθύς·
Νηρεΐδες δ’ ἀλάλαζον· ὑπερκύψας δὲ θαλάσσης
σειομένου τριόδοντος Ἄραψ μυκήσατο Νηρεύς.
οὐρανίης δὲ φάλαγγος ὑπέρτερον ἦχον ἀκούων
Ζεὺς χθόνιος κελάδησε, μὴ ἐννοσίγαιος ἀράσσων
γαῖαν ἱμασσομένην ῥοθίων ἐνοσίχθονι παλμῶι
ἁρμονέην κόσμοιο μετοχλίσσειε τριαίνῃ,
μή ποτε κινήσας χθονίων κρηπῖδα βερέθρων
θηητὴν τελέσειεν ἀθηήτου χθονὸς ἕδρην,
μὴ βυθίων φλέβα πᾶσαν ἀναρρήξειεν ἐναύλων
Ταρταρίωι κευθμῶνι χέων μετανάστιον ὕδωρ,
νέρτερον εὐρώεντα κατακλύζων πυλεῶνα.
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων,
καὶ χθόνιαι σάλπιγγες ἐπέβρεμον· ἀμφοτέρους δὲ
ῥάβδον ἐλαφρίζων ἀνεσείρασε μείλιχος Ἑρμῆς·
τρισσοῖς δ’ ἀθανάτοισι μίαν ξυνώσατο φωνήν·
“γνωτὲ Διὸς καὶ κοῦρε, σὺ μέν, κλυτότοξε, θυέλλαις
πυρσὸν ἔα καὶ τόξα, σὺ δὲ γλωχῖνα τριαίνης,
μὴ μακάρων Τιτῆνες ἐπεγγελάσωσι κυδοιμῶι,
μὴ Κρονίην μετὰ δῆριν ἀπειλήτειραν Ὀλύμπου
δεύτερον ἀθανάτοισιν Ἄρης ἐμφύλιος εἴη,
μὴ μόθον ἄλλον ἴδοιμι μετὰ κλόνον Ἰαπετοῖο,
μηδὲ μετὰ Ζαγρῆα καὶ ὀψιγόνου περὶ Βάκχου
φλέξας γαῖαν ἅπασαν ἑῶι πυρὶ χωόμενος Ζεὺς
ἀενάου κλύσσειε τὸ δεύτερον ἄντυγα κόσμου,
ὕδασιν ὀμβρήσας χυτὸν αἰθέρα· μηδὲ νοήσω
ἠερίοις πελάγεσσι διάβροχον ἅρμα Σελήνης·
μὴ ψυχρὴν ἐχέτω Φαέθων πάλιν ἔμπυρον αἴγλην.
πρεσβυτέρωι δ’ ὑπόεικε κυβερνητῆρι θαλάσσης,
πατροκασιγνήτωι τανύων χάριν, ὅττι γεραίρει
εἰναλίην σέο Δῆλον ἁλὸς μεδέων ἐνοσίχθων·
μή σε λίπηι φοίνικος ἔρως καὶ μνῆστις ἐλαίης.
τίς πάλιν, ἐννοσίγαιε, δικασπόλος ἐνθάδε Κέκροψ,
τίς πάλιν Ἴναχος ἄλλος ἑὴν πόλιν ἴαχεν Ἥρηι,
ὅττι καὶ Ἀπόλλωνι κορύσσεαι, ὥς περ Ἀθήνῃ,
καὶ μόθον ἄλλον ἔχεις προτέρην μετὰ φύλοπιν Ἥρης;
καὶ σύ, πάτερ μεγάλοιο, κερασφόρε, Δηριαδῆος,
Ἡφαίστου πεφύλαξο σέλας μετὰ λαμπάδα Βάκχου,
μή σε πυριγλώχινι καταφλέξειε κεραυνῶι.”
ὣς εἰπὼν ἀνέκοψε θεῶν ἔμφυλον Ἐνυώ.
καὶ τότε λυσσήεις παλινάγρετον ἄμφεπε χάρμην
Δηριάδης βαρύμηνις, ἀπήμονας ὡς ἴδε Βάκχας·
καὶ μόθον ἀρτεμέοντος ὀπιπεύων Διονύσου
εἰς ἐνοπὴν οἴστρησε πεφυζότας ἡγεμονῆας·
καὶ ξυνὴν πρυλέεσσι καὶ ἱππήεσσιν ἀπειλὴν
βάρβαρον ἐσμαράγησε βαρυφθόγγων ἀπὸ λαιμῶν·
“σήμερον ἢ Διόνυσον ἐγὼ πλοκαμῖδος ἐρύσσω,
ἠὲ μόθος Βακχεῖος ἀιστώσει γένος Ἰνδῶν.
ὑμεῖς μὲν Σατύροισιν ἀλεξήτειραν ἀνάγκην

τόξου δ' ἀγκύλα κύκλα συνέθλασε μάρμαρος αἰχμή·
οὐ δὲ μάχην ἀνέκοψε Διὸς δάμαρ· Ἀρτέμιδος δὲ
στήθεος ἄκρον ἔτυψε μεσαίτατον· ἡ δὲ τυπεῖσα
ἔγχεϊ παχνήεντι χαμαὶ κατέχευε φαρέτρην.
καί οἱ ἐπεγγελόωσα Διὸς μυθήσατο νύμφη·
"Ἄρτεμι, θηρία βάλλε· τί μείζοσιν ἀντιφερίζεις;
καὶ σκοπέλων ἐπίβηθι· τί σοὶ μόθος; οὐτιδανὰς δὲ
ἐνδρομίδας φορέουσα λίπε κνημῖδας Ἀθήνῃ·
καὶ λίνα σεῖο τίνασσε δολοπλόκα· θηροφόνοι γὰρ
σοὶ κύνες ἀγρώσσουσι, καὶ οὐ πτερόεντες ὀιστοί·
οὐ σὺ λεοντοφόνον μεθέπεις βέλος· ἀδρανέων γὰρ
σῶν καμάτων ἱδρῶτες ἀνάλκιδές εἰσι λαγωοί·
σῶν δ' ἐλάφων ἀλέγιζε καὶ εὐκεράου σέο δίφρου,
σῶν ἐλάφων ἀλέγιζε· τί σοὶ Διὸς υἷα γεραίρειν
πορδαλίων ἐλατῆρα καὶ ἡνιοχῆα λεόντων;
ἢν δ' ἐθέλῃς, ἔχε τόξον, Ἔρως ὅτι τόξα τιταίνει·
παρθενικὴ φυγόδεμνε μογοστόκε, πορθμὸν Ἐρώτων
κεστὸν ἔχειν ὤφελλες ἀοσσητῆρα λοχείης,
σὺν Παφίῃ, σὺν Ἔρωτι· σὺ γὰρ κρατέεις τοκετοῖο.
ἀλλά, τελεσσιγόνοιο κυβερνήτειρα γενέθλης,
ἔρχεο παιδοτόκων ἐπὶ παστάδα θηλυτεράων,
καὶ λοχίοις βελέεσσιν ὀιστεύουσα γυναῖκας
εἴκελος ἔσσο λέοντι λεχωίδος ἐγγύθι νύμφης,
ἀντὶ φιλοπτολέμοιο μογοστόκος. ἀλλὰ καὶ αὐτῆς
λῆγε σαοφρονέουσα σαόφρονος εἵνεκα μίτρης,
L2[O] ὅττι τεῶν μελέων μεθέπων τύπον ὑψιμέδων Ζεὺς
παρθενικὰς ἀγάμους νυμφεύεται· εἰσέτι κείνην
εἰκόνα σὴν βοόωσι γαμοκλόπον Ἀρκάδες ὗλαι,
Καλλιστοῦς ἀγάμοιο γαμοστόλον, ὑμετέρην δὲ
ἔμφρονα μάρτυρον ἄρκτον ἔτι στενάχουσι κολῶναι
μεμφομένην νόθον εἶδος ἐρωμανὲς ἰοχεαίρης,
θηλυτέρης ὅτε λέκτρον ἐδύσατο θῆλυς ἀκοίτης.
ἀλλὰ τεὴν ἀνόνητον ἀπορρίψασα φαρέτρην
Ἥρης κάλλιπε δῆριν ἀρείονος· ἢν δ' ἐθελήσῃς,
ὡς λοχίη πολέμιζε τελεσσιγάμῳ Κυθερείῃ."
ἔννεπε, τειρομένην δὲ παρήλυθεν Ἄρτεμιν Ἥρη.
τὴν δὲ φόβῳ μεθύουσαν ἀπὸ φλοίσβοιο κομίζων
ἀμφοτέρῳ πήχυνε κατηφέι Φοῖβος ἀγοστῷ,
καί μιν ἄγων ἔστησεν ἐρημάδος ἔνδοθι λόχμης·
νοστήσας δ' ἀκίχητος ὁμίλεε θέσπιδι χάρμῃ.
καὶ βυθίου προμάχου πυρόεις πρόμος ἀντίος ἔστη,
Φοῖβος ἐς ὑσμίνην Ποσιδήιον· ἀμφὶ δὲ νευρῇ
θῆκε βέλος καὶ πυρσὸν ἐκούφισε Δελφίδι πεύκῃ
ἀμφοτέρῃ παλάμῃ περιδέξιος, ὄφρα κορύσσῃ
ὁλκῷ κυματόεντι σέλας καὶ τόξα τριαίνῃ.
αἰχμὴ δ' αἰθαλόεσσα καὶ ὑδατόεντες ὀιστοὶ
σύμπεσον ἀλλήλοισι· κορυσσομένοιο δὲ Φοίβου
Ἄρεος ἐσμαράγησε μέλος πατρώιος Αἰθήρ,
βρονταῖον κελάδημα· θυελλήεσσα δὲ σάλπιγξ
οὔασι Φοιβείοισιν ἐπέκτυπε ποντιὰς Ἠχώ·

171 δειμαίνων Λυκόοργον, ὑποβρυχίοιο δὲ κόλπου
Νηρεΐδας θώρηξε, καὶ ἐξ ἁλὸς ἦλθε κομίζων
εἰναλίην ἐς Ἄρηα κασιγνήτην Ἀφροδίτην·
ἀντὶ δὲ νυμφιδίοιο καὶ εὐόδμοιο χιτῶνος
δῶκεν ἔχειν θώρηκα σιδήρεον, ἀντὶ δὲ κεστοῦ
χάλκεον ἔγχος ὄπασσε· καὶ οὔνομα τὸ πρὶν ἀμείψας
Χαλκομέδην ὀνόμηνε κορυσσομένην Ἀφροδίτην·
ἔστι δὲ Βασσαρίδεσσι συνέμπορος· ἀμφοτέροις δὲ
μάρναμαι ἀγνώσσων, καὶ Κύπριδι καὶ Διονύσῳ.
καὶ τί μάτην δόρυ θοῦρον ἀείρομαι; εἶξον, ἀκωκή·
εἰ Παφίη νίκησεν ἀκοντιστῆρα κεραυνοῦ,
εἰ πολέμων σκηπτοῦχον ἑῷ σπινθῆρι δαμάζει,
εἰ φλογερὸν Φαέθοντα κατέφλεγε μείζονι πυρσῷ
καὶ κλονέει πυρόεντα, τί κεν ῥέξαιμι σιδήρῳ;
εἴπατέ μοί τινα μῆτιν ἀρηγόνα Κυπρογενείης·
οὐτήσω τὸν Ἔρωτα; πόθεν πτερόεντα κιχήσω;
ἔγχος ἀερτάζω; πυρὶ μάρναται. ἆορ ἐρύσσω;
τόξον ἔχει, τὸ δὲ τόξον ἐμῆς φρενὸς ἁπτόμενον πῦρ.
πολλάκις οὐτήθην κατὰ φύλοπιν· ἀλλὰ καμόντα
ἰητήρ με σάωσεν ἑῇ ζωαρκέι τέχνῃ,
ὠτειλῇ μελέων ὀδυνήφατον ἄνθος ἑλίξας.
Ὕσσακε, μὴ κρύψῃς, τίνα φάρμακα ποικίλα πάσσων
ἔνδον ἐμῆς κραδίης ἰήσομαι ἕλκος Ἐρώτων.
εἰμὶ μὲν ἀντιβίοισιν ἀεὶ θρασύς· ἀλλ' ὅτε λεύσσω
Χαλκομέδην παρεοῦσαν, ἐμὴ θηλύνεται αἰχμή.
L2[O] οὐ τρομέω Διόνυσον· ὑποπτήσσω δὲ γυναῖκα,
ὅττι σέλας πέμπουσα ποθοβλήτοιο προσώπου
μορφῇ ὀιστεύει με, καὶ οὐκέτι τόξα τιταίνω.
ὡς ἄρα Νηρεΐδων μίαν ἔδρακον· εἰ θέμις εἰπεῖν,
ἢ Θέτις ἢ Γαλάτεια συναιχμάζει Διονύσῳ."
εἶπε, καὶ ἀκροτάτοισι μόγις βραδὺς ἴχνεσι βαίνων,
2 μὴ νυχίην εὕδουσαν ἑὴν παράκοιτιν ἐγείρῃ,
εἰς θάλαμον πάλιν ἦλθε· μελαγκόλποιο δὲ νύμφης
τηλόθεν ἔτραπεν ὄμμα, καὶ ἤθελεν, ὄφρα φανεῖσα
Χαλκομέδη λάμψειε καὶ ἠριγένεια φανείη.
ἀσχαλόων δ' ὑπ' Ἔρωτι κατηφέι κάππεσεν εὐνῇ·
καὶ θεράπων ἄγρυπνος ἔχων πόθον ἡδέος ὕπνου
Ὕσσακος αὖτις ἔδαρθεν ἑῆς ἐφύπερθε βοείης.
3 Μορρέα δ' ὑπνώοντα παρήπαφεν ὄψις ὀνείρου,
κλεψινόων ἐλέφαντος ἀναΐξασα πυλάων,
καί τινα μῦθον ἔειπεν ἐπήρατον ἠπεροπῆα·
"δέχνυσο Χαλκομέδην πειθήμονα, νυμφίε Μορρεῦ·
δέξο καὶ ἐν λεχέεσσι μετὰ πτολέμους σέο νύμφην·
ἠματίην ὀρόων με τεὴν ηὔφρηνας ὀπωπήν,
καὶ νυχίῃ παρίαυε φιλήνορι Χαλκομεδείῃ.
ἔστι καὶ ὑπναλέοιο γάμου χάρις, ἔστι καὶ αὐτῶν
ἱμερόεις γλυκὺς οἶστρος ὀνειρείων ὑμεναίων.
ἤθελον ἀγκὰς ἔχειν σε, καὶ ἐγγύθε φαίνεται Ἠώς."
ὣς φαμένη πεπότητο· καὶ ἐξ ὕπνου θόρε Μορρεύς,
ἀρχομένης δ' ἐνόησεν ἀμερσιγάμου φάος Ἠοῦς·

Χαλκομέδην δ' ἐδόκησεν ἔχειν πόθον· αἶψα δὲ σιγῆι
ἔννεπε Κυπριδίην ἀπατήλιον ἐλπίδα βόσκων·
"τριπλόον, ἠριγένεια, φέρεις φάος, ὅττι κομίζεις
Χαλκομέδην, καὶ φέγγος ἄγεις καὶ νύκτα διώκεις.
Μορρέος ἀγρύπνοιο παρήγορε, καὶ σὺ φανείης,
Χαλκομέδη, ῥοδόεσσα ῥοδοστεφέος πλέον Ἠοῦς·
οὔ ποτε τοῖον ἄγουσι ῥόδον λειμωνίδες Ὧραι.
παρθενικὴ χαρίεσσα, τεαὶ μεθέπουσι παρειαὶ
εἰαρινὸν λειμῶνα, τὸν οὐ χρόνος οἶδε μαραίνειν·
ἄνθεα σοὶ θαλέουσιν, ὅτε φθινοπωρίδες Ὧραι·
σὰ κρίνα καὶ κατὰ χεῖμα φαείνεται· ἀμφιέπει δὲ
σὸν δέμας οὐ λήγουσαν ἐρευθομένην ἀνεμώνην,
ἣν Χάριτες κομέουσι καὶ οὐκ ὀλέκουσιν ἀῆται.
οὔνομα σὸν κόσμησας ἀριστεύουσα σιδήρωι·
ἄρμενον ἠνορέηι τεὸν οὔνομα· Χαλκομέδην δὲ
οὔ σε μάτην καλέουσι· σὲ γὰρ τέκε χάλκεος Ἄρης
Κύπριδος ἐν λεχέεσσιν Ἐρωτοτόκοιο χορεύων.
Χαλκομέδην μὲν ἅπαντες, ἐγὼ δέ σε μοῦνος ἐνίψω
Χρυσομέδην, ὅτι κάλλος ἔχεις χρυσῆς Ἀφροδίτης·
πείθομαι, ὡς Σπάρτηθεν ἔχεις γένος· ὡς δοκέω γάρ,
Χαλκομέδην ἐλόχευσε σιδηροχίτων Ἀφροδίτη."
τοῖον ἔπος κατέλεξε φιλαγρύπνων ἐπὶ λέκτρων.
ἀλλ' ὅτε φοινίσσοντι σέλας πέμπουσα προσώπωι
ὑσμίνης προκέλευθος ἐκηβόλος ἄνθορεν Ἠώς,
Ἰνδώιην ἐκόρυσσε γονὴν λαοσσόος Ἄρης·
καὶ τότε θωρηχθέντες ἐυτροχάλων ἀπὸ λέκτρων
ἅρματι Δηριάδαο συνήλυδες ἔρρεον Ἰνδοί.
Βάκχοι δ' οὐ παρεόντος ἀνικήτου Διονύσου
εἰς πεδίον προχέοντο κατηφέες· ἐν κραδίηι δὲ
οὐκέτι θαρσήεντες ἐπεστρατόωντο κυδοιμῶι,
ἀλλὰ φόβωι δονέοντο· καὶ οὐ ῥηξήνορι λύσσηι
εἰσέτι χαλκοχίτωνες ἐβακχεύοντο γυναῖκες·
οὐδὲ βαρυφθόγγοιο μεμυκότος ἀνθερεῶνος
ἀφρὸν ἀνηκόντιζον, ἐν ἀφλοίσβωι δὲ σιωπῆι
μίμνεν ἀδεψήτοιο περίκροτα νῶτα βοείης·
οὐ δαΐδες σελάγιζον Ἐνυαλίης φλόγα πεύκης,
καπνὸν ἐρευγομένης θανατηφόρον· ἀλλ' ὑπὸ κέντρωι
δαιμονίης μάστιγος ἐθηλύνοντο μαχηταί.
οὐ Σάτυροι κελάδησαν, ἐθήμονος οὐ θρόος αὐλοῦ
ἔβρεμεν ἐγρεκύδοιμος· ἀβακχεύτωι δὲ κυδοιμῶι
Σειληνοὶ πολέμιζον ἐχέφρονες, οὐδὲ προσώπωι
μίλτον ἐπιχρίσαντες ὁμόχροον αἴθοπι λύθρωι
ξανθὸν ἐφοινίξαντο τύπον ψευδήμονι μορφῆι
εἰς φόβον, οὐδὲ μέτωπα πεφυρμένα λευκάδι γύψωι,
ὡς πάρος, ἐρραίνοντο· καὶ οὐ στομάτεσσι πιόντες
θερμὸν ἐρημονόμοιο νεόσσυτον αἷμα λεαίνης
Πᾶνες ἀελλήεντες ἐβακχεύοντο κυδοιμῶι,
ἀλλὰ φόβωι γεγάασιν ἐνηέες· ὀκναλέοι δὲ
φειδομέναις ἤρασσον ἀδουπήτοις χθόνα χηλαῖς,
φρικτὸν ἀναστείλαντες ὀρίδρομον ἅλμα χορείης.

αἱ δὲ Νότου παρὰ πέζαν ἀλήμονες, αἱ δὲ Βορῆος
Βασσαρίδες κλονέοντο· καὶ ἀρσενόθυμον ἀνάγκην
Μαινάδες ἠλλάξαντο, πάλιν δ' ἐγένοντο γυναῖκες,
καὶ μόθον ἠρνήσαντο, φιληλακάτοιο δὲ τέχνης
καὶ ταλάρων μνήσαντο, καὶ ἤθελον αὖτις Ἀθήνης
ἀμφιέπειν κλωστῆρα καὶ οὐκέτι θύσθλα Λυαίου.
καὶ στίχα χιονέην ὀλέκων κυανόχροος ἀνὴρ
ἐνδόμυχον κλόνον εἶχε πολισσούχοιο κυδοιμοῦ. 34.358

Ὣς φάμενος θάρσυνε γεγηθότας ἡγεμονῆας· 36.1
Δηριάδης δ' ἑτέρωθεν ἑοὺς ἐκόρυσσε μαχητάς.
ἀμφοτέρηι δὲ φάλαγγι θεοὶ ναετῆρες Ὀλύμπου
κεκριμένοι στέλλοντο κυβερνητῆρες Ἐνυοῦς,
οἱ μὲν Δηριαδῆος ἀρηγόνες, οἱ δὲ Λυαίου.
Ζεὺς μὲν ἄναξ μακάρων ὑψίζυγος ὑψόθι Κέρνης
Ἄρεος εἶχε τάλαντα παρακλιδόν· οὐρανόθεν δὲ
ἔμπυρον ὑδατόεις προκαλίζετο κυανοχαίτης
Ἠέλιον, γλαυκῶπιν Ἄρης, Ἥφαιστος Ὑδάσπην·
Ἥρης δ' ἀντικέλευθος ὀρεστιὰς Ἄρτεμις ἔστη·
Λητώιην δ' ἐπὶ δῆριν ἐύρραπις ἤλυθεν Ἑρμῆς.
καὶ ζαθέου πολέμου διδυμόκτυπος ἔβρεμεν ἠχὼ
ἀμφοτέροις μακάρεσσιν. ἐπεσσυμένων δὲ κυδοιμῶι
Ἄρης ἑπταπέλεθρος ἐμάρνατο Τριτογενείηι,
καὶ δόρυ θοῦρον ἴαλλεν· ἀνουτήτου δὲ θεαίνης
μέσσην αἰγίδα τύψεν, ἀθηήτου δὲ καρήνου
ἤλασε Γοργείης ὀφιώδεα λήια χαίτης,
Παλλάδος οὐτήσας λάσιον σάκος· ὀξυτενὴς δὲ
πεμπομένη ῥοιζηδὸν ἀκαμπέος ἔγχεος αἰχμὴ
ποιητὴν πλοκαμῖδα νόθης ἐχάραξε Μεδούσης.
κούρη δ' ἐγρεκύδοιμος ἐπαΐξασα καὶ αὐτὴ
σύγγονον ἔγχος ἄειρεν ἐπ' Ἄρεϊ Παλλὰς ἀμήτωρ,
κεῖνο, τό περ φορέουσα λεχώιον ἥλικι χαλκῶι
ἄνθορε πατρώιοιο τελεσσιγόνοιο καρήνου.
καὶ δαπέδωι γόνυ κάμψε τυπεὶς περιμήκετος Ἄρης·
ἀλλά μιν ὀρθώσασα παλινδίνητον Ἀθήνη
μητρὶ φίληι μετὰ δῆριν ἀνούτατον ὤπασεν Ἥρηι.
Ἥρηι δ' ἀντερίδαινεν ὀρεσσινόμου Διονύσου
Ἄρτεμις ὡς συνάεθλος ὀρεστιάς, ἰθυτενὲς δὲ
τόξον ἑὸν κύκλωσεν· ὁμοζήλωι δὲ κυδοιμῶι
Ἥρη Ζηνὸς ἑλοῦσα νέφος πεπυκασμένον ὤμοις
ἀρραγὲς ὡς σάκος εἶχε· καὶ Ἄρτεμις ἄλλον ἐπ' ἄλλωι
ἠερίης πέμπουσα δι' ἄντυγος ἰὸν ἀλήτην
εἰς σκοπὸν ἀχρήιστον ἑὴν ἐκένωσε φαρέτρην,
καὶ νεφέλην ἄρρηκτον ὅλην ἐπύκαζεν ὀιστοῦς·
καὶ γεράνων μιμηλὸς ἔην τύπος ἠεροφοίτης
ἱπταμένων στεφανηδὸν ἀμοιβαίωι τινὶ κύκλωι·
καὶ νέφεϊ σκιόεντι πεπηγότες ἦσαν ὀιστοί·
ὠτειλὰς δ' ἀχάρακτος ἀναίμονας εἶχε καλύπτρη.
καὶ κραναὸν κούφισσεν ὑπηνέμιον βέλος Ἥρη,
χειρὶ δὲ δινεύουσα πεπηγότα νῶτα χαλάζης
Ἄρτεμιν ἐστυφέλιξε χαραδρήεντι βελέμνωι·

καὶ βλοσυρῆς κελάδησε βοῆς ἀπατήλιον Ἠχω,
Nonnus ὡς ἐτεὸν κοτέων πρόμος ἤπιος· ἀμφότερον γάρ,
εἶχε νόον γελόωντα, χόλον δ᾽ ἀνέφηνε προσώπωι.
ἦκα δὲ δινήσας σφαλερὴν προέηκεν ἀκωκὴν
εἰς σκοπὸν ἀχρήιστον ἑκούσιος· ἡ δὲ φυγοῦσα
ἠερίαις ταχύγουνος ἐπέτρεχε σύνδρομος αὔραις·
τῆς δὲ τιταινομένης ἀνεμώδεϊ γούνατος ὁρμῆι
◆ πλοχμοὺς βοτρυόεντας ἀνερρίπιζον ἀῆται,
αὐχένα γυμνώσαντες ἐριδμαίνοντα Σελήνηι·
φειδομένοις δὲ πόδεσσιν ἑκούσιος ἔτρεχε Μορρεύς,
πῆι μὲν ἐυρραφέων ποδὸς ἴχνια γυμνὰ πεδίλων
εἰς σφυρὰ παπταίνων ῥοδοειδέα, πῆι δὲ δοκεύων
πλαζομένης ἑλικηδὸν ὀπίστερα βόστρυχα χαίτης
Χαλκομέδην ἐδίωκε· καὶ ἴαχεν ἡδέι μύθωι,
μείλιχον ἀφλοίσβοιο χέων ἔπος ἀνθερεῶνος·
"μίμνέ με, Χαλκομέδεια, τὸν ἱμείροντα μαχητήν·
ῥύεται ἀγλαΐη σε, καὶ οὐ δρόμος· οὐ τόσον αἰχμαὶ
ἄνδρα βαλεῖν δεδάασιν, ὅσον σπινθῆρες Ἐρώτων.
δήιος οὐ γενόμην, μὴ δείδιθι· μαρνάμενον γὰρ
χαλκείην σέο κάλλος ἐμὴν νίκησεν ἀκωκήν·
ἔγχεος οὐ χατέεις, οὐκ ἀσπίδος· ὑμετέρου γὰρ
ὡς ξίφος, ὡς δόρυ θοῦρον, ἔχεις ἀκτῖνα προσώπου,
καὶ μελίης πολὺ μᾶλλον ἀριστεύουσι παρειαί.
φρικτὸν ἐμῆς παλάμης λέλυται σθένος· οὐ νέμεσις γάρ,
εἰ δόρυ θοῦρον ἔχω νικώμενον, ὅττι καὶ αὐτὸς
L3[O] Κύπριδος ἱσταμένης θηλύνεται ἄγριος Ἄρης.
δέξό με σοῖς Σατύροισιν ὁμόστολον· ἐν πολέμοις γὰρ
Ἰνδοὶ ἀριστεύσουσιν, ἕως ἔτι χεῖρα κορύσσω.
ἢν δ᾽ ἐθέληις, ἅτε λάτρις ὑποδρήσσω Διονύσωι·
ἢν ἐθέληις, με δάμαζε κατ᾽ αὐχένος ἢ κενεῶνος·
οὐκ ἀλέγω θανάτοιο τεῆι δεδαϊγμένος αἰχμῆι·
μοῦνον ἐμὲ στενάχιζε δεδουπότα· μυρομένης δὲ
δάκρυα Χαλκομέδης με καὶ ἐξ Ἀίδαο κομίσσει.
παρθένε, τί τρομέεις, ὅτι μείλιχον ἔγχος ἀείρω;
σοὺς πλοκάμους ὁρόων ἑλικώδεας ὑψόθεν ὤμων
ἀσκεπέων τρυφάλειαν ἐμῶν ἀπέθηκα κομάων·
νεβρίδα παπταίνων στυγέω θώρηκα φορῆσαι."
ὣς φαμένου παράμειβε γυνὴ καὶ ἐμίγνυτο Βάκχοις,
καὶ φονίου Μορρῆος ἀποπλαγχθεῖσα κελεύθου
θαρσαλέη πολέμιζε καὶ ἤρισεν ἄρσενι χάρμηι.
καὶ τότε δυσκελάδοιο λιπὼν στροφάλιγγα κυδοιμοῦ
ἄμπνυτο Βάκχος ὅμιλος, ἕως ἀνεχάζετο Μορρεύς.
Βασσαρίδων δὲ φάλαγγα πρὸ ἄστεος ἄορι τύπτων
Δηριάδης ἐδίωκεν, ἕως σχεδὸν ἤλασε πύργων,
οἰγομένου στίχα πᾶσαν ἔσω πυλεῶνος ἐέργων
τείχεος ὑψιλόφοιο· διωκόμεναι δὲ σιδήρωι
ἄστεος ἐντὸς ἵκανον ἀποσπάδες ἠθάδος ὕλης·
ἀσταθέες δὲ φάλαγγες ἀήθεα κύκλα κελεύθου
ἔστιχον ἔνθα καὶ ἔνθα διακριδόν, εἰς πτερὸν Εὔρου,
εἰς ῥαχίην Ζεφύροιο παρ᾽ Ἑσπέριον κλίμα γαίης,

173 (98C) Δηριάδης δ᾽ ὑπέροπλος ἐπέχραεν ἄρσενι χάρμηι,
σείων ὡς τρυφάλειαν ἑῆς γλωχῖνα κεραίης· Nonnus
θηλυτέρηι δὲ φάλαγγι θορὼν βακχεύετο Μορρεύς·
οὐ γὰρ Χαλκομέδεια συνέμπορος ἵστατο Βάκχαις,
ὄφρά μιν αἰδέσσαιτο, κατεσσυμένην δὲ γυναικῶν
αἵματι πορφύρουσαν ἀναστείλειεν ἀκωκήν,
ἀλλὰ τότε προμάχοισιν ὁμήλυδος ἥπτετο χάρμης
παρθένος ἱμερόεσσα νέη κλυτότοξος Ἀμαζών,
φάρεα λεπτὰ φέρουσα καὶ ἀστράπτοντα χιτῶνα
ἐν πεδίωι· τὸ γὰρ εἶπε σοφὴ Θέτις, ὄφρα σαώσηι
λαὸν ὅλον μογέοντα τινασσομένου Διονύσου.
ἔνθα διατμήξας Χαρίτων ἴνδαλμα προσώπου
Βασσαρίδας ζώγρησεν ἀνάλκιδας ἕνδεκα Μορρεύς,
ἃς μετὰ Χαλκομέδην ἐκρένατο· Μαιναλίδων δὲ
χεῖρας ὀπισθοτόνους ἀλύτωι σφηκώσατο δεσμῶι,
καὶ στίχα λυσιέθειραν ὑπὸ ζυγὰ δούλια σύρων
ληίδας ἀμφιπόλους ἑκυρῶι πόρε Δηριαδῆι,
ἕδνον ἑῆς ἀλόχοιο τὸ δεύτερον, ἧς χάριν εὐνῆς
νυμφοκόμον μόθον εἶχεν ἀερσιλόφωι παρὰ Ταύρωι,
ὁππότε Δηριάδαο νέην βασιληίδα κούρην,
ἥλικα Χειροβίην, ζυγίωι σφηκώσατο δεσμῶι·
οὐ γὰρ δῶρον ἔδεκτο γαμήλιον ὄρχαμος Ἰνδῶν
παιδὸς ἑῆς, οὐ χρυσὸν ἐπήρατον, οὐ λίθον ἅλμης
μαρμαρέην, ἀγέλας δὲ βοῶν καὶ πώεα μήλων
Δηριάδης ἀπέειπε, καὶ ἐγρεμόθοισι μαχηταῖς
θυγατέρων ἔζευξεν ἀδωροδόχους ὑμεναίους, L3[O]
γαμβρὸν ἔχων Μορρῆα καὶ ἐννεάπηχυν Ὀρόντην·
καὶ διδύμοις προμάχοισιν ἑὴν νύμφευσε γενέθλην,
Μορρέι Χειροβίην καὶ Πρωτονόειαν Ὀρόντηι.
οὐ γὰρ ἐπιχθονίοισιν ὁμοίιος ἔπλετο Μορρεύς,
ἀλλὰ Γιγαντείων μελέων ὑψαύχενι μορφῆι
4 (1C) Ἰνδῶν Γηγενέων μιμήσατο πάτριον ἀλκήν,
ἠλιβάτου Τυφῶνος ἔχων αὐτόχθονα φύτλην,
εὖτε πυριτρεφέων Ἀρίμων παρὰ γείτονι πέτρηι
σύγγονον ἠνορέην ἐπεδείκνυε μάρτυρι Κύδνωι,
ἕδνα φέρων θαλάμων, Κιλίκων ἱδρῶτας ἀέθλων,
νυμφίος ἀκτήμων, ἀρετῆι δ᾽ ἐκτήσατο νύμφην.
ὥς ποτε Μορρείοιο γάμου μνηστῆρι σιδήρωι
5 Ἀσσυρίη γόνυ κάμψε, καὶ εἰς ζυγὰ Δηριαδῆος
αὐχένα πετρήεντα Κίλιξ δοχμώσατο Ταῦρος,
καὶ θρασὺς ὤκλασε Κύδνος, ὅθεν Κιλίκων ἐνὶ γαίηι
Σάνδης Ἡρακλέης κικλήσκεται εἰσέτι Μορρεύς.
καὶ τὰ μὲν ἐν προτέροισιν· ἐν ὀψιγόνωι δὲ κυδοιμῶι
θυιάδας ἐζώγρησεν ἀφειδέι δούρατι Μορρεύς·
κυδιόων δ᾽ ἀχάλινον ἀπερροίβδησεν ἰωήν·
"σοὶ μὲν ἐγώ, σκηπτοῦχε, τεῆς κειμήλια κούρης
Βάκχας πρῶτον ἄγω, μετέπειτα δὲ Βάκχον ὀπάσσω."
ὣς φαμένου Μορρῆος ἀμείβετο κοίρανος Ἰνδῶν·
"Χειροβίην ἀνάεδνον ἔχων, κορυθαιόλε Μορρεῦ,
ἄξιά μοι πόρες ἕδνα φερεσσακέων ὑμεναίων,

ἄστεα δουλώσας Κιλίκων ὑψήνορι νίκηι.
ἄρτι πάλιν νέα δῶρα χαρίζεαι· ἢν δ' ἐθελήσηις,
ἄλλας Βασσαρίδας ληίσσεο, Χειροβίης δὲ
ἀμφιπόλων ἔμπλησον ὅλον δόμον· ἀμφὶ δὲ Βάκχου
οὐ χατέω Μορρῆος, ἀλυκτοπέδαις δὲ πεδήσας
δούλιον εἰς ζυγόδεσμον ἐγὼ Διόνυσον ἐρύσσω.
μοῦνον ἐμοὶ πεφύλαξο δορικτήτης πόθον εὐνῆς,
◆ μή σε γυναιμανέεσσιν ἴδω πανομοίιον Ἰνδοῖς·
ὄμματα μὴ σκοπίαζε καὶ ἄργυφον αὐχένα Βάκχης,
μὴ ποθέων τελέσειας ἐμὴν ζηλήμονα κούρην.
αὐτὰρ ἐπὴν Βρομίου στρατιὴν ξύμπασαν ὀλέσσω,
Μαιονίην ἐπὶ γαῖαν ἐλεύσομαι, ἔνθεν ἀφύξω
Λυδῶν ἄσπετον ὄλβον, ὅσον Πακτωλὸς ἀέξει·
ἵξομαι εἰς Φρυγίην εὐάμπελον, ὁππόθι Ῥείη
παιδοκόμος Βρομίοιο, καὶ ἀγχικέλευθον ὀλέσσω
ἀργυρέης Ἀλύβης πέδον ὄλβιον, ὄφρα κομίσσω
φαιδρὰ ῥυηφενέων χιονώδεα νῶτα μετάλλων·
πέρσω δ', ἣν καλέουσι, καὶ ἑπταπύλου χθόνα Θήβης,
καὶ φλέξω Σεμέλης φλογερὸν δόμον, ὁππόθι παστοὶ
λείψανα. θερμὰ φέρουσι μαραινομένων ὑμεναίων."
εἶπεν ἄναξ ἀθέμιστος, Ἐνυαλίοιο δὲ γαμβροῦ
ἀμφιπόλων στίχα πᾶσαν ἐδέξατο δῶρα κυδοιμοῦ
Δηριάδης, Φλογίωι δὲ καὶ Ἀγραίωι πόρε Βάκχας
ἑλκομένας πλοκαμῖδος· ὁμοπλόκτωι δ' ἐνὶ δεσμῶι
ἀρραγέες παλάμηισιν ἐμιτρώθησαν ἱμάντες.
L3[I] τὰς μὲν ἄγων Φλόγιος βασιληίδος ἄγγελα νίκης
σφιγγομένας πόμπευε δι' ἄστεος. ὑψιτενεῖς δὲ
αἱ μὲν ἐυγλυφάνοιο παρὰ προπύλαια μελάθρου
ἀγχονίωι θλίβοντο περίπλοκον αὐχένα δεσμῶι·
ἄλλαις θερμὸν ὄπασσε μόρον πυρφύεντος ὀλέθρου·
αἱ δὲ πεδοσκαφέεσσιν ἐτυμβεύοντο ῥεέθροις
φρείατος ἐν γυάλοισιν, ὅπηι βυθίων ἀπὸ κόλπων
χερσὶν ἀμοιβαίαις βεβιημένον ἕλκεται ὕδωρ·
καί τις ἔσω διεροῖο βαθυνομένου κενεῶνος
ἡμιφανὴς ἀτίνακτος ἀμοιβαίηι φάτο φωνῆι·
"ἔκλυον, ὡς Ἰνδοῖσι θεὸς πέλε γαῖα καὶ ὕδωρ·
οὐδὲ μάτην ποτὲ τοῦτο φατίζεται· ἀμφότεροι γὰρ
εἰς ἐμὲ θωρήχθησαν ὁμόφρονες, εἰμὶ δὲ μέσση
καὶ χθονίου θανάτοιο καὶ ὑδατόεντος ὀλέθρου,
καὶ μόρον ἐγγὺς ἔχω διδυμόζυγον· ἰλυόεις γὰρ
ξεῖνος δεσμὸς ἔχει με, καὶ οὐκέτι ταρσὸν ἀείρω,
ὑγρὰ δὲ ῥιζώσασα πεπηγότα γούνατα πηλῶι
ἵσταμαι ἀστυφέλικτος ἐγὼ Μοίρηισιν ἑτοίμη·
καὶ ποταμός με δίωκε, καὶ οὐ χυτὸν ἔτρεμον ὕδωρ·
αἴθε καὶ οὗτος ἔην κελάδων ῥόος, ὄφρα καὶ αὐτοῦ
χεῖρας ἐρετμώσασα διατμήξω μέλαν ὕδωρ."
ἔννεπεν· οἰγομένωι δὲ κατάρρυτα χεύματα λαιμῶι
δεχνυμένη κατὰ βαιὸν ἀτυμβεύτωι θάνε πότμωι.
αὐτὰρ ὁ Χαλκομέδης πεπεδημένος ἠδέι κέντρωι
Μαιναλίδων ἀσίδηρον ὅλον στρατὸν ἤλασε Μορρεὺς
174 (99C) εἰς πόλιν ὀφρυόεσσαν, ὀπίστερος ἔγχεϊ νύσσων.
ὡς δ' ὅτε μηλονόμος πολυχανδέος εἰς μυχὰ μάνδρης
συμμιγέων ὀίων σποράδας στίχας εἰς ἓν ἐλαύνων
εἰροπόκων ἴθυνε καλαύροπι πώεα μήλων
πασσυδίῃ, πολέες δὲ συνεστιχόωντο βοτῆρες
μῆλα περισφίγγοντες ὁμόζυγι πήχεος ὁλκῶι
προτροπάδην στοιχηδὸν ἀρηρότα, μή ποτε ποίμνης
κλειομένης πλάζοιτο παράτροπος ἑσμὸς ἀλήτης·
ὣς ὅ γε θῆλυν ὅμιλον ἔσω πυλεῶνος ἐέργων
εἰς πόλιν αἰπύδμητον ἀελλόπος ἤλασε Μορρεὺς
Βακχείην στίχα πᾶσαν ἀποσπάδα δηιοτῆτος.
καὶ μογέων δόλον εἶχεν ἐτώσιον, ὄφρα κυδοιμοῦ
ληίδα καλλιγύναικα λιπὼν μεταναστιον ἄγρην
Χαλκομέδην ἐρύσειεν ὑπὸ ζυγὰ δουλοσυνάων,
ἄλλαις θηλυτέρηισιν ὁμόστολον, ὄφρά οἱ αἰεὶ
ἠματίη θεράπαινα καὶ ἔννυχος εὐνέτις εἴη,
καὶ διδύμων τελέσειεν ἀμοιβαδὶς ἔργα θεάων,
λάθρια Κύπριδος ἔργα καὶ ἀμφαδὸν ἱστὸν Ἀθήνης {...}
Μορρεὺς δ' οὐκ ἀμέλησε δορυσσόος· ἀγχιμάχωι γὰρ
Δηριάδηι φύξηλιν ἐπέτρεπε θῆλυν Ἐνυώ,
Βακχιάδος δὲ φάλαγγος ἐπέχραεν ἄρσενι χάρμηι,
ὄφρα περικλείσειε καὶ ἀνέρας· ἐν δὲ κυδοιμοῖς
εἰς φόβον ἠπείγοντο. θυελλήεσσα δὲ κούρη
ἵστατο κοσμηθεῖσα πρὸ ἄστεος ἐγγύθι πύργου,
παρθένος ἀκρήδεμνος· ἐρωμανέων δὲ γυναικῶν
νεύμασι ποιητοῖσι τύπον μιμήσατο κούρη, L3[I]
ὄμματα δινεύουσα, καὶ ἠθάδος ἔκτοθι μίτρης
λευκὸς ἐρευθιόωντι χιτὼν φοινίσσετο μαζῶι·
Μορρεὺς δ' εἰσορόων ἐπετέρπετο, καὶ διὰ πέπλου
λεπταλέου σφριγόωσαν ἴτυν τεκμαίρετο μαζοῦ.
καὶ λίθον εὐποίητον ἴσον τροχοειδέι δίσκωι
5 (2C) παρθένος ἁρπάξασα, πελώριον ἄχθος ἁμάξης,
Μορρέος εὐπήληκος ἀκόντισεν ἴδμονι τέχνηι·
καὶ λίθος ἠερόθεν πεφορημένος ὀξέι ῥοίζωι
ἀσπίδος ἄκρον ἄραξεν, ὅπηι χρυσήλατος εἰκὼν
Χειροβίης νόθον εἶχε δέμας ψευδήμονι μορφῆι,
ποιητὸν δὲ κάρηνον ἀπέξεσε, βαλλομένηι δὲ
μαρμαρέηι γλωχῖνι χαρασσομένοιο προσώπου
6 μιμηλῆς ἀμάθυνε περίτροχον εἰκόνα μορφῆς·
καὶ σάκος ὀλβίζων ἀνεπάλλετο πολλάκι Μορρεύς,
καὶ κραδίηι γελόων κρυφίην ἐφθέγξατο φωνήν·
"ἄτρομε Χαλκομέδεια, νέη ῥοδοδάκτυλε Πειθώ,
Κύπριδος ἁβρὸν ἄγαλμα καὶ εὐθώρηκος Ἀθήνης,
Βακχιὰς ἠριγένεια καὶ οὐ δύνουσα Σελήνη,
γραπτὸν ἐμῆς ἀλόχου τύπον ἔξεσας· αἴθε καὶ αὐτῆς
Χειροβίης ἤμησας ἀληθέος αὐχένα νύμφης."
ὣς εἰπὼν ἐδίωκε πρὸ ἄστεος ἄζυγα κούρην,
γλῶσσαν ἀπειλείουσαν ἔχων, οὐ χεῖρα κορύσσων,
μῦθον ἀκοντίζων, οὐ παρθένον ἔγχεϊ νύσσων,
μειλιχίηι παλάμηι πεφιδημένον ἔγχος ἀείρων·

ἔνθεον ἀσκῆσαι ποθέων βρέτας· ὃν τότε γαίηι
Nonnus κουφίζων παλάμηισι πέλωρ ἱδρύσατο Κύκλωψ
νύσσης λαϊνέης ἀντίρροπον, ἶσον ἐκείνωι
ἀντίπορον λίθον ἄλλον ὁμόζυγον ἐν χθονὶ πήξας.
ποικίλα δ' ἦεν ἄεθλα, λέβης, τρίπος, ἀσπίδες, ἵπποι,
ἄργυρος, Ἰνδὰ μέταλλα, βόες, Πακτώλιος ἰλύς.
  καὶ θεὸς ἱππήεσσιν ἀέθλια θήκατο νίκης·
πρώτωι μὲν θέτο τόξον Ἀμαζονίην τε φαρέτρην
καὶ σάκος ἡμιτέλεστον Ἀρηιφίλην τε γυναῖκα,
τήν ποτε Θερμώδοντος ὑπ' ὀφρύσι πεζὸς ὁδεύων
λουομένην ζώγρησε, καὶ ἤγαγεν εἰς πόλιν Ἰνδῶν·
δευτέρωι ἵππον ἔθηκε Βορειάδι σύνδρομον αὔρηι,
ξανθοφυῆ, δολιχῆισι κατάσκιον αὐχένα χαίταις,
ἡμιτελὲς κυέουσαν ἔτι βρέφος, ἧς ἔτι φόρτωι
ἵππιον ὄγκον ἔχουσα γονῆς οἰδαίνετο γαστήρ·
καὶ τριτάτωι θώρηκα, καὶ ἀσπίδα θῆκε τετάρτωι·
τὸν μὲν ἀριστοπόνος τεχνήσατο Λήμνιος ἄκμων
ἀσκήσας χρυσέωι δαιδάλματι, τῆς δ' ἐνὶ μέσσωι
✦ ὀμφαλὸς ἀργυρέωι τροχόεις ποικίλλετο κόσμωι·
πέμπτωι δοιὰ τάλαντα, γέρας Πακτωλίδος ὄχθης.
ὀρθωθεὶς δ' ἀγόρευεν ἐπισπέρχων ἐλατῆρας·
"ὦ φίλοι, οὓς ἐδίδαξεν Ἄρης πολίπορθον Ἐνυώ,
οἷς δρόμον ἱπποσύνης δωρήσατο κυανοχαίτης,
οὐ μὲν ἐγὼ καμάτων ἀδαήμονας ἄνδρας ἐπείγω,
ἀλλὰ πόνοις βριαροῖσιν ἐθήμονας· ἡμέτεροι γὰρ
L1[O] παντοίαις ἀρετῆισι μεμηλότες εἰσὶ μαχηταί·
εἰ γὰρ ἀπὸ Τμώλοιο γένος λάχε Λύδιος ἀνήρ,
ἱππείης τελέσει Πελοπηίδος ἄξια νίκης·
εἰ δὲ πέδον Πισαῖον ἔχει μαιήιον ἵππων
Ἤλιδος εὐδέφροιο καὶ Οἰνομάοιο πολίτης,
οἶδεν Ὀλυμπιάδος κοτινηφόρον ὄζον ἐλαίης·
ἀλλ' οὐκ Οἰνομάοιο πέλει δρόμος, οὐκ ἐλατῆρες
ἐνθάδε κέντρον ἔχουσι κακοξείνων ὑμεναίων,
ἀλλ' ἀρετῆς δρόμος οὗτος, ἐλεύθερος ἀφρογενείης·
εἰ σχεδὸν Ἀονίης ἢ Φωκίδος αἷμα κομίζει,
Πύθιον Ἀπόλλωνι τετιμένον οἶδεν ἀγῶνα·
εἰ μεθέπει σοφὸν οὖδας ἐλαιοκόμου Μαραθῶνος,
ἔγνω πιαλέης ἐγκύμονα κάλπιν ἐέρσης·
εἰ πέλεν εὐώδινος Ἀχαιίδος ἀστὸς ἀρούρης,
Πελλήνην δεδάηκεν, ὅπηι ῥιγηλὸν ἀγῶνα
37.150 ἄνδρες ἀεθλεύουσι φιλοχλαίνου περὶ νίκης,
χειμερίωι σφίγγοντες ἀθαλπέα γυῖα χιτῶνι·
εἰ ναέτης βλάστησεν ἁλιζώνοιο Κορίνθου,
Ἴσθμιον ἡμετέροιο Παλαίμονος οἶδεν ἀγῶνα."
  ὣς φαμένου σπεύδοντες ἐπέτρεχον ἡγεμονῆες,
δίφρα περιτροχόωντες ἀμοιβαδίς· ὠκυπόδην δὲ
Ξάνθον ἄγων πρώτιστος ὑπὸ ζυγὰ δῆσεν Ἐρεχθεὺς
ἄρσενα, καὶ θήλειαν ἐπεσφήκωσε Ποδάρκην,
οὓς Βορέης ἔσπειρεν ἐυπτερύγων ἐπὶ λέκτρων
37.150 Σιθονίην Ἅρπυιαν ἀελλόπον εἰς γάμον ἕλκων,
καί σφεας, Ὠρείθυιαν ὅθ' ἥρπασεν Ἀτθίδα νύμφην,

✦ row of last line.

simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirty-fifth, seek the love of Morrheus for the enemy, and the battle and bloodshed of Bassarid women.

NONNUS

DIONYSIACA

BOOK 35

PREVIEW BOOK 37

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 391 lines 3.0
3L 1 - 391

PRINT 2-SIDED: **197** to **202**

Δηριάδης δ' ἀπέλεθρος ἐμάρνατο θυιάδι χάρμηι,
καὶ Βρομίου προπόλοισιν ἐπέχραε κοίρανος Ἰνδῶν,
πῆι μὲν ἀκοντίζων δολιχῶι δορί, πῆι δὲ δαΐζων
ἄορι κωπήεντι, χαραδραίοις δὲ βελέμνοις
τοξεύων πεφόρητο καὶ ὀξυτέροισιν ὀιστοῖς.
ὣς αἱ μὲν κλονέοντο κατὰ πτόλιν ἔνδοθι πύργων
ἔγχει Δηριάδαο· πολυγλώσσωι δὲ κυδοιμῶι
ἀμφοτέρων κτύπος ἦεν· ἐρευθιόωντι δὲ λύθρωι
ἄστεος εὐλάιγγες ἐφοινίχθησαν ἀγυιαὶ
κτεινομένων καναχηδὸν ἐν ἄστει θηλυτεράων.
ἀκλινέες δὲ γέροντες ἀερσιλόφων ἐπὶ πύργων
φύλοπιν ἐσκοπίαζον· ὑπὲρ τεγέων δὲ καὶ αὐταὶ
θυρσοφόρον στίχα πᾶσαν ἐθηήσαντο γυναῖκες·
καί τις ὑπὲρ μεγάροιο περικλινθεῖσα τιθήνηι
παρθένος ἑλκεσίπεπλος ἐδέρκετο θῆλυν Ἐνυώ,
καὶ κταμένηι βαρύδακρυς ἐπέστενεν ἥλικι κούρηι.
οὐδέ τις ἱμερόεσσαν ἑλὼν ἐβιήσατο νύμφην,
ὅττι γυναιμανέεσσιν ἄναξ ἐπετέλλετο λαοῖς,
φεύγειν δήια λέκτρα δορικτήτων ὑμεναίων,
μὴ Παφίης ἀλέγοντες ἀφειδήσωσιν Ἐνυοῦς.
καί τις ὑπὲρ δαπέδοιο περισκαίρουσα κονίηι
παρθενικὴ γυμνοῦτο· παρελκομένου δὲ χιτῶνος
ἀγλαΐηι κεκόρυστο καὶ ἱμείροντα φονῆα
οὔτασεν οὐτηθεῖσα, βέλος δέ οἱ ἔπλετο μορφή,
καὶ φθιμένη νίκησε· κατ' ἀντιβίοιο δὲ γυμνοὶ
L1[I] μηροὶ ἐθωρήχθησαν, ὀιστευτῆρες Ἐρώτων.
καί νύ κε νεκρὸν ἔχων πόθον ἄπνοον, ὥς περ Ἀχιλλεύς,
ἄλλην Πενθεσίλειαν ὑπὲρ δαπέδοιο δοκεύων
ψυχρὰ κονιομένης προσπτύξατο χείλεα νύμφης,
εἰ μὴ Δηριαδῆος ἐδείδιεν ὄγκον ἀπειλῆς.
καὶ γυμνῆς σκοπίαζεν ἀναινομένης χρόα κούρης,
καὶ σφυρὰ λευκὰ δόκευε καὶ ἀσκεπέων πτύχα μηρῶν,
καὶ μελέων ἔψαυσε, καὶ ἥψατο πολλάκι μαζοῦ
οἰδαλέου ῥοδόεντος, ἐοικότος εἰσέτι μήλωι·
ἤθελε καὶ φιλότητι μιγήμεναι· ὀψὲ δὲ κάμνων
τοίην ἱμερόεσσαν ἀνήρυγεν ἄφρονα φωνήν·
"παρθενικὴ ῥοδόπηχυ, τεὸν δυσέρωτα φονῆα
οὔτασας οὐταμένη, φθιμένη ζώοντα δαμάζεις,
καὶ σὺ τεὸν βλεφάροισιν ὀιστεύεις ὀλετῆρα·
ἔγχος ἐνικήθη σέο κάλλεϊ· σεῖο προσώπου
◆ μαρμαρυγαὶ κλονέουσιν, ὅσον γλωχῖνες ἀκόντων·
στῆθος ἔχεις ἅτε τόξον, ἐπεὶ σέο μᾶλλον ὀιστῶν
μαζοὶ ἀριστεύουσιν, ὀιστευτῆρες Ἐρώτων.
ξεῖνον ἔχω καὶ ἄπιστον ἐγὼ πόθον, ὅττι διώκω
κούρης νεκρὸν ἔρωτα καταφθιμένων ὑμεναίων·
ἄπνοος οἶστρος ἔχει με τὸν ἔμπνοον· εἰ θέμις εἰπεῖν,
χείλεα φωνήεντα καὶ ἔμπνοα ταῦτα γενέσθω,
Nonnus σῶν γλυκερῶν στομάτων ἵνα, παρθένε, μῦθον ἀκούσω
{…} τοῖον ἔπος βοόωσα· 'κυλινδομένην ἐνὶ γαίηι,
ἣν κτάνες, ἣν σύλησας, ἀτάσθαλε, κάλλιπε κούρην·

ἤγαγεν ἐκ σκοπέλοιο, καί, ὁππόθι σήματα Νίκης
ἠερόθεν πίπτοντες ἐπιστώσαντο κεραυνοί,
λείψανα θεσπεσίου πυρὸς ἤγαγεν, ὥς κεν ἀνάψηι
πυρκαϊὴν φθιμένοιο· Διοβλήτωι δὲ θεείωι
ἀμφοτέρων ἔχρισε λίθων κενεῶνας ἀλείψας
πυρσοτόκων· καὶ λεπτὸν Ἐρυθραίοιο κορύμβου
κάρφος ἀποξύσας διδυμάονι μίγνυε πέτρωι·
τρίβων δ' ἔνθα καὶ ἔνθα καὶ ἄρσενι θῆλυν ἀράσσων
ἔγκρυφον αὐτολόχευτον ἀνείρυε λαΐνεον πῦρ,
πυρκαϊῆι δ' ὑπέθηκεν, ὅπηι πέλεν ἀγριὰς ὕλη.
οὐ δὲ πυρὴν φθιμένου περιδέδρομεν ἁπτόμενον πῦρ,
ἀλλὰ θεὸς Φαέθοντος ἐναντίον ὄμμα τανύσσας
ἀγχιφανὴς ἐκάλεσσεν Ἑώιον Εὖρον ἀήτην,
πυρκαϊῆς ἐπίκουρον ἄγειν ἀντίπνοον αὔρην.
καὶ Βρομίου καλέοντος Ἑωσφόρος ἔκλυε γείτων
ἱκεσίης, καὶ γνωτὸν ἑὸν προέηκε Λαίωι,
ἄσθματι πυκνοτέρωι φλογοειδέα πυρσὸν ἀνάπτειν.
καὶ θάλαμον ῥοδόεντα λιπὼν μητρώιον Ἠοῦς
πυρκαϊὴν φλογόεσσαν ἀνερρίπιζεν ἀήτης
πάννυχος, αἰθύσσων ἀνεμοτρεφὲς ἀλλόμενον πῦρ·
καὶ σέλας ἠκόντιζον ἐς ἠέρα θυιάδες αὖραι,
γείτονες Ἠελίοιο. σὺν ἀχνυμένωι δὲ Λυαίωι
Ἀστέριος Δικταῖος, ὁμόγνιον αἷμα κομίζων,
Κνώσσιον ἀμφικύπελλον ἔχων δέπας ἡδέος οἴνου
εὐόδμου, δαπέδοιο χυτὴν ἐμέθυσσε κονίην,
ψυχὴν ἠνεμόφοιτον Ἀρεστορίδαο γεραίρων. L1[I]
ἀλλ ὅτε δὴ δροσεροῖο προάγγελος ἅρματος Ἠοῦς
ὄρθρος ἐρευθιόων ἀμαρύσσετο νύκτα χαράσσων,
δὴ τότε πάντες ὄρουσαν, ἀμοιβαίωι δὲ κυπέλλωι
πυρκαϊὴν ἑτάροιο κατέσβεσαν ἰκμάδι Βάκχου.
καὶ βαλίαις πτερύγεσσιν ἐχάζετο θερμὸς ἀήτης
1 εἰς δόμον Ἠελίοιο φαεσφόρον. Ἀστέριος δὲ
ὀστέα συλλέξας κεκαλυμμένα δίπλακι δημῶι
εἰς χρυσέην φιάλην κατεθήκατο λείψανα νεκροῦ.
καὶ τροχαλοὶ Κορύβαντες, ἐπεὶ λάχον ἔνδιον Ἴδης,
τύμβον ἐτορνώσαντο βαθυνομένων δὲ θεμέθλων down 2
νεκρὸν ἐταρχύσαντο, μιῆς οἰκήτορα πάτρης,
Κρήτης γνήσιον αἷμα, πεδοσκαφέος διὰ κόλπου·
2 καὶ κόνιν ὀθνείην πυμάτην ἐπέχευαν Ὀφέλτηι,
καὶ τάφον αἰπυτέροισιν ἀνεστήσαντο δομαίοις,
τοῖον ἐπιγράψαντες ἔπος νεοπενθέι τύμβωι·
'νεκρὸς Ἀρεστορίδης μινυώριος ἐνθάδε κεῖται,
Κνώσσιος, Ἰνδοφόνος, Βρομίου συνάεθλος, Ὀφέλτης.'
καὶ θεὸς ἀμπελόεις ἐπιτύμβια δῶρα κομίζων
αὐτόθι λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
τέρμα δρόμου τελέσας ἱππήλατον· ἐν δαπέδωι δὲ
ὀργυιῆς ἰσόμετρος ἔην λίθος εὐρέι μέτρωι,
ἡμιτόμου κύκλοιο φέρων τύπον, εἰκόνα μήνης, Nonnus
ἀντιτύποις λαγόνεσσιν ἐΰξοος, οἷον ὑφαίνων
ἐργοπόνοις παλάμηισι γέρων τορνώσατο τέκτων,

ὄφρα πυρὶ φλέξειεν ὀλωλότα νεκρὸν Ὀφέλτην.
Nonnus τῶν μὲν ἔην προκέλευθος ἔσω πιτυώδεος ὕλης
Φαῦνος ἐρημονόμωι μεμελημένος ἠθάδι λόχμηι,
μητρὸς ὀρεστιάδος δεδαημένος ἔνδια Κίρκης.
καὶ δρυτόμωι στοιχηδὸν ἐτέμνετο δένδρα σιδήρωι·
πολλὴ μὲν πτελέη τανυήκεϊ τάμνετο χαλκῶι,
πολλὴ δ' ὑψιπέτηλος ἐπέκτυπε κοπτομένη δρῦς,
καὶ πολλὴ τετάνυστο πίτυς, καὶ ἐκέκλιτο πεύκη
αὐχμηροῖς πετάλοισι· πολυσπερέων δ' ἀπὸ δένδρων
τεμνομένων κατὰ βαιὸν ἐγυμνώθησαν ἐρίπναι·
καί τις Ἁμαδρυάδων μετανάστιος ἔστιχε Νύμφη,
πηγαίηι δ' ἀκίχητος ἀήθεϊ μίγνυτο κούρηι.
καὶ πολὺς ἐρχομένοισιν ὀρίδρομος ἤιεν ἀνήρ,
οὔρεος οἶμον ἔχων ἑτερότροπον· ἦν δὲ νοῆσαι
ὑψιφανῆ προβλῆτα κατήλυδα λοξὸν ὁδίτην
ποσσὶ πολυπλανέεσσιν· ἐυπλέκτοιο δὲ σειρῆς
πυκνὰ περισφίγξαντες ἀρηρότι δούρατα δεσμῶι
οὐρήων ἐπέθηκαν ὑπὲρ ῥάχιν· ἐσσυμένων δὲ
✦ ἡμιόνων στοιχηδὸν ὀρίδρομος ἔκτυπεν ὁπλὴ
σπερχομένοων, καὶ νῶτα πολυψαμάθοιο κονίης
συρομένων κατόπισθε φυτῶν ἐβαρύνετο φόρτωι.
καὶ Σάτυροι καὶ Πᾶνες ἐποίπνυον, ὧν ὁ μὲν αὐτῶν
ὑλοτόμος παλάμηισιν ἀμοιβαίων ἀπὸ δένδρων
φιτροὺς ἀκαμάτοισιν ἐλαφρίζοντες ἀγοστοῖς
ποσσὶ φιλοσκάρθμοισιν ἐπεκροτάλιζον ἐρίπνηι·
L2[O] καὶ τὰ μὲν ὑλονόμοι χθονὶ κάτθεσαν, ἧχι τελέσσαι
Εὔιος ἐν δαπέδωι σημήνατο τύμβον Ὀφέλτηι.
καὶ πολὺς ἐσμὸς ἔην ἑτερόπτολις· ἀμφὶ δὲ νεκρῶι
πενθαλέην πλοκαμῖδα κατηφέι τάμνε σιδήρωι·
ἀμφὶ δέ μιν στενάχοντες ἐπέρρεον ἄλλος ἐπ' ἄλλωι,
νεκρὸν ἀμοιβαίηισιν ὅλον σκιόωντες ἐθείραις.
καὶ νέκυν ἔστενε Βάκχος ἀπενθήτοιο προσώπου
ὄμμασιν ἀκλαύτοισιν, ἀκερσικόμου δὲ καρήνου
πλοχμὸν ἕνα τμήξας ἐπεθήκατο δῶρον Ὀφέλτηι.
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα
Ἰδαῖοι θεράποντες ὀριτρεφέος Διονύσου·
ἐν δὲ πυρῆι μεσάτηι στόρεσαν νέκυν. ἀμφὶ δὲ νεκρῶι
Ἀστέριος Δικταῖος ἐπήορον ἄορ ἐρύσσας
Ἰνδοὺς κυανέους δυοκαίδεκα δειροτομήσας
θῆκεν ἄγων στεφανηδὸν ἐπασσυτέρωι τινὶ κόσμωι·
ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας.
καὶ πολέες σφάζοντο βόες καὶ πώεα ποίμνης
πρόσθε πυρῆς· κταμένων δὲ βοῶν ἐπενήνεε νεκρῶι
σώματα κυκλωθέντα καὶ ἀρτιτόμων στίχας ἵππων,
ὧν ἄπο δημὸν ἅπαντα λαβὼν στοιχηδὸν ἑκάστου,
ἀμφὶ νέκυν στορέσας, κυκλώσατο πίονα μίτρην.
ἔνθα πυρὸς χρέος ἔσκε· φιλοσκοπέλοιο δὲ Κίρκης
Φαῦνος ἐρημονόμος, Τυρσηνίδος ἀστὸς ἀρούρης,
ὡς πάις ἀγροτέρης δεδαημένος ἔργα τεκούσης,
πυρσοτόκους λάιγγας, ὀρειάδος ὄργανα τέχνης,

176 ἣν σέο χαλκὸς ἔταμνεν, ἐμοῦ μὴ ψαῦε χιτῶνος·
τί κρατέεις κενεῶνα, τὸν οὔτασας; ἴσχεο δειλῆς Nonnus
ἀμφαφόων ἐμὸν ἕλκος, ὅ μον πόρες.' ἐρρέτω αἰχμή,
ἐρρέτω ἡμετέρης παλάμης θράσος, ὅττι λιποῦσα
Σειληνοὺς πολιῆισυν ὑποφρίσσοντας ἐθείραις
καὶ Σατύρων δύσμορφον ὅλον γένος, ἀντὶ γερόντων,
ἀντὶ δασυστέρνων ἁπαλὴν ἐδάμασσε γυναῖκα.
ἀλλὰ ποθοβλήτοιο τεοῦ χροὸς ἕλκος ἀφάσσων
ποίην καλλιβότοιο διαστείχων ῥάχιν ὕλης
ἕλκεος ὑμετέροιο βοηθόον εἰς σὲ καλέσσω
γηραλέον Χείρωνα φερέσβιον; ἢ πόθεν εὕρω
φάρμακα, λυσιπόνου Παιήονος ὄργια τέχνης;
ἤθελον, ἣν καλέουσιν, ἔχειν Κενταυρίδα ποίην,
ὄφρα τεοῖς μελέεσσιν ἀνώδυνον ἄνθος ἑλίξας
ἐξ Ἄιδος ζώουσαν ἀνοστήτοιο σαώσω.
ποῖον ἔχω μάγον ὕμνον ἢ ἀστερόεσσαν ἀοιδήν,
οὐταμένου τεὸν αἷμα κατευνήσω κενεῶνος; down 1
ὄφρα θεοκλήτωι προχέων μέλος εὐάδι φωνῆι
ἤθελον ἐγγὺς ἔχειν φυσίζοον ἐνθάδε πηγήν,
ὄφρα τεοῖς μελέεσσι βαλὼν ὀδυνήφατον ὕδωρ
πρηΰνω τεὸν ἕλκος ἐπήρατον, ὄφρα καὶ αὐτὴν
ψυχὴν ὑμετέρην παλινάγρετον εἰς σὲ κομίσσω.
Γλαῦκε πολυσπερέων ἐτέων στροφάλιγγα κυλίνδων,
εἰ θέμις, ἀτρυγέτοιο λιπὼν κευθμῶνα θαλάσσης
δεῖξον ἐμοὶ βοτάνην ζωαρκέα, δεῖξον ἐκείνην,
ἧς ποτε σοῖς στομάτεσσιν ἐγεύσαο, καὶ βίον ἕλκεις L2[O]
ἄμβροτον, ἀενάοιο χρόνου κυκλούμενος ὁλκῶι."
ὣς εἰπὼν παράμειβε, νέκυν πόθον ἐν φρεσὶ κεύθων.
καὶ πόσιος κταμένου τιμήορος ἄνθορε νύμφη
Πρωτονόη, στενάχουσα καὶ εἰσέτι νεκρὸν Ὀρόντην·
θηλυτέρην δὲ φάλαγγα διέστιχεν· ἦν δὲ νοῆσαι
2 ἄλλην ἀντιάνειραν Ἐρυθραίην Ἀταλάντην.
Χειροβίη δὲ λαβοῦσα σάκος καὶ Μορρέος αἰχμὴν
ἔχραε Βασσαρίδεσσι, καὶ εἴκελος ἔπλετο Γόργηι,
ἣ πάρος εὐπύργοιο τινασσομένης Καλυδῶνος
Τοξέος αἰθύσσουσα κασιγνήτοιο βοείην,
μάρνατο θῆλυς ἐοῦσα χολωομένου Μελεάγρου.
Ὀρσιβόη δὲ φανεῖσα σὺν ἐγρεμόθωι παρακοίτηι
3 θάρσος Ἐνυαλίης μιμήσατο Δηιανείρης,
ὁππότε Παρνησσοῖο κακοξείνωι παρὰ πέτρηι
θωρήχθη Δρυόπεσσι καὶ ἔπλετο θῆλυς Ἀμαζών.
πολλαὶ δ' εὐρυχόροισι περικλείοντο μελάθροις,
καὶ στόνος ἄπλετος ἦεν ὑπωροφίοιο κυδοιμοῦ·
ἄλλη δ' εἰνοδίην ὑπεδύσατο δηιοτῆτα,
παρθένος ἐγρεκύδοιμος, ὑπὲρ τεγέων δὲ καὶ ἄλλαι
λαϊνέοις βελέεσσιν ἐθωρήσσοντο γυναῖκες·
ἐνδόμυχοι δὲ φάλαγγες ἐπεσμαράγησαν Ἐνυώ.
ὄφρα μὲν ἐγρεμόθοιο δι' ἄστεος ἔβρεμεν Ἄρης,
Λύδια Βασσαρίδων ὀρεσίδρομα φῦλα δαΐζων,
199 τόφρα δὲ Χαλκομέδεια πρὸ τείχεος ἵστατο μούνη

νόστιμον ἐκ πολέμοιο μεταστρέψασα πορείην,
οἰστρομανῆ Μορρῆα δεδεγμένη, εἴ ποθεν ἔλθηι·
καὶ τότε πουλυέλικτον ἐρωμανὲς ὄμμα τιταίνων,
παρθένον ὡς ἐνόησε, ποδήνεμος ἵκετο Μορρεύς,
εἰς δρόμον ἱμερόεντα θοώτερα γούνατα πάλλων.
τῆς δὲ διωκομένης ἀνεκούφισε πέπλον ἀήτης·
θέλγετο δ᾽ εἰσέτι μᾶλλον ἀνείμονι κάλλεϊ μορφῆς,
παπταίνων προθέουσαν ἀνάμπυκα λευκάδα νύμφην.
ἡ δέ μιν ἠπερόπευε, καὶ αἰδομένηι φάτο φωνῆι,
ὠκυτέρην Μορρῆος ὑποπτήσσουσα πορείην·
“εἰ ἐτεὸν μεθέπεις ἐμὰ δέμνια, νυμφίε Μορρεῦ,
κάτθεο σὸν θώρηκα σιδήρεον, οἷα χορεύει
εἰς γάμον ἁβροχίτων, ὅτε Κύπριδι μίσγεται, Ἄρης,
εἵματι χιονέωι πεπυκασμένος, ὥς περ Ἀπόλλων,
ὄφρα Πόθος καὶ Κύπρις ἐνὶ ζεύξειαν ὀχῆι
ἡμέας ἀμφοτέρους γαμέης ἐπιβήτορας εὐνῆς,
Μορρέα θοῦρος Ἔρως καὶ Χαλκομέδην Ἀφροδίτη.
οὐ δέχομαι χάλκειον ἐγὼ πόσιν ὑψόθι λέκτρων,
αἵματι φοινίσσοντα καὶ αὐχμώοντα κονίηι·
ἀλλὰ ῥόωι φαίδρυνε τεὸν δέμας, ὄφρα φανείης
ὡς Φαέθων προχοῆισι λελουμένος Ὠκεανοῖο·
ῥῖψον Ἐνυαλίην σέθεν ἀσπίδα, ῥῖψον ἀκωκήν,
μή ποτέ με πλήξειε τεὴ θανατηφόρος αἰχμή·
κάτθεό μοι δασπλῆτα τεῶν πήληκα κομάων,
ὅττι λόφος κλονέει με τινασσομένης τρυφαλείης·
μὴ νόθον εἶδος ἴδοιμι σιδηρείοιο προσώπου·
τίς πόθος εὐφραίνει με καλυπτομένης σέο μορφῆς;
οὐκέτι Μαιονίης ἐπιβήσομαι· οὐδ᾽ ἐνὶ παστῶι
δέξομαι, ἣν ἐθέληις, μετὰ Μορρέα Βάκχον ἀκοίτην·
ἔσσομαι Ἰνδώιη καὶ ἐγώ, φίλος· ἀντὶ δὲ Λυδῆς
κυδαίνω θυέεσσιν Ἐρυθραίην Ἀφροδίτην
κρυπταδίη Μορρῆος ὁμευνέτις· ἐν δὲ κυδοιμοῖς
Ἰνδὸς ἀνὴρ ἐχέτω με συναιχμάζων Ἀφροδίτηι·
εἰς σὲ γὰρ ἶσα βέλεμνα καὶ εἰς ἐμὲ διπλόα πέμπων
Ἵμερος ἀμφοτέροισι μίαν ξύνωσεν ἀνίην,
εἰς κραδίην Μορρῆι καὶ εἰς φρένα Χαλκομεδείηι.
κάμνον ἐγὼ κρύπτουσα τεὸν πόθον· οὐ γὰρ ἀκοίτην
παρθένος αἰδομένη προκαλίζεται εἰς Ἀφροδίτην.”
ὣς φαμένη παρέπεισε γυνὴ δυσέρωτα μαχητὴν
ψευσαμένη· γελάσας δὲ δυσίμερος ἔννεπε Μορρεύς·
“οὐ νέμεσις, Μορρῆα τὸν εὐπήληκα μαχητὴν
χάλκεον ἔγχος ἔχειν ἐνὶ παστάδι Χαλκομεδείης,
ὄφρα περιπτύξω σε, φερώνυμε, χαλκὸν ἀείρων·
ἔμπης φοίνιον ἔγχος ἀναίνομαι, οὐδὲ βοείης
ἅπτομαι· ὡς ἐθέλεις δέ, λελουμένος εἰς σὲ χορεύω
χερσὶν ἀναιμάκτοισι, καὶ ἔσσομαι οὖλος ἀκοίτης,
γυμνὸς Ἄρης μετὰ δῆριν ἔχων γυμνὴν Ἀφροδίτην.
κούρην Δηριαδῆος ἀναίνομαι· αὐτὸς ἐλάσσω
ἐκ μεγάρων ἀέκουσαν ἐμὴν ζηλήμονα νύμφην·
οὐκέτι Βασσαρίδεσσι κορύσσομαι, εἴ με κελεύεις,
Γηγενέας Τιτῆνας ἐμὸς νίκησε Κρονίων,
νικήσω καὶ ἔγωγε χαμαιγενέων γένος Ἰνδῶν.
σήμερον ἀθρήσητε κορυμβοφόρον μετὰ νίκην
Δηριάδην ἱκέτην βραδυπειθέα, καὶ χορὸν Ἰνδῶν
αὐχένα δοχμώσαντα γαληναίωι Διονύσωι,
καὶ ποταμὸν μεθέποντα μεθυσφαλὲς Εὔιον ὕδωρ·
ἀντιβίους δ᾽ ὄψεσθε παρὰ κρητῆρι Λυαίου
ξανθὸν ὕδωρ πίνοντας ἀπ᾽ οἰνοπόρου ποταμοῖο,
καὶ θρασὺν Ἰνδὸν ἄνακτα, κατάσχετον οἴνοπι κισσῶι,
ἰλλόμενον πετάλοισι καὶ ἀμπελόεντι κορύμβωι,
εἴκελα δεσμὰ φέροντα, τά περ μετὰ κύματα λύσσης
Νυσιάδες βοόωσι θεουδέες εἰσέτι Νύμφαι,
ἀλκῆς ἡμετέρης ἐπιμάρτυρες, ὁππότε κισσοῦ
ἀγχονίωι σφίγξασα θεημάχον ἀνέρα δεσμῶι
Ἀρραβίην ἐφόβησεν ἐμὴ θρασυεργὸς ὀπώρη;
ἅμματι βοτρυόεντι βιαζομένου Λυκοόργου.
ἀλλὰ τόσου μετὰ κύκλα κυλινδομένοιο κυδοιμοῦ
ληίδα δυσμενέων συλήσατε καὶ κτέρας ἅλμης,
μαρμαρέας λάιγγας, ἐμὴν δ᾽ ἐπὶ μητέρα Ῥείην
ἑλκομένας πλοκάμοιο μεταστήσασθε γυναῖκας·
καὶ προμάχους τίσασθε δεδουπότας, ὧν ἐπὶ πότμωι
τείρομαι ὀξείηισι μεληδόσιν· ἐν κραδίηι δὲ
ἀμφότερον κοτέω τε καὶ ἄχνυμαι, ὅττι δοκεύω
Δηριάδην ζώοντα καὶ ἀκτερέιστον Ὀφέλτην,
μεμφόμενον μετὰ πότμον ἀεργέα χεῖρα Λυαίου·
οὐκέτι Κωδώνη θωρήσσεται, οὐκέτι δειλὴ
μάρναται Ἀλκιμάχεια δορυσσόος· ἀλλὰ καὶ αὐτὸς
Αἰγίαλος δέδμητο, καὶ εἰσέτι θύρσον ἐρύκω.
αἰδέομαι μετὰ δῆριν Ἀρέστορα, μὴ καὶ ἀκούσηι,
ὅττι θανὼν οὐχ εὗρεν ἀρηγόνα νεκρὸς Ὀφέλτης·
οὐ δύναμαι Κρήτης Κορυβαντίδος ἄστυ περῆσαι,
μὴ γενέτης Ἀγέλαος ὀλωλότα παῖδα γοήσηι,
Ἀνθέος ὀλλυμένοιο φόνον νήποινον ἀκούων·
αἰδέομαι Μίνωι φανήμεναι· ἐν κλισίηι γὰρ
Ἀστέριος μογέει βεβολημένος, ὃν πλέον ἄλλων
ῥύσομαι· Εὐρώπης γὰρ ἔχει γένος· ἀλλὰ σαώσας
νόστιμον ἀρτεμέοντα πάλιν γενετῆρι κομίσσω
πηὸν ἐμὸν μετὰ δῆριν, ὅπως μὴ Κάδμος ἀκούσηι
Ἀστέριον χατέοντα λιποπτολέμου Διονύσου.
ἀλλὰ πάλιν μάρνασθε, καὶ εἰν ἐνὶ πᾶσιν ἀρήξω,
τοσσατίων ἕνα μοῦνον ἀποκτείνας ὀλετῆρα.”

Ὣς οἱ μὲν φιλότητι μεμηλότες ἔμφρονες Ἰνδοί,
Βακχείην ἀνέμοισιν ἐπιτρέψαντες Ἐνυώ,
ὄμμασιν ἀκλαύτοισιν ἐταρχύσαντο θανόντας,
οἷα βίου βροτέου γαιήια δεσμὰ φυγόντας
ψυχῆς πεμπομένης, ὅθεν ἤλυθε, κυκλάδι σειρῆι
νύσσαν ἐς ἀρχαίην· στρατιὴ δ᾽ ἀμπαύετο Βάκχου.
καὶ φιλίην Διόνυσος ἰδὼν πολέμοιο γαλήνην
πρώιος ἡμιόνους καὶ ὁμήλυδας ἄνδρας ἐπείγων
ἀζαλέην ἐκέλευσεν ἄγειν ὀρεσίτροφον ὕλην,

Ἰνδῴης ἀκίχητος ὑπὸ κλέτας εὔβοτον ὕλης
Nonnus Βάκχωι μαζὸν ὄρεξον ἐμὴν μετὰ μητέρα Ῥείην,
ὄφρα τελειοτέροισιν ἑοῖς στομάτεσσιν ἀρύσσηι
σὴν ἱερὴν ῥαθάμιγγα προηγήτειραν Ὀλύμπου,
καὶ βατὸν αἰθέρα τεῦξον ἐπιχθονίωι Διονύσωι·
ὑμετέρωι δὲ γάλακτι δέμας χρίσασα Λυαίου
σβέσσον ἀμερσινόοιο δυσειδέα λύματα νούσου.
καί σοι ἐπεντύνω γέρας ἄξιον ὑμετέρηι γὰρ
στηρίξω κατ' Ὄλυμπον ἐοικότα κύκλον ἐέρσηι,
Ἡραίοιο γάλακτος ἐπώνυμον, ὄφρα γεραίρω
ἰκμάδα πασιμέλουσαν ἀλεξικάκου σέο μαζοῦ·
μοῦνον ἐμοὶ πεφύλαξο Διὸς φιλότεκνον ἀπειλήν,
μηδὲ πάλιν δόλον ἄλλον ἐπεντύνηις Διονύσωι."
ὣς εἰπὼν προέηκε παλίγκοτον εὐνέτιν Ἥρην
Βακχείης κακότητος ἀλεξήτειραν ἀνάγκηι,
ἵλαον εὐάντητον ἀτυζομένωι Διονύσωι,
ὄφρα δέμας Βρομίοιο γαλαξαίηισιν ἐέρσαις
χειρὶ περιχρίσειε θεοτρεφέων ἀπὸ μαζῶν.
Ἥρη δ' οὐκ ἀμέλησεν· ἀκεσσιπόνοιο δὲ θηλῆς
θεσπεσίηι ῥαθάμιγγι δέμας χρίσασα Λυαίου
ἄγρια δαιμονέης ἀπεσείσατο λύματα λύσσης·
καὶ δίδυμον φθόνον εἶχεν ὑποκλέπτοντι προσώπωι
ἠνορέην ὁρόωσα καὶ ἀγλαΐην Διονύσου,
καὶ φθονεραῖς παλάμηισι μεμηνότος ἥψατο Βάκχου·
ἀμφὶ δέ οἱ στομάτεσσιν ἀνειρύσσασα χιτῶνος
L3[O] ἀμβροσίης πλήθουσαν ἑὴν γυμνώσατο θηλήν,
θλιβομένην βλύζουσα χύσιν ζηλήμονι μαζῶι·
καί μιν ἀνεζώγρησε· τανυπλοκάμου δὲ Λυαίου
ὄμμασι μηκεδανοῖσι τόσην διεμέτρεεν ἥβην,
εἴ ποτε τηλίκον εἶδος ἐπιχθονίη τέκε γαστήρ,
εἰ τόσος ἦεν Ἄρης ἐγχεσπάλος, εἰ τόσος Ἑρμῆς,
εἰ Φαέθων πέλε τοῖον ἢ ἱμερόφωνος Ἀπόλλων·
καί μιν ἔχειν μενέαινεν ἐν αἰθέρι νυμφίον Ἥβης,
εἰ μή οἱ κατένευσε μετὰ χρόνον ὑψιμέδων Ζεὺς
μόρσιμον Ἡρακλῆα δυωδεκάεθλον ἀκοίτην.
ἡ μὲν ἀλεξήσασα πόνον μανιώδεα Βάκχου
ὑψιφανὴς ἀνέβαινε τὸ δεύτερον εἰς χορὸν ἄστρων,
μὴ στρατιὴν ἀσίδηρον ἐσαθρήσηι Διονύσου
μαρναμένην νάρθηκι καὶ ἀμπελόεντι κορύμβωι,
καὶ προμάχους κταμένους ὀλίγωι ῥηξήνορι θύρσωι.
✦ οὐδὲ μάχης ἀμέλησε Διὸς πάις, ἀλλὰ μαχητὰς
θωρήξας παλίνορσος ἀγέστρατον ἴαχε φωνήν,
χειρὶ Γιγαντοφόνωι ταμεσίχροα κισσὸν ἑλίσσων·
"θαρσαλέοι μάρνασθε τὸ δεύτερον· ἐν πολέμοις γὰρ
Ζεὺς πάλιν ἡμείων πρόμος ἵσταται, υἱέν Βάκχωι
ἵλαος, οὐρανόθεν δὲ προασπίζων Διονύσου
ἀθανάτων χορὸς ἦλθε, καὶ οὐκέτι χώεται Ἥρη.
τίς στεροπῆι Κρονίδαο μαχέσσεται; ἢ πότε δειλοὶ
δυσμενέες μίμνουσι κορυσσομένοιο κεραυνοῦ;
ἶσος ἐμῶι γενετῆρι φανήσομαι· ἐν πολέμοις γὰρ

178 (100C) ἀλλὰ φίλοις ναέτηισι μαχέσσομαι· Ἰνδὸν ὀλέσσω
οἴνοπα θύρσον ἔχων, οὐ χάλκεον ἔγχος ἀείρων· Nonnus
ῥίψω δ' ἔντεα πάντα καὶ ἄνθεα λεπτὰ τινάξω,
ὑμετέρωι βασιλῆι συναιχμάζων Διονύσωι."
ὣς εἰπὼν παλάμης μελίην ἀπεσείσατο Μορρεύς,
καὶ λόφον ἱδρώοντος ἀπεσφήκωσε καρήνου,
μυδαλέης δ' ἔρριψεν ἑῆς τελαμῶνα βοείης
εὐκαμάτωι ῥαθάμιγγι λελουμένον ἠθάδος ὤμου·
λύσατο καὶ χάλκειον ἀπὸ στέρνοιο χιτῶνα,
αἱμαλέον θώρηκα. καὶ ἔντεα κείμενα γαίηι
Μορρέος ἱμείροντος ἐδείκνυεν Ἄρεϊ Κύπρις
μορφῆι ἀθωρήκτωι νικώμενα Χαλκομεδείης·
καί τινα μῦθον ἔειπεν, ἑὸν δ' ἐρέθιζεν ἀκοίτην·
"Ἆρες, ἐσυλήθης· πολέμους ἠρνήσατο Μορρεύς,
οὐ φορέων θώρηκα καὶ οὐ ξίφος· ἀλλὰ γυναῖκα
ἱμερτὴν ποθέων ἀπεσείσατο τεύχεα χειρῶν.
καὶ σὺ τεὸν δόρυ θοῦρον ἀναίνεο, καὶ σὺ θαλάσσηι
λούεο σῶν δακέων γυμνούμενος· ἀπτόλεμος γὰρ
Κύπρις ἀριστεύει πλέον Ἄρεος, οὐδὲ χατίζει
ἀσπίδος, οὐ μελίης ποτὲ δεύεται· ἀμφότερον γὰρ
ἔγχος ἐμὸν πέλε κάλλος, ἐμὸν ξίφος ἔπλετο μορφή,
καὶ βλεφάρων ἀκτῖνες ἐμοὶ γεγάασιν ὀιστοί·
μαζὸς ἀκοντίζει πλέον ἔγχεος· ἱμερόεις γὰρ
ἀντὶ δοριθρασέος θαλαμηπόλος ἔπλετο Μορρεύς.
μὴ Σπάρτης ἐπίβηθι, μαχήμονες ἧχι πολῖται
χάλκεον εἶδος ἔχουσι κορυσσομένης Ἀφροδίτης, L3[O]
μή σε δόρυ κρατέουσα τεῶι πλήξειε σιδήρωι.
οὐ τόσον αἰχμάζεις, ὅσον ὀφρύες· οὐ τόσον αἰχμαὶ
ἀνέρας οὐτάζουσιν, ὅσον βάλλουσιν ὀπωπαί·
δέρκεο σοὺς θεράποντας, ὑποδρηστῆρας Ἐρώτων,
καὶ θρασὺν αὐχένα κάμψον ἀνικήτωι Κυθερείηι.
4 (1C) Ἆρες, ἐνικήθης, ὅτι χάλκεον ἔγχος ἐάσας
νεβρίδα Χαλκομέδης γαμίην ὑπεδύσατο Μορρεύς."
εἶπε μόθους γελόωσα φιλομμειδὴς Ἀφροδίτη,
Ἄρεα κερτομέουσα γαμοστόλον. ἄγχι δὲ πόντου
καλλείψας ἀκόμιστον ἐπ' αἰγιαλοῖο χιτῶνα
θαλπόμενος γλυκερῆισι μεληδόσι λούσατο Μορρεύς,
γυμνὸς ἐών· ψυχρῆι δὲ δέμας φαίδρυνε θαλάσσηι,
5 θερμὸν ἔχων Παφίης ὀλίγον βέλος· ἐν δὲ ῥεέθροις
Ἰνδῴην ἱκέτευεν Ἐρυθραίην Ἀφροδίτην,
εἰσαΐων, ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης·
λουσάμενος δ' ἀνέβαινε μέλας πάλιν· εἶχε δὲ μορφήν,
ὡς φύσις ἐβλάστησε, καὶ ἀνέρος οὐ δέμας ἅλμη,
οὐ χροιὴν μετάμειψεν, ἐρευθαλέη περ ἐοῦσα.
καὶ κενεῆι χρόα λοῦσεν ἐπ' ἐλπίδι· χιόνεος γὰρ
ἱμερόεις μενέαινε φανήμεναι ἄζυγι κούρηι·
καὶ λινέωι κόσμησε δέμας χιονώδεϊ πέπλωι,
οἷον ἔσω θώρηκος ἀεὶ φορέουσι μαχηταί.
ἱσταμένη δ' ἄφθογγος ἐπ' ἠιόνος εἶχε σιωπὴν
Χαλκομέδη δολόεσσα· μεταστρεφθεῖσα δὲ κούρη

Μορρέος ἀχλαίνοιο σαόφρονας εἷλκεν ὀπωπάς, 179 (101C)
ἀσκεπὲς αἰδομένη δέμας ἀνέρος· εἰσιδέειν γὰρ
ἅζετο θῆλυς ἐοῦσα λελουμένον ἄρσενα κούρη.
ἀλλ' ὅτε χῶρον ἔρημον ἐσέδρακεν ἄρμενον εὐναῖς,
τολμηρὴν παλάμην ὀρέγων αἰδήμονι νύμφηι
εἵματος ἀψαύστοιο σαόφρονος ἥψατο κούρης·
καί νύ κεν ἀμφίζωστον ἑλὼν εὐήνορι δεσμῶι
νυμφιδίωι σπινθῆρι βιήσατο θυιάδα κούρην·
ἀλλά τις ἀχράντοιο δράκων ἀνεπήλατο κόλπου,
παρθενικῆς ἀγάμοιο βοηθόος, ἀμφὶ δὲ μίτρην
ἀμφιλαφὴς κυκλοῦτο φυλάκτορι γαστέρος ὁλκῶι·
ὀξὺ δὲ συρίζοντος ἀσιγήτων ἀπὸ λαιμῶν
πέτραι ἐμυκήσαντο· φόβωι δ' ἐλελίζετο Μορρεὺς
αὐχένιον μύκημα νόθης σάλπιγγος ἀκούων,
παπταίνων ἀγάμοιο προασπιστῆρα κορείης·
καὶ πρόμος ἀμφιέλικτος ἀνεπτοίησε μαχητήν,
οὐρὴν ἀγκυλόκυκλον ἐπ' αὐχένι φωτὸς ἑλίξας,
ἔγχος ἔχων στόμα λάβρον· ἐτοξεύοντο δὲ πολλοὶ
ἰὸν ἀκοντίζοντες ἐχιδνήεντες ὀιστοί·
οἱ μὲν ἀμιτρώτοιο διαΐσσοντες ἐθείρης,
οἱ δὲ δρακοντοκόμοιο δι' ἰξύος, οἱ δ' ἀπὸ κόλπου
Ἄρεα συρίζοντες ἐβακχεύοντο μαχηταί.
ὄφρα μὲν ὑψιλόφοιο πρὸ ἄστεος ἵστατο Μορρεύς,
Χαλκομέδην δολόεσσαν ἀνήνυτον εἰς γάμον ἕλκων,
τόφρα δὲ Βασσαρίδος στρατιῆς εὔοπλος Ἐνυὼ
L3[I] ἔγχος ἀτειρήεντος ἀλεύατο Δηριαδῆος.
καὶ γὰρ ἀπ' Οὐλύμποιο θορὼν ὠκύπτερος Ἑρμῆς,
ἀντίτυπον Βρομίοιο φέρων ἴνδαλμα προσώπου,
Βακχείην ἐκάλεσσεν ὅλην στίχα μύστιδι φωνῆι·
δαιμονίην δὲ γυναῖκες ὅτ' ἔκλυον Εὔιον Ἠχώ,
εἰς ἕνα χῶρον ἵκανον· ἀπὸ τριόδων δὲ κομίζων
Μαιναλίδων ὅλον ἔθνος ἐς ἀγκύλα κύκλα κελεύθου 5 (2C)
ἤγαγεν ὠκυπέδιλος, ἕως σχεδὸν ἤιε πύργων·
καὶ φυλάκων στοιχηδὸν ἀκοιμήτοισιν ὀπωπαῖς
νήδυμον ὕπνον ἔχευεν ἑῆι πανθελγέι ῥάβδωι
φώριος Ἑρμείας, πρόμος ἔννυχος· ἐξαπίνης δὲ
Ἰνδοῖς μὲν ζόφος ἦεν, ἀθηήτοισι δὲ Βάκχαις
φέγγος ἔην ἀδόκητον· ἀδουπήτων δὲ γυναικῶν
λάθριος ἡγεμόνευε δι' ἄστεος ἄπτερος Ἑρμῆς· 6
χειρὶ δὲ θεσπεσίηι βριαρὴν κληῖδα πυλάων
✦ ἠλιβάτων ὤιξε, καὶ ἠέλιος πέλε Βάκχαις.
ἠματίην δ' ὅτε νύκτα φαεσφόρος ἤλασεν Ἑρμῆς,
Δηριάδης ὑπέροπλος ἔχων ἀτέλεστον ἀπειλὴν
Βασσαρίδων μάστευε λιπόπτολιν ἐσμὸν ὁδίτην.
ὡς δ' ὅτε τις κατὰ νύκτα βαθυπλούτοις ἐν ὀνείροις
τέρπεται ἀπρήκτοισιν ἐπ' ἐλπωρῆισιν, ἀείρων
ἀφνειαῖς παλάμησι μινυνθαδίου χύσιν ὄλβου,
Nonnus ὑπναλέων κτεάνων ἀπατήλιον ἐλπίδα βόσκων·
ἀλλ' ὅτε φαινομένης ῥοδοειδέος ἠριγενείης
35.250 χάζεται εὐκτεάνοιο παλίλλυτος ὄψις ὀνείρου,
σὺν κενεαῖς παλάμησιν ἐγείρεται, οὐδὲν ἀείρων,
ῥίψας κλεψινόων σκιοειδέα τέρψιν ὀνείρων·
ὣς τότε Δηριάδης, ὅτε μὲν ζόφος εἶχεν ἀγυιάς,
τέρπετο Βασσαρίδων δοκέων αὐτόσσυτον ἄγρην
ἀμφιέπειν ἔντοσθεν ἐεργομένων πυλεώνων,
ψευδομένην ἀνόνητον ἔχων σκιοειδέα νίκην·
ἀλλ ὅτε φέγγος ἔλαμψε, καὶ οὐκέτι δέρκετο Βάκχας,
ὡς ὄναρ ἔδραμε πάντα, καὶ ἴαχε πενθάδι φωνῆι,
ὡς Διὶ καὶ Φαέθοντι χολώετο καὶ Διονύσωι,
Μαιναλίδας φυγάδας διζήμενος. ἀμφὶ δὲ πύργους
Βασσαρίδες κελάδησαν ἀνάμπυκες Εὐάδι φωνῆι.
Δηριάδης δ' ἐδίωκε τὸ δεύτερον. ἔγρετο δὲ Ζεὺς
Καυκάσου ἐν κορυφῆισιν ἀπορρίψας πτερὸν Ὕπνου·
καὶ δόλον ἠπεροπῆα μαθὼν κακοεργέος Ἥρης
Σειληνοὺς ἐδόκευε πεφυζότας, ἔδρακε Βάκχας
σπερχομένας ἀγεληδὸν ἀπὸ τριόδων, ἀπὸ πύργων,
καὶ Σατύρους κείροντα καὶ ἀμώοντα γυναῖκας
Δηριάδην ἐνόησεν ὀπίστερον, ὄρχαμον Ἰνδῶν,
υἱέα δ' ἐν δαπέδωι κατακείμενον· ἀμφὶ δὲ νύμφαι
ἐγγὺς ἔσαν στεφανηδόν· ὁ δ' ἐν στροφάλιγγι κονίης
κεῖτο καρηβαρέων, ὀλιγοδρανὲς ἆσθμα τιταίνων,
ἀφρὸν ἀκοντίζων χιονώδεα, μάρτυρα λύσσης.
καὶ φθονερῆς ἤλεγξε δόλον δυσμήχανον Ἥρης,
καὶ δολίην παράκοιτιν ἐμέμψατο κέντορι μύθωι·
καί νύ κεν ἀχλυόεντος ὁμέστιον Ἰαπετοῖο
Ὕπνον ὁμιχλήεντι κατεκλήισσε βερέθρωι, L3[I]
εἰ μὴ Νὺξ ἱκέτευε, θεῶν δμήτειρα καὶ ἀνδρῶν.
καὶ μόγις εὐνήσας ὀλοὸν χόλον ἴαχεν Ἥρηι·
"οὔ πω ἐμῆς Σεμέλης ἐκορέσσαο, δύσμαχος Ἥρη,
ἀλλ' ἔτι καὶ φθιμένηι τάχα χώεαι; οὐδὲ καὶ αὐτὴ
σὸν κότον ἐπρήυνεν ἀτέρμονα νυμφιδίη φλόξ,
λέκτρα διασκεδάσασα Διοβλήτοιο Θυώνης;
Ἰνδοφόνωι τέο μέχρις ἐπιβρίθεις Διονύσωι;
ἅζεο σοὺς προτέρους πάλιν ἄκμονας· εἰσέτι κεῖνοι,
εἰσέτι μοι παρέασιν ἀρηγόνες, οὓς ποσὶ δήσας
ὑμετέροις ἔσφιγξα· σὺ δ' ἄστατος ὑψόθι γαίης
αἰθέρι καὶ νεφέλησι μετάρσιον εἶχες ἀνάγκην·
καὶ θρασὺς ἐν νεφέλησι περίπλοκον ὑψόθι γαίης
δέσμιον εἶδεν Ἄρης σε, καὶ οὐ χραίσμησε τεκούσηι·
οὐ πυρόεις Ἥφαιστος ἐπήρκεσεν· οὐ δύναται γὰρ
τλήμεναι αἰθαλόεντος ἕνα σπινθῆρα κεραυνοῦ.
δήσω σὰς παλάμας χρυσέωι πάλιν ἠθάδι δεσμῶι·
Ἄρεα δ' ἀρραγέεσσιν ἀλυκτοπέδησι πεδήσω
καί μιν ἀναλθήτοισιν ὅλον πληγῆισιν ἱμάσσω, down 2
εἰς τροχὸν αὐτοκύλιστον ὁμόδρομον, οἷος ἀλήτης
Τάνταλος ἠερόφοιτος ἢ Ἰξίων μετανάστης
εἰσόκε νικήσειεν ἐμὸς πάις υἱέας Ἰνδῶν.
ἀλλὰ τεῶι Κρονίωνι χαρίζεαι, αἴ κεν ἐλάσσηις Nonnus
λύσσαν ἐριπτοίητον ἱμασσομένου Διονύσου,
μηδὲ λίπηις κοτέοντα τεὸν πόσιν, ἀλλὰ μολοῦσα 35.300

Nonnus

καὶ πολὺς ἔνθα καὶ ἔνθα κατήριπε πυρσὸς ἀλήτης,
ἅρματος οὐρανίοιο κατάρρυτος· ἄκρα δὲ γαίης
μυρίος ἔκλυσεν ὄμβρος, ἐκυμαίνοντο δὲ πέτραι
ἠερίαις λιβάδεσσιν, ἕως μόγις ὑψόθι δίφρου
ὑψιφανὴς ἀνέτελλε πάλιν πυρόεις Ὑπερίων.
Βάκχωι δ᾽ ἀσχαλόωντι δι᾽ ἠέρος αἴσιος ἔπτη
αἰετὸς ὑψικέλευθος, ὄφιν κερόεντα κομίζων
θηγαλέοις ὀνύχεσσιν· ὁ δὲ θρασὺν αὐχένα κάμπτων
κύμβαχος αὐτοκύλιστος ἐπωλίσθησεν Ὑδάσπηι.
καὶ τρομερὴ νήριθμον ὅλον στρατὸν εἶχε σιωπή·
Ἴδμων δ᾽ αἰολόμητις, ἐπεὶ μάθεν ὄργια Μούσης
Οὐρανίης εὔκυκλον ἐπισταμένης ἴτυν ἄστρων,
ἄτρομος ἵστατο μοῦνος, ἐπεὶ μάθεν ἴδμονι τέχνηι
συμπλεκέος Φαέθοντι κατάσκια κύκλα Σελήνης,
καὶ φλόγα πορφύρουσαν ὑπὸ ζοφοειδέι κώνωι
κλεπτομένου Φαέθοντος ἀθηήτοιο πορείης,
καὶ πάταγον βρονταῖον ἀρασσομένων νεφελάων,
αἰθέριον μύκημα, καὶ ἀστράπτοντα κομήτην,
καὶ δοκίδων ἀκτῖνα, καὶ ἔμπυρον ἅλμα κεραυνοῦ.
τοῖα παρ᾽ Οὐρανίης δεδαημένος ἔργα θεαίνης
ἵστατο θαρσήεσσαν ἔχων φρένα· γυῖα δ᾽ ἑκάστου
λύετο· μαντιπόλος δὲ γέρων γελόωντι προσώπωι
Ἴδμων ἐμπεδόμυθον ἔχων ἐπὶ χείλεσι πειθὼ
λαὸν ὅλον θάρσυνεν, ὅτι χρονίοιο κυδοιμοῦ
ἐσσομένην μετὰ βαιὸν ἐπίστατο γείτονα νίκην.
L1[O] καὶ Φρύγιον πολύιδριν ἀνείρετο μάντιν Ἐρεχθεύς,
σύμβολα παπταίνων ὑπάτου Διός, εἰ πέλε χάρμης
αἴσια δυσμενέεσσιν ἢ Ἰνδοφόνωι Διονύσωι,
οὐ τόσον ὑσμένης ποθέων τέλος, ὅσσον ἀκοῦσαι
μυστιπόλοις ὀάροισι μεμηλότα μῦθον Ὀλύμπου,
καὶ στίχας ἀστραίων ἑλίκων καὶ κυκλάδα μήνην,
καὶ δύσιν ἠματίην Φαεθοντίδος ἄμμορον αἴγλης
κλεπτομένης. αἰεὶ δὲ θεορρήτων περὶ μύθων
Ἀτθίδος ἀρχαίης φιλοπευθέες εἰσὶ πολῖται.
οὐδὲ γέρων ἀμέλησε θεοπρόπος, ἀλλὰ Λυαίου
σείων Εὔια θύρσα καὶ οὐ Πανοπηίδα δάφνην
τοῖον ἔπος μαντῶιον ἀνήρυγεν ἀνθερεῶνος·
"εἰσαΐειν ἐθέλεις φρενοθελγέα μῦθον, Ἐρεχθεῦ,
ὃν μοῦνοι δεδάασι θεοὶ ναετῆρες Ὀλύμπου;
λέξω δ᾽, ὥς με δίδαξεν ἐμὸς δαφναῖος Ἀπόλλων.
μὴ στεροπὴν τρομέοις, μὴ δείδιθι πυρσὸν ἀλήτην,
μὴ δρόμον Ἠελίου ζοφοειδέα, μηδὲ Λυαίου
νίκης ἐσσομένης πρωτάγγελον ὄρνιν Ὀλύμπου·
ὡς ὅ γε θηγαλέων ὀνύχων κεχαραγμένος αἰχμαῖς.
ἅρπαγος οἰωνοῖο πεπαρμένος ὀξέι ταρσῶι,
εἰς προχοὰς ποταμοῖο δράκων ὤλισθε κεράστης,
καὶ νέκυν ἑρπηστῆρα γέρων ἔκρυψεν Ὑδάσπης.
οὕτω Δηριάδην πατρώιον οἶδμα καλύψει
εἴκελον εἶδος ἔχοντα βοοκραίρωι γενετῆρι."
τοῖα γέρων ἀγόρευε θεηγόρος· ἀμφὶ δὲ μύθωι
μαντιπόλωι γήθησεν ὅλος στρατός· ἔξοχα δ᾽ ἄλλων

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

Argument

In the thirty-sixth, Bacchos, after his surges of madness, changes his shape and attacks Deriades.

NONNUS

DIONYSIACA

BOOK 36

PREVIEW BOOK 38

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 480 lines 3.0
3L 1 - 480

PRINT 2-SIDED: **203** to **208**

Ὣς φάμενος θάρσυνε γεγηθότας ἡγεμονῆας·
Δηριάδης δ' ἑτέρωθεν ἑοὺς ἐκόρυσσε μαχητάς.
ἀμφοτέρηι δὲ φάλαγγι θεοὶ ναετῆρες Ὀλύμπου
κεκριμένοι στέλλοντο κυβερνητῆρες Ἐνυοῦς,
οἱ μὲν Δηριαδῆος ἀρηγόνες, οἱ δὲ Λυαίου.
Ζεὺς μὲν ἄναξ μακάρων ὑψίζυγος ὑψόθι Κέρνης
Ἄρεος εἶχε τάλαντα παρακλιδόν· οὐρανόθεν δὲ
ἔμπυρον ὑδατόεις προκαλίζετο κυανοχαίτης
Ἠέλιον, γλαυκῶπιν Ἄρης, Ἥφαιστος Ὑδάσπην·
Ἥρης δ' ἀντικέλευθος ὀρεστιὰς Ἄρτεμις ἔστη·
Λητώιην δ' ἐπὶ δῆριν ἐύρραπις ἤλυθεν Ἑρμῆς.
καὶ ζαθέου πολέμου διδυμόκτυπος ἔβρεμεν ἠχὼ
ἀμφοτέροις μακάρεσσιν. ἐπεσσυμένων δὲ κυδοιμῶι
Ἄρης ἑπταπέλεθρος ἐμάρνατο Τριτογενείηι,
καὶ δόρυ θοῦρον ἴαλλεν· ἀνουτήτου δὲ θεαίνης
μέσσην αἰγίδα τύψεν, ἀθηήτου δὲ καρήνου
ἤλασε Γοργείης ὀφιώδεα λήια χαίτης,
Παλλάδος οὐτήσας λάσιον σάκος· ὀξυτενὴς δὲ
πεμπομένη ῥοιζηδὸν ἀκαμπέος ἔγχεος αἰχμὴ
ποιητὴν πλοκαμῖδα νόθης ἐχάραξε Μεδούσης.
κούρη δ' ἐγρεκύδοιμος ἐπαΐξασα καὶ αὐτὴ
σύγγονον ἔγχος ἄειρεν ἐπ' Ἄρεϊ Παλλὰς ἀμήτωρ,
κεῖνο, τό περ φορέουσα λεχώιον ἤλικι χαλκῶι
ἄνθορε πατρώιοιο τελεσσιγόνοιο καρήνου.
καὶ δαπέδωι γόνυ κάμψε τυπεὶς περιμήκετος Ἄρης·
ἀλλά μιν ὀρθώσασα παλινδίνητον Ἀθήνη
μητρὶ φίληι μετὰ δῆριν ἀνούτατον ὤπασεν Ἥρηι.
Ἥρηι δ' ἀντερίδαινεν ὀρεσσινόμου Διονύσου
Ἄρτεμις ὡς συνάεθλος ὀρεστιάς, ἰθυτενὲς δὲ
τόξον ἑὸν κύκλωσεν· ὁμοζήλωι δὲ κυδοιμῶι
Ἥρη Ζηνὸς ἑλοῦσα νέφος πεπυκασμένον ὤμοις
ἀρραγὲς ὡς σάκος εἶχε· καὶ Ἄρτεμις ἄλλον ἐπ' ἄλλωι
ἠερίης πέμπουσα δι' ἄντυγος ἰὸν ἀλήτην
εἰς σκοπὸν ἀχρήιστον ἑὴν ἐκένωσε φαρέτρην,
καὶ νεφέλην ἄρρηκτον ὅλην ἐπύκαζεν ὀιστοῦς·
καὶ γεράνων μιμηλὸς ἔην τύπος ἠεροφοίτης
ἱπταμένων στεφανηδὸν ἀμοιβαίωι τινὶ κύκλωι·
καὶ νέφεϊ σκιόεντι πεπηγότες ἦσαν ὀιστοί·
ὠτειλὰς δ' ἀχάρακτος ἀναίμονας εἶχε καλύπτρη.
καὶ κραναὸν κούφισσεν ὑπηνέμιον βέλος Ἥρη,
χειρὶ δὲ δινεύουσα πεπηγότα νῶτα χαλάζης
Ἄρτεμιν ἐστυφέλιξε χαραδρήεντι βελέμνωι·
τόξου δ' ἀγκύλα κύκλα συνέθλασε μάρμαρος αἰχμή·
οὐ δὲ μάχην ἀνέκοψε Διὸς δάμαρ· Ἀρτέμιδος δὲ
στήθεος ἄκρον ἔτυψε μεσαίτατον· ἡ δὲ τυπεῖσα
ἔγχεϊ παχνήεντι χαμαὶ κατέχευε φαρέτρην.
καί οἱ ἐπεγγελόωσα Διὸς μυθήσατο νύμφη·
"Ἄρτεμι, θηρία βάλλε· τί μείζοσιν ἀντιφερίζεις;
καὶ σκοπέλων ἐπίβηθι· τί σοὶ μόθος; οὐτιδανὰς δὲ
ἐνδρομίδας φορέουσα λίπε κνημῖδας Ἀθήνηι·

οὐ δύναται βαρύδουπον ὕδωρ Σειληνὸς ἀράσσων
ἀπτολέμωι νάρθηκι μαχήμονα νῆα καλύψαι,
εἰς χορὸν αἱματόεντα θορὼν λυσσώδεϊ ταρσῶι,
κῶμον ἀνακρούων θανατηφόρον· οὐδ' ἐνὶ πόντωι
ταυρείοις κεράεσσι πεπαρμένον ἄνδρα δαμάζει
ἀγχιφανῆ μεσάτοιο διχαζομένου κενεῶνος,
ἀλλὰ τυπεὶς προκάρηνος ἀτυμβεύτωι τινὶ μοίρηι
κείσεται ἐν ῥοθίοισιν· ὀλισθήσουσι δὲ Βάκχαι
ἔγχεσι μηκεδανοῖσι μιαιφόνον εἰς βυθὸν ἅλμης,
τυπτόμεναι· καὶ νῆας ἀιστώσω Διονύσου,
ναύμαχον εἰκοσίπηχυ δι' ὁλκάδος ἔγχος ἑλίσσων.
ἀλλά, φίλοι, μάρνασθε πεποιθότες· ἀντιβίων δὲ
μή τις ὑποπτήσσειεν ὀπιπεύων στίχα νηῶν
Βακχιάδων· Ἰνδοὶ γὰρ ἐθήμονές εἰσι κυδοιμοῦ
εἰναλίου, καὶ μᾶλλον ἀριστεύουσι θαλάσσηι
ἢ χθονὶ δηριόωντες. ἀνικήτωι δὲ σιδήρωι
οὐ πολέας Σατύρους ληίσσομαι, ἀλλὰ κομάων
ἀντὶ διηκοσίων προμάχων ἕνα μοῦνον ἐρύσσω
θηλυμανῆ Διόνυσον, ὀπάονα Δηριαδῆος."
ὣς εἰπὼν παρέπεισεν ἀθελγέα Δηριαδῆα
Μορρεὺς αἰολόμητις· ἐπεφθέγξαντο δὲ λαοὶ
μῦθον ἐπαινήσαντες· ὁμογλώσσων δ' ἀπὸ λαιμῶν
οἴδμασι κινυμένοισιν ἰσόθροος ἔβρεμεν Ἠχώ.
λῦσε δ' ἄναξ ἀγορήν. Βρομίωι δ' ἐστέλλετο κῆρυξ
πόντιον ὑσμίνην ἐνέπων πειθήμονι Βάκχωι.
ἄμφω δ' εἰς ἓν ἰόντες ἐρυκομένοιο κυδοιμοῦ
ἀμβολίην ποίησαν ἐπὶ τρία κύκλα Σελήνης,
εἰσόκε ταρχύσωσι δαϊκταμένων στίχα νεκρῶν·
ἦν δέ τις εἰρήνη μινυώριος Ἄρεϊ γείτων,
φύλοπιν ὠδίνουσαν ἐφαπλώσασα γαλήνην.

Αὗτο δ' ἀγών· λαοὶ δὲ μετήιον ἔνδια λόχμης,
καὶ σφετέραις κλισίηισιν ὁμίλεον· ἀγρονόμοι δὲ
Πᾶνες ἐναυλίζοντο χαραδραίοισι μελάθροις,
αὐτοπαγῆ ναίοντες ἐρημάδος ἄντρα λεαίνης
ἑσπέριοι· Σάτυροι δὲ δεδυκότες εἰς σπέος ἄρκτου
θηγαλέοις ὀνύχεσσι καὶ οὐ τμητῆρι σιδήρωι
πετραίην ἐλάχειαν ἐκοιλαίνοντο χαμεύνην,
εἰσόκεν ὄρθρος ἔλαμψε σελασφόρος, ἀρτιφανὲς δὲ
ἀμφοτέροις ἀνέτελλε γαληναίης φάος Ἠοῦς,
Ἰνδοῖς καὶ Σατύροισιν· ἐπεὶ τότε κυκλάδι νύσσηι
Μυγδονίου πολέμοιο καὶ Ἰνδῴοιο κυδοιμοῦ
ἀμβολίην ἐτάνυσσεν ἕλιξ χρόνος· οὐδέ τις αὐτοῖς
οὐ φόνος, οὐ τότε δῆρις· ἔκειτο δὲ τηλόθι χάρμης
Βακχιὰς ἑξαέτηρος ἀραχνιόωδα βοείη.
ἀλλ ὅτε δὴ πολέμων ἔτος ἕβδομον ἤγαγον Ὧραι,
οὐράνιον τότε σῆμα προάγγελον οἴνοπι Βάκχωι
φαίνετο, θάμβος ἄπιστον· ἐπεὶ ζόφος ἤματι μέσσωι
ἀπροϊδὴς τετάνυστο, κελαινιόωντι δὲ πέπλωι
κρυπτόμενον Φαέθοντα μεσημβριὰς εἶχεν ὀμίχλη,
κλεπτομένης δ' ἀκτῖνος ἐπεσκιόωντο κολῶναι·

Δικταῖοι Ῥαδαμᾶνες ὁμόφρονες· ἀλλὰ Λυαίωι
Nonnus νῆας ἐτεχνήσαντο μαχήμονας· ἀμφὶ δὲ λόχμας
ποίπνυον ἄλλοθεν ἄλλος· ὁ μὲν τορνώσατο γόμφους,
ὃς δὲ μέσην πεπόνητο περὶ τρόπιν, ἴκρια δ᾽ ἄλλος
ὀρθὰ περὶ σταμίνεσσιν ἀμοιβαίηισιν ὑφαίνων
ὁλκάδι τοῖχον ἔτευχεν, ἐπηγκενίδας δὲ συνάπτων
μηκεδανὰς κατέπηξε, βαθυνομένηι δὲ μεσόδμηι
μεσσοφανῆ μέσον ἱστὸν Ἄραψ ὠρθώσατο τέκτων,
λαιφεϊ πεπταμένωι πεφυλαγμένον· αὐτὰρ ἐπ᾽ ἄκρωι
δουρατέην ἐπίκυρτον ἐτορνώσαντο κεραίην
ἴδμονες εὐπαλάμοιο καὶ Ἡφαίστου καὶ Ἀθήνης.
 ὣς οἱ μὲν μογέοντες ἀμιμήτωι τινὶ τέχνηι
Βάκχωι νῆας ἔτευχον. ἐπασχαλόων δὲ κυδοιμῶι
μαντοσύνης Διόνυσος ἑῆς ἐμνήσατο Ῥείης,
ὅττι τέλος πολέμοιο φανήσεται, ὁππότε Βάκχοι
εἰναλίην Ἰνδοῖσιν ἀναστήσωσιν Ἐνυώ.
 καὶ Λύκος ἀκροτάτοιο δι᾽ οἴδματος ἡγεμονεύων,
νεύμασιν ἀτρέπτοισιν ὑποδρήσσων Διονύσου,
ἄβροχον ἡνιόχευεν ὁδοιπόρον ἅρμα θαλάσσης,
ἧχι σοφοὶ Ῥαδαμᾶνες, ἁλιπλανέες μετανάσται,
νῆας ἐτεχνήσαντο θαλασσοπόρωι Διονύσωι.
καὶ τότε τετραπόροιο χρόνου στροφάλιγγα κυλίνδων,
ἱππεύων ἔτος ἕκτον, ἑλίσσετο καμπύλος Αἰών
{…} εἰς ἀγορὴν ἐκάλεσσε μελαρρίνων γένος Ἰνδῶν
Δηριάδης σκηπτοῦχος· ἐπειγομένωι δὲ πεδίλωι
L2[O] λαὸν ἀολλίζων ἑτερόθροος ἤιε κῆρυξ.
αὐτίκα δ᾽ ἠγερέθοντο πολυσπερέων στίχες Ἰνδῶν,
ἑζόμενοι στοιχηδὸν ἀμοιβαίων ἐπὶ βάθρων·
λαοῖς δ᾽ ἀγρομένοισιν ἄναξ ἀγορήσατο Μορρεύς·
✦ "ἴστε, φίλοι, τάχα πάντες, ἅ περ κάμον ὑψόθι πύργων,
εἰσόκε γαῖα Κίλισσα καὶ Ἀσσυρίων γένος ἀνδρῶν
αὐχένα δοῦλον ἔκαμψεν ὑπὸ ζυγὰ Δηριαδῆος·
ἴστε καί, ὅσσα τέλεσσα καταιχμάζων Διονύσου,
μαρνάμενος Σατύροισι καὶ ἀμητῆρι σιδήρωι
τέμνων ἐχθρὰ κάρηνα βοοκραίροιο γενέθλης,
ὁππότε Βασσαρίδων πεπεδημένον ἑσμὸν ἐρύσσας
ὤπασα Δηριάδηι, πολέμου γέρας, ὧν ὑπὸ λύθρωι
ἄστεος εὐλάιγγες ἐφοινίχθησαν ἀγυιαὶ
κτεινομένων· ἕτεραι δὲ μετάρσιον ἀμφὶ χορείην
ἀγχονίωι θλίβοντο περίπλοκον αὐχένα δεσμῶι·
ἄλλαι δ᾽ ὑδατόεντος ἐπειρήθησαν ὀλέθρου,
κρυπτόμεναι κευθμῶνι πεδοσκαφέος κενεῶνος.
ἀλλὰ πάλιν ναέτηισιν ἀρείονα μῆτιν ὑφαίνω·
εἰσαΐω Ῥαδαμᾶνας, ὅτι δρυτόμωι τινὶ τέχνηι
νῆας ἐτεχνήσαντο φυγοπτολέμωι Διονύσωι·
ἔμπης οὐ τρομέω δόρυ ναύμαχον· ἐν πολέμοις γὰρ
ἄνδρα φερεσσακέων κεκορυθμένον ὑψόθι νηῶν
οὐτιδανοῖς πετάλοισι πότε κτείνουσι γυναῖκες;
ἢ πότε λυσσώων ὀρεσίδρομος ὑψίκερως Πὰν
θηγαλέοις ὀνύχεσσι διατμήξει νέας Ἰνδῶν;

181 (102C) καὶ λίνα σεῖο τίνασσε δολοπλόκα· θηροφόνοι γὰρ
σοὶ κύνες ἀγρώσσουσι, καὶ οὐ πτερόεντες ὀιστοί· Nonnus
οὐ σὺ λεοντοφόνον μεθέπεις βέλος· ἀδρανέων γὰρ
σῶν καμάτων ἱδρῶτες ἀνάλκιδές εἰσι λαγωοί·
σῶν δ᾽ ἐλάφων ἀλέγιζε καὶ εὐκεράου σέο δίφρου,
σῶν ἐλάφων ἀλέγιζε· τί σοὶ Διὸς υἷα γεραίρειν
πορδαλίων ἐλατῆρα καὶ ἡνιοχῆα λεόντων;
ἢν δ᾽ ἐθέληις, ἔχε τόξον, Ἔρως ὅτι τόξα τιταίνει·
παρθενικὴ φυγόδεμνε μογοστόκε, πορθμὸν Ἐρώτων
κεστὸν ἔχειν ὤφελλες ἀοσσητῆρα λοχείης,
σὺν Παφίηι, σὺν Ἔρωτι· σὺ γὰρ κρατέεις τοκετοῖο.
ἀλλά, τελεσσιγόνοιο κυβερνήτειρα γενέθλης,
ἔρχεο παιδοτόκων ἐπὶ παστάδα θηλυτεράων,
καὶ λοχίοις βελέεσσιν ὀιστεύουσα γυναῖκας
εἴκελος ἔσσο λέοντι λεχωίδος ἐγγύθι νύμφης,
ἀντὶ φιλοπτολέμοιο μογοστόκος. ἀλλὰ καὶ αὐτῆς
λῆγε σαοφρονέουσα σαόφρονος εἵνεκα μίτρης,
ὅττι τεῶν μελέων μεθέπων τύπον ὑψιμέδων Ζεὺς
παρθενικὰς ἀγάμους νυμφεύεται· εἰσέτι κείνην
εἰκόνα σὴν βοόωσι γαμοκλόπον Ἀρκάδες ὗλαι,
Καλλιστοῦς ἀγάμοιο γαμοστόλον, ὑμετέρην δὲ
ἔμφρονα μάρτυρον ἄρκτον ἔτι στενάχουσι κολῶναι
μεμφομένην νόθον εἶδος ἐρωμανὲς ἰοχεαίρης,
θηλυτέρης ὅτε λέκτρον ἐδύσατο θῆλυς ἀκοίτης.
ἀλλὰ τεὴν ἀνόνητον ἀπορρίψασα φαρέτρην
Ἥρης κάλλιπε δῆριν ἀρείονος· ἢν δ᾽ ἐθελήσηις, L2[O]
ὡς λοχίη πολέμιζε τελεσσιγάμωι Κυθερείηι."
 ἔννεπε, τειρομένην δὲ παρήλυθεν Ἄρτεμιν Ἥρη.
τὴν δὲ φόβωι μεθύουσαν ἀπὸ φλοίσβοιο κομίζων
ἀμφοτέρωι πήχυνε κατηφέι Φοῖβος ἀγοστῶι,
καί μιν ἄγων ἔστησεν ἐρημάδος ἔνδοθι λόχμης·
2 (1C) νοστήσας δ᾽ ἀκίχητος ὁμίλεε θέσπιδι χάρμηι.
 καὶ βυθίου προμάχου πυρόεις πρόμος ἀντίος ἔστη,
Φοῖβος ἐς ὑσμίνην Ποσιδήιον· ἀμφὶ δὲ νευρῆι
θῆκε βέλος καὶ πυρσὸν ἐκούφισε Δελφίδι πεύκηι
ἀμφοτέρηι παλάμηι περιδέξιος, ὄφρα κορύσσηι
ὁλκῶι κυματόεντι σέλας καὶ τόξα τριαίνηι.
αἰχμὴ δ᾽ αἰθαλόεσσα καὶ ὑδατόεντες ὀιστοὶ
3 σύμπεσον ἀλλήλοισι· κορυσσομένοιο δὲ Φοίβου
Ἄρεος ἐσμαράγησε μέλος πατρώιος Αἰθήρ,
βρονταῖον κελάδημα· θυελλήεσσα δὲ σάλπιγξ
οὔασι Φοιβείοισιν ἐπέκτυπε ποντιὰς Ἠχώ·
Τρίτων δ᾽ εὐρυγένειος ἐβόμβεεν ἠθάδι κόχλωι
ἀνδροφυὴς ἀτέλεστος, ἀπ᾽ ἰξύος ἔγχλοος ἰχθύς·
Νηρεΐδες δ᾽ ἀλάλαζον· ὑπερκύψας δὲ θαλάσσης
σειομένου τριόδοντος Ἄραψ μυκήσατο Νηρεύς.
 οὐρανίης δὲ φάλαγγος ὑπέρτερον ἦχον ἀκούων
Ζεὺς χθόνιος κελάδησε, μὴ ἐννοσίγαιος ἀράσσων
γαῖαν ἱμασσομένην ῥοθίων ἐνοσίχθονι παλμῶι
ἁρμονίην κόσμοιο μετοχλίσσειε τριαίνηι,

μή ποτε κινήσας χθονίων κρηπῖδα βερέθρων
θηητὴν τελέσειεν ἀθηήτου χθονὸς ἕδρην,
μὴ βυθίων φλέβα πᾶσαν ἀναρρήξειεν ἐναύλων
Ταρταρίωι κευθμῶνι χέων μετανάστιον ὕδωρ,
νέρτερον εὐρώεντα κατακλύζων πυλεῶνα.
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων,
καὶ χθόνιαι σάλπιγγες ἐπέβρεμον· ἀμφοτέρους δὲ
ῥάβδον ἐλαφρίζων ἀνεσείρασε μείλιχος Ἑρμῆς·
τρισσοῖς δ’ ἀθανάτοισι μίαν ξυνώσατο φωνήν·
“γνωτὲ Διὸς καὶ κοῦρε, σὺ μέν, κλυτότοξε, θυέλλαις
πυρσὸν ἔα καὶ τόξα, σὺ δὲ γλωχῖνα τριαίνης,
μὴ μακάρων Τιτῆνες ἐπεγγελάσωσι κυδοιμῶι,
μὴ Κρονίην μετὰ δῆριν ἀπειλήτειραν Ὀλύμπου
δεύτερον ἀθανάτοισιν Ἄρης ἐμφύλιος εἴη,
μὴ μόθον ἄλλον ἴδοιμι μετὰ κλόνον Ἰαπετοῖο,
μηδὲ μετὰ Ζαγρῆα καὶ ὀψιγόνου περὶ Βάκχου
φλέξας γαῖαν ἅπασαν ἑῶι πυρὶ χωόμενος Ζεὺς
ἀενάου κλύσσειε τὸ δεύτερον ἄντυγα κόσμου,
ὕδασιν ὀμβρήσας χυτὸν αἰθέρα· μηδὲ νοήσω
ἠερίοις πελάγεσσι διάβροχον ἅρμα Σελήνης·
μὴ ψυχρὴν ἐχέτω Φαέθων πάλιν ἔμπυρον αἴγλην.
πρεσβυτέρωι δ’ ὑπόεικε κυβερνητῆρι θαλάσσης,
πατροκασιγνήτωι τανύων χάριν, ὅττι γεραίρει
εἰναλίην σέο Δῆλον ἁλὸς μεδέων ἐνοσίχθων·
μή σε λίπηι φοίνικος ἔρως καὶ μνῆστις ἐλαίης.
L2[I] τίς πάλιν, ἐννοσίγαιε, δικασπόλος ἐνθάδε Κέκροψ,
τίς πάλιν Ἴναχος ἄλλος ἑὴν πόλιν ἴαχεν Ἥρηι,
ὅττι καὶ Ἀπόλλωνι κορύσσεαι, ὥς πὲρ Ἀθήνηι,
καὶ μόθον ἄλλον ἔχεις προτέρην μετὰ φύλοπιν Ἥρης;
καὶ σύ, πάτερ μεγάλοιο, κερασφόρε, Δηριαδῆος,
Ἡφαίστου πεφύλαξο σέλας μετὰ λαμπάδα Βάκχου,
μή σε πυριγλώχινι καταφλέξειε κεραυνῶι.”
ὣς εἰπὼν ἀνέκοψε θεῶν ἔμφυλον Ἐνυώ.
καὶ τότε λυσσήεις παλινάγρετον ἄμφεπε χάρμην
Δηριάδης βαρύμηνις, ἀπήμονας ὡς ἴδε Βάκχας·
καὶ μόθον ἀρτεμέοντος ὀπιπεύων Διονύσου
εἰς ἐνοπὴν οἴστρησε πεφυζότας ἡγεμονῆας·
καὶ ξυνὴν πρυλέεσσι καὶ ἱππήεσσιν ἀπειλὴν
βάρβαρον ἐσμαράγησε βαρυφθόγγων ἀπὸ λαιμῶν·
“σήμερον ἢ Διόνυσον ἐγὼ πλοκαμῖδος ἐρύσσω,
ἠὲ μόθος Βακχεῖος ἀιστώσει γένος Ἰνδῶν.
ὑμεῖς μὲν Σατύροισιν ἀλεξήτειραν ἀνάγκην
στήσατε· Δηριάδης δὲ κορυσσέσθω Διονύσωι.
ἡμερίδων δὲ πέτηλα καὶ ὄργανα ποικίλα Βάκχου
φλέξατε, καὶ κλισίας ἐμπρήσατε· Μαιναλίδας δὲ
δμωίδας αὐχήεντι κομίσσατε Δηριαδῆι·
καὶ πυρὶ δήια θύρσα μαραίνετε· βουκεράων δὲ
Σειληνῶν Σατύρων τε πολυσπερέων κεφαλάων
λήιον ἀμήσαντες ἀλοιητῆρι σιδήρωι
στέψατε πάντα μέλαθρα βοοκραίροισι καρήνοις.

182 (103C) καὶ νόον εἶχεν ἄπιστον· ἀκηλήτωι δὲ μενοινῆι
τέχνην φαρμακόεσσαν ἐπιρράψας Διονύσωι
ἔλπετο νικήσειν Διὸς υἱέα μύστιδι τέχνηι.
ἔνθα θορὼν ἀκίχητος ἀνέδραμεν ὑψόθι δίφρων·
καὶ θεὸς ἀφραίνοντα θεημάχον ἄνδρα δοκεύων
ἄμπελον ἐβλάστησεν ἀρηγόνα δηιοτῆτος.
καί τις ἐυσταφύλοιο θεήλατος οἰνάδος ὄρπηξ
ἑρπύζων κατὰ βαιὸν ἐς ἀργυρόκυκλον ἀπήνην
Δηριάδην ἔσφιγξεν ἀπειλητῆρι κορύμβωι,
ἀμφιπεριπλέγδην πεπεδημένον· ἀρτιθαλῆ δὲ
σύμφυτον αἰθύσσων ἐπὶ βότρυϊ βότρυν ἀλήτην
μαινομένου βασιλῆος ἐπισκιόωντα προσώπωι
σείετο μιτρώσας ὅλον ἀνέρα· Δηριάδην δὲ
αὐτοφυὴς ἐμέθυσσεν ἕλιξ εὐώδεϊ καρπῶι·
γυιοπέδην δ’ ἀσίδηρον ἐπέπλεκε δίζυγι ταρσῶι,
καὶ πόδας ἐρρίζωσεν ὁμοζυγέων ἐλεφάντων
ἀρραγέος κισσοῖο· καὶ οὐ τόσον ὁλκάδα πόντου
θηκτὰ περιπλεκέων ἐχενηίδος ἄκρα γενείων
δεσμῶι καρχαρόδοντι διεστήριξε θαλάσσηι·
τοῖον ἔην μίμημα. μάτην δ’ ἐλέφαντας ἐπείγων
ἡνίοχος βαρύδουπον ἑὴν ἐλέλιζεν ἱμάσθλην,
κέντροις ὀξυτέροισιν ἀπειθέα νῶτα χαράσσων.
καὶ τόσον Ἰνδὸν ἄνακτα, τὸν οὐ κτάνεν ἄσπετος αἰχμή,
ἀμπελόεις νίκησεν ἕλιξ πρόμος· ἀμφιέπων δὲ
ἡμερίδων ὄρπηκι κατάσχετον ἀνθερεῶνα
πνίγετο Δηριάδης σκολιῶι τεθλιμμένος ὁλκῶι. L2[I]
καὶ μογέων ἀτίνακτος ἐλίσσετο μαινάδι φωνῆι,
λεπτὸν ἔχων ὀλόλυγμα θεουδέος ἀνθερεῶνος,
νεύμασιν ἀφθόγγοις ἱκετήσια δάκρυα λείβων·
καὶ παλάμην ὤρεξεν ἀναυδέα, μάρτυρι σιγῆι
μόχθον ὅλον βοόων· τὸ δὲ δάκρυον ἔπλετο φωνή.
3 (2C) καὶ σκεδάσας Διόνυσος ἑὴν πολύδεσμον ὀπώρην
γυιοπέδην εὔβοτρυν ἀνέσπασε Δηριαδῆος,
καὶ στέφος ἡμερίδων ἑλικώδεα κισσὸν ἐλάσσας
δέσμιον αὐχένα λῦσεν ὁμοπλεκέων ἐλεφάντων.
οὐ δὲ φυγὼν δρυόεντα τανυπτόρθοιο κορύμβου
δεσμὸν ἀπειλητῆρα καὶ αὐτοέλικτον ἀνάγκην
Δηριάδης ἀπέειπεν ἐθήμονα κόμπον ἀπειλῆς,
4 ἀλλὰ πάλιν πρόμος ἔσκε θεημάχος· εἶχε δὲ βουλὴν
διχθαδίην, ἢ Βάκχον ἑλεῖν ἢ δμῶα τελέσσαι.
ἀμφοτέρους δ’ ἀνέκοψε μάχης ἀμφίδρομος ὀρφνή.
καὶ μόθος ἦν μετὰ νύκτα, καὶ ὑπναλέων ἀπὸ λέκτρων
ἐγρομένους θώρηξεν ἀμοιβαίη πάλιν Ἠώς.
οὐδὲ μόθων τέλος ἦεν ἐπειγομένωι Διονύσωι,
ἀλλὰ τόσων μετὰ κύκλα κυλινδομένων ἐνιαυτῶν
ῥυθμὸν Ἐνυαλίοιο μάτην ἐπεβόμβεε σάλπιγξ.
ἤδη δ’ ἐγρεμόθων ἐτέων πολυκαμπέι νύσσηι
Βακχιὰς ὀψιτέλεστος ἐμαίνετο μᾶλλον Ἐνυώ.
οὐ μὲν ἀφειδήσαντες Ἀρειμανέος Διονύσου
κάλλιπον ἀμνήστοισι μεμηλότα μῦθον ἀήταις

ὄρθιον ἠέρταζε μετάρσιον ἀνθερεῶνα,
Nonnus τρηχαλέον βρύχημα χέων πυκνότριχι λαιμῶι
καὶ κέλαδον βρονταῖον ἐρισμαράγοιο τοκῆος·
καὶ σκιερῆς φορέων πολυδαίδαλον εἶδος ὀπώρης
ἀλλοφανὴς μορφοῦτο, καὶ εἴκελος ἔρνεϊ γαίης
αὐτοτελὴς ἀκίχητος ἀνέδραμεν, αἰθέρα τύπτων,
ὡς πίτυς, ὡς πλατάνιστος· ἀμειβομένου δὲ καρήνου
μιμηλοῖς πετάλοισι νόθην δενδρώσατο χαίτην,
γαστέρα θαμνὸν ἔχων περιμήκετον· ἀκρεμόνας δὲ
χεῖρας ἑὰς ποίησε, καὶ ἐφλοίωσε χιτῶνας,
καὶ πόδας ἐρρίζωσεν· ἀνακρούων δὲ κεραίας
μαρναμένου βασιλῆος ἐπεψιθύριζε προσώπωι·
καὶ στικτοῖς μελέεσσι τύπον μιμηλὸν ὑφαίνων
πόρδαλις ὑψιπότητος ἀνέδραμεν ἅλματι ταρσῶν,
καὶ λοφιῆς ἐπέβαινεν ἀερσιλόφων ἐλεφάντων
κοῦφα βιβάς· ἐλέφας δὲ παρήορος ἅρμα τινάσσων
εἰς πέδον ἠκόντιζε θεημάχον ἡνιοχῆα,
σείων φαιδρὰ λέπαδνα καὶ ἀγκύλα κύκλα χαλινῶν.
οὐδὲ πεσὼν ἀμέλησε πέλωρ πρόμος, ἀλλὰ Λυαίωι
μάρνατο μορφωθέντι καὶ οὔτασε πόρδαλιν αἰχμῆι.
ἀλλὰ πάλιν μετάμειψε θεὸς δέμας· ὑψιφανὴς γάρ,
ἠέρα θερμαίνων, ἐλελίζετο πυρσὸς ἀλήτης,
αἰθύσσων ἀνέμοις φλογόεν βέλος, ἀμφὶ δὲ μαζοὺς
στήθεα λαχνήεντα διέτρεχε Δηριαδῆος
κυκλόθεν· ὑψιπόρου δὲ δεδεγμένος ἅλματα καπνοῦ
L3[O] ἀργενναῖς λαγόνεσσιν Ἄραψ ἐμελαίνετο θώρηξ,
βαλλόμενος σπινθῆρι· πυριβλήτου δὲ φορῆος
ἡμιδαὴς ζείοντι λόφωι θερμαίνετο πήληξ {…}
ἐκ βλοσυροῦ δὲ λέοντος ἐφαίνετο κάπρος ἀλήτης,
✦ εὐρύνων μέγα χάσμα δασύτριχος ἀνθερεῶνος,
καὶ λοφιὴν πελάσας ἐπὶ γαστέρι Δηριαδῆος
ὀρθὸς ὀπισθιδίοιο ποδὸς στηρίζετο παλμῶι,
θηγαλέοις ὀνύχεσσι μέσον κενεῶνα χαράσσων.
Δηριάδης δ' ὑπέροπλος ἐμάρνατο φάσματι κωφῶι,
ἐλπίδι μαψιδίηι πεφορημένος· ἤθελε δ' αἰεὶ
ἀψαύστοις ἀκίχητον ἑλεῖν εἴδωλον ἀγοστοῖς·
ἀντιτύπου δὲ λέοντος ἑὸν δόρυ πῆξε μετώπωι,
μῦθον ἀπειλητῆρα χέων πολυειδέϊ Βάκχωι·
"τί πτώσσεις, Διόνυσε; τί σοι δόλος ἀντὶ κυδοιμοῦ;
Δηριάδην τρομέων πολυδαίδαλον εἶδος ἀμείβεις;
πόρδαλις οὐ κλονέει με φυγοπτολέμου Διονύσου,
ἄρκτον ὀιστεύω, καὶ δένδρεον ἄορι τέμνω·
ψευδομένου δὲ λέοντος ἐγὼ κενεῶνα χαράξω.
ἀλλὰ σοφοὺς Βραχμῆνας ἀτευχέας εἰς σὲ κορύσσω·
γυμνοὶ γὰρ γεγάασι, θεοκλήτοις δ' ἐπαοιδαῖς
πολλάκις ἠερόφοιτον, ὁμοίιον ἄζυγι Ταύρωι,
οὐρανόθεν κατάγοντες ἐφαρμάξαντο Σελήνην,
πολλάκι δ' ἱππεύοντος ἐπειγομένων ἐπὶ δίφρων
ἀσταθέος Φαέθοντος ἀνεστήσαντο πορείην."
ἔννεπε παπταίνων ἑτερότροπα φάσματα Βάκχου·

183 (104C) μὴ Φαέθων στρέψειε πυραυγέας εἰς δύσιν ἵππους,
πρὶν Σατύρους καὶ Βάκχον ἀλυκτοπέδηισι κομίσσω Nonnus
σφιγγόμενον, καὶ στικτὸν ἐμῆι δεδαϊγμένον αἰχμῆι
ῥωγαλέον φορέοντα κατὰ στέρνοιο χιτῶνα,
θύρσον ἀπορρίψαντα· τανυπλοκάμων δὲ γυναικῶν
χαίτην ἀμπελόεσσαν ἐμῶι τεφρώσατε δαλῶι.
θαρσαλέοι δὲ γένεσθε, καὶ Ἰνδώιην μετὰ χάρμην
νίκην κυδιάνειραν ἀείσατε Δηριαδῆος,
ὄφρά τις ἐρρίγηισι καὶ ὀψιγόνων στρατὸς ἀνδρῶν
Ἰνδοῖς Γηγενέεσσιν ἀνικήτοισιν ἐρίζειν."
ἔννεπε, καὶ προμάχους μετανεύμενος ἄλλον ἐπ' ἄλλωι
ἡνιόχους οἴστρησεν ἀμετροβίων ἐλεφάντων,
καὶ πρυλέων πομπῆας ἐπεστήριξεν ὁμίλωι
μαρναμένους πυργηδόν. ὁμοζήλωι δὲ κυδοιμῶι
θυρσομανὴς Διόνυσος ἐρημονόμων στίχα θηρῶν
εἰς ἐνοπὴν βάκχευεν· ὀριτρεφέες δὲ μαχηταὶ
δαιμονίηι βρυχηδὸν ἐβακχεύθησαν ἱμάσθληι,
καὶ πολὺς ἐκ στομάτων ἐκορύσσετο μαινόμενος θήρ·
ὠμοβόρων δὲ δράκοντες ἀποπτύοντες ὀδόντων
τηλεβόλους πόμπευον ἐς ἠέρα πίδακας ἰοῦ
χάσματι συρίζοντι μεμυκότος ἀνθερεῶνος,
λοξὰ παρασκαίροντες· ἐς ἀντιβίους δὲ θορόντες
αὐτόματον σκοπὸν εἶχον ἐχιδνήεντες ὀιστοί·
καὶ σκολιαῖς ἑλίκεσσιν ἐμιτρώθη δέμας Ἰνδῶν
εἰλομένων, βροτέους δὲ πόδας σφηκώσατο σειρὴ
εἰς δρόμον ἀίσσοντας. Ἀρειμανέες δὲ γυναῖκες L3[O]
δῆριν ἐμιμήσαντο δρακοντοβόλου Φιδαλείης,
ἥ ποτε κέντρον ἔχουσα γυναικείοιο κυδοιμοῦ
δυσμενέας νίκησεν ἐχιδνήεσσι κορύμβοις {…}
καί τις ἀπὸ στομάτων δολιχόσκιον ἔγχος ἰάλλων
ἰὸν ἀκοντιστῆρα κατέπτυε Δηριαδῆος,
4 (3C) καὶ φονίηι ῥαθάμιγγι χάλυψ ἐδιαίνετο θώρηξ.
καὶ νέκυς ἐν χθονὶ κεῖτο τυπεὶς ζώοντι βελέμνωι,
ἄπνοος ἀμφιέπων βέλος ἔμπνοον. ὀρθοπόδων δὲ
εἰς λοφιὴν ἐπίκυρτον ἀναΐξας ἐλεφάντων
πόρδαλις ἠιώρητο μετάρσιος ἅλματι ταρσῶν·
πυκνὰ δὲ θηρείοιο κατεστήρικτο καρήνου,
καὶ δρόμον ἠιώρησε τανυκνήμων ἐλεφάντων.
5 καὶ πολὺς ἑσμὸς ἔπιπτε, βαρυσμαράγων ἀπὸ λαιμῶν
φρικτὸν ἐρημονόμων ἀέων βρύχημα λεόντων·
καί τις ἐνικήθη τρομέων μυκήματα ταύρου,
καὶ βοὸς εἰσορόων βλοσυρῆς γλωχῖνα κεραίης
λοξὸν ἀκοντίζουσαν ἐς ἠέρα· φοιταλέος δὲ
εἰς φόβον ἄλλος ὄρουσεν ὑποφρίσσων γένυν ἄρκτου·
θηρείαις δ' ἰαχῆσιν ὁμόκτυπος ἄλλος ἐπ' ἄλλωι
Πανὸς ἀνικήτοιο κύων συνυλάκτεε λαιμῶι,
καὶ μόθον ὑλακόμωρον ἐδείδισαν αἴθοπες Ἰνδοί.
ξυνὴ δ' ἀμφοτέροισιν ὁμόζυγος ἦεν Ἐνυώ·
γαῖα δὲ διψώουσα φόνου κυμαίνετο λύθρωι
κτεινομένων ἑκάτερθε, πολυσπερέων δὲ δαμέντων

πληθύι τοσσατίηι νεκύων ἐστείνετο Λήθη·
χειρὶ δ' ἀνοχλίζων Ἀίδης ὀρφναῖον ὀχῆα
εὐρυτέρους πυλεῶνας ἑῶν ὤιξε μελάθρων
κτεινομένων ἑκάτερθε, διεσσυμένων δὲ βερέθρου
Ταρτάριον μύκημα Χαρωνίδες ἔκτυπον ὄχθαι.
καὶ πολὺς ἐγρεκύδοιμος ἔην κτύπος, ἀντιβίων δὲ
ὠτειλὴ κταμένων ἑτερότροπος, ὧν ὁ μὲν αὐτῶν
ἱππόθεν ὠλίσθησε τετυμμένος ἀνθερεῶνα,
ὃς δὲ κατὰ στέρνοιο περίτροχον ἄντυγα μαζοῦ,
ὃς δὲ μέσον κενεῶνα πεπαρμένος ἔκπεσε δίφρου·
ἄλλος ἐυγλώχινι παρ' ὀμφαλὸν ἄκρον ὀιστῶι
βλήμενος αὐτοκύλιστος ὁμίλεε γείτονι πότμωι,
ὃς δὲ τυπεὶς μεσάτης ὑπὲρ ἄντυγος, ὃς δὲ δι' ὤμου
καὶ φυγὰς ἄλλος ἔπιπτε ῥάχιν τετορημένος αἰχμῆι,
πεζὸς ἀελλήεντα τετυμμένον ἵππον ἐάσας·
ὃς δὲ πεσὼν ἀνίουλος ὀδύρετο σύντροφον ἥβην·
καί τις ἀναλθήτωι κεχαραγμένος ἧπαρ ὀιστῶι
κύμβαχος ἐξ ἐλέφαντος ἐπεγδούπησε κονίηι,
κρᾶτα παρακλίνας δαπέδωι, καὶ χεῖρας ἑλίξας
αἱμαλέην πήχυνε κατηφέι γαῖαν ἀγοστῶι.
καί τις ἀνὴρ ἱππῆος ἐναντία δόχμιος ἔστη,
καὶ σάκεος κενεῶνα χυτῆς ἔπλησε κονίης,
καὶ χθονὶ ταρσὸν ἔπηξε, δεδεγμένος ἀνέρος ὁρμήν·
χειρὶ δὲ θαρσαλέηι πολυδαίδαλον ἀσπίδα τείνων
ἱππείην ψαμάθοισιν ὅλην ἔρραινεν ὀπωπήν·
L3[I] βακχεύσας δὲ κάρηνον ἄνω νεύοντι προσώπωι
ἵππος ἀνηιώρητο κονισαλέην τρίχα σείων,
καμπύλα δ' εὐλάιγγος ἀπέπτυεν ἄκρα χαλινοῦ·
τρίβων δ' ἀγκυλόδοντα παλυνομένην γένυν ἀφρῶι
✦ ὑψιτενὴς δεδόνητο, καὶ ὄρθιον αὐχένα πάλλων
οἰστρήεις ἀχάλινος ἐπεστηρίζετο γαίηι
ποσσὶν ὀπισθιδίοισι, καὶ αἰθύσσων κόνιν ὁπλῆι
εἰς πέδον ἠκόντιζεν ἀπόσσυτον ἡνιοχῆα.
αὐτὰρ ὁ κεκλιμένωι ταχὺς ἔδραμε κάρχαρος ἀνήρ,
γυμνὸν ἔχων θοὸν ἆορ· ὑπὲρ δαπέδου δὲ ταθέντος
κυανέου προμάχοιο διέθρισεν ἀνθερεῶνα.
ἄλλος ἐριπτοίητος ἐχάζετο πῶλος ἀλήτης,
γείτονος ἡνιόχοιο δεδεγμένος ἦχον ἱμάσθλης,
οἰκτρὸν ἑὸν θνήσκοντα διαστείβων ἐλατῆρα,
κείμενον ἀρτιδάικτον, ἐπισπαίροντα κονίηι.
Κολλήτης δ' ἀπέλεθρος ἔχων περιμήκεα μορφήν,
δύσμαχος, ἐννεάπηχυς, ὁμοίιος Ἀλκυονῆι,
Βακχείης κατὰ μέσσον ἐμαίνετο δηιοτῆτος·
Βασσαρίδων δὲ φάλαγγα μετὰ κλόνον ἤθελεν ἕλκειν
εἰς εὐνὴν ἀνάεδνον ἀναγκαίων ὑμεναίων,
καὶ κενεῆι πολέμιζεν ἐπ' ἐλπίδι, τηλίκος ἀνήρ,
οἷος ἔην θρασὺς Ὦτος ἀνέμβατον αἰθέρα βαίνων,
ἁγνὸν ἀνυμφεύτου ποθέων λέχος ἰοχεαίρης,
οἷος ἔην φιλέων καθαρῆς ὑμέναιον Ἀθήνης
ὑψινεφὴς ἐς Ὄλυμπον ἀκοντίζων Ἐφιάλτης·

184 (105C) Κολλήτης πέλε τοῖος ὑπέρτερος, αἰθέρι γείτων,
Γηγενέος προγόνοιο θεημάχου αἷμα κομίζων,
Ἰνδοῦ πρωτογόνοιο· καὶ ἄρκιος ἔπλετο μορφῆι
δῆσαι θοῦρον Ἄρηα μεθ' υἱέας Ἰφιμεδείης·
ἀλλὰ τόσον περ ἐόντα γυνὴ κτάνεν ὀξέι πέτρωι,
Βακχιάδος Χαρόπεια κυβερνήτειρα χορείης.
καί τις ἀριστεύουσαν ἰδὼν ὑψαύχενα κούρην
θαῦμα χόλωι κεράσας τρομερὴν ἐφθέγξατο φωνήν·
"Ἄρες, Ἄρες, λίπε τόξα καὶ ἀσπίδα καὶ σέο λόγχην,
Ἄρες, ἐσυλήθης, λίπε Καύκασον· ἀνδροφόνους γὰρ
ἀλλοίας Διόνυσος Ἀμαζόνας εἰς μόθον ἕλκει·
ὁπλοφόρους δονέουσιν ἀνάσπιδες· ὑμετέρου γὰρ
οὐκ ἀπὸ Θερμώδοντος ἑὰς ἐκόμισσε γυναῖκας.
ξεῖνον ἴδον καὶ ἄπιστον ἐγὼ τύπον· οὐ σάκος ὤμοις,
οὐ δόρυ θοῦρον ἔχουσιν Ἀμαζονίδες Διονύσου·
οὐ τόσον εὐθώρηκες ἀριστεύουσι γυναῖκες
Καυκασίδες· Βάκχαι δὲ φιλοπτόρθων ἀπὸ χειρῶν
φυλλάδας αἰχμάζουσι, καὶ οὐ χατέουσι σιδήρου.
ὤμοι Δηριάδαο μεμηνότος, ὅττι γυναῖκες
χαλκείους ὀνύχεσσι διασχίζουσι χιτῶνας."
ἔννεπε θαμβήσας κραναὸν βέλος, οἷον ἑλοῦσα
τηλίκον ὑψικάρηνον ἀπέκτανεν ἀνέρα Βάκχη.
Δηριάδης δ' ἀκίχητος ἐπέδραμε θυιάσι Βάκχαις,
καὶ Χαρόπην ἐδίωκε λιθοσσόον· ἡ δὲ φυγοῦσα
μάρνατο θαρσήεσσα παρισταμένη Διονύσωι,
θύρσον ἀκοντίζουσα φιλάνθεμον Εὐάδι χάρμηι. **L3[I]**
Δηριάδης δ' Ὀρίθαλλον ἀπηλοίησε σιδήρωι,
Κουρήτων ὁμόφυλον, Ἀβαντίδος ἀστὸν ἀρούρης.
καὶ κοτέων ἑτάροιο δεδουπότος ἀρχὸς Ἀβάντων
Καρμίνων βασιλῆα κατεπρήνιξε Μελισσεύς,
Κύλλαρον, ὀξυόεντι κατ' αὐχένος ἄορι τύψας,
5 (4C) Λωγασίδην θ', ὃς μοῦνος, ἐπεὶ σοφὸς ἔσκε μαχητής,
Δηριάδηι μεμέλητο δοριθρασέων πλέον Ἰνδῶν
καί μιν ἄναξ φιλέοι μετὰ Μορρέα· πολλάκι δ' αὐτῆι
Ὀρσιβόηι καὶ ἄνακτι μιῆς ἔψαυσε τραπέζης,
θυγατέρων βασιλῆος ὁμέστιος· ἀμφοτέροις γὰρ
ἔγχεϊ καὶ πραπίδεσσιν ὑπέρβαλε σύντροφον ἥβην.
ἔνθα πολὺς προμάχωι πρόμος ἤρισεν· ὑψιφανὴς δὲ
6 Πευκετίωι πολέμιζεν ἀερσιπόδης Ἀλιμήδης,
καὶ Φλογέωι κεκόρυστο Μάρων καὶ Θουρέι Ληνεύς.
ὑσμίνης δὲ τάλαντα πατὴρ ἔκλινε Κρονίων·
καὶ βριαρῶι Διόνυσος ἐμάρνατο Δηριαδῆι,
μίξας ἔγχεϊ θύρσον· ἀκοντοφόρωι δὲ μαχητῆι
πῆι μὲν ἀκοντίζοντι μετάτροπον εἶδος ἀμείβων
δύσατο παντοίης πολυδαίδαλα φάσματα μορφῆς·
πῆι δὲ θυελλήεσσα κορύσσετο μαινομένη φλόξ,
ἀγκύλον αἰθύσσουσα σέλας βητάρμονι καπνῶι.
ἄλλοτε κυμαίνων ἀπατήλιον ἔρρεεν ὕδωρ,
ὑγρὸς ὀιστεύων διερὸν βέλος· ἀμφιέπων δὲ
ἰσοφυὲς μίμημα λεοντείοιο προσώπου

ὄργανα πυγμαχίης γυιαλκέος, ὃς πάρος αἰεὶ 185
Nonnus πατρώιωι μεμέλητο παρήμενος ἐσχαρεῶνι,
Ἡφαιστιάδης, σφυρήλατον ἄκμονα τύπτων.
τὸν μὲν ἐριπτοίητον ἀδελφεὸς ἄμφεπεν Ἄλκων,
ζῶμα δὲ οἱ παρέθηκε, καὶ ἥρμοσεν ἰξύι μίτρην,
καὶ δολιχαῖς παλάμησι κασιγνήτοιο συνάπτων
ἀζαλέων ἔσφιγξε περίπλοκον ὁλκὸν ἱμάντων.
καὶ πρόμος εἰς μέσον ἦλθεν, ἑοῦ προβλῆτα προσώπου
λαιὴν χεῖρα φέρων, σάκος ἔμφυτον· ἀντὶ δὲ λόγχης
ποιητῆς παλάμης ταμεσίχροες ἦσαν ἱμάντες.
αἰεὶ δ' ἀντιπάλοιο φυλάσσετο δύσμαχον ὁρμήν,
μή ποτέ μιν πλήξειε κατ' ὀφρύος ἠὲ μετώπου,
ἠέ μιν αἱμάξειε, τετυμμένον ἄρθρον ἀμύξας,
ἠὲ διατμήξειε, κατὰ κροτάφοιο τυχήσας,
εἰς μέσον ἐγκεφάλοιο νοήμονος ἄκρον ἀράξας,
ἢ παλάμην τρηχεῖαν ἐπὶ κροτάφοισι τιταίνων
ὄμματα γυμνώσειε λιπογλήνοιο προσώπου,
ἠὲ δαφοινήεντος ἀρασσομένοιο γενείου
ὀξυτέρων ἐλάσειε πολύστιχον ὄγμον ὀδόντων.
ἔνθα μὲν Εὐρυμέδοντος ἐπεσσυμένοιο Μελισσεὺς
στήθεος ἄκρον ἔλασσεν· ὁ δὲ σχεδὸν ἄντα προσώπου
χεῖρα μάτην ἐτίταινε, καὶ ἤμβροτεν ἠέρα τύπτων·
καί μιν ἀεὶ τρομέων περιδέδρομε, κόλπον ἀμείβων,
δεξιτερὴν γυμνοῖο κάτω μαζοῖο τιταίνων.
ἄμφω δ' εἰς ἓν ἵκανον ἐπήλυδες, ἄλλος ἐπ' ἄλλωι
L1[O] ἴχνεσι φειδομένοισι ποδὸς πόδα τυτθὸν ἀμείβων·
𝔸 χερσὶ δὲ χεῖρας ἔμιξαν· ἐπασσυτέρησι δὲ ῥιπαῖς
✦ φρικτὸς ὁμοπλεκέων ἐπεβόμβεε δοῦπος ἱμάντων
ἀκροτάτην περὶ χεῖρα· χαρασσομένης δὲ παρειῆς
αἱμαλέαις λιβάδεσσιν ἐφοινίχθησαν ἱμάντες·
καὶ γενύων πέλε δοῦπος· ἐπὶ θρωσμῶι δὲ προσώπου
εὐρυτέρου γεγαῶτος ἐκυμαίνοντο παρειαί, 1
ὀφθαλμοὶ δ' ἑκάτερθεν ἐκοιλαίνοντο προσώπου.
Εὐρυμέδων μὲν ἔκαμνε Μελισσέος ἴδμονι τέχνηι,
ἄσχετον ἠελίοιο μένων ἀντώπιον αἴγλην,
ὄμμα καταυγάζοντος· ἐπαΐξας δὲ Μελισσεὺς
ὀξυτέρηι στροφάλιγγι μετάρσιον ἴχνος ἀείρων
ἄφνω γναθμὸν ἔτυψεν ὑπ' οὔατος· αὐτὰρ ὁ κάμνων
ὕπτιος αὐτοκύλιστος ἐρείσατο νῶτα κονίηι, 1
θυμολιπὴς μεθύοντι πανείκελος· εἶχε δὲ κόρσην
κεκλιμένην ἑτέρωσε, καὶ αἵματος ἔπτυεν ἄχνην
λεπτὰ παχυνομένοιο· λαβὼν δέ μιν ἐκτὸς ἀγῶνος
στυγνὸς ὑπὲρ νώτοιο μετήγαγε σύγγονος Ἄλκων
πληγῆι ἀμερσινόωι βεβαρημένον. ἐσσύμενος δὲ
Ἰνδῴην περίμετρον ἀνηέρταζε βοείην.
καὶ διδύμους Διόνυσος ἀεθλητῆρας ἐπείγων
ἀνδράσιν ἀθλοφόροισι πάλης κήρυξεν ἀγῶνα·
καὶ τρίπος εἰκοσίμετρος ἀέθλιον ἵστατο νίκης
πρώτωι ἀεθλητῆρι· τίθει δ' εἰς μέσσον ἀείρας
ἀνθεμόεντα λέβητα χερείονι φωτὶ φυλάσσων.

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

When the thirty-seventh takes its turn, there are contests about the tomb, the men competing for prizes.

NONNUS
DIONYSIACA
BOOK 37

PREVIEW BOOK 39

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 🇺🇸 778 lines 3.0
𝔸 3L 1 - 550
𝔹 2L 551 - 778

PRINT 2-SIDED: **209** to **218**

Ὣς οἱ μὲν φιλότητι μεμηλότες ἔμφρονες Ἰνδοί,
Βακχείην ἀνέμοισιν ἐπιτρέψαντες Ἐνυώ,
ὄμμασιν ἀκλαύτοισιν ἐταρχύσαντο θανόντας,
οἷα βίον βροτέου γαιήια δεσμὰ φυγόντας
ψυχῆς πεμπομένης, ὅθεν ἤλυθε, κυκλάδι σειρῆι
νύσσαν ἐς ἀρχαίην· στρατιὴ δ' ἀμπαύετο Βάκχου.
καὶ φιλίην Διόνυσος ἰδὼν πολέμοιο γαλήνην
πρώιος ἡμιόνους καὶ ὁμήλυδας ἄνδρας ἐπείγων
ἀζαλέην ἐκέλευσεν ἄγειν ὀρεσίτροφον ὕλην,
ὄφρα πυρὶ φλέξειεν ὀλωλότα νεκρὸν Ὀφέλτην.
τῶν μὲν ἔην προκέλευθος ἔσω πιτυώδεος ὕλης
Φαῦνος ἐρημονόμωι μεμελημένος ἠθάδι λόχμηι,
μητρὸς ὀρεστιάδος δεδαημένος ἔνδια Κίρκης.
καὶ δρυτόμωι στοιχηδὸν ἐτέμνετο δένδρα σιδήρωι·
πολλὴ μὲν πτελέη τανυηκεῖ τάμνετο χαλκῶι,
πολλὴ δ' ὑψιπέτηλος ἐπέκτυπε κοπτομένη δρῦς,
καὶ πολλὴ τετάνυστο πίτυς, καὶ ἐκέκλιτο πεύκη
αὐχμηροῖς πετάλοισι· πολυσπερέων δ' ἀπὸ δένδρων
τεμνομένων κατὰ βαιὸν ἐγυμνώθησαν ἐρίπναι·
καί τις Ἁμαδρυάδων μετανάστιος ἔστιχε Νύμφη,
πηγαίηι δ' ἀκίχητος ἀήθεϊ μίγνυτο κούρηι.
καὶ πολὺς ἐρχομένοισιν ὀρίδρομος ἤιεν ἀνήρ,
οὔρεος οἶμον ἔχων ἑτερότροπον· ἦν δὲ νοῆσαι
ὑψιφανῆ προβλῆτα κατήλυδα λοξὸν ὁδίτην
ποσσὶ πολυπλανέεσσιν· εὐπλέκτοιο δὲ σειρῆς
L1[I] πυκνὰ περισφίγξαντες ἀρηρότι δούρατα δεσμῶι
A οὐρήων ἐπέθηκαν ὑπὲρ ῥάχιν· ἐσσυμένων δὲ
ἡμιόνων στοιχηδὸν ὀρίδρομος ἔκτυπεν ὁπλὴ
σπερχομένοων, καὶ νῶτα πολυψαμάθοιο κονίης
συρομένων κατόπισθε φυτῶν ἐβαρύνετο φόρτωι.
καὶ Σάτυροι καὶ Πᾶνες ἐποίπνυον, ὧν ὁ μὲν αὐτῶν
ὑλοτόμος παλάμηισιν ἀμοιβαίων ἀπὸ δένδρων
φιτροὺς ἀκαμάτοισιν ἐλαφρίζοντες ἀγοστοῖς
ποσσὶ φιλοσκάρθμοισιν ἐπεκροτάλιζον ἐρίπνηι·
καὶ τὰ μὲν ὑλονόμοι χθονὶ κάτθεσαν, ἧχι τελέσσαι
Εὔιος ἐν δαπέδωι σημήνατο τύμβον Ὀφέλτηι.
καὶ πολὺς ἑσμὸς ἔην ἑτερόπτολις· ἀμφὶ δὲ νεκρῶι
πενθαλέην πλοκαμῖδα κατηφέι τάμνε σιδήρωι·
ἀμφὶ δέ μιν στενάχοντες ἐπέρρεον ἄλλος ἐπ' ἄλλωι,
νεκρὸν ἀμοιβαίηισιν ὅλον σκιόωντες ἐθείραις.
καὶ νέκυν ἔστενε Βάκχος ἀπενθήτοιο προσώπου
ὄμμασιν ἀκλαύτοισιν, ἀκερσικόμου δὲ καρήνου
πλοχμὸν ἕνα τμήξας ἐπεθήκατο δῶρον Ὀφέλτηι.
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα
Ἰδαῖοι θεράποντες ὀριτρεφέος Διονύσου·
ἐν δὲ πυρῆι μεσάτηι στόρεσαν νέκυν. ἀμφὶ δὲ νεκρῶι
Ἀστέριος Δικταῖος ἐπήορον ἄορ ἐρύσσας
Ἰνδοὺς κυανέους δυοκαίδεκα δειροτομήσας
θῆκεν ἄγων στεφανηδὸν ἐπασσυτέρωι τινὶ κόσμωι·
ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας.

186 (106C) ἀγχιφανὴς νίκησε πολύτροπος ἀστὸς Ἀθήνης,
Σκέλμιν ἔτι προθέοντα παραΐξας ἐλατῆρα.
οὔ πω νεῖκος ἔληγε. καὶ ἔφθασεν ἐγγὺς Ἐρεχθεύς,
ἵππους ἔνθα καὶ ἔνθα κατωμαδὸν αἰὲν ἱμάσσων·
καὶ πολὺς ἱππείοιο δι' αὐχένος ἔρρεεν ἱδρὼς
καὶ λασίου στέρνοιο, καθ' ἡνιόχοιο δὲ πυκναὶ
αὐχμηραὶ ῥαθάμιγγες ἐπερρώοντο κονίης·
ἅρματα δ' ἀγχιπόροισιν ἐπέτρεχεν ἴχνεσιν ἵππων
ἀλλομένηι στροφάλιγγι· καὶ οὐ τροχόεντι σιδήρωι
λεπταλέης ἀτίνακτα τινάσσετο νῶτα κονίης.
αὐτὰρ ὁ πωτήεντα μετὰ δρόμον ὑψόθι δίφρου
εἰς μέσον ἦλθεν ἀγῶνος· ἑῶι δ' ἔσμηξε χιτῶνι
μυδαλέων ἱδρῶτα διαστάζοντα μετώπων·
καὶ ταχὺς ἐκ δίφροιο κατήιε· μηκεδανὴν δὲ
εἰς ζυγὸν εὐποίητον ἑὴν ἔκλινεν ἱμάσθλην·
ἵππους δ' Ἀμφιδάμας θεράπων λύεν· ὠκύτερος δὲ
τερπομένηι παλάμηι πρωτάγρια κούφισε νίκης,
ἰοδόκην καὶ τόξα καὶ εὐπήληκα γυναῖκα,
πάλλων ἡμιτόμοιο μεσόμφαλα νῶτα βοείης.
τῶι δ' ἐπὶ δεύτερος ἦλθε θαλασσαίων ἐπὶ δίφρων
Σκέλμις, ἐπισπέρχων Ποσιδήιον ἅρμα θαλάσσης,
κύκλος ὅσον τροχόεις ἀπολείπεται ὠκέος ἵππου,
τοῦ μὲν ἐπαΐσσοντος ἐπισσώτρων μόγις ἄκραι
ἐκταδίης ψαύουσιν ἑλισσομένης τρίχες οὐρῆς·
δεύτερα δ' εἶλεν ἄεθλα, καὶ ὤρεγε Δαμναμενῆι
ἔγκυον ἵππον ἔχειν, ζηλήμονι χειρὶ τιταίνων. L1[I]
καὶ τρίτος Ἀκταίων ἀνεκούφισε σύμβολα νίκης A
χρυσοφαῆ θώρηκα, παναίολον ἔργον Ὀλύμπου.
τῶι δ' ἐπὶ Φαῦνος ἵκανε· καὶ αὐτόθι δίφρον ἐρύσσας
ὀμφαλὸν ἀργυρόκυκλον ἀνηέρταζε βοείης,
αὐχμηρῆς μεθέπων ἔτι λείψανα κεῖνα κονίης.
2 (1C) καὶ Σικελὸς θεράπων βραδυδινέος ἐγγύθι δίφρου
χρυσοῦ δισσὰ τάλαντα κατηφέι δεῖξεν Ἀχάτηι,
οἰκτρὸν ἀγηνορέοντι φιλοστόργωι Διονύσωι.
αὐτὰρ ὁ πυγμαχίης χαλεπῆς ἔστησεν ἀγῶνα·
πρώτωι μὲν θέτο ταῦρον ἀπ' Ἰνδῴοιο βοαύλου
δῶρον ἄγειν, ἑτέρωι δὲ μελαρρίνων κτέρας Ἰνδῶν
βάρβαρον αἰολόνωτον ἑλὼν κατέθηκε βοείην.
2 ὀρθωθεὶς δ' ἀγόρευεν ἀεθλητῆρας ἐπείγων,
εὐπαλάμου δύο φῶτας ἐριδμαίνειν περὶ νίκης·
"πυγμῆς οὗτος ἄεθλος ἀτειρέος· ἀθλοφόρωι δὲ
ἀνέρι νικήσαντι δασύτριχα ταῦρον ὀπάσσω,
ἀνδρὶ δὲ νικηθέντι πολύπτυχον ἀσπίδα δώσω."
ὣς φαμένου Βρομίοιο σακέσπαλος ὦρτο Μελισσεύς,
ἠθάδι πυγμαχίηι μεμελημένος· εὐκεράου δὲ
ἁψάμενος ταύροιο τόσην ἐφθέγξατο φωνήν·
"ἐλθέτω, ὃς ποθέει σάκος αἰόλον· οὐ γὰρ ἐάσω
ἄλλωι πίονα ταῦρον, ἕως ἔτι χεῖρας ἀείρω."
ὣς φαμένου ξύμπαντας ἐπεσφρήγισσε σιωπή·
Εὐρυμέδων δέ οἱ οἶος ἀνίστατο, τῶι πόρεν Ἑρμῆς

ἦχι μολὼν ἀέκων ἀνεσείρασε δίφρον Ἀχάτης,
φεύγων ἀγχικέλευθον ἐπηλυσίην ἐλατῆρος·
καί οἱ ἐπεσσυμένῳ τρομερὴν ἀνενείκατο φωνήν·
“εἰσέτι, νήπιε Φαῦνε, τεοὶ ῥυπόωσι χιτῶνες,
εἰσέτι σῶν ὀχέων ψαμαθώδεές εἰσι κορῶναι,
οὔ πω σῶν ἐτίναξας ἀκοσμήτων κόνιν ἵππων·
λύματα σεῖο κάθαιρε· τί σοι τόσον ἵππον ἐλαύνειν;
μή σε πάλιν πίπτοντα καὶ ἀσπαίροντα νοήσω.
σὸν θρασὺν Ἀκταίωνα φυλάσσεο, μή σε κιχήσας
ταυρείῃ σέο νῶτον ὑποστίξειεν ἱμάσθλῃ,
μή σε πάλιν προκάρηνον ἀκοντίζειε κονίῃ.
εἰσέτι σῆς μεθέπεις κεχαραγμένα κύκλα παρειῆς·
Φαῦνε, τί μαργαίνεις, ξυνήονα μῶμον ἀνάπτων
πατρὶ Ποσειδάωνι καὶ Ἠελίῳ σέο πάππῳ;
ἅζεό μοι Σατύρων φιλοκέρτομον ἀνθερεῶνα.
Σειληνοὺς πεφύλαξο καὶ ἀμφιπόλους Διονύσου,
μή σοι ἐπεγγελάσωσι καὶ αὐσταλέῳ σέο δίφρῳ.
πῇ θρόνα; πῇ βοτάναι; πῇ φάρμακα ποικίλα Κίρκης
πάντα σε, πάντα λέλοιπεν, ὅτ’ εἰς δρόμον ἦλθες ἀγῶνος.
τίς κεν ἀπαγγείλειεν ἀγήνορι σεῖο τεκούσῃ
καὶ σέο κύμβαχον ἅρμα καὶ αὐχμώουσαν ἱμάσθλην;
τοῖον ἀπερροίβδησεν ἀγήνορα μῦθον Ἀχάτης,
κερτομέων· Νέμεσις δὲ τόσην **ἐγράψατο** φωνήν.
καὶ σχεδὸν ἤλυθε Φαῦνος ὁμήλυδα δίφρον ἐλαύνων·
ἅρματι δ’ ἅρμα πέλασσε, καὶ ἄξονι γόμφον ἀράσσων
L2[O] 𝔸
μεσσοπαγῆ συνέαξε βαλὼν τροχοειδέν κύκλῳ·
καὶ τροχὸς αὐτοκύλιστος ἕλιξ ἐπεκέκλιτο γαίῃ,
ἅρμασιν Οἰνομάοιο πανείκελος, ὁππότε κηροῦ
θαλπομένου Φαέθοντι λυθεὶς ἀπατήλιος ἄξων
ἱπποσύνην ἀνέκοπτε μεμηνότος ἡνιοχῆος.
στεινωπὴν δὲ κέλευθον ἔχων ἀνέμιμνεν Ἀχάτης,
εἰσόκε τετραπόρων ὑπὲρ ἄντυγος ἥμενος ἵππων
ὠκυτέρῃ μάστιγι παρήλυθε Φαῦνος Ἀχάτην,
οἷά περ οὐκ ἀίων· καὶ ἐκούφισε μᾶλλον ἱμάσθλην,
μαστίζων ἀκίχητος ἐπειγομένων λόφον ἵππων·
καὶ πέλεν Ἀκταίωνος ὀπίστερος, ὅσσα θορόντος
δίσκου πεμπομένοιο πέλει δολιχόσκιος ὁρμή,
ὃν βριαρῇ παλάμῃ δονέων αἰζηὸς ἰάλλει.
λαοῖς δ’ ἔμπεσε λύσσα· καὶ ἤρισαν ἄλλος ἐπ’ ἄλλῳ,
συνθεσίας τεύχοντες ἀτεκμάρτου περὶ νίκης
ἐσσομένης· τὰ δὲ δῶρα θυελλοπόδων χάριν ἵππων
ἢ τρίπος ἠὲ λέβης ἢ φάσγανον ἠὲ βοείη·
καὶ ναέτης ναετῆρι, φίλος δ’ ἐρίδαινεν ἑταίρῳ,
γηραλέος δὲ γέροντι, νέῳ νέος, ἀνέρι δ’ ἀνήρ.
ἦν δ’ ἔρις ἀμφοτέρων ἑτερόθροος, ὃς μὲν Ἀχάτην
κυδαίνων, ἕτερος δὲ χερείονα Φαῦνον ἐλέγχων
ἐν χθονὶ πεπτηῶτα κυλινδομένων ἀπὸ δίφρων,
ἄλλος ἐριδμαίνων, ὅτι δεύτερος ἦεν Ἐρεχθεὺς
εἰναλίου Τελχῖνος ὀπίστερος ἡνιοχῆος·
ἄλλοι δ’ ἄλλος ἔριζον, ὅτι φθαμένων δρόμον ἵππων

187 (107C)

καὶ πολέες σφάζοντο βόες καὶ πώεα ποίμνης
πρόσθε πυρῆς· κταμένων δὲ βοῶν ἐπενήνεε νεκρῷ
σώματα κυκλωθέντα καὶ ἀρτιτόμων στίχας ἵππων,
ὧν ἄπο δημὸν ἅπαντα λαβὼν στοιχηδὸν ἑκάστου,
ἀμφὶ νέκυν στορέσας, κυκλώσατο πίονα μίτρην.
ἔνθα πυρὸς χρέος ἔσκε· φιλοσκοπέλοιο δὲ Κίρκης
Φαῦνος ἐρημονόμος, Τυρσηνίδος ἀστὸς ἀρούρης,
ὡς πάις ἀγροτέρης δεδαημένος ἔργα τεκούσης,
πυρσοτόκους λάιγγας, ὀρειάδος ὄργανα τέχνης,
ἤγαγεν ἐκ σκοπέλοιο, καί, ὁππόθι σήματα Νίκης
ἠερόθεν πίπτοντες ἐπιστώσαντο κεραυνοί,
λείψανα θεσπεσίου πυρὸς ἤγαγεν, ὥς κεν ἀνάψῃ
πυρκαϊὴν φθιμένοιο· Διοβλήτῳ δὲ θεείῳ
ἀμφοτέρων ἔχρισε λίθων κενεῶνας ἀλείψας
πυρσοτόκων· καὶ λεπτὸν Ἐρυθραίοιο κορύμβου
κάρφος ἀποξύσας διδυμάονι μίγνυε πέτρῳ·
τρίβων δ’ ἔνθα καὶ ἔνθα καὶ ἄρσενι θῆλυν ἀράσσων
ἔγκρυφον αὐτολόχευτον ἀνείρυε λαΐνεον πῦρ,
πυρκαϊῇ δ’ ὑπέθηκεν, ὅπῃ πέλεν ἀγριὰς ὕλη.
οὐ δὲ πυρὴν φθιμένου περιδέδρομεν ἁπτόμενον πῦρ,
ἀλλὰ θεὸς Φαέθοντος ἐναντίον ὄμμα τανύσσας
ἀγχιφανὴς ἐκάλεσσεν Ἑώιον Εὖρον ἀήτην,
πυρκαϊῆς ἐπίκουρον ἄγειν ἀντίπνοον αὔρην.
καὶ Βρομίου καλέοντος Ἑωσφόρος ἔκλυε γείτων
ἱκεσίης, καὶ γνωτὸν ἐὸν προέηκε Λαίῳ,
ἄσθματι πυκνοτέρῳ φλογοειδέα πυρσὸν ἀνάπτειν.
καὶ θάλαμον ῥοδόεντα λιπὼν μητρώιον Ἠοῦς
πυρκαϊὴν φλογόεσσαν ἀνερρίπιζεν ἀήτης
πάννυχος, αἰθύσσων ἀνεμοτρεφὲς ἀλλόμενον πῦρ·
καὶ σέλας ἠκόντιζον ἐς ἠέρα θυιάδες αὖραι,
γείτονες Ἠελίοιο. σὺν ἀχνυμένῳ δὲ Λυαίῳ
3 (2C)
Ἀστέριος Δικταῖος, ὁμόγνιον αἷμα κομίζων,
Κνώσσιον ἀμφικύπελλον ἔχων δέπας ἡδέος οἴνου
εὐόδμου, δαπέδοιο χυτὴν ἐμέθυσσε κονίην,
ψυχὴν ἠνεμόφοιτον Ἀρεστορίδαο γεραίρων.
ἀλλ ὅτε δὴ δροσεροῖο προάγγελος ἅρματος Ἠοῦς
ὄρθρος ἐρευθιόων ἀμαρύσσετο νύκτα χαράσσων,
δὴ τότε πάντες ὄρουσαν, ἀμοιβαίῳ δὲ κυπέλλῳ
3
πυρκαϊὴν ἑτάροιο κατέσβεσαν ἰκμάδι Βάκχου.
καὶ βαλίαις πτερύγεσσιν ἐχάζετο θερμὸς ἀήτης
εἰς δόμον Ἠελίοιο φαεσφόρον. Ἀστέριος δὲ
ὀστέα συλλέξας κεκαλυμμένα δίπλακι δημῷ
εἰς χρυσέην φιάλην κατεθήκατο λείψανα νεκροῦ.
καὶ τροχαλοὶ Κορύβαντες, ἐπεὶ λάχον ἔνδιον Ἴδης,
τύμβον ἐτορνώσαντο βαθυνομένων δὲ θεμέθλων down 2
νεκρὸν ἐταρχύσαντο, μιῆς οἰκήτορα πάτρης,
Κρήτης γνήσιον αἷμα, πεδοσκαφέος διὰ κόλπου·
καὶ κόνιν ὀθνείην πυμάτην ἐπέχευαν Ὀφέλτῃ,
καὶ τάφον αἰπυτέροισιν ἀνεστήσαντο δομαίοις,
τοῖον **ἐπιγράψαντες** ἔπος νεοπενθέι τύμβῳ·

‘νεκρὸς Ἀρεστορίδης μινυώριος ἐνθάδε κεῖται,
Κνώσσιος, Ἰνδοφόνος, Βρομίου συνάεθλος, Ὀφέλτης.’
καὶ θεὸς ἀμπελόεις ἐπιτύμβια δῶρα κομίζων
αὐτόθι λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
τέρμα δρόμου τελέσας ἱππήλατον· ἐν δαπέδωι δὲ
ὀργυίης **ἰσόμετρος** ἔην λίθος εὐρέι μέτρωι,
ἡμιτόμου κύκλοιο φέρων τύπον, εἰκόνα μήνης,
ἀντιτύποις λαγόνεσσιν ἐΰξοος, οἷον ὑφαίνων
ἐργοπόνοις παλάμηισι γέρων τορνώσατο τέκτων,
ἔνθεον ἀσκῆσαι ποθέων βρέτας· ὃν τότε γαίηι
κουφίζων παλάμηισι πέλωρ ἱδρύσατο Κύκλωψ
νύσσης λαϊνέης ἀντίρροπον, ἶσον ἐκείνωι
ἀντίπορον λίθον ἄλλον ὁμόζυγον ἐν χθονὶ πήξας.
ποικίλα δ' ἦεν ἄεθλα, λέβης, τρίπος, ἀσπίδες, ἵπποι,
ἄργυρος, Ἰνδὰ μέταλλα, βόες, Πακτώλιος ἰλύς.
καὶ θεὸς ἱππήεσσιν ἀέθλια θήκατο νίκης·
πρώτωι μὲν θέτο τόξον Ἀμαζονίην τε φαρέτρην
καὶ σάκος **ἡμιτέλεστον** Ἀρηιφίλην τε γυναῖκα,
τήν ποτε Θερμώδοντος ὑπ' ὀφρύσι πεζὸς ὁδεύων
λουομένην ζώγρησε, καὶ ἤγαγεν εἰς πόλιν Ἰνδῶν·
δευτέρωι ἵππον ἔθηκε Βορειάδι σύνδρομον αὔρηι,
ξανθοφυῆ, δολιχῆισι κατάσκιον αὐχένα χαίταις,
ἡμιτελὲς κυέουσαν ἔτι βρέφος, ἧς ἔτι φόρτωι
ἵππιον ὄγκον ἔχουσα γονῆς οἰδαίνετο γαστήρ·
καὶ τριτάτωι θώρηκα, καὶ ἀσπίδα θῆκε τετάρτωι·
τὸν μὲν ἀριστοπόνος τεχνήσατο Λήμνιος ἄκμων
ἀσκήσας χρυσέωι δαιδάλματι, τῆς δ' ἐνὶ μέσσωι
ὀμφαλὸς ἀργυρέωι τροχόεις ποικίλλετο κόσμωι·
πέμπτωι δοιὰ τάλαντα, γέρας Πακτωλίδος ὄχθης.
ὀρθωθεὶς δ' ἀγόρευεν ἐπισπέρχων ἐλατῆρας·
“ὦ φίλοι, οὓς ἐδίδαξεν Ἄρης πολίπορθον Ἐνυώ,
οἷς δρόμον ἱπποσύνης δωρήσατο κυανοχαίτης,
οὐ μὲν ἐγὼ καμάτων ἀδαήμονας ἄνδρας ἐπείγω,
ἀλλὰ πόνοις βριαροῖσιν ἐθήμονας· ἡμέτεροι γὰρ
παντοίαις ἀρετῆισι μεμηλότες εἰσὶ μαχηταί·
εἰ γὰρ ἀπὸ Τμώλοιο γένος λάχε Λύδιος ἀνήρ,
ἱππείης τελέσει Πελοπηίδος ἄξια νίκης·
εἰ δὲ πέδον Πισαῖον ἔχει μαιήιον ἵππων
Ἤλιδος εὐδέφροιο καὶ Οἰνομάοιο πολίτης,
οἶδεν Ὀλυμπιάδος κοτινηφόρον ὄζον ἐλαίης·
ἀλλ' οὐκ Οἰνομάοιο πέλει δρόμος, οὐκ ἐλατῆρες
ἐνθάδε κέντρον ἔχουσι κακοξείνων ὑμεναίων,
ἀλλ' ἀρετῆς δρόμος οὗτος, ἐλεύθερος ἀφρογενείης·
εἰ σχεδὸν Ἀονίης ἢ Φωκίδος αἷμα κομίζει,
Πύθιον Ἀπόλλωνι τετιμένον οἶδεν ἀγῶνα·
εἰ μεθέπει σοφὸν οὖδας ἐλαιοκόμου Μαραθῶνος,
ἔγνω πιαλέης ἐγκύμονα κάλπιν ἐέρσης·
εἰ πέλεν εὐώδινος Ἀχαιίδος ἀστὸς ἀρούρης,
Πελλήνην δεδάηκεν, ὅπηι ῥιγηλὸν ἀγῶνα
ἄνδρες ἀεθλεύουσι φιλοχλαίνου περὶ νίκης,

καὶ θρασὺς Ἀκταίων δολίην ἐφράσσατο βουλήν·
Φαῦνον ἑοῖς ὀχέεσσιν ἔτι προθέοντα κιχήσας
ὀξυτέρηι μάστιγι μεταστρέψας δρόμον ἵππων
σύνδρομος ἡνιόχευε, παρακλέπτων ἐλατῆρα,
βαιὸν ὑποφθάμενος· καὶ ἐπ' ἄντυγι γούνατα πήξας
δίφρον ἀμιλλητῆρα **κατέγραφεν** ἅρματι λοξῶι,
ἱππείους τροχόεντι διαξύων πόδας ὁλκῶι.
καὶ δαπέδωι πέσεν ἅρμα· τινασσομένοιο δὲ δίφρου
τρεῖς μὲν ὑπὲρ δαπέδοιο πέλον πεπτηότες ἵπποι,
ὃς μὲν ὑπὲρ λαγόνων, ὁ δὲ γαστέρος, ὃς δ' ἐπὶ δειρήν.
εἷς δέ τις ὀρθὸς ἔμιμνε παρακλιδόν, ἀμφὶ δὲ γαίηι
ἄκρα ποδῶν ῥίζωσε, καὶ ἄστατον αὐχένα σείων
σύζυγος ἐστήριξεν ὅλον πόδα γείτονος ἵππου,
κουφίζων ζυγόδεσμα, καὶ ὑψόσε δίφρον ἀνέλκων.
οἱ μὲν ἔσαν προχυθέντες ἐπὶ χθονός· αὐσταλέος δὲ
ἡνίοχος κεκύλιστο παρὰ τροχόν, ἅρματι γείτων·
θρύπτετο δ' ἄκρα μέτωπα, μιαινομένου δὲ γενείου
ὀξυτενὴς κεκόνιστο πέδωι κεχαραγμένος ἀγκών.
ἡνίοχος δ' ἀνέπαλτο θοώτερος· ἐσσυμένως δὲ
εἰς χθόνα πεπτηῶτι παρίστατο γείτονι δίφρωι,
αἰδομένηι παλάμηι τετανυσμένον ἵππον ἀνέλκων
καὶ βαλίηι μάστιγι κατηφέα πῶλον ἱμάσσων.
καὶ θρασὺς Ἀκταίων πεπονημένον ἐγγύθι δίφρου
Φαῦνον ὀπιπεύων φιλοπαίγμονα ῥήξατο φωνήν·
“λῆγε μάτην ἀέκοντας ἐπισπέρχων σέθεν ἵππους,
λῆγε μάτην· φθάμενος γὰρ ἀπαγγέλλω Διονύσωι,
Φαῦνος ὅτι προθέοντας ὅλους ἐλατῆρας ἐάσας
νόστιμος ὀψικέλευθος ἐλεύσεται ἅρματα σύρων·
φείδεο σῆς μάστιγος, ἐπεὶ ταμεσίχροϊ κέντρωι
σῶν ὀρόων ὤικτειρα δέμας κεχαραγμένον ἵππων.”
ἔννεπεν ἀστήρικτον ὄχον προκέλευθον ἐλαύνων
ὠκυτέρηι μάστιγι· καὶ ἄχνυτο Φαῦνος ἀκούων.
καὶ μόγις ἐν δαπέδωι λασίης δεδραγμένος οὐρῆς
κεκλιμένων ὤρθωσε δέμας κεκονιμένον ἵππων,
καί τινα λυομένοιο παραΐξαντα λεπάδνου
πῶλον ἄγων παλίνορσον ἐπεσφήκωσε χαλινῶι·
στήσας δ' ἔνθα καὶ ἔνθα παρεσσυμένων πόδας ἵππων
ἅρματος ὕψι βέβηκε, καὶ ἴχνιον ἅρματι πήξας
φρικαλέηι μάστιξε τὸ δεύτερον ἵππον ἱμάσθληι·
καὶ πλέον ἤλασε Φαῦνος ἐπισπέρχων δρόμον ἵππων,
ὠκύτερον δ' ἐδίωκε παροίτερον ἡνιοχῆα·
καὶ φθαμένους ἐκίχησεν, ἐπεὶ μένος ἔμβαλεν ἵπποις
ἵππιος ἐννοσίγαιος ἑὸν θρασὺν υἷα γεραίρων·
στεινωπὴν δὲ κέλευθον ἰδὼν παρὰ κοιλάδι πέτρηι
ἔμφρονα μῆτιν ὕφαινε δολοπλόκον, ὄφρα κιχήσας
ἅρματι τεχνήεντι παραΐξειεν Ἀχάτην.
ῥωγμὸς ἔην βαθύκολπος, ὃν ἐξέρρηξε κελεύθου
χειμερίηι μάστιγι Διὸς μετανάστιον ὕδωρ
ἠερόθεν προχέοντος· ἐεργομένωι δὲ ῥεέθρωι
ὄμβρου γειοτόμοιο ῥάχις κοιλαίνετο γαίης,

ἡνία δ' εὐποίητα κατέσπασεν ἅρπαγι παλμῶι,
Nonnus ἀγχιφανῆ κατὰ βαιὸν ἐπισφίγγων γένυν ἵππον·
up 3 ἀφριόων στατὸς ἵππος ἀπέπτυεν ἄκρα χαλινοῦ,
καὶ πάλιν ἐγγὺς ἔλασσε φυγὼν ἀχάλινον ἀνάγκην.
καί μιν ἑοῖς ὀχέεσσιν ἐπαΐσσοντα δοκεύων
Σκέλμις ἀπειλήτειραν ἀπερροίβδησεν ἰωήν·
"λῆγε θαλασσαίοισι μάτην ἵπποισιν ἐρίζων·
ἄλλον ἐμοῦ γενέταο Πέλοψ ποτὲ δίφρον ἐλαύνων
Οἰνομάου νίκησεν ἀνικήτων δρόμον ἵππων.
ἱπποσύνης μὲν ἔγωγε κυβερνητῆρα καλέσσω
ἵππιον ὑγρομέδοντα· σὺ δέ, πλήξιππε, τιταίνεις
νίκης ἐλπίδα πᾶσαν ἐς ἱστοτέλειαν Ἀθήνην.
οὐ δὲ τεῆς ὀλίγης μορίης χρέος, ἀλλὰ κομίζω
ἀμπελόεν στέφος ἄλλο καὶ οὐκ ἐλάχειαν ἐλαίην."
ὣς φαμένου ταχύβουλος ἐχώσατο μᾶλλον Ἐρεχθεύς,
καὶ δόλον ἠπεροπῆα καὶ ἔμφρονα μῆτιν ὑφαίνων
χερσὶ μὲν ἡνιόχευεν ἑὸν δρόμον, ἐν κραδίηι δὲ
ἱπποσύνης πολιοῦχον ἑὴν ἐπίκουρον Ἀθήνην
κικλήσκων ταχύμυθον ἀνήρυγεν Ἀτθίδα φωνήν·
"κοίρανε Κεκροπίης, ἱπποσσόε Παλλὰς ἀμήτωρ,
ὡς σὺ Ποσειδάωνα τεῶι νίκησας ἀγῶνι,
οὕτω σὸς ναέτης Μαραθώνιον ἵππον ἐλαύνων
υἱέα νικήσειε Ποσειδάωνος Ἐρεχθεύς."
τοῖον ἔπος βοόων ἐπεμάστιεν ἰσχία πώλων,
ἅρματι δ' ἅρμα πέλασσεν ἰσόζυγον· ἀντιβίου δὲ
L3[O] λαιῆι μὲν βαρύδεσμον ἐπισφίγγων γένυν ἵππων,
𝔸 σύνδρομον αὖ ἐρύων βεβιημένον ἅρμα χαλινῶι,
δεξιτερῆι μάστιξεν ἑοὺς ὑψαύχενας ἵππους
ἐσσυμένους προτέρωσε· μεταστήσας δὲ κελεύθου
θῆκε παλινδίνητον ὀπίστερον ἡνιοχῆα.
καὶ τροχαλοῖς στομάτεσσι χέων φιλοκέρτομον ἠχὼ
υἷα Ποσειδάωνος ἀμοιβάδι νείκεε φωνῆι,
ἐντροπαλιζομένην μεθέπων γελόωσαν ὀπωπήν·
"Σκέλμις, ἐνικήθης· σέο φέρτερός ἐστιν Ἐρεχθεύς,
ὅττι τεὸν Βαλίον, Ζεφυρηίδος αἷμα γενέθλης,
ἄρσενα καὶ νέον ἵππον ὁδοιπόρον ἄβροχον ἅλμης
γηραλέη νίκησεν ἐμὴ θήλεια Ποδάρκη.
εἰ μὲν ἀγηνορέεις Πελοπηίδος εἵνεκα τέχνης
ὑμετέρου γενετῆρος ἁλίδρομον ἅρμα γεραίρων,
Μυρτίλος αἰολόμητις ἐπίκλοπον ἤνυσε νίκην,
μιμηλῶι τελέσας ἀπατήλιον ἄξονα κηρῶι·
εἰ δὲ μέγα φρονέεις γενεῆς χάριν ἐννοσιγαίου,
ἵππιον ὃν καλέεις, βυθίων ἐπιβήτορα δίφρων,
πόντιον αὐτὸν ἄνακτα, κυβερνητῆρα τριαίνης,
ἄρσενα σὸν νίκησεν ἀρηγόνα θῆλυς Ἀθήνη."
ὣς φάμενος Τελχῖνα παρέδραμεν ἀστὸς Ἀθήνης.
τῶι δ' ἐπὶ Φαῦνος ἔλαυνεν ὄχον τέθριππον ἱμάσσων·
Ἀκταίων δὲ τέταρτος ἐπίκλοπος ἕσπετο Φαυνῶι,
πατρὸς Ἀρισταίου μεμνημένος εἰσέτι μύθων
κερδαλέων· καὶ λοῖσθος ἔην Τυρσηνὸς Ἀχάτης.

189 (109C) χειμερίωι σφίγγοντες ἀθαλπέα γυῖα χιτῶνι·
εἰ ναέτης βλάστησεν ἀλιζώνοιο Κορίνθου, Nonnus
Ἴσθμιον ἡμετέροιο Παλαίμονος οἶδεν ἀγῶνα."
ὣς φαμένου σπεύδοντες ἐπέτρεχον ἡγεμονῆες,
δίφρα περιτροχόωντες ἀμοιβαδίς· ὠκυπόδην δὲ
Ξάνθον ἄγων πρώτιστος ὑπὸ ζυγὰ δῆσεν Ἐρεχθεὺς
ἄρσενα, καὶ θήλειαν ἐπεσφήκωσε Ποδάρκην,
οὓς Βορέης ἔσπειρεν ἐυπτερύγων ἐπὶ λέκτρων
Σιθονίην Ἅρπυιαν ἀελλόπον εἰς γάμον ἕλκων,
καί σφεας, Ὠρείθυιαν ὅθ' ἥρπασεν Ἀτθίδα νύμφην,
ὤπασεν ἕδνον ἔρωτος Ἐρεχθέι γαμβρὸς ἀήτης.
δεύτερος Ἀκταίων Ἰσμηνίδα πάλλεν ἱμάσθλην·
καὶ τρίτος ὑγρομέδοντος ἀπόσπορος ἐννοσιγαίου
Σκέλμις ἔην ταχύπωλος, ὃς ἔγραφε πολλάκις ὕδωρ
πάτριον ἰθύνων Ποσιδήιον ἅρμα θαλάσσης.
τέτρατος ἄνθορε Φαῦνος, ὃς εἰς μέσον ἦλθεν ἀγῶνος
μοῦνος ἔχων τύπον ἶσον ἑῆς γενέταο τεκούσης,
Ἠελίου μίμημα φέρων τετράζυγας ἵππους·
καὶ Σικελῶν ἔχων ἐπεβήσατο πέμπτος Ἀχάτης,
οἶστρον ἔχων Πισαῖον ἐλαιοκόμου ποταμοῖο,
ἱπποσύνης ἀκόρητος, ἐπεὶ πέδον ᾤκεε νύμφης
Ἀλφειοῦ δυσέρωτος, ὃς εἰς Ἀρέθουσαν ἱκάνει
ἄβροχον ἕδνον ἔρωτος ἄγων στεφανηφόρον ὕδωρ.
καὶ θρασὺν Ἀκταίωνα λαβὼν ἀπάνευθεν ὁμίλου
παιδὶ πατὴρ σπεύδοντι φίλους ἐπετέλλετο μύθους·
"τέκνον Ἀρισταίοιο περισσονόοιο τοκῆος, L3[O]
οἶδα μέν, ὅττι φέρεις σθένος ἄρκιον, ὅττι κομίζεις 𝔸
σύμφυτον ἠνορέηι κεκερασμένον ἄνθεμον ἥβης,
πάτριον αἷμα φέρων Φοιβήιον, ἡμέτεραι δὲ
κρείσσονες ἀίσσουσιν ἐπὶ δρόμον Ἀρκάδες ἵπποι·
ἀλλὰ μάτην τάδε πάντα, καὶ οὐ σθένος, οὐ δρόμος ἵππων
5 (4C) νικῆσαι δεδάασιν, ὅσον φρένες ἡνιοχῆος·
μούνης κερδοσύνης ἐπιδευέαι· ἱπποσύνη γὰρ
χρηίζει πινυτοῖο δαήμονος ἡνιοχῆος.
ἀλλὰ σὺ πατρὸς ἄκουε, καὶ ἵππια κέρδεα τέχνης,
ὅσσα χρόνωι δεδάηκα πολύτροπα, καὶ σὲ διδάξω.
σπεῦδε, τέκος, γενετῆρα τεαῖς ἀρετῆισι γεραίρειν·
καὶ δρόμος ἱπποσύνης μεθέπει κλέος, ὅσσον Ἐνυώ·
5 σπεῦδε καὶ ἐν σταδίοισι μετὰ πτολέμους με γεραίρειν·
Ἄρεα νικήσας ἑτέρην ὑποδύσεο νίκην,
ὄφρα μετ' αἰχμητῆρα καὶ ἀθλοφόρον σε καλέσσω.
ὦ τέκος, ἄξια ῥέξον ὁμογνήτωι Διονύσωι,
ἄξια καὶ Φοίβοιο καὶ εὐπαλάμοιο Κυρήνης,
καὶ καμάτους νίκησον Ἀρισταίοιο τοκῆος·
ἱπποσύνην δ' ἀνάφαινε, φέρων τεχνήμονα νίκην,
κερδαλέην σέο μῆτιν, ἐπεὶ κατὰ μέσσον ἀγῶνος
ἄλλος ἀνὴρ ἀδίδακτος ἀπόσσυτον ἅρμα παρέλκων
πλάζεται ἔνθα καὶ ἔνθα, καὶ ἀντιπόρων δρόμος ἵππων
ἄστατος οὐ μάστιγι βιάζεται, οὐδὲ χαλινῶι
πείθεται, ἡνίοχος δὲ μετάτροπος ἔκτοθι νύσσης

ἕλκεται, ἧχι φέρουσιν ἀπειθέες ἅρπαγες ἵπποι· 190 (110C)
ὃς δέ κε τεχνήεντι δόλωι μεμελημένος εἴη
ἡνίοχος πολύμητις, ἔχων καὶ ἐλάσσονας ἵππους,
ἰθύνει, προκέλευθον ὀπιπεύων ἐλατῆρα,
ἐγγὺς ἀεὶ περὶ νύσσαν ἄγων δρόμον, ἅρμα δὲ κάμπτει
ἱππεύων περὶ τέρμα καὶ οὔ ποτε τέρμα χαράσσων.
σκέπτεό μοι καὶ σφίγγε κυβερνητῆρι χαλινῶι
δοχμώσας ὅλον ἵππον ἀριστερὸν ἐγγύθι νύσσης,
λοξὸς ἐπὶ πλευρῆισι παρακλιδὸν ἅρμα βαρύνων,
ἀγχιφανὴς ἄψαυστος ἀναγκαίωι τινὶ μέτρωι
σὸν δρόμον ἰθύνων, πεφυλαγμένος, ἄχρι φανείη
πλήμνη ἑλισσομένου σέθεν ἅρματος οἷά περ ἄκρου
τέρματος ἀπτομένη τροχειδέι γείτονι κύκλωι·
ἀλλὰ λίθον πεφύλαξο, μὴ ἄξονι νύσσαν ἀράξας
εἰν ἑνὶ δηλήσαιο καὶ ἅρματα καὶ σέθεν ἵππους.
καὶ τεὸν ἔνθα καὶ ἔνθα κατὰ δρόμον ἅρμα νομεύων
ἔσσο κυβερνήτηι πανομοίιος· ἀμφότερον δέ,
κέντρωι ἐπισπέρχων, προχέων πλήξιππον ἀπειλήν,
δεξιὸν ἵππον ἔλαυνε, θοώτερον εἰς δρόμον ἕλκων
ἀθλιβέος μεθέποντα παρειμένα κύκλα χαλινοῦ·
ἔσσο κυβερνήτηι πανομοίιος ἅρμα νομεύων
εἰς δρόμον ἰθυκέλευθον, ἐπεὶ τεχνήμονι βουλῆι
πηδάλιον δίφροιο πέλει νόος ἡνιοχῆος."
ὣς εἰπὼν παλίνορσος ἐχάζετο, παῖδα διδάξας
ἠθάδος ἱπποσύνης ἑτερότροπα κέρδεα τέχνης.
L3[I] καὶ κυνέης ἔντοσθεν ἐθήμονος ἄλλος ἐπ' ἄλλωι
𝔸 τυφλὴν χεῖρα τίταινε φυλασσομένοιο προσώπου,
✦ κλῆρον ἔχειν ἐθέλων ἑτερότροπον, οἷά τις ἀνὴρ
εἰς κύβον ἀλλοπρόσαλλον ἐκηβόλα δάκτυλα πάλλων.
καὶ λάχον ἡνιοχῆες ἀμοιβαδίς· ἱππομανὴς δὲ
Φαῦνος ἀειδομένης Φαεθοντίδος αἷμα γενέθλης
κλήρωι πρῶτος ἔην, καὶ δεύτερος ἦεν Ἀχάτης,
τῶι δ' ἐπὶ Δαμναμενῆος ἀδελφεός, ἀμφὶ δ' ἄρ' αὐτῶι
ἔλλαχεν Ἀκταίων· ὁ δὲ φέρτατος εἰς δρόμον ἔστη
ὑστατίου κλήροιο τυχὼν πλήξιππος Ἐρεχθεύς.
καὶ βοέας μάστιγας ἐκούφισαν ἡνιοχῆες,
ἱστάμενοι στοιχηδὸν ἀμοιβαίων ἐπὶ δίφρων.
καὶ σκοπὸς Αἰακὸς ἦεν ἐτήτυμος, ὄφρα νοήσας
καμπτομένους περὶ τέρμα φιλοστεφάνους ἐλατῆρας
μάρτυς ἀληθείης ἑτερόθροα νείκεα λύσηι,
ὄμμασιν ἀπλανέεσσι διακρίνων δρόμον ἵππων.
τοῖσι μὲν ἐκ βαλβῖδος ἔην δρόμος· ἐσσυμένων δὲ
ὃς μὲν ἔην προκέλευθος, ὁ δὲ προθέοντα κιχῆσαι
ἤθελεν, ὃς δ' ἐδίωκε μεσαίτατον, ὃς δὲ χαράξαι
ἀγχιφανὴς μενέαινεν ὀπίστερον ἡνιοχῆα.
καί τις ἐνὶ σταδίοις ἐλατὴρ ἐλατῆρα κιχήσας
ἅρματι δίφρον ἔμιξε, καὶ ἡνία χερσὶ τινάσσων
ἵππους ἀγκυλόδοντι διεπτοίησε χαλινῶι·
ἄλλος ἐπαΐσσοντι συνέμπορος ἡνιοχῆι
εἰς ἔριν ἀμφήριστον ἰσόρροπον εἶχε πορείην,
δόχμιος ὀκλάζων, τετανυσμένος, ὀρθὸς ἀνάγκηι,
ἰξύι καμπτομένηι, καὶ ἑκούσιον ἵππον ἐλαύνων,
φειδομένηι παλάμηι τεχνήμονι βαιὸν ἱμάσσων,
ἐντροπαλιζομένης δοχμώσατο κύκλον ὀπωπῆς·
δίφρον ὀπισθοπόρου πεφυλαγμένος ἡνιοχῆος·
καί νύ κεν ἀίσσοντι ποδῶν ἐπιβήτορι παλμῶι
εἰς τροχὸν αὐτοκύλιστον ὄνυξ ὠλίσθανεν ἵππων,
εἰ μὴ ἔτι σπεύδουσαν ἑὴν ἀνέκοψεν ἐρωὴν
ἡνίοχος, κατόπισθεν ἐπήλυδα δίφρον ἐρύκων.
καί τις ἔχων προκέλευθος ὀπίστερον ἡνιοχῆα
ἀντίτυπον δρόμον εἶχεν ὁμοζήλων ἐπὶ δίφρων,
ἄστατος ἔνθα καὶ ἔνθα περικλείων ἐλατῆρα
ἀγχιφανῆ. καὶ Σκέλμις, ἀπόσπορος ἐννοσιγαίου,
εἰναλίην μάστιγα Ποσειδάωνος ἑλίσσων
πάτριον ἡνιόχευε θαλασσονόμων γένος ἵππων·
οὐδὲ τόσον πεπότητο τανύπτερος ἠέρα τέμνων
Πήγασος ὑψιπότητος, ὅσον βυθίων πόδες ἵππων
χερσαίην ἀκίχητον ἐποιήσαντο πορείην.
λαοὶ δ' εἰς ἓν ἰόντες, ἐν ὑψιλόφωι τινὶ χώρωι
ἑζόμενοι στοιχηδὸν ὀπιπευτῆρες ἀγῶνος,
τηλόθεν ἐσκοπίαζον ἐπειγομένων δρόμον ἵππων·
ὧν ὁ μὲν εἱστήκει πεφοβημένος, ὃς δὲ τινάσσων
δάκτυλον ἄκρον ἔσειεν ἐπισπέρχων ἐλατῆρα,
ἄλλος ἁμιλλητῆρι πόθω δεδονημένος ἵππων
ἱππομανῆ νόον εἶχεν ὁμόδρομον ἡνιοχῆος·
καί τις ἑοῦ προκέλευθον ἰδὼν δρόμον ἡνιοχῆος L3[I]
χερσὶν ἐπεπλατάγησε καὶ ἴαχε πενθάδι φωνῆι 𝔸
θαρσύνων, γελόων, τρομέων, ἐλατῆρι κελεύων.
ἅρματα δ' εὐποίητα θοώτερα θυιάδος ἄρκτου
ἄλλοτε μὲν πεπότητο μετάρσια, πῆι δ' ἐπὶ γαίηι
ἀκροφανῆ πεφόρητο μόγις ψαύοντα κονίης·
6 (5C) καὶ ταχινῶι ψαμαθῶδες ἔδος τροχοειδέι κύκλωι
ἅρματος ἰθυπόροιο κατέγραφεν ὁλκὸς ἀλήτης·
συμφερτὴ δ' ἔρις ἦεν· ἐγειρομένη δὲ καὶ αὐτὴ
στήθεσιν ἱππείοισιν ἀνηιώρητο κονίη,
χαῖται δ' ἠερίηισιν ἐπερρώοντο θυέλλαις·
ὀτρηροὶ δ' ἐλατῆρες ὁμογλώσσων ἀπὸ λαιμῶν
ὀξυτέρην μάστιγος ἀπερροίβδηδαν ἰωήν.
6 ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, ὀξὺς ὀρούσας
Σκέλμις ἔην πρώτιστος ἁλίδρομον ἅρμα τιταίνων·
καί οἱ ὁμαρτήσας ἐπεμάστιεν ἵππον Ἐρεχθεὺς
ἀγχιφανής, καὶ δίφρον ὀπισθοπόρον τάχα φαίης
εἰναλίου Τελχῖνος ἰδεῖν ἐπιβήτορα δίφρων·
καὶ γὰρ ἀερσιπότητος Ἐρεχθέος ἵππος ἀγήνωρ
διχθαδίωι μυκτῆρι παλίμπνοον ἄσθμα τιταίνων
ἀλλοτρίου θέρμαινε μετάφρενον ἡνιοχῆος,
καί νύ κεν αὐχενίων ἐδράξατο χερσὶ κομάων,
ἐντροπαλιζομένοις βλεφάροις ἐλατῆρα δοκεύων,
καί νύ κε σειομένων τροχαλῆι στροφάλιγγι γενείων
ἀλλὰ παρατρέψας ἀνεσείρασε δίφρον Ἐρεχθεύς,

ὣς εἰπὼν ἐκόρυσσε πεποιθότας ἡγεμονῆας.
Nonnus ἤδη δὲ πτολέμοιο προάγγελος ἵστατο σάλπιγξ,
καὶ μέλος ἐγρεκύδοιμον ἀνέκλαγον Ἄρεος αὐλοὶ
λαὸν ἀολλίζοντες, ἀρασσομένη δὲ βοείη
εἰναλίου κελάδησε μόθου χαλκόκροτον ἠχώ,
καὶ καναχὴν ὁμόδουπον ἀγέστρατος ἴαχε σύριγξ·
ἀντὶ δὲ πετραίης πολεμήια λείψανα φωνῆς
Πανιὰς ὑστερόφωνος ἀμείβετο ποντιὰς Ἠχώ.
τοῖσι δὲ μαρναμένοισιν ἔην κλόνος, ὦρτο δ' ἰωὴ
κεκλομένων· καὶ λαὸς ἐθήμονι μάρνατο τέχνηι
κυκλώσας στεφανηδὸν ὅλον στρατόν, ἐν δ' ἄρα μέσσωι
νηυσὶν ὁμοζυγέεσσιν ἐμιτρώθη στόλος Ἰνδῶν
εἰς λίνον ἐργομένων νεπόδων τύπον· Αἰακίδαις δὲ
Αἰακὸς ὑγρὸν Ἄρηα προθεσπίζων Σαλαμῖνος
ἀρχόμενος πολέμοιο θεουδέα ῥήξατο φωνήν·
"εἰ πάρος ἡμετέρην ἀίων ἱκετήσιον ἠχὼ
ἄσπορον εὐρυάλωος ἀπήλασας αὐχμὸν ἀρούρης,
διψαλέην ἐπὶ γαῖαν ἄγων βιοτήσιον ὕδωρ,
δὸς πάλιν ὀψιτέλεστον ἴσην χάριν, ὑέτιε Ζεῦ,
ὕδατι κυδαίνων με καὶ ἐνθάδε· καί τις ἐνίψηι
νίκην ἡμετέρην δεδοκημένος· 'ὡς ἐνὶ γαίηι
Ζεὺς ἑὸν υἷα γέραιρε. καὶ ἐν πελάγεσσι γεραίρει.'
ἄλλος ἀνὴρ λέξειεν Ἀχαιικός· 'εἰν ἑνὶ θεσμῶι
Αἰακὸς Ἰνδοφόνος φυσίζοος· ἀμφότερον γάρ,
κείρων ἐχθρὰ κάρηνα καὶ αὔλακι καρπὸν ὀπάσσας
L1[O] χάρμα πόρεν Δήμητρι καὶ εὐφροσύνην Διονύσωι.'
𝔹 ῥύεο δ' ἡμετέρης πλόον ὁλκάδος· αὐσταλέωι δὲ
ὡς χθονίωι κενεῶνι φερέσβιον ἤγαγον ὕδωρ,
καὶ βυθίων λαγόνων θανατηφόρον οἶδμα κορύσσω
μαρνάμενον στρατιῆισι καὶ ὁλκάσι Δηριαδῆος.
ἀλλά, πάτερ, σκηπτοῦχε βίου, σκηπτοῦχε κυδοιμοῦ,
πέμπέ μοι αἰετὸν ὄρνιν ἐμῆς κήρυκα γενέθλης
δεξιτερὸν προμάχοισι καὶ ὑμετέρωι Διονύσωι·
ἄλλος δ' ἀντιβίοισιν ἀριστερὸς ὄρνις ἱκέσθω·
σύμβολα δ' ἀμφοτέροις ἑτερότροπα ταῦτα γενέσθω·
τὸν μὲν ἐσαθρήσω πεφορημένον ἅρπαγι ταρσῶ
θηγαλέων ὀνύχων κεχαραγμένον ὀξέι κέντρωι
νεκρὸν ὄφιν περίμετρον ἀερτάζοντα κεράστην,
δυσμενέος κερόεντος ἀπαγγέλλοντα τελευτήν·
λαῶι δ' ἀντιβίων ἕτερος μελανόχροος ἔλθη
κυανέαις πτερύγεσσι προθεσπίζων φόνον Ἰνδῶν,
αὐτομάτου θανάτοιο μέλαν τύπον· ἢν δ' ἐθελήσηις,
βρονταίοις πατάγοισιν ἐμὴν μαντεύεο νίκην,
καὶ στεροπὴν Βρομίοιο λεχώια φέγγεα πέμπων
υἱέα σεῖο γέραιρε πάλιν πυρί, δυσμενέων δὲ
ὁλκάδας εὐπήληκας ὀιστεύσωσι κεραυνοί.
ναί, πάτερ, Αἰγίνης μιμνήσκεο, μὴ σέο νύμφης
νυμφίον αἰσχύνειας ὁμόπτερον ὄρνιν Ἐρώτων."
ὣς εἰπὼν πολέμιζεν. ἐς ἠερίας δὲ κελεύθους
ὄμμα παλιννόστοιο βαλὼν ἀντώπιον Ἄρκτου
γαμβρὸν ἑὸν λιτάνευε καὶ ἴαχε μῦθον Ἐρεχθεύς·

ὀρθωθεὶς δ' ἰάχησε πάλιν σημάντορι φωνῆι·
"δεῦτε, φίλοι, καὶ τοῦτον ἐγείρατε καλὸν ἀγῶνα." Nonnus
ἔννεπε· κεκλομένου δὲ φιλοστεφάνου Διονύσου
πρῶτος Ἀρισταῖος, μετέπειτα δὲ δεύτερος ἔστη
Αἰακὸς εὐπαλάμοιο πάλης δεδαημένος ἔργα.
ζώματι δὲ σκεπόωντες ἀθηήτου φύσιν αἰδοῦς
γυμνοὶ ἀεθλεύοντες ἐφέστασαν· ἀμφότεροι δὲ
πρῶτα μὲν ἀμφοτέρας παλάμας ἐπὶ δίζυγι καρπῶι
σύμπλεκον ἔνθα καὶ ἔνθα, χυτῆς ἐπὶ νῶτα κονίης
ἀλλήλους ἐρύοντες ἀμοιβαδίς, ἅμματι χειρῶν
ἀκροτάτωι σφίγξαντες· ἔην δ' ἀμφίδρομος ἀνήρ,
ἄνδρα παλινδίνητον ἄγων ἑτερόζυγι παλμῶι,
ἕλκων ἑλκόμενός τε· συνοχμάζοντο γὰρ ἄμφω
χερσὶν ἀμοιβαίηισιν, ἐκυρτώσαντο δὲ δειρήν,
μεσσατίωι δὲ κάρηνον ἐπηρείδοντο μετώπωι
ἀκλινέες, νεύοντες ἐπὶ χθονός· ἐκ δὲ μετώπων
θλιβομένων καμάτοιο προάγγελος ἔρρεεν ἱδρώς·
μυδαλέωι δ' ἱδρῶτι χυτὴν ἔρραινε κονίην, down 30
αὐχμηρῆι ψαμάθωι διερὴν ῥαθάμιγγα καθαίρων, down 30
μὴ διολισθήσειε περίπλοκος ἅμματι χειρῶν down 30
θερμὴν τριβομένοιο κατ' αὐχένος ἰκμάδα πέμπων. down 30
ἀμφοτέρων δ' ἄρα νῶτα κεκυφότα πήχεος ὁλκῶι
δίζυγι συμπλεκέος παλάμης ἐτρίβετο δεσμῶι·
σμῶδιξ δ' αὐτοτέλεστος ἀνέδραμεν αἵματι θερμῶι,
αἰόλα πορφύρουσα· δέμας δ' ἐστίζετο φωτῶν.
οἱ δὲ παλαισμοσύνης ἑτερότροπα μάγγανα τέχνης L1[O]
ἀλλήλοις ἀνέφαινον ἀμοιβαδίς· ἀντίβιον δὲ 𝔹
πρῶτος Ἀρισταῖος παλάμης πηχύνατο καρπῶι,
ἐκ χθονὸς ὀχλίζων· δολίης δ' οὐ λήθετο τέχνης
Αἰακὸς αἰολόμητις, ὑποκλέπτοντι δὲ ταρσῶι
λαιὸν Ἀρισταίοιο ποδὸς κώληπα πατάξας
ὕπτιον αὐτοκύλιστον ὅλον περικάββαλε γαίηι,
ἠλιβάτωι πρηῶνι πανείκελον· ἀμφὶ δὲ λαοὶ
τηλίκον αὐχήεντα βοώμενον υἱέα Φοίβου
ὄμμασι θαμβαλέοισιν ἐθηήσαντο πεσόντα.
δεύτερος ἠέρταζε μετάρσιον ὑψόθι γαίης
κουφίζων ἀμογητὶ πελώριον υἷα Κυρήνης
Αἰακός, ἐσσομένην ἀρετὴν τεκέεσσι φυλάσσων,
ἀκαμάτωι Πηλῆι καὶ εὐρυβίηι Τελαμῶνι,
ἀγκὰς ἔχων, οὐ νῶτον ἢ ὄρθιον αὐχένα κάμπτων,
πήχεσιν ἀμφοτέροισι μεσαίτατον ἄνδρα κομίζων,
ἶσον ἀμειβόντεσσιν ἔχων τύπον, οὓς κάμε τέκτων
πρηῦνων ἀνέμοιο θυελλήεσσαν ἀνάγκην.
καὶ πελάσας ὅλον ἄνδρα περιστρωθέντα κονίηι
Αἰακὸς ἀντιπάλοιο μέσων ἐπεβήσατο νώτων·
καὶ πόδα πεπταμένης διὰ γαστέρος ἐκταδὰ πέμπων,
καμπύλον ἀκροτάτωι περὶ γούνατι δέσμα συνάπτων,
ταρσῶι ταρσὸν ἔρειδε παρὰ σφυρὸν ἄκρον ἑλίξας·
καὶ ταχὺς ἀντιβίου τετανυσμένος ὑψόθι νώτων,
χεῖρας ἑὰς στεφανηδὸν ἐπ' ἀλλήλῃσιν ἑλίξας,

αὐχένι δεσμὸν ἔβαλλε βραχίονι, δάκτυλα κάμψας·
τοῦ δὲ πιεζομένοιο συνέρρεον ὀξέι παλμῶι
κεκριμένοι κήρυκες, ὀπιπευτῆρες ἀγῶνος;
μή μιν ἀποκτείνειεν ὁμόζυγι πήχεος ὁλκῶι.
οὐ γὰρ ἔην τότε θεσμὸς ὁμοίιος, ὃν πάρος αὐτοὶ
ὀψίγονοι φράσσαντο, τιταινομένων ὅτε δεσμῶν
αὐχενίων πνικτῆρι πόνωι βεβαρημένος ἀνὴρ
νίκην ἀντιπάλον μνηστεύεται ἔμφρονι σιγῆι,
ἀνέρα νικήσαντα κατηφέι χειρὶ καθάψας.
καὶ τρίπον εἰκοσίμετρον ἐπηχύναντο λαβόντες
Μυρμιδόνες, θεράποντες ἀεθλοφόρου βασιλῆος·
Ἀκταίων δὲ λέβητα ταχίονι κούφισε ῥιπῆι,
δεύτερα πατρὸς ἄεθλα κατηφέι χειρὶ κομίζων.
καὶ τότε Βάκχος ἔθηκε ποδῶν ταχυτῆτος ἀγῶνα·
πρώτωι ἀεθλητῆρι τιθεὶς κειμήλια νίκης
ἀργύρεον κρητῆρα δορικτήτην τε γυναῖκα,
δευτέρωι αἰολόδειρον ἐθήκατο Θεσσαλὸν ἵππον,
καὶ πυμάτωι ξίφος ὀξὺ σὺν εὐτμήτωι τελαμῶνι.
ὀρθωθεὶς δ' ἀγόρευε, ποδώκεας ἄνδρας ἐπείγων·
"ἀνδράσιν ὠκυπόροισιν ἀέθλια ταῦτα γενέσθω."
ὣς φαμένου Δικταῖος ἐθήμονα γούνατα πάλλων.
τῶι δ' ἐπὶ ποικιλόμητις ἀνέδραμεν ὠκὺς Ἐρεχθεύς,
Παλλάδι Νικαίηι μεμελημένος, αὐτὰρ ἐπ' αὐτῶι
Πρίασος ὠκυπόδης, Κυβεληίδος ἀστὸς ἀρούρης.
τοῖσι μὲν ἐκ βαλβῖδος ἔην δρόμος· Ὠκύθοος δὲ
πρῶτος ἀελλήεντι ποδῶν κουφίζετο παλμῶι,
ἰθυτενῆ προκέλευθον ἔχων δρόμον· ἐσσύμενος δὲ
δεύτερος ἀγχικέλευθος ὀπίστερος ἦεν Ἐρεχθεύς,
γείτονος Ὠκυθόοιο μετάφρενον ἄσθματι βάλλων,
καὶ κεφαλὴν θέρμαινε· φιληλακάτοιο δὲ κούρης
οἷα κανὼν στέρνοιο πέλει μέσος, ὅν τινι μέτρωι
παρθένος ἱστοπόνος τεχνήμονι χειρὶ τανύσσηι,
Ὠκυθόου πέλε τόσσον ὀπίστερος· ἀμφὶ δὲ γαίηι
ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι.
καί νύ κεν ἀμφήριστος ἔην δρόμος· ἀλλὰ πορείην
μιμηλὴν ἰσόμετρον ἰδὼν ἐτιταίνετο ταρσῶι
κουφοτέρωι, καὶ φῶτα παρέδραμε μείζονι μέτρωι,
ὁππόσον ἀνέρος ἴχνος· ὅθεν τρομέων περὶ νίκης
τοῖον ἔπος βοόων Βορέην ἱκέτευεν Ἐρεχθεύς·
"γαμβρέ, τεῶι χραίσμησον Ἐρεχθέι καὶ σέο νύμφηι,
εἰ μεθέπεις γλυκὺν οἶστρον ἐμῆς ἔτι παιδὸς Ἐρώτων·
δός μοι σῶν πτερύγων βάλιον δρόμον εἰς μίαν ὥρην,
Ὠκύθοον ταχύγουνον ἵνα προθέοντα παρέλθω."
ὣς φαμένου Βορέης ἱκετήσιον ἔκλυε φωνήν,
καί μιν ἐυτροχάλοιο ταχίονα θῆκεν ἀέλλης.
τρεῖς μὲν ἐπερρώοντο ποδῶν ἀνεμώδεϊ παλμῶι,
ἀλλ' οὐκ ἶσα τάλαντα· καὶ ὁππόσον ὠκέι ταρσῶι
Ὠκυθόου προθέοντος ὀπίστερος ἦεν Ἐρεχθεύς,
τόσσον ἀελλήεντος Ἐρεχθέος ἔπλετο γείτων
Πρίασος αὐχήεις, Φρύγιον γένος. ἐσσυμένων δὲ

ἀστεροπὴν Ζαγρῆι καὶ ἄμπελον οἴνοπι Βάκχωι."
εἶπε καὶ εἰς μόθον ὦρτο· συνερρώοντο δὲ λαοὶ
σὺν δορί, σὺν σακέεσσι, καὶ ὄψιμον ἐλπίδα νίκης
χερσαίου πολέμοιο μετεστήσαντο θαλάσσηι.
καὶ προμάχους Διόνυσος ἐκέκλετο θυιάδι φωνῆι·
"Ἄρεος ἄλκιμα τέκνα καὶ εὐθώρηκος Ἀθήνης,
οἷς βίος ἔργα μόθοιο καὶ ἐλπίδες εἰσὶν ἀγῶνες.
σπεύσατε καὶ κατὰ πόντον ἀιστῶσαι γένος Ἰνδῶν,
εἰναλίην τελέσαντες ἐπιχθονίην μετὰ νίκην.
ἀλλὰ θαλασσαίοιο διάκτορα δηιοτῆτος,
ἔγχεα διπλώσαντες ὁμόπλοκα δίζυγι δεσμῶι
ναύμαχα κολλήεντα, περὶ στόμα εἱμένα χαλκῶι,
μίξατε δυσμενέεσσιν ἀλιπτοίητον Ἐνυώ,
προφθάμενοι, μὴ χειρὶ πυραυγέα δαλὸν ἀείρων
Δηριάδης φλέξειεν Ἀρήια δούρατα νηῶν.
νόσφι φόβου μάρνασθε, Μιμαλλόνες· ὑγρομόθων γὰρ
ἐλπίδες ἀντιβίων κενεαυχέες· εἰ δὲ μογήσας
φύλοπιν οὐκ ἐτέλεσσεν ἐπὶ χθονὸς ὄρχαμος Ἰνδῶν,
ἠλιβάτων λοφιῆισιν ἐφεδρήσσων ἐλεφάντων,
ἀγχινεφής, ἀκίχητος, ἀνούτατος, ἠέρι γείτων,
οὐ μὲν ἐγὼ προμάχων ποτὲ δεύομαι, οὐδὲ καλέσσω
ἄλλον ἀοσσητῆρα μετὰ Κρονίωνα τοκῆα,
ἡνίοχον πόντοιο καὶ αἰθέρος· ἣν δ' ἐθελήσω,
γνωτὸν ἐμοῦ Κρονίδαο Ποσειδάωνα κορύσσω
Ἰνδῴην στίχα πᾶσαν ἀμαλδύνοντα τριαίνηι·
καὶ πρόμον εὐρυγένειον, ἀπόσπορον ἐννοσιγαίου,
Γλαῦκον ἔχω συνάεθλον, ἐμῆς ἅτε γείτονα Θήβης,
πόντιον Ἀονίης Ἀνθηδόνος ἀστὸν ἀρούρης·
Γλαῦκον ἔχω καὶ Φόρκυν· ἱμασσομένην δὲ θαλάσσηι
ὁλκάδα Δηριάδαο κατακρύψει Μελικέρτης,
κυδαίνων Διόνυσον ὁμόγνιον, οὗ ποτε μήτηρ
νήπιον ἔτρεφε Βάκχον, ἐπεὶ πόρε ποντιὰς Ἰνὼ
ἓν γλάγος ἀμφοτέροισι, Παλαίμονι καὶ Διονύσωι·
μαντιπόλου δὲ γέροντος, ὃς ἡμετέρην ποτὲ νίκην
ἐσσομένην κατὰ πόντον ὑποβρυχίηι φάτο φωνῆι.
εἰμὶ φίλος Πρωτῆος· ἐς ὑσμίνην δὲ κορύσσει
θυγατέρας Νηρῆος ἐμὴ Θέτις, ἐν δὲ κυδοιμοῖς
Βασσαρίδων συνάεθλος ἐμὴ θωρήσσεται Ἰνώ·
θωρήξω δ' ἐς Ἄρηα καὶ Αἰόλον, ὄφρα νοήσω
Εὖρον ἀκοντίζοντα καὶ αἰχμάζοντα Βορῆα,
γαμβρὸν ἐμοῦ προμάχου, Μαραθοωνίδος ἅρπαγα νύμφης,
καὶ Νότον Αἰθιοπῆα προασπιστῆρα Λυαίου·
καὶ Ζέφυφος πολὺ μᾶλλον ἀελλήεντι κυδοιμῶι
ὁλκάδας ἀντιβίων δηλήσεται· ἡμετέρου γὰρ
εὐνέτιν Ἶριν ἔχει Διὸς ἄγγελον. ἀλλὰ σιωπῆι
ἔκτοθεν εὐθύρσοιο καὶ Ἰνδῴοιο κυδοιμοῦ
μιμνέτω ἠρεμέων θρασὺς Αἰόλος, ἠθάδι δεσμῶι
ἀσκὸν ἐπισφίγξας ἀνεμώδεα, μηδ' ἐνὶ πόντωι
ἄσθμασιν Ἰνδοφόνοισιν ἀριστεύσωσιν ἀῆται·
ἀλλὰ μόθον τελέσωι νηοφθόρα θύρσα τιταίνων."

γούνατα τολμήεντος ἐλύετο Δηριαδῆος·
Nonnus ποιητῶι δὲ γέλωτι γαληναίοιο προσώπου
Ἰνδὸς ἄναξ ἐκέλευσε τριηκοσίων ἀπὸ νήσων
ἧς ἐλεφαντοβότοιο παρὰ σφυρὰ δύσβατα γαίης
λαὸν ἄγειν· καὶ κραιπνὸς ἐς ἀτραπὸν ἤιε κῆρυξ,
ποσσὶ πολυγνάμπτοισιν ἀπὸ χθονὸς εἰς χθόνα βαίνων
καὶ στόλος ὀξὺς ἵκανε πολυσπερέων ἀπὸ νήσων
κεκλομένου βασιλῆος· ὁ δὲ θρασὺς αὐχένα τείνων,
ὁλκάδας εὐπήληκας ἐς Ἄρεα πόντιον ἕλκων,
λαὸν ὅλον θάρσυνε, καὶ ὑψινόωι φάτο φωνῆι·
“ἀνέρες, οὓς ἀτίταλλεν ἐμὸς μενέχαρμος Ὑδάσπης,
ἄρτι πάλιν μάρνασθε πεποιθότες· αἰθόμενον δὲ
ἄξατε πῦρ ἐς Ἄρηα, καὶ ἄσπετον ἅψατε πεύκην,
νῆας ἵνα φλέξοιμι νεήλυδας αἴθοπι δαλῶι,
καὶ στρατὸν ὑγροκέλευθον ἐνικρύψοιμι θαλάσσηι
σὺν δορί, σὺν θώρηκι, σὺν ὁλκάσι, σὺν Διονύσωι.
εἰ θεὸς ἔπλετο Βάκχος, ἐμῶι πυρὶ Βάκχον ὀλέσσω·
οὐχ ἅλις, ὡς προχοῇσι πολύτροπα φάρμακα πάσσων
ἄνθεσι Θεσσαλικοῖσιν ἐμὸν φοίνιξεν Ὑδάσπην,
καί μιν ἰδὼν σίγησα, καὶ ἥσυχος εἰσέτι λεύσσειν
ἔτλην ξανθὰ ῥέεθρα μιαινομένου ποταμοῖο;
εἰ γὰρ ἔην ῥόος οὗτος ἀπ’ ἀλλοτρίου ποταμοῖο,
μηδὲ πατὴρ ἐμὸς ἦεν Ἀρήιος Ἰνδὸς Ὑδάσπης,
καί κεν ἐγὼ τόδε χεῦμα χυτῆς ἔπλησα κονίης
ὀδμὴν βοτρυόεσσαν ἀμαλδύνων Διονύσου,
L2[O] καὶ προχοὴν μεθύουσαν ἐμοῦ γενετῆρος ὁδεύων
𝔹 ποσσὶ κονιομένοισι διέτρεχον ἄβροχον ὕδωρ,
39.50 οἷα παρ’ Ἀργείοισι φατίζεται, ὡς ἐνοσίχθων
ξηρὸν ὕδωρ ποίησε, καὶ αὐσταλέου ποταμοῖο
Ἰναχίην ἵππειος ὄνυξ ἐχάραξε κονίην.
οὐ θεός, οὐ θεὸς οὗτος· ἑὴν δ’ ἐψεύσατο φύτλην·
ποίην γὰρ Κρονίωνος Ὀλύμπιον αἰγίδα πάλλει;
ποῖον ἔχει σπινθῆρα Διοβλήτοιο κεραυνοῦ;
ποίην δ’ οὐρανίην στεροπὴν γενετῆρος ἀείρει;
οὐ Κρονίδης κατ’ Ἄρηα κορύσσεται οἴνοπι κισσῶι·
οὐ τυπάνων πατάγοισι μέλος βρονταῖον ἐίσκω,
οὐδὲ Διὸς σκηπτοῖσιν ὁμοίια θύρσα καλέσσω,
οὐ χθονίωι θώρηκι Διὸς νέφος ἶσον ἐνίψω·
νεβρίδι δαιδαλέηι πότε ποικίλον ἄστρον ἐίσκω;
ἀλλ’ ἐρέεις, ὅτι βότρυν ἐδέξατο καὶ χύσιν οἴνου
δῶρα παρὰ Κρονίωνος ἀεξιφύτοιο τοκῆος·
Τρώιον αἷμα φέροντι καὶ ἀγρονόμωι τινὶ βούτηι
Ζεὺς πόρεν οἰνοχόωι Γανυμήδεϊ νέκταρ Ὀλύμπου,
νέκταρι δ’ οὐ πέλεν οἶνος ὁμοίιος· εἴξατε, θύρσοι.
Βάκχος ὁμοῦ Σατύροισιν ἐπὶ χθονὸς εἰλαπινάζει·
δαίνυται οὐρανίοισι σὺν ἀθανάτους Γανυμήδης.
εἰ δὲ πέλε βροτὸς οὗτος ἐπουρανίοιο τοκῆος,
σὺν Διὶ καὶ μακάρεσσι μιῆς ἔψαυσε τραπέζης.
ἔκλυον, ὥς ποτε θῶκον ἑὸν καὶ σκῆπτρον Ὀλύμπου
39.72 δῶκε γέρας Ζαγρῆι παλαιοτέρωι Διονύσωι,

ὁππότε λοίσθιος ἦεν ἔτι δρόμος ἅλματι ταρσῶν,
Ὠκύθοος ταχύγουνος ἐπωλίσθησε κονίηι; Nonnus
ἧχι βοῶν πέλεν ὄνθος ἀθέσφατος, οὓς παρὰ τύμβωι
Μυγδονίηι Διόνυσος ἀπηλοίησε μαχαίρηι·
ἀλλὰ παλιννόστοιο ποδὸς ταχυδινέι παλμῶι
εἰ τότε βαιὸς ἔην ἔτι που δρόμος, ἢ τάχα βαίνων down 2
ἢ πέλεν ἀμφήριστος ἢ ἔφθασεν ἀστὸν Ἀθήνης. down 2
Ὠκύθοος πεφόρητο μετάλμενος· ἐσσυμένως δὲ
ἀντιπάλου προθέοντος ἐπήλυδα ταρσὸν ἀμείβων,
καὶ κτέρας αἰολόνωτον ἐκούφισεν ὠκὺς Ἐρεχθεύς,
Σιδόνιον κρητῆρα τετυγμένον· Ὠκύθοος δὲ
εἴρυσε Θεσσαλὸν ἵππον· ὁ δὲ τρίτος ἠρέμα βαίνων
Πρίασος ἄορ ἔδεκτο σὺν ἀργυρέωι τελαμῶνι.
καὶ Σατύρων ἐγέλασσε χορὸς φιλοπαίγμονι θυμῶι,
παπταίνων Κορύβαντα χυτῆι ῥυπόωντα κονίηι,
ὄνθον ἀποπτύοντα κατάρρυτον ἀνθερεῶνος.
καὶ σόλον αὐτοχόωνον ἄγων ἐπέθηκεν ἀγῶνι
δισκοβόλους Διόνυσος ἀκοντιστῆρας ἐπείγων·
πρώτωι μὲν δύο δοῦρα σὺν ἱπποκόμωι τρυφαλείηι
θῆκεν ἄγων, ἑτέρωι δὲ διαυγέα κυκλάδα μίτρην,
καὶ τριτάτωι φιάλην, καὶ νεβρίδα θῆκε τετάρτωι,
ἣν χρυσέηι κληῖδι Διὸς περονήσατο χαλκεύς.
ὀρθωθεὶς δ’ ἀνὰ μέσσον ἐγερσινόωι φάτο φωνῆι·
“οὗτος ἀγὼν ἐπὶ δίσκον ἀεθλητῆρας ἐπείγει.”
ὣς φαμένου Βρομίοιο σακέσπαλος ὦρτο Μελισσεύς,
τῶι δ’ ἐπὶ δεύτερος ἦλθεν ἀερσιπόδης Ἀλιμήδης, L2[O]
καὶ τρίτος Εὐρυμέδων καὶ τέτρατος ἤλυθεν Ἄκμων· 𝔹
καὶ πίσυρες στοιχηδὸν ἐφέστασαν ἄλλος ἐπ’ ἄλλωι.
καὶ σόλον εὐδίνητον ἑλὼν ἔρριψε Μελισσεύς·
Σειληνοὶ δ’ ἐγέλασσαν ὀλίζονα φωτὸς ἐρωήν.
δεύτερος Εὐρυμέδων παλάμην ἐπερείσατο δίσκωι
καὶ σόλον εὐδίνητον ἑλὼν νωμήτορι καρπῶι 9
βριθὺ βέλος προέηκε περίτροχον εὔλοφος Ἄκμων·
καὶ βέλος ἠερόφοιτον ἐπέτρεχε σύνδρομον αὔραις,
καὶ σκοπὸν Εὐρυμέδοντος ὑπέρβαλε μείζονι μέτρωι
ὀξείηι στροφάλιγγι· καὶ ὑψιπόδης Ἀλιμήδης
εἰς σκοπὸν ἠκόντιζεν ἐν ἠέρι δίσκον ἀλήτην·
καὶ σόλος ἠερίησιν ἐπερροίζησεν ἀέλλαις
ἐκ βριαρῆς παλάμης πεφορημένος, ὡς ἀπὸ τόξου 9
ἵπταται ἀσταθέεσσι βέλος δεδονημένον αὔραις
ὄρθιον· ἠερόθεν δὲ πεσὼν ἐκυλίνδετο γαίηι
ἅλματι τηλεπόρωι, πεφορημένος εἰσέτι παλμῶι
χειρὸς ἐυστρέπτοιο, φέρων αὐτόσσυτον ὁρμήν,
εἰσόκε σήματα πάντα παρέδραμεν· ἀγρόμενοι δὲ
πάντες ἐπεσμαράγησαν ὀπιπευτῆρες ἀγῶνος.
ἀλλομένου δίσκοιο τεθηπότες ἄστατον ὁρμήν.
καὶ δονέων δύο δοῦρα σὺν ὑψιλόφωι τρυφαλείηι
διπλόα δῶρα κόμιζεν ἀγηνορέων Ἀλιμήδης·
Ἄκμων δ’ εἰλιπόδης χρυσαυγέα κούφισε μίτρην·
καὶ τρίτος Εὐρυμέδων φιάλην ἀπύρωτον ἀείρας 37.700

ἀμφίθετον κτέρας εἷλε· κατηφιόων δὲ προσώπωι
νεβρίδα ποικιλόνωτον ἀνηέρταζε Μελισσεύς.
καὶ προμάχοις Διόνυσος ἀέθλια θήκατο τόξον,
εὐστοχίης ἀνάθημα· καὶ ἑπταέτηρον ἐρύσσας
ἡμίονον ταλαεργὸν ἐνεστήριξεν ἀγῶνι,
καὶ δέπας εὐποίητον ἀέθλιον ἵστατο νίκης
ἀνδρὶ χερειοτέρωι πεφυλαγμένον. Εὐρύαλος δὲ
νήιον ὀρθώσας περιμήκετον ἱστὸν ἀρούρηι
στῆσεν ὑπὲρ δαπέδου ψαμαθώδεος, ὑψιφανῆ δὲ
δέσμιον ἠιώρησε πελειάδα σύμπλοκον ἱστῶι,
λεπταλέον δισσοῖσι μίτον περὶ ποσσὶν ἑλίξας.
καὶ θεὸς ἀγρομένοις ἐναγώνιον ἴαχε φωνήν,
εἰς σκοπὸν ἠερόφοιτον ὀιστευτῆρας ἐπείγων·
“ὃς μὲν ὀιστεύσειε πελειάδος ἄκρα τορήσας,
ἡμίονον φερέτω πολυαλφέα, μάρτυρα νίκης·
ὃς δὲ παραπλάζοιτο πελειάδος εἰς σκοπὸν ἕλκων,
ὄρνιν ἐυγλώχινι λιπὼν ἀχάρακτον ὀιστῶι,
ἄκρα δὲ μηρίνθοιο βαλὼν πτερόεντι βελέμνωι,
ἥσσονα τοξεύσειε καὶ ἥσσονα δῶρα δεχέσθω·
ἀντὶ γὰρ ἡμιόνου δέπας οἴσεται, ὄφρά κε Φοίβωι
τοξοφόρωι σπείσειε καὶ οἰνοχύτωι Διονύσωι.”
τοῖον ἔπος βοόωντος ἐχεκτεάνοιο Λυαίου
εὐχαίτης Ὑμέναιος ἑκηβόλος εἰς μέσον ἔστη
εἰς σκοπὸν ἰθυκέλευθον ἄγων ἀντώπιον ἱστοῦ,
Κνώσσια τόξα φέρων τετανυσμένα κυκλάδι νευρῆι,
Ἀστέριος προέηκε βέλος κλήροιο τυχήσας,
καὶ τύχε μηρίνθοιο· δαϊζομένης δὲ βελέμνωι
ἠερίη πεφόρητο μετάρσιος ὄρνις ἀλήμων·
καὶ μίτος εἰς χθόνα πῖπτε. δι’ ὑψιπόρου δὲ κελεύθου
ὄμμα φέρων ἑλικηδόν, ὑπὲρ νεφέων δὲ δοκεύων
τοξευτὴρ Ὑμέναιος ἑτοιμοτάτης ἀπὸ νευρῆς
εἰς σκοπὸν ἠερόφοιτον ὑπηνέμιον βέλος ἕλκων
ὀξύτερον προέηκε, πελειάδος ἄντα τιταίνων·
καὶ πτερόεις πεπότητο δι’ ἠέρος ἰὸς ἀλήτης
ἀκροφανής, μέσα νῶτα παραξύων νεφελάων,
συρίζων ἀνέμοισι· βέλος δ’ ἴθυνεν Ἀπόλλων
πιστὰ φέρων δυσέρωτι κασιγνήτωι Διονύσωι·
ἱπταμένης δ’ ἐτύχησε πελειάδος, ἐσσυμένης δὲ
στήθεος ἄκρον ἔτυψε· βαρυνομένου δὲ καρήνου
ὄρνις ἀελλήεσσα δι’ ἠέρος ἔμπεσε γαίηι·
ἡμιθανὴς δὲ πέλεια περὶ πτερὰ πάλλε κονίηι,
ποσσὶ περισκαίρουσα χοροπλεκέος Διονύσου.
καὶ θεὸς ἡβητῆρος ἀναθρώισκων ἐπὶ νίκηι
χεῖρας ἐπεπλατάγησεν ἐπικλάγξας Ὑμεναίωι·
ξυνοὶ δ’ εἰν ἑνὶ πάντες, ὅσοι παρέμιμνον ἀγῶνι,
ἀγχινεφῆ θάμβησαν ἐκηβολίην Ὑμεναίου.
καὶ γελόων Διόνυσος ἑαῖς παλάμηισιν ἐρύσσας
ἡμίονον πόρε δῶρον ὀφειλομένην Ὑμεναίωι·
καὶ γέρας Ἀστερίοιο δέπας κούφιζον ἑταῖροι.
καὶ φιλίην ἐπὶ δῆριν ἀκοντιστῆρας ἐπείγων
Ἰνδικὰ Βάκχος ἄεθλα φέρων παρέθηκεν ἀγῶνι,
διχθαδίην κνημῖδα καὶ Ἰνδώιης λίθον ἅλμης.
ὀρθωθεὶς δ’ ἀγόρευε, δύω δ’ ἐκέλευσε μαχηταῖς,
ὄφρα μόθωι παίζοντι καὶ οὐ κτείνοντι σιδήρωι
μιμηλὴν τελέσωσιν ἀναίμονος εἰκόνα χάρμης·
“οὗτος ἀγὼν δύο φῶτας ἀκοντιστῆρας ἐγείρων
μείλιχον οἶδεν Ἄρηα καὶ εὐδιόωσαν Ἐνυώ.”
ὣς φαμένου Βρομίοιο σιδήρεα τεύχεα πάλλων
Ἀστέριος κεκόρυστο, καὶ Αἰακὸς εἰς μέσον ἔστη
χάλκεον ἔγχος ἔχων, πολυδαίδαλον ἀσπίδα πάλλων,
οἷα λέων ἄγραυλος ἐπαΐσσων τινὶ ταύρωι
ἢ συῒ λαχνήεντι· σιδηρείωι δὲ χιτῶνι
εἰς μέσον ἐρρώοντο καλυψάμενοι δέμας ἄμφω
Ἄρεος αἰχμητῆρες· ὁ μὲν δόρυ θοῦρον ἰάλλων
Ἀστέριος, Μίνωος ἔχων πατρώιον ἀλκήν,
οὔτασε δεξιτεροῖο βραχίονος ἄκρον ἀμύξας·
ὃς δὲ κατ’ ἀσφαράγοιο σιδήρεον ἔγχος ἀείρων
Αἰακός, ὑψιμέδοντος ἑοῦ Διὸς ἄξια ῥέζων,
νύξαι μὲν μενέαινε μεσαίτατον ἀνθερεῶνα·
ἀλλά ἑ Βάκχος ἔρυκε καὶ ἥρπασε φοίνιον αἰχμήν,
αὐχένα μὴ πλήξειεν ἀκοντιστῆρι σιδήρωι·
ἀμφοτέρους δ’ ἀνέκοψε καὶ ἴαχε θυιάδι φωνῆι·
“ῥίψατε τεύχεα ταῦτα φίλην στήσαντες Ἐνυώ·
ἄρθμιος οὗτος Ἄρης, καὶ ἀνούτατοί εἰσιν ἀγῶνες.”
ἔννεπεν· ἐγρεμόθου δὲ λαβὼν πρεσβήια νίκης
Αἰακὸς αὐχήεις χρυσέας κνημῖδας ἀείρων
δῶκεν ἑῶι θεράποντι· καὶ ὕστερα δῶρα κομίζων
Ἀστέριος κούφιζε δορικτήτην λίθον Ἰνδῶν. 37.778

Ὣς εἰπὼν ἀκίχητος ἐς οὐρανὸν ἤλυθεν Ἑρμῆς, 39.1
χάρμα λιπὼν καὶ θαῦμα κασιγνήτωι Διονύσωι.
ὄφρα μὲν εἰσέτι Βάκχος ἀκοσμήτων χύσιν ἄστρων
θάμβεε καὶ Φαέθοντα δεδουπότα, πῶς παρὰ Κελτοὺς
Ἑσπερίωι πυρίκαυτος ἐπωλίσθησε ῥεέθρωι,
τόφρα δὲ νῆες ἵκανον ἐπήλυδες, ἃς ἐνὶ πόντωι
στοιχάδας ἰθύνοντες ἐς Ἄρεα ναύμαχον Ἰνδῶν
ἀκλύστωι Ῥαδαμᾶνες ἐναντίλλοντο θαλάσσηι,
πόντον ἀμοιβαίηισιν ἐπιρρήσσοντες ἐρωαῖς
ὑσμίνης ἐλατῆρες· ἐπειγομένωι δὲ Λυαίωι
ὁλκάσιν ἀντιτύποις ἐπεσύρισε πομπὸς ἀήτης.
καὶ Λύκος ἡγεμόνευεν ἐν ὕδασι δίφρον ἐλαύνων,
ἱππείαις ἀχάρακτον ἐπιξύων ῥόον ὁπλαῖς.
Δηριάδης δ’ ἀπέλεθρος ὑπέρτερος ὑψόθι πύργων
ἐσσυμένων νεφεληδὸν ἐδέρκετο λαίφεα νηῶν
ὀφθαλμῶι κοτέοντι, καὶ ὡς ὑπέροπλος ἀκούων,
ἐγρεμόθους ὅτι νῆας Ἄραψ τορνώσατο τέκτων,
ὤμοσεν ὑλοτόμοισιν ἄγειν Ἀράβεσσιν Ἐνυώ,
καὶ πόλιν ἠπείλησεν ἀιστῶσαι Λυκοόργου,
ἀμήσας Ῥαδαμᾶνας ἀλοιητῆρι σιδήρωι.
καὶ στόλον ἀθρήσαντες ἀταρβέες ἔτρεμον Ἰνδοί,
Ἄρεα παπταίνοντες ἀλίκτυπον, ἄχρι καὶ αὐτοῦ

Nonnus

ἀλλὰ πάλιν πρόμος ἔσκε θεημάχος· εἶχε δὲ βουλὴν
διχθαδίην, ἢ Βάκχον ἑλεῖν ἢ δμῶα τελέσσαι.
τρὶς μὲν ἑὸν δόρυ πέμπε, καὶ ἤμβροτεν ἠέρα βάλλων·
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέδραμεν οἴνοπι Βάκχωι
εἰς σκοπὸν ἀχρήιστον ἐπήορον ἔγχος ἰάλλων
Δηριάδης ὑπέροπλος, ἑοῦ συνάεθλον ἀγῶνος
γαμβρὸν ἑὸν καλέεσκε, καὶ οὐκέτι φαίνετο Μορρεύς·
ἀλλὰ μεταστρέψασα δολοπλόκον εἶδος Ἀθήνη
δαίμονι βοτρυόεντι παρίστατο· δερκομένου δὲ
δείματι θεσπεσίωι λύτο γούνατα Δηριαδῆος·
ἔγνω δ᾽ ἀνδρομέης ἀπατήλιον εἰκόνα μορφῆς
Μορρέος ἀντιτύποιο φέρειν μίμημα προσώπου·
καὶ δόλον ἠπεροπῆα σοφῆς ἐνόησεν Ἀθήνης.
τὴν μὲν ἰδὼν Διόνυσος ἐγήθεεν, ἐν κραδίηι δὲ
ψευδομένην γίνωσκε συναιχμάζουσαν Ἀθήνην.
καὶ τότε βοτρυόεις κοτέων βακχεύετο δαίμων
ὑψιτενὴς περίμετρος, ἴσος Παρνησσίδι πέτρηι·
Δηριάδην δ᾽ ἐδίωκε ταχύδρομον· αὐτὰρ ὁ φεύγων
κοῦφος ἐπειγομέναις ἐτιταίνετο σύνδρομος αὔραις·
ἀλλ᾽ ὅτε χῶρον ἵκανον, ὅπηι πολεμητόκον ὕδωρ
κύματι λυσσώοντι γέρων κελάρυζεν Ὑδάσπης,
ἤτοι ὁ μὲν ποταμοῖο παρ᾽ ἠιόνας ἄπλετος ἔστη,
ὡς γενέτην συνάεθλον ἔχων κελάδοντα μαχητὴν
ὑγρὸν ἀκοντιστῆρα κορυσσομένου Διονύσου,
δαίμων δ᾽ ἀμπελόεις ταμεσίχροα θύρσον ἰάλλων
L1[O] ἀκρότατον χρόα μοῦνον **ἐπέγραφε** Δηριαδῆος.
αὐτὰρ ὁ κισσήεντι τυπεὶς φθισήνορι θαλλῶι
πατρώιωι προκάρηνος ἐπωλίσθησε ῥεέθρωι,
μηκεδανοῖς μελέεσσι γεφυρώσας ὅλον ὕδωρ
αὐτόματος. χρονίην δὲ θεοὶ μετὰ φύλοπιν Ἰνδῶν
σὺν Διὶ παμμεδέοντι πάλιν νόστησαν Ὀλύμπωι.
Βάκχοι δ᾽ ἀμφαλάλαζον ἀδηρίτου Διονύσου
δῆριν ἀνευάζοντες, ἀολλίζοντο δὲ πολλοὶ
ἔγχεσιν οὐτάζοντες ὅλον χρόα Δηριαδῆος.
Ὀρσιβόη δ᾽ ὤιμωξε πολυθρήνων ἐπὶ πύργων,
κείμενον ἀρτιδάικτον ὀδυρομένη παρακοίτην·
πενθαλέοις δ᾽ ὀνύχεσσι **κατέγραφε** κύκλα προσώπου,
καὶ σκολιῆς ὤλοψεν ἀκηδέα βότρυν ἐθείρης,
καὶ κόνιν αἰθαλόεσσαν ἑοῦ κατέχευε καρήνου· 1
κυανέους δ᾽ ἤρασσε βραχίονας, ἀργυφέου δὲ
στέρνον ὅλον γύμνωσε διχαζομένοιο χιτῶνος·
up 2 Χειροβίη δ᾽ ὀλόλυξε καταφθιμένοιο τοκῆος,
Πρωτονόη δ᾽ ἀπέδιλος ἑὰς ξύουσα παρειάς,
κύκλα κονισαλέοιο καταισχύνουσα προσώπου,
κλαῖεν ἐπ᾽ ἀμφοτέροισι καὶ ἀνέρι καὶ γενετῆρι,
διπλόον ἄλγος ἔχουσα, καὶ ἴαχε πενθάδι φωνῆι·
“ἆνερ, ἀπ᾽ αἰῶνος νέος ὤλεο· κὰδ δ᾽ ἐμὲ χήρην
ἔλλιπες ἐν μεγάροισιν ἀπειρήτην τοκετοῖο·
νήπιον οὐ τέκον υἷα παραίφασιν· οὐ μετὰ νίκην
νόστιμον ἄνδρα νόησα τὸ δεύτερον, ἀλλὰ σιδήρωι
αὐτὸς ἑῶι δέδμητο, καὶ οὔνομα δῶκε ῥεέθροις,

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

When the thirty-eighth takes its turn, you have the fate of unhappy Phaethon in the chariot, with a blazing brand.

NONNUS
DIONYSIACA
BOOK 38

PREVIEW BOOK 40

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 434 lines 3.0
3L 1 - 434

Λῦτο δ᾽ ἀγών· λαοὶ δὲ μετήιον ἔνδια λόχμης,
καὶ σφετέραις κλισίῃσιν ὁμίλεον· ἀγρονόμοι δὲ
Πᾶνες ἐναυλίζοντο χαραδραίοισι μελάθροις,
αὐτοπαγῆ ναίοντες ἐρημάδος ἄντρα λεαίνης
ἑσπέριοι· Σάτυροι δὲ δεδυκότες εἰς σπέος ἄρκτου
θηγαλέοις ὀνύχεσσι καὶ οὐ τμητῆρι σιδήρωι
πετραίην ἐλάχειαν ἐκοιλαίνοντο χαμεύνην,
εἰσόκεν ὄρθρος ἔλαμψε σελασφόρος, ἀρτιφανὲς δὲ
ἀμφοτέροις ἀνέτελλε γαληναίης φάος Ἠοῦς,
Ἰνδοῖς καὶ Σατύροισιν· ἐπεὶ τότε κυκλάδι νύσσηι
Μυγδονίου πολέμοιο καὶ Ἰνδῴοιο κυδοιμοῦ
ἀμβολίην ἐτάνυσσεν ἕλιξ χρόνος· οὐδέ τις αὐτοῖς
οὐ φόνος, οὐ τότε δῆρις· ἔκειτο δὲ τηλόθι χάρμης
Βακχιὰς ἑξαέτηρος ἀραχνιόωδα βοείη.
ἀλλ᾽ ὅτε δὴ πολέμων ἔτος ἕβδομον ἤγαγον Ὧραι,
οὐράνιον τότε σῆμα προάγγελον οἴνοπι Βάκχωι
φαίνετο, θάμβος ἄπιστον· ἐπεὶ ζόφος ἤματι μέσσωι
ἀπροϊδὴς τετάνυστο, κελαινιόωντι δὲ πέπλωι
κρυπτόμενον Φαέθοντα μεσημβριὰς εἶχεν ὀμίχλη,
κλεπτομένης δ᾽ ἀκτῖνος ἐπεσκιόωντο κολῶναι·
καὶ πολὺς ἔνθα καὶ ἔνθα κατήριπε πυρσὸς ἀλήτης,
ἅρματος οὐρανίοιο κατάρρυτος· ἄκρα δὲ γαίης
μυρίος ἔκλυσεν ὄμβρος, ἐκυμαίνοντο δὲ πέτραι
ἠερίαις λιβάδεσσιν, ἕως μόγις ὑψόθι δίφρου
ὑψιφανὴς ἀνέτελλε πάλιν πυρόεις Ὑπερίων.
L1[I] Βάκχωι δ᾽ ἀσχαλόωντι δι᾽ ἠέρος αἴσιος ἔπτη
αἰετὸς ὑψικέλευθος, ὄφιν κερόεντα κομίζων
θηγαλέοις ὀνύχεσσιν· ὁ δὲ θρασὺν αὐχένα κάμπτων
κύμβαχος αὐτοκύλιστος ἐπωλίσθησεν Ὑδάσπηι.
καὶ τρομερὴ νήριθμον ὅλον στρατὸν εἶχε σιωπή·
Ἴδμων δ᾽ αἰολόμητις, ἐπεὶ μάθεν ὄργια Μούσης
Οὐρανίης εὔκυκλον ἐπισταμένης ἴτυν ἄστρων, 1
ἄτρομος ἵστατο μοῦνος, ἐπεὶ μάθεν ἴδμονι τέχνηι
✦ συμπλεκέος Φαέθοντι κατάσκια κύκλα Σελήνης,
καὶ φλόγα πορφύρουσαν ὑπὸ ζοφοειδέι κώνωι
κλεπτομένου Φαέθοντος ἀθηήτοιο πορείης,
καὶ πάταγον βρονταῖον ἀρασσομένων νεφελάων,
αἰθέριον μύκημα, καὶ ἀστράπτοντα κομήτην,
καὶ δοκίδων ἀκτῖνα, καὶ ἔμπυρον ἅλμα κεραυνοῦ. 2
τοῖα παρ᾽ Οὐρανίης δεδαημένος ἔργα θεαίνης
ἵστατο θαρσήεσσαν ἔχων φρένα· γυῖα δ᾽ ἑκάστου
λύετο· μαντιπόλος δὲ γέρων γελόωντι προσώπωι
Ἴδμων ἐμπεδόμυθον ἔχων ἐπὶ χείλεσι πειθὼ
λαὸν ὅλον θάρσυνεν, ὅτι χρονίοιο κυδοιμοῦ
ἐσσομένην μετὰ βαιὸν ἐπίστατο γείτονα νίκην.
καὶ Φρύγιον πολύιδριν ἀνείρετο μάντιν Ἐρεχθεύς,
σύμβολα παπταίνων ὑπάτου Διός, εἰ πέλε χάρμης
Nonnus αἴσια δυσμενέεσσιν ἢ Ἰνδοφόνωι Διονύσωι,
οὐ τόσον ὑσμένης ποθέων τέλος, ὅσσον ἀκοῦσαι
38.50 μυστιπόλοις ὀάροισι μεμηλότα μῦθον Ὀλύμπου,

ἢ δόρυ θοῦρον ἔχουσα καὶ ὀχλίζουσα βοείην
μάρνατο Βασσαρίδεσσι, συνεσπομένη παρακοίτηι.
χάζεό μοι Μορρῆι λιπὼν μόθον· ἢν δ᾽ ἐθελήσηις,
αὐτὸς ἀριστεύσω καὶ ἀνάλκιδα Βάκχον ὀλέσσω.
πενθερὸν οὐ καλέσω σε πεφυζότα, σεῖο δὲ κούρης
ἔστω Χειροβίης ἕτερος πόσις· αἰδόμενος γὰρ
καλλείψω τεὸν ἄστυ, καὶ ἵξομαι εἰς χθόνα Μήδων,
ἵξομαι εἰς Σκυθίην, ἵνα μὴ σέο γαμβρὸς ἀκούσω.
ἀλλ᾽ ἐρέεις· 'εὔοπλος ἐμὴ δάμαρ οἶδεν Ἐνυώ.'
εἰσὶν Ἀμαζονίδες περὶ Καύκασον, ὁππόθι πολλαὶ
Χειροβίης πολὺ μᾶλλον ἀριστεύουσι γυναῖκες·
κεῖθι δορικτήτην βριαρὴν ἀνάεδνον ἀκοίτης
εἰς γάμον, ἣν ἐθέλω, μίαν ἄξομαι· ἐν θαλάμοις γὰρ
οὐ δέχομαι σέο παῖδα φυγοπτολέμοιο τοκῆος." ✦
ὣς φαμένη παρέπεισεν ἀγήνορα Δηριαδῆα,
καί οἱ θάρσος ἔδωκε τὸ δεύτερον, ὄφρα δαμείη
μαρναμένου Βρομίοιο τυπεὶς φθισήνορι θύρσωι.
καὶ θρασὺς ἀγνώσσων δολίην παρεοῦσαν Ἀθήνην
ψευδομένου Μορρῆος ἐλεγχέα μῦθον ἀκούων
χείλεσιν αἰδομένοισι παρήγορον ἴαχε φωνήν·
"φείδεο σῶν ἐπέων· τί με μέμφεαι, ἄτρομε Μορρεῦ;
οὐ πρόμος, οὐ πρόμος οὗτος, ἐὸν δέμας αἰὲν ἀμείβων.
καὶ γὰρ ἀμηχανέω, τίνι μάρναμαι ἢ τίνα βάλλω·
σπεύδων μὲν πτερόεντι βαλεῖν Διόνυσον ὀιστῶι,
ἢ ξίφει· πλήξας μέσον αὐχένος, ἢ δόρυ πέμπων
οὐτῆσαι ποθέων διὰ γαστέρος, ἀντὶ Λυαίου L1[I]
πόρδαλιν αἰολόνωτον ἐπαΐσσοντα κιχάνω
μαρναμένου δὲ λέοντος ἐπείγομαι αὐχένα τέμνειν,
καὶ θρασὺν ἀντὶ λέοντος ὄφιν δασπλῆτα δοκεύω·
σπεύδων δ᾽ ἀντὶ δράκοντος ὀπιπεύω ῥάχιν ἄρκτου·
εἰς λοφιὴν δ᾽ ἐπίκυρτον ἐμὸν δόρυ θοῦρον ἰάλλω,
ἀλλὰ μάτην τανύω δολιχὸν βέλος· ἀντὶ γὰρ ἄρκτου
φαίνεται ἠερόφοιτος ἀνούτατος ἱπταμένη φλόξ.
κάπρον ἰδὼν ἐπιόντα βοὸς μυκηθμὸν ἀκούω, **40.**50
ἀντὶ συός τινα ταῦρον ὑπὲρ λοξοῖο μετώπου
παπταίνω χαροπῇσιν ἀκοντίζοντα κεραίαις
ἡμετέρους ἐλέφαντας· ἐγὼ δ᾽ ἐμὸν ἄορ ἑλίσσω
θηρσὶ πολυσπερέεσσι, καὶ οὐχ ἕνα θῆρα δαμάζω.
καὶ φυτὸν ἀθρήσας τανύω βέλος, ἀλλὰ φυγόντος
νύσσαν ἐς ἠερίην ὁρόω κυρτούμενον ὕδωρ.
ἔνθεν ἐγὼ τρομέων πολυφάρμακα θαύματα τέχνης
φύλοπιν ἀλλοπρόσαλλον ἀλυσκάζω Διονύσου·
ἀλλὰ πάλιν Βρομίωι θωρήξομαι, ἄχρις ἐλέγξω
μάγγανα τεχνήεντα δολορραφέος Διονύσου."
ὣς εἰπὼν κεκόρυστο τὸ δεύτερον ἠθάδι λύσσηι,
καὶ πάλιν ἐν πεδίωι μόθος ἔβρεμε, μαρναμένωι δὲ
εἰναλίην μετὰ δῆριν ἐθωρήχθη Διονύσωι·
καὶ προτέρης Βρομίοιο λελασμένος ἔπλετο νίκης, Nonnus
ὁππότε δενδρήεντι περίπλοκος αὐχένα δεσμῶι
ἱκεσίην πολύευκτον ἀνέσχεθε μάρτυρι Βάκχωι· **40.**66

Πήγασος ἐχρεμέτιζε, καὶ αἰθύσσων πόλον ὁπλῇι
ἡμιφανὴς Λίβυς ἵππος ἐπέτρεχε γείτονι Κύκνωι,
καὶ κοτέων πτερὰ πάλλεν, ὅπως πάλιν ἡνιοχῆα
ἄλλον ἀκοντίσσειεν ἀπ' αἰθέρος, οἷα καὶ αὐτὸν
ἄντυγος οὐρανίης ἀπεσείσατο Βελλεροφόντην.
οὐκέτι δ' ὑψιπόροιο Βορειάδος ἐγγύθι νύσσης
ἀλλήλων ἐχόρευον ἐπ' ἰξύι κυκλάδες Ἄρκτοι,
ἀλλὰ Νότωι μίσγοντο, καὶ Ἑσπερίηι παρὰ λίμνηι
ἄβροχον ἴχνος ἔλουσαν ἀήθεος Ὠκεανοῖο.
Ζεὺς δὲ πατὴρ Φαέθοντα κατεπρήνιξε κεραυνῶι
ὑψόθεν αὐτοκύλιστον ὑπὲρ ῥόον Ἠριδανοῖο·
δήσας δ' ἁρμονίην παλινάγρετον ἥλικι δεσμῶι
ἵππους Ἠελίωι πάλιν ὤπασεν, αἰθέριον δὲ
ἀντολίηι πόρεν ἅρμα, καὶ ἀρχαίηι παρὰ νύσσηι
ἀμφίπολοι Φαέθοντος ἐπέτρεχον εὔποδες Ὧραι.
γαῖα δὲ πᾶσα γέλασσε τὸ δεύτερον· ἠερόθεν δὲ
ζωοτόκου Διὸς ὄμβρος ὅλας ἐκάθηρεν ἀρούρας,
καὶ διερῇ ῥαθάμιγγι κατέσβεσε πυρσὸν ἀλήτην,
ὅσσον ἐπὶ χθόνα πᾶσαν ἐριφλεγέων ἀπὸ λαιμῶν
οὐρανόθεν χρεμέθοντες ἀπέπτυον αἴθοπες ἵπποι.
Ἠέλιος δ' ἀνέτελλε παλίνδρομον ἅρμα νομεύων·
καὶ σπόρος ἠέξητο, πάλιν δ' ἐγέλασσαν ἀλωαί,
δεχνύμεναι προτέρην βιοτήσιον αἰθέρος αἴγλην.
Ζεὺς δὲ πατὴρ Φαέθοντα κατεστήριξεν Ὀλύμπωι
εἴκελον Ἡνιόχωι καὶ ἐπώνυμον· οὐράνιον δὲ
L2[O] πήχεϊ μαρμαίροντι σελασφόρον Ἅρμα τιταίνων
εἰς δρόμον ἀίσσοντος ἔχει τύπον Ἡνιοχῆος,
οἷα πάλιν ποθέων καὶ ἐν ἄστρασιν Ἅρμα τοκῆος.
καὶ ποταμὸς πυρίκαυτος ἀνήλυθεν εἰς πόλον ἄστρων
Ζηνὸς ἐπαινήσαντος, ἐν ἀστερόεντι δὲ κύκλωι
Ἠριδανοῦ πυρόεντος ἑλίσσεται ἀγκύλον ὕδωρ.
γνωταὶ δ' ὠκυμόροιο δεδουπότος ἡνιοχῆος 2
εἰς φυτὸν εἶδος ἄμειψαν, ὀδυρομένων δ' ἀπὸ δένδρων
38.434 ◆ ἀφνειὴν πετάλοισι κατασταλάουσιν ἐέρσην."
40.1 Οὐ δὲ Δίκην ἀλέεινε πανόψιον, οὐδὲ καὶ αὐτῆς
ἀρραγέος κλωστῆρος ἀκαμπέα νήματα Μοίρης·
ἀλλά μιν ἀθρήσασα πεφυζότα Παλλὰς Ἀθήνη —
ἕζετο γὰρ κατὰ πόντον ἐπὶ προβλῆτος ἐρίπνης,
ναύμαχον εἰσορόωσα κορυσσομένων μόθον Ἰνδῶν — 3
ἐκ σκοπιῆς ἀνέπαλτο, καὶ ἄρσενα δύσατο μορφήν·
κλεψινόοις δ' ὀάροισι παρήπαφεν ὄρχαμον Ἰνδῶν,
Μορρέος εἶδος ἔχουσα, χαριζομένη δὲ Λυαίωι
Δηριάδην ἀνέκοψε, καὶ ὡς ἀλέγουσα κυδοιμοῦ
φρικτὸν ἀπερροίβδησεν ἔπος πολυμεμφέι φωνῇ·
"φεύγεις, Δηριάδη; τίνι κάλλιπες Ἄρεα νηῶν;
πῶς δύνασαι ναέτῃσι φανήμεναι; ἢ πόθεν ἄντην
ὄψεαι Ὀρσιβόην μενεδήιον, αἴ κεν ἀκούσηι
Δηριάδην φεύγοντα καὶ οὐ μίμνοντα γυναῖκας;
αἴδεο Χειροβίην ῥηξήνορα, μή σε νοήσηι
40.16 ὑσμίνην ἀσίδηρον ὑποπτήσσοντα Λυαίου,

καὶ στίχας ἀστραίων ἑλίκων καὶ κυκλάδα μήνην,
καὶ δύσιν ἠματίην Φαεθοντίδος ἄμμορον αἴγλης
κλεπτομένης. αἰεὶ δὲ θεορρήτων περὶ μύθων
Ἀτθίδος ἀρχαίης φιλοπευθέες εἰσὶ πολῖται.
οὐδὲ γέρων ἀμέλησε θεοπρόπος, ἀλλὰ Λυαίου
σείων Εὔια θύρσα καὶ οὐ Πανοπηίδα δάφνην
τοῖον ἔπος μαντῷον ἀνήρυγεν ἀνθερεῶνος·
"εἰσαΐειν ἐθέλεις φρενοθελγέα μῦθον, Ἐρεχθεῦ,
ὃν μοῦνοι δεδάασι θεοὶ ναετῆρες Ὀλύμπου;
λέξω δ', ὥς με δίδαξεν ἐμὸς δαφναῖος Ἀπόλλων.
μὴ στεροπὴν τρομέοις, μὴ δείδιθι πυρσὸν ἀλήτην,
μὴ δρόμον Ἠελίου ζοφοειδέα, μηδὲ Λυαίου
νίκης ἐσσομένης πρωτάγγελον ὄρνιν Ὀλύμπου·
ὡς ὅ γε θηγαλέων ὀνύχων κεχαραγμένος αἰχμαῖς.
ἅρπαγος οἰωνοῖο πεπαρμένος ὀξέι ταρσῶι,
εἰς προχοὰς ποταμοῖο δράκων ὤλισθε κεράστης,
καὶ νέκυν ἑρπηστῆρα γέρων ἔκρυψεν Ὑδάσπης.
οὕτω Δηριάδην πατρώιον οἶδμα καλύψει
εἴκελον εἶδος ἔχοντα βοοκραίρωι γενετῆρι."
τοῖα γέρων ἀγόρευε θεηγόρος· ἀμφὶ δὲ μύθωι
μαντιπόλωι γήθησεν ὅλος στρατός· ἔξοχα δ' ἄλλων
θαύματι χάρμα κέρασσεν ἀμήτορος ἀστὸς Ἀθήνης,
τοῖος ἐὼν γλυκερῇσιν ἐπ' ἐλπίσιν, ὡς ἐνὶ μέσσωι
κωμάζων Μαραθῶνι μετ' Ἄρεα Δηριαδῆος.
καὶ τότε μουνωθέντι φιλοσκοπέλωι Διονύσωι
σύγγονος οὐρανόθεν Διὸς ἄγγελος ἤλυθεν Ἑρμῆς, L2[O]
καί τινα μῦθον ἔειπε παρηγορέων ἐπὶ νίκηι·
"μὴ τρομέοις τόδε σῆμα, καὶ εἰ πέλεν ἠματίη νύξ·
τοῦτό σοι, ἄτρομε Βάκχε, πατὴρ ἀνέφηνε Κρονίων
νίκης Ἰνδοφόνοιο προάγγελον· ἠελίωι γὰρ
δεύτερον ἀστράπτοντι φεραυγέα Βάκχον ἐίσκω,
καὶ θρασὺν ὀρφναίῃ μελανόχροον Ἰνδὸν ὀμίχληι·
αἰθέρι γὰρ τύπος οὗτος ὁμοίιος· εὐφαέος δὲ
ὡς ζόφος ἠμάλδυνε καλυπτομένης φάος ἠοῦς,
καὶ πάλιν ἀντέλλων πυριφεγγέος ὑψόθι δίφρου
Ἠέλιος ζοφόεσσαν ἀπηκόντιζεν ὀμίχλην,
οὕτω σῶν βλεφάρων μάλα τηλόθι καὶ σὺ τινάξας
Ταρταρίης ζοφόεσσαν Ἐρινύος ἄσκοπον ἀχλὺν
ἀστράψεις κατ' Ἄρηα τὸ δεύτερον ὡς Ὑπερίων.
τηλίκον οὔ ποτε θαῦμα γέρων τροφὸς ἤγαγεν Αἰών,
ἐξ ὅτε δαιμονίοιο πυρὸς βεβολημένος ἀτμῶι
κύμβαχος Ἠελίοιο φεραυγέος ἔκπεσε δίφρου
ἡμιδαὴς Φαέθων, ποταμῶι δ' ἐκρύπτετο Κελτῶι·
καὶ θρασὺν ἡβητῆρα παρ' ὀφρύσιν Ἠριδανοῖο
Ἡλιάδες κινυροῖσιν ἔτι στενάχουσι πετήλοις."
ὣς φαμένου Διόνυσος ἐγήθεεν ἐλπίδι νίκης·
Ἑρμείαν δ' ἐρέεινε, καὶ ἤθελε μᾶλλον ἀκοῦσαι
Κελτοῖς Ἑσπερίοισι μεμηλότα μῦθον Ὀλύμπου,
πῶς Φαέθων κεκύλιστο δι' αἰθέρος, ἢ πόθεν αὐταὶ
Ἡλιάδες παρὰ χεῦμα γοήμονος Ἠριδανοῖο 38.100

εἰς φυτὸν ἠμείβοντο, καὶ εὐπετάλων ἀπὸ δένδρων
δάκρυα μαρμαίροντα κατασταλάουσι ῥεέθροις.
καί οἱ ἀνειρομένωι πετάσας στόμα μείλιχος Ἑρμῆς
θέσκελον ἐρροίβδησεν ἔπος φιλοπευθέι Βάκχωι·
"ἀνδρομέου, Διόνυσε, βίου τερψίμβροτε ποιμήν,
εἴ σε παλαιγενέων ἐπέων γλυκὺς οἶστρος ἐπείγει,
μῦθον ὅλον Φαέθοντος ἐγὼ στοιχηδὸν ἐνίψω.
Ὠκεανὸς κελάδων, μιτρούμενος ἄντυγι κόσμου,
ἰκμαλέην περὶ νύσσαν ἄγων γαιήοχον ὕδωρ,
Τηθύος ἀρχεγόνοισιν ὁμιλήσας ὑμεναίοις
νυμφίος ὑδατόεις Κλυμένην τέκεν, ἥν ποτε Τηθὺς
κρείσσονα Νηιάδων διερῶι μαιώσατο μαζῶι,
παρθένον ὁπλοτέρην εὐώλενον, ἧς ἐπὶ μορφῆι
Ἠέλιος λυκάβαντα δυωδεκάμηνον ἑλίσσων,
αἰθέρος ἑπτάζωνον ἴτυν στεφανηδὸν ὁδεύων,
κάμνε πυρὸς ταμίης ἑτέρωι πυρί· καὶ φλόγα δίφρων
καὶ σέλας ἀκτίνων ἐβιήσατο πυρσὸς Ἐρώτων,
ὁππότε φοινίσσοντος ὑπὲρ κέρας Ὠκεανοῖο,
ἔμπυρον Ἠώιοισιν ἑὸν δέμας ὕδασι λούων,
παρθένον ἀγχικέλευθον ἐσέδρακεν, ὁππότε γυμνὴ
νήχετο πατρώιοισιν ἐπισκαίρουσα ῥεέθροις,
λουομένη δ' ἤστραπτεν· ἔην δέ τις, ὡς ὅτε δισσῆς
μαρμαρυγὴν τροχόεσσαν ἀναπλήσασα κεραίης
ἑσπερίη σελάγιζε δι' ὕδατος ὄμπνια Μήνη.
ἡμιφανὴς δ' ἀπέδιλος ἐν ὕδασιν ἵστατο κούρη,
L2[I] Ἠέλιον ῥοδέῃσιν ὀιστεύουσα παρειαῖς·
καὶ προχοαῖς κεχάρακτο τύπος χροός· οὐ τότε μίτρη
κούρης στέρνα κάλυπτε, καταυγάζουσα δὲ λίμνην
ἀργυφέων εὔκυκλος ἴτυς φοινίσσετο μαζῶν.
αἰθερίωι δ' ἐλατῆρι πατὴρ ἐζεύξατο κούρην·
καὶ Κλυμένης ὑμέναιον ἀνέκλαγον εὔποδες Ὧραι
καὶ γάμον Ἠελίοιο φαεσφόρον· ἀμφὶ δὲ Νύμφαι
Νηΐδες ὠρχήσαντο· παρ' ὑδατόεντι δὲ παστῶι
✦ εὔλοχος ἀστράπτοντι γάμωι νυμφεύετο κούρη,
καὶ ψυχροῖς μελέεσσιν ἐδέξατο θερμὸν ἀκοίτην.
ἀστραίης δὲ φάλαγγος ἔην θαλαμηπόλος αἴγλη,
καὶ μέλος εἰς Ὑμέναιον ἀνέπλεκε Κύπριδος ἀστήρ,
συζυγίης προκέλευθος Ἑωσφόρος· ἀντὶ δὲ πεύκης
νυμφιδίην ἀκτῖνα γαμοστόλον εἶχε Σελήνη·
Ἑσπερίδες δ' ἀλάλαζον· ἔηι δ' ἅμα Τηθύι νύμφηι
Ὠκεανὸς κελάδησε μέλος πολυπίδακι λαιμῶι.
καὶ Κλυμένης γονόεντι γάμωι κυμαίνετο γαστήρ·
καὶ βρέφος ὠδίνουσα πεπαινομένου τοκετοῖο
γείνατο θέσκελον υἷα φαεσφόρον. ἀμφὶ δὲ κούρωι
τικτομένωι κελάδησε μέλος πατρώιος αἰθήρ·
Ὠκεανοῦ δὲ θύγατρες ἀποθρώισκοντα λοχείης
υἱέα παππώιοισιν ἐφαιδρύναντο λοετροῖς·
Nonnus σπάργανα δ' ἀμφεβάλοντο· καὶ ἀστέρες αἴθοπι παλμῶι
εἰς ῥόον ἀίσσοντες ἐθήμονος Ὠκεανοῖο
κοῦρον ἐκυκλώσαντο, καὶ Εἰλείθυια Σελήνη

197 (111C) αἰθέρι δινήεντι μέσος τετορημένος ἄξων.
καὶ μόγις αὐτοέλικτον ἐλαφρίζων πόλον ἄστρων
ὀκλαδὸν ἐστήρικτο Λίβυς κυρτούμενος Ἄτλας,
μείζονα φόρτον ἔχων· καὶ ἰσήμερον ἔκτοθεν Ἄρκτου
κύκλον ἐπιξύων ἑλικώδεϊ γαστέρος ὁλκῶι
σύνδρομος ἀστερόεντι Δράκων ἐπεσύρισε Ταύρωι,
καὶ Κυνὶ σειριάοντι Λέων βρυχήσατο λαιμῶι,
αἰθέρα θερμαίνων μαλερῶι πυρί, καὶ θρασὺς ἔστη
Καρκίνος ὀκταπόδην κλονέων λασιότριχι παλμῶι·
οὐρανίου δὲ Λέοντος ὀπισθιδίωι παρὰ ταρσῶι
Παρθένον ἀγχικέλευθον ἐμάστιε δίψιος οὐρή·
Κούρη δὲ πτερόεσσα παραΐξασα Βοώτην
ἄξονος ἐγγὺς ἵκανε καὶ ὡμίλησεν Ἀμάξηι·
καὶ δυτικὴν παρὰ νύσσαν ἀλήμονα φέγγεα πέμπων
Ἕσπερον ἀντικέλευθον Ἑωσφόρος ὤθεεν ἀστήρ·
πλάζετο δ' ἠριγένεια· καὶ ἠθάδος ἀντὶ Λαγωοῦ
Σείριος αἰθαλόεις ἐδράξατο διψάδος Ἄρκτου·
διχθὰ δὲ καλλείψαντες, ὁ μὲν Νότον, ὃς δὲ Βορῆα,
Ἰχθύες ἀστερόεντες ἐπεσκίρτησαν Ὀλύμπωι,
γείτονες Ὑδροχόοιο· κυβιστητῆρι δὲ παλμῶι
σύνδρομος Αἰγοκερῆος ἕλιξ ὠρχήσατο Δελφίς·
καὶ Νοτίης ἑλικηδὸν ἀποπλαγχθέντα κελεύθου
Σκορπίον ἀγχικέλευθον, ἑῆς ψαύοντα μαχαίρης,
ἔτρεμεν Ὠρίων καὶ ἐν ἄστρασι, μὴ βραδὺς ἕρπων
ἄκρα ποδῶν ξύσειε τὸ δεύτερον ὀξέι κέντρωι·
καὶ σέλας ἡμιτέλεστον ἀποπτύουσα προσώπου L2[I]
ἀκροκελαινιόωσα μεσημβριὰς ἄνθορε Μήνη·
οὐ γὰρ ὑποκλέπτουσα νόθον σέλας ἄρσενι πυρσῶι
ἀντιπόρου Φαέθοντος ἀμέλγετο σύγγονον αἴγλην·
Πληιάδος δὲ φάλαγγος ἕλιξ ἑπτάστερος ἠχὼ
οὐρανὸν ἑπτάζωνον ἐπέβρεμε κυκλάδι φωνῆι·
καὶ κτύπον αἰθύσσοντες ἰσηρίθμων ἀπὸ λαιμῶν
3 (1C) ἀστέρες ἀντιθέοντες ἐβακχεύθησαν ἀλῆται·
Ζῆνα μὲν ὤθεε Κύπρις, Ἄρης Κρόνον, εἰαρινῆς δὲ
Πλειάδος ἐγγὺς ἵκανεν ἐμὸς μετανάστιος ἀστήρ,
ἄστρασι δ' ἑπταπόροις κεράσας ἐμφύλιον αἴγλην
ἡμιφανὴς ἀνέτελλεν ἐμῆι παρὰ μητέρι Μαίηι,
Ἅρματος οὐρανίοιο παράτροπος, ὧι πέλεν αἰεὶ
4 σύνδρομος ἢ προκέλευθος ἑώιος, ἑσπέριος δὲ
Ἠελίου δύνοντος ὀπίστερα φέγγεα πέμπει·
καί μιν, ὅτε δρόμον σον ἔχων ἰσόμοιρος ὁδεύει,
Ἠελίου κραδίην ἐπεφήμισαν ἴδμονες ἄστρων·
καὶ δροσεραῖς νιφάδεσσι διάβροχον αὐχένα τείνων
νυμφίος Εὐρώπης μυκήσατο Ταῦρος Ὀλύμπου,
εἰς δρόμον ὀρθώσας πόδα καμπύλον· ὀξυτενὲς δὲ
δοχμώσας Φαέθοντι κέρας λοξοῖο μετώπου
οὐρανίην φλογερῆισιν ἐπέκτυπεν ἄντυγα Χηλαῖς·
καὶ θρασὺς ἐκ κολεόιο παρήορον αἴθοπι μηρῶι Nonnus
Ὠρίων ξίφος εἶλκε· καλαύροπα πάλλε Βοώτης·
καὶ ποδὸς ἀστραίοιο μετάρσια γούνατα πάλλων

Nonnus

καὶ Φαέθων ἐπέβαινε· δίδου δέ οἱ ἡνία πάλλειν, 198 (112C)
ἡνία μαρμαίροντα καὶ αἰγλήεσσαν ἱμάσθλην
Ἠέλιος γενέτης· τρομερῆι δ' ἐλελίζετο σιγῆι,
υἱέα γινώσκων μινυώριον· ἐγγύθι δ' ὄχθης
ἡμιφανὴς Κλυμένη φλογερῶν ἐπιβήτορα δίφρων
δερκομένη φιλότεκνος ἐπάλλετο χάρματι μήτηρ.
ἤδη δὲ δροσόεις ἀμαρύσσετο Φωσφόρος ἀστήρ,
καὶ Φαέθων ἀνέτελλεν Ἑώιον ἄντυγα βαίνων,
ὕδασι παππώιοισι λελουμένος Ὠκεανοῖο.
καὶ θρασὺς εὐφαέων ἐλατὴρ ὑψίδρομος ἵππων
οὐρανὸν ἐσκοπίαζε χορῶι κεχαραγμένον ἄστρων,
ἑπτὰ περὶ ζώναις κυκλούμενον· εἶδεν ἀλήτας
ἀντιπόρους, καὶ γαῖαν ὁμοίιον ἔδρακε κέντρωι
μεσσοπαγῆ, δολιχῆισιν ἀνυψωθεῖσαν ἐρίπναις,
πάντοθι πυργωθεῖσαν ὑπωροφίοισιν ἀήταις·
καὶ ποταμοὺς σκοπίαζε, καὶ ὀφρύας Ὠκεανοῖο
ἂψ ἀνασειράζοντος ἑὸν ῥόον εἰς ἑὸν ὕδωρ.
ὄφρα μὲν ὄμμα τίταινεν ἐς αἰθέρα καὶ χύσιν ἄστρων
καὶ χθονὸς αἰόλα φῦλα καὶ ἄστατα νῶτα θαλάσσης,
παπταίνων ἑλικηδὸν ἀτέρμονος ἕδρανα κόσμου·
τόφρα δὲ δινηθέντες ὑπὸ ζυγὸν αἴθοπες ἵπποι
Ζωιδιακοῦ παράμειβον ἐθήμονος ἄντυγα κύκλου.
καὶ Φαέθων ἀδίδακτος, ἔχων πυρόεσσαν ἱμάσθλην,
μαίνετο μαστίζων λόφον ἵππιον· οἱ δὲ μανέντες,
κέντρον ὑποπτήσσοντες ἀφειδέος ἡνιοχῆος,
L3[O] ἀρχαίης ἀέκοντες ὑπὲρ βαλβῖδα κελεύθου
ἀξονίην παρὰ νύσσαν ἀλήμονες ἔτρεχον ἵπποι.
δεχνύμενοι κτύπον ἄλλον ἐθήμονος ἡνιοχῆος.
καὶ Νότιον παρὰ τέρμα καὶ ἄρκτια νῶτα Βορῆος
ἦν κλόνος. οὐρανίωι δὲ παριστάμεναι πυλεῶνι
ἀλλοφανὲς νόθον ἦμαρ ἐθάμβεον εὔποδες Ὧραι·
ἔτρεμε δ' ἠριγένεια· καὶ ἴαχε Φωσφόρος ἀστήρ· 4 (2C)
'πῆι φέρεαι, φίλε κοῦρε; τί μαίνεαι ἵππον ἐλαύνων;
✦ φείδεο σῆς μάστιγος ἀγήνορος· ἀμφοτέρων δὲ
πλαζομένων πεφύλαξο καὶ ἀπλανέων χορὸν ἄστρων,
μὴ θρασὺς Ὠρέων σε κατακτείνειε μαχαίρηι,
μὴ ῥοπάλωι πυρόεντι γέρων πλήξειε Βοώτης,
πλαγκτῆς δ' ἱπποσύνης ἔτι φείδεο, μηδέ σε μακρῶι
γαστέρι τυμβεύσειεν ἐν αἰθέρι Κῆτος Ὀλύμπου· 5
μηδέ σε δαιτρεύσειε Λέων, ἢ Ταῦρος Ὀλύμπου
αὐχένα κυρτώσας φλογερῆι πλήξειε κεραίηι·
ἅζεο Τοξευτῆρα, τιταινομένης ἀπὸ νευρῆς
μή σε πυριγλώχινι κατακτείνειεν ὀιστῶι.
μὴ χάος ἄλλο γένοιτο, καὶ αἰθέρος ἄστρα φανείη
ἤματος ἱσταμένοιο, μεσημβρίζοντι δὲ δίφρωι
ἄστατος ἠριγένεια συναντήδειε Σελήνηι.'
ὣς φαμένου Φαέθων πλέον ἤλασεν, ἅρμα παρέλκων
εἰς Νότον, εἰς Βορέην, Ζεφύρου σχεδόν, ἐγγύθεν Εὔρου.
καὶ κλόνος αἰθέρος ἦεν, ἀκινήτοιο δὲ κόσμου
ἁρμονίην ἐτίναξεν· ἐδοχμώθη δὲ καὶ αὐτὸς

Nonnus

μαρμαρυγὴν πέμπουσα σελασφόρον· Ἥλιος δὲ
υἱέι δῶκεν ἔχειν ἑὸν οὔνομα μάρτυρι μορφῆι
ἄρμενον· ἠιθέου γὰρ ἐπὶ ἀστράπτοντι προσώπωι
Ἠελέου γενετῆρος ἐπέπρεπε σύγγονος αἴγλη.
πολλάκι παιδοκόμοισιν ἐν ἤθεσιν ἁβρὸν ἀθύρων
Ὠκεανὸς Φαέθοντα παλινδίνητον ἀείρων
γαστρὶ μέσηι κούφιζε, δι' ὑψιπόρου δὲ κελεύθου
ἄστατον αὐτοέλικτον ἀλήμονι σύνδρομον αὔρηι
ἠερόθεν παλίνορσον ἐδέξατο κοῦρον ἀγοστῶι,
καὶ πάλιν ἠκόντιζεν· ὁ δὲ τροχοειδέι παλμῶι
χειρὸς ἐυφερέπτοιο παράτροπος Ὠκεανοῖο
δινωτῆι στροφάλιγγι κατήριπεν εἰς μέλαν ὕδωρ.
μάντις ἑοῦ θανάτοιο· γέρων δ' ὤιμωξε νοήσας,
θέσφατα γινώσκων, πινυτῆι δ' ἔκρυψε σιωπῆι,
μὴ Κλυμένης φιλόπαιδος ἀπενθέα θυμὸν ἀμύξηι
πικρὰ προθεσπίζων Φαεθοντιάδος λίνα Μοίρης.
καὶ πάις ἀρτικόμιστος ἔχων ἀνίουλον ὑπήνην
πῆι μὲν ἑῆς Κλυμένης δόμον ἄμφεπε, πῆι δὲ καὶ αὐτῆς
Θρινακίης λειμῶνα μετήιεν, ἧχι θαμίζων
Λαμπετίηι παρέμιμνε, βόας καὶ μῆλα νομεύων
πατρὸς ἑοῦ ζαθέοιο φέρων πόθον ἡνιοχῆος,
ἄξονα τεχνήεντι συνήρμοσε δούρασι δεσμῶι,
κυκλώσας τροχόεντα τύπον ψευδήμονι δίφρωι·
ἀσκήσας δὲ λέπαδνα καὶ ἀνθοκόμων ἀπὸ κήπων
πλέξας λεπταλέοισι λύγοις τριέλικτον ἱμάσθλην
ἀρνειοῖς πισύροισι νέους ἐπέθηκε χαλινούς· L3[O]
καὶ νόθον εὐποίητον Ἑωσφόρον ἀστέρα τεύχων
ἄνθεσιν ἀργεννοῖσιν, ἴσον τροχοειδέι κύκλωι,
θῆκεν ἑῆς προκέλευθον ἐυκνήμιδος ἀπήνης,
ἀστέρος Ἠώιοιο φέρων τύπον· ἀμφὶ δὲ χαίταις
ὄρθιον ἔνθα καὶ ἔνθα φεραυγέα δαλὸν ἐρείσας
ψευδομέναις ἀκτῖσιν ἑὸν μιμεῖτο τοκῆα,
ἱππεύων στεφανηδὸν ἁλίκτυπον ἄντυγα νήσου.
ἀλλ' ὅτ' ἀνηέξητο φέρων εὐάνθεμον ἥβην,
πολλάκι πατρώιης φλογὸς ἥψατο, χειρὶ δὲ βαιῆι
κούφισε θερμὰ λέπαδνα καὶ ἀστερόεσσαν ἱμάσθλην,
καὶ τροχὸν ἀμφιπόλευε, καὶ ἀμφαφόων δέμας ἵππων
χιονέαις παλάμηισιν ἐτέρπετο κοῦρος ἀθύρων·
δεξιτερῆι δ' ἔψαυε πυριβλήτοιο χαλινοῦ.
μαίνετο δ' ἱπποσύνης μεθέπων πόθον· ἑζόμενος δὲ
γούνασι πατρώιοις ἱκετήσια δάκρυα λείβων
ἤιτεεν ἔμπυρον ἅρμα καὶ αἰθερίων δρόμον ἵππων.
καὶ γενέτης ἀνένευεν· ὁ δὲ πλέον ἡδέι μύθωι
αἰτίζων λιτάνευε· παρηγορέων δ' ἐπὶ δίφρωι
ὑψιπόρωι νέον υἷα φιλοστόργωι φάτο φωνῆι·
"ὦ τέκος Ἠελίοιο, φίλον γένος Ὠκεανοῖο,
ἄλλο γέρας μάστευε· τί σοί ποτε δίφρος Ὀλύμπου;
ἱπποσύνης ἀκίχητον ἔα δρόμον· οὐ δύνασαι γὰρ
ἰθύνειν ἐμὸν ἅρμα, τό περ μόγις ἡνιοχεύω.
οὔ ποτε θοῦρος Ἄρης φλογερῶι κεκόρυστο κεραυνῶι,

ἀλλὰ μέλος σάλπιγγι καὶ οὐ βρονταῖον ἀράσσει· 199 (113C)
οὐ νεφέλας Ἥφαιστος ἑοῦ γενετῆρος ἀγείρει,
οὐ νεφεληγερέτης κικλήσκεται οἷα Κρονίων,
ἀλλὰ παρ' ἐσχαρεῶνι σιδήρεον ἄκμονα τύπτει,
ἄσθμασι ποιητοῖσι χέων ποιητὸν ἀήτην·
κύκνον ἔχει πτερόεντα, καὶ οὐ ταχὺν ἵππον Ἀπόλλων·
οὐ στεροπὴν πυρόεσσαν ἀερτάζει γενετῆρος
Ἑρμῆς ῥάβδον ἔχων, οὐκ αἰγίδα πατρὸς ἀείρει.
ἀλλ' ἐρέεις· 'Ζαγρῆι πόρεν σπινθῆρα κεραυνοῦ'·
Ζαγρεὺς σκηπτὸν ἄειρε, καὶ ὡμίλησεν ὀλέθρωι.
ἅζεο καὶ σύ, τέκος, πανομοίια πήματα πάσχειν.'
εἶπε, καὶ οὐ παρέπεισε· πάις δὲ γενήτορα νύσσων
δάκρυσι θερμοτέροισιν ἑοὺς ἐδίηνε χιτῶνας·
χερσὶ δὲ πατρῴης φλογερῆς ἔψαυσεν ὑπήνης,
ὀκλαδὸν ἐν δαπέδωι κυκλούμενον αὐχένα κάμπτων,
λισσόμενος· καὶ παῖδα πατὴρ ἐλέαιρε δοκεύων.
καὶ κινυρὴ Κλυμένη πλέον ἤτεεν· αὐτὰρ ὁ θυμῶι
ἔμπεδα γινώσκων ἀμετάτροπα νήματα Μοίρης
ἀσχαλόων ἐπένευσεν, ἀποσμήξας δὲ χιτῶνι
μυρομένου Φαέθοντος ἀμειδέος ὄμβρον ὀπωπῆς
χείλεα παιδὸς ἔκυσσε, τόσην δ' ἐφθέγξατο φωνήν·
'δώδεκα πάντες ἔασι πυρώδεος αἰθέρος οἶκοι,
Ζωιδιακοῦ γλαφυροῖο πεπηγότες ἄντυγι κύκλου,
κεκριμένοι στοιχηδὸν ἐπήτριμοι, οἷς ἔνι μούνοις
λοξῇ πουλυέλικτος ἀταρπιτός ἐστι πλανήτων
L3[I] ἀσταθέων. καὶ ἕκαστον ἕλιξ Κρόνος οἶκον ἀμείβει
ἑρπύζων βαρύγουνος, ἕως μόγις ὀψὲ τελέσσηι
εἴκοσι καὶ δέκα κύκλα παλιννόστοιο Σελήνης,
ζώνης ἑβδομάτης ὑπὲρ ἄντυγος· ὑψόθι δ' ἕκτης
ὠκύτερον γενετῆρος ἔχει δρόμον ἀντίπορος Ζεύς,
καὶ δρόμον εἰς λυκάβαντα διέρχεται· ἐν τριτάτηι δὲ
{…} ἤμασιν ἑξήκοντα παρέρχεται ἔμπυρος Ἄρης, 5 (3C)
γείτων σεῖο τοκῆος· ἐπαντέλλων δὲ τετάρτηι
✦ αὐτὸς ἐγὼ στεφανηδὸν ὅλον πόλον ἅρμασι τέμνω
οὐρανίων Ἑλίκων πολυκαμπέα κύκλα διώκων,
μέτρα χρόνου πισύρηισι φέρων κυκλούμενος Ὥραις,
τὴν αὐτὴν περὶ νύσσαν, ἕως ὅλον οἶκον ὁδεύσω,
πλήσας ἠθάδα μῆνα τελεσφόρον· οὐδὲ πορείην
καλλείψας ἀτέλεστον ὀπίστερον οἶμον ἀμείβω, 6
οὐδὲ πάλιν προκέλευθον, ἐπεὶ πολυκαμπέες ἄλλοι
ἀστέρες ἀντιθέοντες ἀεὶ στείχουσιν ἀλῆται,
ἂψ δ' ἀνασειράζοντες ἅμα πρόσσω καὶ ὀπίσσω
ἡμιτελῆ μεθέπουσι παλίλλυτα μέτρα κελεύθου,
δέγμενοι ἀμφοτέρωθεν ἐμὴν ἑτερόσσυτον αἴγλην·
οἷς ἔνι λευκαίνουσα πόλον κερόεσσα Σελήνη
κύκλον ὅλον πλήσασα σοφῶι πυρὶ μῆνα λοχεύει,
μεσσοφανής, ἐπίκυρτος, ὅλωι πλήθουσα προσώπωι·
Nonnus Μήνηι δ' ἀντικέλευθος ἐγὼ σφαιρηδὸν ἑλίσσων
μαρμαρυγὴν θρέπτειραν ἀμαλλοτόκου τοκετοῖο
Ζωιδιακὴν περὶ νύσσαν ἀτέρμονα κύκλον ὁδεύω,
τίκτων μέτρα χρόνοιο, καὶ οἴκοθεν οἶκον ἀμείβων
καὶ τελέσας ἕνα κύκλον ὅλον λυκάβαντα κομίζω.
ἄκρα δὲ συνδέσμοιο φυλάσσεο, μὴ σχεδὸν ἕρπων,
ἅρμασιν ὑμετέροις ζοφοειδέαι κῶνον ἑλίξας,
φέγγος ὅλον κλέψειεν ἐπισκιόων σέο δίφρωι·
μηδὲ παριππεύσειας ἐθήμονος ἄντυγα κύκλου·
μηδὲ τανυπλέκτων ἑλίκων πολυκαμπέι δεσμῶι,
πέντε παραλλήλων δεδοκημένος ἄντυγα κύκλων,
οἶστρον ἔχοις, καὶ νύσσαν ὁμήθεα πατρὸς ἐάσηις;
μή σε παραπλάγξειαν ἐν αἰθέρι φοιτάδες ἵπποι·
μηδὲ διοπτεύων δυοκαίδεκα κύκλα πορείης
ἐκ δόμου εἰς δόμον ἄλλον ἐπείγεο· καὶ σέο δίφρωι
Κριὸν ἐφιππεύων μὴ δίζεο Ταῦρον ἐλαύνειν·
γείτονα μὴ μάστευε προάγγελον Ἱστοβοῆος
Σκορπίον ἀστερόφοιτον ὑπὸ ζυγὸν ἡνιοχεύων,
εἰ μὴ ἀναπλήσειας ἐείκοσι καὶ δέκα μοίρας.
ἀλλὰ σὺ μὲν κλύε μῦθον· ἐγὼ δέ σε πάντα διδάξω.
κέντρον ὅλου κόσμοιο, μεσόμφαλον ἄστρον Ὀλύμπου,
Κριὸν ἐγὼ μεθέπων ὑψούμενος εἶαρ ἀέξω,
καὶ τροπικὴν Ζεφύροιο προάγγελον ἄντυγα βαίνων,
νύκτα ταλαντεύουσαν ἰσόρροπον ἠριγενείηι,
ἰθύνω δροσόεντα χελιδονίης δρόμον Ὥρης·
Κριοῦ δ' ἀντικέλευθον ἐνέρτερον οἶκον ἀμείβων,
Χηλαῖς ἐν διδύμηισιν ἰσήμερα φέγγεα πέμπων,
ἐντύνω παλίνορσος ἰσόζυγον ἦμαρ ὀμίχληι,
καὶ δρόμον εἰνοσίφυλλον ἄγω φθινοπωρίδος Ὥρης, L3[I]
φέγγεϊ μειοτέρωι χθαμαλὴν ἐπὶ νύσσαν ἐλαύνων
φυλλοχόωι ἐνὶ μηνί· καὶ ἀνδράσι χεῖμα κομίζω
ὄμβριον ἰχθυόεντος ὑπὲρ ῥάχιν Αἰγοκερῆος,
ἀγρονόμοις ἵνα γαῖα φερέσβια δῶρα λοχεύσηι,
νυμφίον ὄμβρον ἔχουσα καὶ εἰλείθυιαν ἐέρσην·
καὶ θέρος ἐντύνω σταχυηκόμον ἄγγελον ὄμπνης,
θερμοτέραις ἀκτῖσι πυρώδεα γαῖαν ἱμάσσων,
ὑψιτενὴς παρὰ νύσσαν ὅτ' εἰς δρόμον ἡνιοχεύω
Καρκίνον, ἀντικέλευθον ἀθαλπέος Αἰγοκερῆος,
ἀμφοτέρους καὶ Νεῖλον ὁμοῦ καὶ βότρυν ἀέξων.
ἀρχόμενος δὲ δρόμοιο μετέρχεο γείτονα Κέρνην,
Φωσφόρον ἀπλανέος μεθέπων πομπῆα κελεύθου,
ἱπποσύνης προκέλευθον· ἀμοιβαίηι δὲ πορείηι
σὸν δρόμον ἰθύνουσι δυώδεκα κυκλάδες Ὧραι.'
ὣς εἰπὼν Φαέθοντος ἐπεστήριξε καρήνωι
χρυδείην τρυφάλειαν, ἑῶι δὲ μὲν ἔστεφε πυρσῶι,
ἑπτατόνους ἀκτῖνας ἐπὶ πλοκάμοισιν ἑλίξας,
κυκλώσας στεφανηδὸν ἐπ' ἰξύι λευκάδα μίτρην·
καί μιν ἀνεχλαίνωσεν ἑῶι πυρόεντι χιτῶνι,
καὶ πόδα φοινίσσοντι διεσφήκωσε πεδίλωι.
παιδὶ δὲ δίφρον ἔδωκε· καὶ ἠώιης ἀπὸ φάτνης
ἵππους Ἠελίοιο πυρώδεας ἤγαγον Ὧραι· Nonnus
καὶ θρασὺς εἰς ζυγὸν ἦλθεν Ἑωσφόρος, ἀμφὶ δὲ φαιδρῶι
ἵππιον αὐχένα δοῦλον ἐπεκλήισσε λεπάδνωι.

καὶ φάος ὀψιτέλεστον ἀκοιμήτοιο Σελήνης,
Nonnus πρώτη κυανέης ἀπεσείσατο κῶνον ὀμίχλης,
καὶ χάεος ζοφόεσσαν ἀπεστυφέλιξε καλύπτρην·
καὶ φθαμένη Κύπροιο καὶ Ἴσθμιον ἄστυ Κορίνθου
πρώτη Κύπριν ἔδεκτο φιλοξείνωι πυλεῶνι
ἐξ ἁλὸς ἀρτιλόχευτον, ὅτε βρυχίην Ἀφροδίτην
Οὐρανίης ὤδινεν ἀπ' αὔλακος ἔγκυον ὕδωρ,
ὁππόθι νόσφι γάμων ἀρόσας ῥόον ἄρσενι λύθρωι
αὐτοτελὴς μορφοῦτο θυγατρογόνωι γόνος ἀφρῶι,
καὶ Φύσις ἔπλετο μαῖα· συναντέλλων δὲ θεαίνῃ
στικτὸς ἱμάς, στεφανηδὸν ἐπ' ἰξύι κύκλον ἑλίξας,
αὐτομάτωι ζωστῆρι δέμας μίτρωσεν ἀνάσσης.
καὶ θεὸς ἰχνεύουσα δι' ὕδατος ἄψοφον ἀκτὴν
οὐ Πάφον, οὐκ ἐπὶ Βύβλον ἀνέδραμεν, οὐ πόδα χέρσωι
Κωλιάδος ῥηγμῖνος ἐφήρμοσεν, ἀλλὰ καὶ αὐτῶν
ὠκυτέρῃ στροφάλιγγι παρέτρεχεν ἄστυ Κυθήρων·
καὶ χρόα φυκιόεντι περιτρίψασα κορύμβωι
πορφυρέη πέλε μᾶλλον· ἀκυμάντοιο δὲ πόντου
χεῖρας ἐρετμώσασα θεητόκον ἔσχισεν ὕδωρ
νηχομένη, καὶ στέρνον ἐπιστορέσασα θαλάσσῃ
σιγαλέην ἀνέκοπτε χαρασσομένην ἅλα ταρσῶι,
καὶ δέμας ἠιώρησε, διχαζομένης δὲ γαλήνης
ποσσὶν ἀμοιβαίοισιν ὀπίστερον ὤθεεν ὕδωρ·
καὶ Βερόης ἐπέβαινε· ποδῶν δ' ἐπίβαθρα θεαίνης
ἐξ ἁλὸς ἐρχομένης ναέτης ἐψεύσατο Κύπρου.
L1[O] πρώτη Κύπριν ἔδεκτο· καὶ ὑψόθι γείτονος ὅρμου
αὐτοφυεῖς λειμῶνες ἐρευγόμενοι βρύα ποίης
ἤνθεον ἔνθα καὶ ἔνθα, πολυψαμάθωι δ' ἐνὶ κόλπωι
ἠιόνες ῥοδέοισιν ἐφοινίσσοντο κορύμβοις,
πέτρη δ' ἀφριόωσα θυώδεος ἔγκυος οἴνου
πορφυρέην ὠδῖνα χαραδραίωι τέκε μαζῶι,
ληναίαις λιβάδεσσι κατάσκιον ὄμβρον ἐέρσης
ἀργεννὴ κελάρυζε γαλαξαίωι χύσις ὁλκῶι·
✦ αὐτοχύτου δὲ μύροιο μετάρσιον ἀτμὸν ἑλίσσων
ἠερίους ἐμέθυσσε πόρους εὔοδμος ἀήτης.
καὶ τότε θοῦρον Ἔρωτα, γονῆς πρωτόσπορον ἀρχήν,
ἁρμονίης κόσμοιο φερέσβιον ἡνιοχῆα,
ἀρτιφανὴς ὤδινεν ἐπ' ὀφρύσι γείτονος ὅρμου·
καὶ πάις ὠκυπόδης, κόπον ἄρσενα ποσσὶ τινάξας,
γαστρὸς ἀμαιεύτοιο μογοστόκον ἔφθασεν ὥρην,
μητρὸς ἀνυμφεύτοιο μεμυκότα κόλπον ἀράξας,
θερμὸς ἔτι πρὸ τόκοιο· κυβιστητῆρι δὲ παλμῶι
δινεύων πτερὰ κοῦφα πύλας ὤιξε λοχείης.
καὶ ταχὺς αἰγλήεντι θορὼν ἐπὶ μητρὸς ἀγοστῶι
ἄστατος ἀκλινέεσσιν Ἔρως ἀνεπάλλετο μαζοῖς,
στήθεϊ παιδοκόμωι τετανυσμένος· εἶχε δὲ φορβῆς
ἵμερον αὐτοδίδακτον· ἀνημέλκτοιο δὲ θηλῆς
ἄκρα δακὼν γονίμων λιβάδων τεθλιμμένον ὄγκωι
οἰδαλέων ἀκόρητος ὅλον γλάγος ἔσπασε μαζῶν.
41.143 ῥίζα βίου, Βερόη, πολίων τροφός, εὖχος ἀνάκτων,
πρωτοφανής, Αἰῶνος ὁμόσπορε, σύγχρονε κόσμου,

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the thirty-ninth, you see Deriades after the flood trying to desert the host of the fire-blazing Indians.

NONNUS

DIONYSIACA

BOOK 39

PREVIEW BOOK 41

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 407 lines 3.0
3L 1 - 407

PRINT 2-SIDED: **225** to **230**

Ὣς εἰπὼν ἀκίχητος ἐς οὐρανὸν ἤλυθεν Ἑρμῆς,
χάρμα λιπὼν καὶ θαῦμα κασιγνήτωι Διονύσωι.
ὄφρα μὲν εἰσέτι Βάκχος ἀκοσμήτων χύσιν ἄστρων
θάμβεε καὶ Φαέθοντα δεδουπότα, πῶς παρὰ Κελτοὺς
Ἑσπερίωι πυρίκαυστος ἐπωλίσθησε ῥεέθρωι,
τόφρα δὲ νῆες ἵκανον ἐπήλυδες, ἃς ἐνὶ πόντωι
◆ στοιχάδας ἰθύνοντες ἐς Ἄρεα ναύμαχον Ἰνδῶν
ἀκλύστωι Ῥαδαμᾶνες ἐναντίλλοντο θαλάσσηι,
πόντον ἀμοιβαίηισιν ἐπιρρήσσοντες ἐρωαῖς
ὑσμίνης ἐλατῆρες· ἐπειγομένωι δὲ Λυαίωι
ὁλκάσιν ἀντιτύποις ἐπεσύρισε πομπὸς ἀήτης.
καὶ Λύκος ἡγεμόνευεν ἐν ὕδασι δίφρον ἐλαύνων,
ἱππείαις ἀχάρακτον ἐπιξύων ῥόον ὁπλαῖς.
Δηριάδης δ' ἀπέλεθρος ὑπέρτερος ὑψόθι πύργων
ἐσσυμένων νεφεληδὸν ἐδέρκετο λαίφεα νηῶν
ὀφθαλμῶι κοτέοντι, καὶ ὡς ὑπέροπλος ἀκούων,
ἐγρεμόθους ὅτι νῆας Ἄραψ τορνώσατο τέκτων,
ὤμοσεν ὑλοτόμοισιν ἄγειν Ἀράβεσσιν Ἐνυώ,
καὶ πόλιν ἠπείλησεν ἀιστῶσαι Λυκοόργου,
ἀμήσας Ῥαδαμᾶνας ἀλοιητῆρι σιδήρωι.
καὶ στόλον ἀθρήσαντες ἀταρβέες ἔτρεμον Ἰνδοί,
Ἄρεα παπταίνοντες ἀλίκτυπον, ἄχρι καὶ αὐτοῦ
γούνατα τολμήεντος ἐλύετο Δηριαδῆος·
ποιητῶι δὲ γέλωτι γαληναίοιο προσώπου
Ἰνδὸς ἄναξ ἐκέλευσε τριηκοσίων ἀπὸ νήσων
L1[I] ἧς ἐλεφαντοβότοιο παρὰ σφυρὰ δύσβατα γαίης
λαὸν ἄγειν· καὶ κραιπνὸς ἐς ἀτραπὸν ἤιε κῆρυξ,
ποσσὶ πολυγνάμπτοισιν ἀπὸ χθονὸς εἰς χθόνα βαίνων
καὶ στόλος ὀξὺς ἵκανε πολυσπερέων ἀπὸ νήσων
κεκλομένου βασιλῆος· ὁ δὲ θρασὺς αὐχένα τείνων,
ὁλκάδας εὐπήληκας ἐς Ἄρεα πόντιον ἕλκων,
λαὸν ὅλον θάρσυνε, καὶ ὑψινόωι φάτο φωνῆι· 1
“ἀνέρες, οὓς ἀτίταλλεν ἐμὸς μενέχαρμος Ὑδάσπης,
ἄρτι πάλιν μάρνασθε πεποιθότες· αἰθόμενον δὲ
ἄξατε πῦρ ἐς Ἄρηα, καὶ ἄσπετον ἅψατε πεύκην,
νῆας ἵνα φλέξοιμι νεήλυδας αἴθοπι δαλῶι,
καὶ στρατὸν ὑγροκέλευθον ἐνικρύψοιμι θαλάσσηι
σὺν δορί, σὺν θώρηκι, σὺν ὁλκάσι, σὺν Διονύσωι.
εἰ θεὸς ἔπλετο Βάκχος, ἐμῶι πυρὶ Βάκχον ὀλέσσω· 2
οὐχ ἅλις, ὡς προχοῆισι πολύτροπα φάρμακα πάσσων
ἄνθεσι Θεσσαλικοῖσιν ἐμὸν φοίνιξεν Ὑδάσπην,
καί μιν ἰδὼν σίγησα, καὶ ἥσυχος εἰσέτι λεύσσειν
ἔτλην ξανθὰ ῥέεθρα μιαινομένου ποταμοῖο;
εἰ γὰρ ἔην ῥόος οὗτος ἀπ' ἀλλοτρίου ποταμοῖο,
μηδὲ πατὴρ ἐμὸς ἦεν Ἀρήιος Ἰνδὸς Ὑδάσπης,
καί κεν ἐγὼ τόδε χεῦμα χυτῆς ἔπλησα κονίης
ὀδμὴν βοτρυόεσσαν ἀμαλδύνων Διονύσου,
καὶ προχοὴν μεθύουσαν ἐμοῦ γενετῆρος ὁδεύων
ποσσὶ κονιομένοισι διέτρεχον ἄβροχον ὕδωρ,
οἷα παρ' Ἀργείοισι φατίζεται, ὡς ἐνοσίχθων

ἀμφὶ δύσιν κυανωπόν, ὅπηι λιγυηχέι ταρσῶι
Ἑσπερίων Ζεφύροιο καθιππεύοντος ἐναύλων
συριγμῶι δροσόεντι Λίβυς ῥιπίζεται ἀγκών,
ἀνθεμόεις ὅθι χῶρας, ὅπηι παρὰ γείτονι πόντωι
φυταλιαὶ θαλέουσι, καὶ εὐπετάλων ἀπὸ δένδρων
ἄσθματι βομβήεντι μελίζεται ἔμπνοος ὕλη.
σύννομος ἰχθυβολῆι γέρων ἐμελίζετο ποιμήν. after 21 41.50
ἐνθάδε φῶτες ἔναιον ὁμήλικες ἠριγενείης,
οὓς Φύσις αὐτογένεθλος ἀνυμφεύτωι τινὶ θεσμῶι
ἤροσε νόσφι γάμων, ἀπάτωρ, ἀλόχευτος, ἀμήτωρ,
ὁππότε συμμιγέων ἀτόμων τετράζυγι δεσμῶι
ὕδατι καὶ πυρόεντι πεφυρμένον ἠέρος ἀτμῶι
σύζυγα μορφώσασα σοφὸν τόκον ἄσπορος ἰλὺς
ἔμπνοον ἐψύχωσε γονὴν ἐγκύμονι πηλῶι,
οἷς Φύσις εἶδος ὄπασσε τελεσφόρον· ἀρχεγόνου γὰρ
Κέκροπος οὐ τύπον εἶχον, ὃς ἰοβόλωι ποδὸς ὁλκῶι
γαῖαν ἐπιξύων ὀφιώδεϊ σύρετο ταρσῶι,
νέρθε δράκων, καὶ ὕπερθεν ἀπ' ἰξύος ἄχρι καρήνου
ἀλλοφυὴς ἀτέλεστος ἐφαίνετο δίχροος ἀνήρ·
οὐ τύπον ἄγριον εἶχον Ἐρεχθέος, ὃν τέκε Γαίης
αὔλακι νυμφεύσας γαμίην Ἥφαιστος ἐέρσην·
ἀλλὰ θεῶν ἴνδαλμα γονῆς αὐτόχθονι ῥίζηι
πρωτοφανὴς χρύσειος ἐμαιώθη στάχυς ἀνδρῶν.
καὶ Βερόης νάσσαντο πόλιν πρωτόσπορον ἕδρην,
ἣν Κρόνος αὐτὸς ἔδειμε, σοφῆς ὅτε νεύματι Ῥείης
ὀκρυόεν θέτο δόρπον ἑῶι πολυχανδέι λαιμῶι, L1[I]
καὶ λίθον Εἰλείθυιαν ἔχων βεβριθότι φόρτωι,
θλιβομένης πολύπαιδος ἀκοντιστῆρα γενέθλης,
χανδὸν ὅλου ποταμοῖο ῥόον νεφεληδὸν ἀφύσσων
στήθεϊ παφλάζοντι μογοστόκον ἔσπασεν ὕδωρ,
λύσας γαστέρος ὄγκον· ἐπασσυτέρους δὲ διώκων
δισσοτόκους υἷας ἀνήρυγεν ἔγκυος αὐχήν,
πορθμὸν ἔχων τοκετοῖο λεχώιον ἀνθερεῶνα·
Ζεὺς τότε κοῦρος ἔην, ἔτι που βρέφος· οὔ ποτε πυκνῶι
θερμὸν ἀνασχίζουσα νέφος βητάρμονι παλμῶι
ἀστεροπὴ σελάγιζε, καὶ οὐ Τιτηνίδι χάρμηι
Ζηνὸς ἀοσσητῆρες ὀιστεύοντο κεραυνοί·
οὐδὲ συνερχομένων νεφέων μυκήτορι ῥόμβωι
βρονταίη βαρύδουπος ἐβόμβεεν ὄμβριος ἠχώ.
ἀλλὰ πόλις Βερόη προτέρη πέλεν, ἣν ἅμα γαίηι
πρωτοφανὴς ἐνόησεν ὁμήλικα σύμφυτος Αἰών·
οὐ τότε Ταρσὸς ἔην τερψίμβροτος, οὐ τότε Θήβη,
οὐ τότε Σάρδιες ἦσαν, ὅπηι Πακτωλίδος ὄχθης
χρυσὸν ἐρευγομένης ἀμαρύσσεται ὄλβιος ἰλύς,
Σάρδιες, Ἠελίοιο συνήλικες· οὐ γένος ἀνδρῶν,
οὐ τότε τις πόλις ἦεν Ἀχαιάς, οὐδὲ καὶ αὐτὴ
Ἀρκαδίη προσέληνος· ἀνεβλάστησε δὲ μούνη
πρεσβυτέρη Φαέθοντος, ὅθεν φάος ἔσχε Σελήνη,
καὶ φθαμένη χθόνα πᾶσαν, ἑῶι παμμήτορι κόλπωι
Ἠελίου νεοφεγγὲς ἀμελγομένη σέλας αἴγλης

αἰθομένου φεύγουσα δι' ὕδατος ἰκμαλέον πῦρ.
χάζετο δ' Ἰνδὸς ὅμιλος ἐπὶ χθόνα, πόντον ἐάσας·
καὶ Φαέθων ἐγέλασσεν, ὅτι προτέρους μετὰ δεσμοὺς
ἐκ πυρὸς Ἡφαίστοιο πάλιν φύγε ναύμαχος Ἄρης.
Δηριάδης δ' ἀκίχητος ἰδὼν φλόγα σύνδρομον αὔραις
εἰς πεδίον πεπότητο θοώτερα γούνατα πάλλων,
39.407 ◆ φεύγων ὑγρὸν Ἄρηα θαλασσομόθου Διονύσου.
41.1 Ἄρτι μὲν ὀφρυόεντος ὑπὲρ Λιβάνοιο καρήνων
πήξας ἀγλαόκαρπον ἐπὶ χθονὶ βότρυν ὀπώρης
οἰνοτόκους ἐμέθυσσεν ὅλης κενεῶνας ἀρούρης·
καὶ Παφίης δόμον εἶδε γαμήλιον· ἡμερίδων δὲ
ἔρνεσιν ἀρτιφύτοισι βαθύσκιον ἄλσος ἐρέψας
ἀμπελόεν πόρε δῶρον Ἀδώνιδι καὶ Κυθερείῃ.
καὶ Χαρίτων χορὸς ἦεν· ἀεξιφύτοιο δὲ λόχμης
ἡμερίδων ζωστῆρι θορὼν ἐπιβήτορι παλμῶι
κισσὸς ἀερσιπότητος ἐμιτρώθη κυπαρίσσωι.
ἀλλὰ θεμιστοπόλου Βερόης παρὰ γείτονι πέζηι
ὕμνον Ἀμυμώνης, Λιβανηίδες εἴπατε Μοῦσαι,
καὶ βυθίου Κρονίδαο καὶ εὐύμνοιο Λυαίου
Ἄρεα κυματόεντα καὶ ἀμπελόεσσαν Ἐνυώ.
ἔστι πόλις Βερόη, βιότου τρόπις, ὅρμος Ἐρώτων,
ποντοπαγής, εὔνησος, ἐύχλοος, οὗ ῥάχις ἰσθμοῦ
στεινὴ μῆκος ἔχοντος, ὅπηι διδύμης μέσος ἅλμης
κύμασιν ἀμφοτέροισιν ἱμάσσεται ὄρθιος αὐχήν·
ἀλλὰ τὰ μὲν βαθύδενδρον ὑπὸ ῥάχιν αἴθοπος Εὔρου
L2[O] Ἀσσυρίωι Λιβάνωι παραπέπταται, ἧχι πολίταις
ὄρθια συρίζουσα βιοσσόος ἔρχεται αὔρη,
εὐόδμοις ἀνέμοισι τινασσομένων κυπαρίσσων
καὶ δόμος ἀγρονόμων, ὅθι πολλάκις ἐγγύθι λόχμης
Πανὶ μελιζομένωι δρεπανηφόρος ἤντετο Δηώ,
καί τις ἐφ' ἱστοβοῆι γεωμόρος αὐχένα κάμψας,
ῥαίνων ἀρτιχάρακτον ὀπισθοβόλωι χθόνα καρπῶι,
γείτονι μηλοβοτῆρι παρὰ σφυρὰ φορβάδος ὕλης,
◆ σφίγξας σύζυγα ταῦρον, ὁμίλεε κυρτὸς ἀροτρεύς.
ἄλλα δὲ πὰρ πελάγεσσιν ἔχεν πόλις, ἧχι τιταίνει
στέρνα Ποσειδάωνι, καὶ ἔμβρυον αὐχένα κούρης
πήχεϊ μυδαλέωι περιβάλλεται ὑγρὸς ἀκοίτης,
πέμπων ὑδατόεντα φιλήματα χείλεσι νύμφης·
καὶ βυθίης ἀπὸ χειρὸς ὁμευνέτις ἠθάδι κόλπωι
ἔδνα Ποσειδάωνος ἁλίτροφα πώεα λίμνης
δέχνυται, ἰχθυόεντα πολύχροα δεῖπνα τραπέζης,
εἰναλίηι Νηρῆος ἐπισκαίροντα τραπέζηι,
ἀρκτώιην παρὰ πέζαν, ὅπηι βαθυκύμονος ἀκτῆς
μηκεδανῶι κενεῶνι Βορήιος ἕλκεται αὐλών.
ἀμφὶ δὲ τερψινόοιο μεσημβρινὸν αὐχένα γαίης
εἰς ῥαχίην Νοτίην ψαμαθώδεές εἰσιν ἀταρποὶ
εἰς χθόνα Σιδονίην, ὅθι ποικίλα δένδρεα κήπων
καὶ σταφυλαὶ κομόωσι, τανυπτόρθοις δὲ πετήλοις
δάσκιος ἀπλανέεσσι τιταίνεται οἶμος ὁδίταις.
41.43 δοχμώσας δὲ ῥέεθρον ἐπ' ἠόνι πόντος ἀράσσει

ξηρὸν ὕδωρ ποίησε, καὶ αὐσταλέου ποταμοῖο
Ἰναχίην ἵππειος ὄνυξ ἐχάραξε κονίην.
οὐ θεός, οὐ θεὸς οὗτος· ἑὴν δ' ἐψεύσατο φύτλην·
ποίην γὰρ Κρονίωνος Ὀλύμπιον αἰγίδα πάλλει;
ποῖον ἔχει σπινθῆρα Διοβλήτοιο κεραυνοῦ;
ποίην δ' οὐρανίην στεροπὴν γενετῆρος ἀείρει;
οὐ Κρονίδης κατ' Ἄρηα κορύσσεται οἴνοπι κισσῶι·
οὐ τυπάνων πατάγοισι μέλος βρονταῖον ἐίσκω,
οὐδὲ Διὸς σκηπτοῖσιν ὁμοίια θύρσα καλέσσω,
οὐ χθονίωι θώρηκι Διὸς νέφος ἶσον ἐνίψω·
νεβρίδι δαιδαλέηι πότε ποικίλον ἄστρον ἐίσκω;
ἀλλ' ἐρέεις, ὅτι βότρυν ἐδέξατο καὶ χύσιν οἴνου
δῶρα παρὰ Κρονίωνος ἀεξιφύτοιο τοκῆος·
Τρώιον αἷμα φέροντι καὶ ἀγρονόμωι τινὶ βούτηι
Ζεὺς πόρεν οἰνοχόωι Γανυμήδεϊ νέκταρ Ὀλύμπου,
νέκταρι δ' οὐ πέλεν οἶνος ὁμοίιος· εἴξατε, θύρσοι.
Βάκχος ὁμοῦ Σατύροισιν ἐπὶ χθονὸς εἰλαπινάζει·
δαίνυται οὐρανίοισι σὺν ἀθανάτους Γανυμήδης.
εἰ δὲ πέλε βροτὸς οὗτος ἐπουρανίοιο τοκῆος,
σὺν Διὶ καὶ μακάρεσσι μιῆς ἔψαυσε τραπέζης.
ἔκλυον, ὥς ποτε θῶκον ἑὸν καὶ σκῆπτρον Ὀλύμπου
δῶκε γέρας Ζαγρῆι παλαιοτέρωι Διονύσωι,
ἀστεροπὴν Ζαγρῆι καὶ ἄμπελον οἴνοπι Βάκχωι."
εἶπε καὶ εἰς μόθον ὦρτο· συνερρώοντο δὲ λαοὶ
σὺν δορί, σὺν σακέεσσι, καὶ ὄψιμον ἐλπίδα νίκης
χερσαίου πολέμοιο μετεστήσαντο θαλάσσηι. L2[O]
καὶ προμάχους Διόνυσος ἐκέκλετο θυιάδι φωνῆι·
"Ἄρεος ἄλκιμα τέκνα καὶ εὐθώρηκος Ἀθήνης,
οἷς βίος ἔργα μόθοιο καὶ ἐλπίδες εἰσὶν ἀγῶνες.
σπεύσατε καὶ κατὰ πόντον ἀιστῶσαι γένος Ἰνδῶν,
εἰναλίην τελέσαντες ἐπιχθονίην μετὰ νίκην.
ἀλλὰ θαλασσαίοιο διάκτορα δηιοτῆτος,
ἔγχεα διπλώσαντες ὁμόπλοκα δίζυγι δεσμῶι
ναύμαχα κολλήεντα, περὶ στόμα εἱμένα χαλκῶι,
μίξατε δυσμενέεσσιν ἀλιπτοίητον Ἐνυώ,
προφθάμενοι, μὴ χειρὶ πυραυγέα δαλὸν ἀείρων
Δηριάδης φλέξειεν Ἀρήια δούρατα νηῶν.
νόσφι φόβου μάρνασθε, Μιμαλλόνες· ὑγρομόθων γὰρ
ἐλπίδες ἀντιβίων κενεαυχέες· εἰ δὲ μογήσας
φύλοπιν οὐκ ἐτέλεσσεν ἐπὶ χθονὸς ὄρχαμος Ἰνδῶν,
ἠλιβάτων λοφιῆισιν ἐφεδρήσσων ἐλεφάντων,
ἀγχινεφής, ἀκίχητος, ἀνούτατος, ἠέρι γείτων,
οὐ μὲν ἐγὼ προμάχων ποτὲ δεύομαι, οὐδὲ καλέσσω
ἄλλον ἀοσσητῆρα μετὰ Κρονίωνα τοκῆα,
ἡνίοχον πόντοιο καὶ αἰθέρος· ἣν δ' ἐθελήσω,
γνωτὸν ἐμοῦ Κρονίδαο Ποσειδάωνα κορύσσω
Ἰνδώιην στίχα πᾶσαν ἀμαλδύνοντα τριαίνηι·
καὶ πρόμον εὐρυγένειον, ἀπόσπορον ἐννοσιγαίου,
Γλαῦκον ἔχω συνάεθλον, ἐμῆς ἅτε γείτονα Θήβης,
πόντιον Ἀονίης Ἀνθηδόνος ἀστὸν ἀρούρης· 39.100

Γλαῦκον ἔχω καὶ Φόρκυν· ἱμασσομένην δὲ θαλάσσηι 202 (114C)
ὁλκάδα Δηριάδαο κατακρύψει Μελικέρτης,
κυδαίνων Διόνυσον ὁμόγνιον, οὗ ποτε μήτηρ
νήπιον ἔτρεφε Βάκχον, ἐπεὶ πόρε ποντιὰς Ἰνὼ
ἐν γλάγος ἀμφοτέροισι, Παλαίμονι καὶ Διονύσωι·
μαντιπόλου δὲ γέροντος, ὃς ἡμετέρην ποτὲ νίκην
◆ ἐσσομένην κατὰ πόντον ὑποβρυχίηι φάτο φωνῆι.
εἰμὶ φίλος Πρωτῆος· ἐς ὑσμίνην δὲ κορύσσει
θυγατέρας Νηρῆος ἐμὴ Θέτις, ἐν δὲ κυδοιμοῖς
Βασσαρίδων συνάεθλος ἐμὴ θωρήσσεται Ἰνώ·
θωρήξω δ᾽ ἐς Ἄρηα καὶ Αἰόλον, ὄφρα νοήσω
Εὖρον ἀκοντίζοντα καὶ αἰχμάζοντα Βορῆα,
γαμβρὸν ἐμοῦ προμάχου, Μαραθωνίδος ἅρπαγα νύμφης,
καὶ Νότον Αἰθιοπῆα προασπιστῆρα Λυαίου·
καὶ Ζέφυρος πολὺ μᾶλλον ἀελλήεντι κυδοιμῶι
ὁλκάδας ἀντιβίων δηλήσεται· ἡμετέρου γὰρ
εὐνέτιν Ἶριν ἔχει Διὸς ἄγγελον. ἀλλὰ σιωπῆι
ἔκτοθεν εὐθύρσοιο καὶ Ἰνδώιοιο κυδοιμοῦ
μιμνέτω ἠρεμέων θρασὺς Αἰόλος, ἠθάδι δεσμῶι
ἀσκὸν ἐπισφίγξας ἀνεμώδεα, μηδ᾽ ἐνὶ πόντωι
ἄσθμασιν Ἰνδοφόνοισιν ἀριστεύσωσιν ἀῆται·
ἀλλὰ μόθον τελέσωι νηοφθόρα θύρσα τιταίνων.”
ὣς εἰπὼν ἐκόρυσσε πεποιθότας ἡγεμονῆας.
ἤδη δὲ πτολέμοιο προάγγελος ἵστατο σάλπιγξ,
καὶ μέλος ἐγρεκύδοιμον ἀνέκλαγον Ἄρεος αὐλοὶ
L2[I] λαὸν ἀολλίζοντες, ἀρασσομένη δὲ βοείη
εἰναλίου κελάδησε μόθου χαλκόκροτον ἠχώ,
καὶ καναχὴν ὁμόδουπον ἀγέστρατος ἴαχε σύριγξ·
ἀντὶ δὲ πετραίης πολεμήια λείψανα φωνῆς
Πανιὰς ὑστερόφωνος ἀμείβετο ποντιὰς Ἠχώ.
τοῖσι δὲ μαρναμένοισιν ἔην κλόνος, ὦρτο δ᾽ ἰωὴ
κεκλομένων· καὶ λαὸς ἐθήμονι μάρνατο τέχνηι 3 (1C)
κυκλώσας στεφανηδὸν ὅλον στρατόν, ἐν δ᾽ ἄρα μέσσωι
νησσὶν ὁμοζυγέεσσιν ἐμιτρώθη στόλος Ἰνδῶν
εἰς λίνον ἐργομένων νεπόδων τύπον· Αἰακίδαις δὲ
Αἰακὸς ὑγρὸν Ἄρηα προθεσπίζων Σαλαμῖνος
ἀρχόμενος πολέμοιο θεουδέα ῥήξατο φωνήν·
“εἰ πάρος ἡμετέρην αἴων ἱκετήσιον ἠχὼ
ἄσπορον εὐρυάλωος ἀπήλασας αὐχμὸν ἀρούρης, 4
διψαλέην ἐπὶ γαῖαν ἄγων βιοτήσιον ὕδωρ,
δὸς πάλιν ὀψιτέλεστον ἴσην χάριν, ὑέτιε Ζεῦ,
ὕδατι κυδαίνων με καὶ ἐνθάδε· καί τις ἐνίψηι
νίκην ἡμετέρην δεδοκημένος· ‘ὡς ἐνὶ γαίηι
Ζεὺς ἑὸν υἷα γέραιρε. καὶ ἐν πελάγεσσι γεραίρει.’
ἄλλος ἀνὴρ λέξειεν Ἀχαιικός· ‘εἰν ἐνὶ θεσμῶι
Αἰακὸς Ἰνδοφόνος φυσίζοος· ἀμφότερον γάρ,
κείρων ἐχθρὰ κάρηνα καὶ αὔλακι καρπὸν ὀπάσσας
χάρμα πόρεν Δήμητρι καὶ εὐφροσύνην Διονύσωι.’
ῥύεο δ᾽ ἡμετέρης πλόον ὁλκάδος· αὐσταλέωι δὲ
ὡς χθονίωι κενεῶνι φερέσβιον ἤγαγον ὕδωρ,
καὶ Νοτίην παρὰ πέζαν. ἀμοιβαίηισι δὲ ῥιπαῖς
Μορρεὺς μὲν ταχύγουνος ἀφ᾽ ὁλκάδος ὁλκάδα βαίνων
Βασσαρίδων ἐφόβησεν ἀλιπτοίητον Ἐννώ,
ἶσος ἀριστεύων καὶ ἐν ὕδασιν· ἀλλά ἑ θύρσωι
Εὔιος οὐτήσας διερῆς ἀνεσείρασε χάρμης,
καὶ μογέων ὀδύνηισιν ἐπὶ πτόλιν ᾤχετο Μορρεύς.
ὄφρα μὲν ἔνθεον ἕλκος, ὅ μιν λάχε, δαιμονίη χεὶρ
λυσιπόνου Βραχμῆνος ἀκέσσατο Φοιβάδι τέχνηι,
θεσπεσίηι λάλον ὕμνον ὑποτρύζοντος ἀοιδῆι,
τόφρα δὲ δυσμενέεσσιν ἐπέχραε Λύδιος Ἄρης.
τοῖσι μὲν ἐγρεκύδοιμος ἔην πλόος, εἶχε δ᾽ Ἐννὼ
ναυτιλίης προκέλευθον, ἁλισμαράγου δὲ κυδοιμοῦ
ἦν κλόνος ἀμφοτέρων ἑτερότροπος· ἀντιβίων γὰρ
ὅσσοι μὲν κραναοῖσιν ὀιστεύοντο βελέμνοις
ἢ φονίοις πετάλοισιν ἢ ἔγχεσιν ἠὲ μαχαίραις,
χεῖρας ἐρετμώσαντες ἀήθεας εἰς μέλαν ὕδωρ
ἴθμασιν ἀσταθέεσσιν ἐτυμβεύοντο θαλάσσης·
εἰ δέ τις εἰς ἅλα πῖπτε τυπεὶς Βρομίοιο μαχητής,
αἰθύσσων παλάμας ἐπενήχετο κύματα τέμνων
χερσὶ θαλασσομόθοισιν, ἁλιρροίζωι δὲ κυδοιμῶι
μαρνάμενος ῥοθίοισι μετ᾽ ἀνέρας ἔσχισεν ὕδωρ.
εἰναλίης δὲ τάλαντα μάχης ἔκλινε Κρονίων,
νίκην ὑδατόεσσαν ἐπεντύνων Διονύσωι·
καὶ βυθίωι τριόδοντι κορύσσετο κυανοχαίτης
μαρνάμενος δηίοισι, καὶ ἄβροχον ἡνιοχεύων
ἅρμα Ποσειδάωνος ἐβακχεύθη Μελικέρτης. L2[I]
καὶ πισύραις κατὰ πόντον ἐφιππεύοντες ἀέλλαις
κύματα πυργώσαντες ἐθωρήχθησαν ἀῆται,
δυσμενέων ἐθέλοντες ἀιστῶσαν στίχα νηῶν,
καὶ Ζέφυρος κεκόρυστο, Νότος δ᾽ ἐπεσύρισεν Εὔρωι, down 1
οἱ μὲν Δηριαδῆος ἀρηγόνες, οἱ δὲ Λυαίου·
καὶ Βορέης Θρήισσαν ἄγων ἀντίπνοον αὔρην
ἄγρια μαινομένης ἐπεμάστιε νῶτα θαλάσσης.
καὶ στόλον ἰθύνουσα μαχήμονα Δηριαδῆος
ὑσμίνης Ἔρις ἦρχε· Διωνύσοιο δὲ νηῶν
Ἰνδοφόνωι παλάμηι κολπώσατο λαίφεα Νίκη.
χείλεσι δ᾽ ἰκμαλέοισι μαχήμονα κόχλον ἐρείσας
εἰναλίηι σάλπιγγι μέλος μυκήσατο Νηρεύς·
καὶ Θέτις ἐσμαράγησεν ἐνυαλίης μέλος Ἠχοῦς
κύμασι πατρώιοισι προασπίζουσα Λυαίου.
Εὐρυμέδων δὲ Κάβειρος ἐθήμονα δαλὸν ἀείρων
ὑσμίνης δόλον εὗρεν ἀρηγόνα· μηκεδανὴν γὰρ
νηῦν ἰδίην ἔφλεξεν ἑκούσιον ἁψάμενος πῦρ·
νησσὶ δ᾽ ἐπ᾽ ἀντιβίοισιν ἐπέτρεχε φοιταλέη νηῦς
νεύμασι Βακχείοισι περισκαίρουσα θαλάσσηι,
καὶ λοξαῖς ἑλίκεσσιν ἀφ᾽ ὁλκάδος ὁλκάδα βαίνων
κύκλον ἐς αὐτοέλικτον ἐνήχετο πυρσὸς ἀλήτης,
καίων ἔνθα καὶ ἔνθα πολυσπερέων στίχα νηῶν.
καὶ σέλας ἀθρήσασα πυριβλήτοιο θαλάσσης
Νηρεῖς ἀκρήδεμνος ἐδύσατο βένθεα πόντου,

κεῖτο δὲ δυσμενέων στρατὸς ἄσπετος, ὧν ἐνὶ χάρμηι
Nonnus βαλλομένων ξιφέεσσι καὶ ὀξυτόροισιν ὀιστοῖς
τοῦ μὲν ὑπὲρ λαπάρην βέλος ἔμπεσε, τοῦ δὲ τυπέντος
ἔγχεϊ χαλκείωι μεσάτης ὑπὲρ ἄντυγα κόρσης
ὠτειλὴ βεβάθυστο χαρασσομένοιο καρήνου.
πολλοὶ δ' ἔνθα καὶ ἔνθα πολυσπερέων ἐλατήρων
πόντον ἀμοιβαίοισιν ἀνασχίζοντες ἐρετμοῖς
κυανέην λεύκαινον ἐπασσυτέρην χύσιν ἀφρῶι,
καὶ πόνος ἦν ἀνόνητος ἐπειγομένων ἐλατήρων,
συμφερτοὺς δὲ κάλωας ἀοσσητῆρι σιδήρωι
ἰθυντὴρ ἀπέκοψε καὶ ἔσχισεν ἄορι σειρήν.
ἀμφοτέρης δὲ φάλαγγος ἐν ἠέρι ῥοῖζον ἰάλλων
ἔρρεεν ἀπλανέων δολιχόσκιος ὄμβρος ὀιστῶν·
ὧν ὁ μὲν ἱστὸν ἔβαλλε μεσαίτατον, ὃς δὲ περήσας
ἱστίον εὐδίνητον ἐβόμβεε σύνδρομος αὔραις,
ἄλλος ἔην προτόνοισι πεπαρμένος, ὃς δὲ μεσόδμηι
κεῖτο πεσών, ἕτερος δὲ δι' ἠέρος ἰὸς ἀλήτης
ἀκροτάτης ἐτύχησεν ἀερσιλόφοιο κεραίης,
σέλμασι δ' ἄλλος ἔην τετανυσμένος· ἀγχιφανῆ δὲ
ἄλλα κυβερνητῆρος ἀποπλαγχθέντα κελεύθου
ἄστατα πηδαλίοιο διέξεσεν ἄκρα κορύμβου·
καὶ Φλόγιος κλυτότοξος ὑπηνέμιον βέλος ἕλκων
ἰκρία νηὸς ἔβαλλε καὶ οὐκ ἐτύχησε Λυαίου.
ἦν δ' ἐσιδεῖν κατὰ πόντον ἐύπτερον ἰὸν ἀλήτην
πουλύποδος σκολιοῖο περιπλεχθέντα κορύμβοις·
L3[O] ἄλλου δ' ἤμβροτεν ἄλλος· Ἐρυθραίωι δὲ σιδήρωι
πομπίλον ἄλλος ἔτυψε καταιχμάζων Διονύσου·
ἔγχεϊ δ' ἠκόντιζε Κορύμβασος, ὄφρα τυχήσηι
ὁλκαίης Σατύροιο, παραΐξασα δὲ λόγχη
ἰχθύος ὑγροπόροιο **κατέγραφε** δίζυγον οὐρὴν
θηγαλέηι γλωχῖνι· τιτυσκόμενος δὲ σιδήρωι
εἰς σκοπὸν ἀχρήιστον ἀνουτήτου Διονύσου
Δηριάδης δόρυ πέμπεν, ἀποπλαγχθεῖσα δὲ Βάκχου
εἰς ῥαχίην δελφῖνος ἐποίπνυε λοίγιος αἰχμή,
κυρτὸς ὅπηι λοφιῆισι συνάπτεται ἰχθύος αὐχήν,
δελφὶς δ' αὐτοέλικτος ἐθήμονι κυκλάδι νύσσηι
ἡμιθανὴς σκίρτησε χορίτιδος ἅλματι Μοίρης·
πολλοὶ δ' ἔνθα καὶ ἔνθα κυβιστητῆρες ὀλέθρου
ἰχθύες ὠρχήσαντο χαρασσομένων ἀπὸ νώτων.
καὶ Στερόπης προμάχιζεν· ἀερσιπόδης δ' Ἁλιμήδης
χειρὶ λαβὼν πρηῶνα θαλασσοτόκοιο κολώνης
ῥῖψεν ἐπ' ἀντιβίοισιν· ἔδυνε δὲ φοιταλέη νηῦς
τρηχαλέου βληθεῖσα λίθου τροχοειδέι κύκλωι.
καί τις ἀκοντισθεῖσα δι' ὁλκάδος ὁλκάδι γείτων
ἀμφοτέρας ἔζευξεν ἁλίδρομος ἔγχεος αἰχμή,
νῆας ἐπισφίγξασα δύω ξυνήονι δεσμῶι
στεινομένων νεφεληδόν· ἔην δ' ἑτερόκτυπος ἠχώ.
καὶ στόλος ἀμφοτέρων τετράζυγον εἶχεν Ἐνυώ,
ὧν ὁ μὲν ἀντιπόροιο περὶ ῥάχιν αἴθοπος Εὔρου,
ὃς δὲ Λιβὸς δροσεροῖο παρὰ πτερόν, ὃς δὲ Βορῆος,

203 (115C) καὶ βυθίων λαγόνων θανατηφόρον οἶδμα κορύσσω
μαρνάμενον στρατιῆισι καὶ ὁλκάσι Δηριαδῆος. Nonnus
ἀλλά, πάτερ, σκηπτοῦχε βίου, σκηπτοῦχε κυδοιμοῦ,
πέμπέ μοι αἰετὸν ὄρνιν ἐμῆς κήρυκα γενέθλης
δεξιτερὸν προμάχοισι καὶ ὑμετέρωι Διονύσωι·
ἄλλος δ' ἀντιβίοισιν ἀριστερὸς ὄρνις ἱκέσθω·
σύμβολα δ' ἀμφοτέροις ἑτερότροπα ταῦτα γενέσθω·
τὸν μὲν ἐσαθρήσω πεφορημένον ἅρπαγι ταρσῶι
θηγαλέων ὀνύχων κεχαραγμένον ὀξέι κέντρωι
νεκρὸν ὄφιν περίμετρον ἀερτάζοντα κεράστην,
δυσμενέος κερόεντος ἀπαγγέλλοντα τελευτήν·
λαῶι δ' ἀντιβίων ἕτερος μελανόχροος ἔλθη
κυανέαις πτερύγεσσι προθεσπίζων φόνον Ἰνδῶν,
αὐτομάτου θανάτοιο μέλαν τύπον· ἢν δ' ἐθελήσηις,
βρονταίοις πατάγοισιν ἐμὴν μαντεύεο νίκην,
καὶ στεροπὴν Βρομίοιο λεχώια φέγγεα πέμπων
υἱέα σεῖο γέραιρε πάλιν πυρί, δυσμενέων δὲ
ὁλκάδας εὐπήληκας ὀιστεύσωσι κεραυνοί.
ναί, πάτερ, Αἰγίνης μιμνήσκεο, μὴ σέο νύμφης
νυμφίον αἰσχύνειας ὁμόπτερον ὄρνιν Ἐρώτων."
ὣς εἰπὼν πολέμιζεν. ἐς ἠερίας δὲ κελεύθους
ὄμμα παλιννόστοιο βαλὼν ἀντώπιον Ἄρκτου
γαμβρὸν ἑὸν λιτάνευε καὶ ἴαχε μῦθον Ἐρεχθεύς·
"γαμβρὸς ἐμὸς Βορέης, θωρήσσεο, καὶ σέο νύμφης
μαρναμένωι γενετῆρι βοηθόον ἆσθμα τιταίνων
ἔδνα τεοῦ θαλάμοιο θαλασσαίην πόρε νίκην· L3[O]
ὁλκάσι μὲν Βρομίοιο φέρων νηοσσόον αὔρην
δὸς χάριν ἀμφοτέροισιν, Ἐρεχθέι καὶ Διονύσωι·
νηυσὶ δὲ Δηριάδαο μεμηνότα πόντον ἱμάσσων
ἄσθματι κυματόεντι τεὰς θώρηξον ἀέλλας —
ἐσσὶ γὰρ ὑσμίνης ἐμπείραμος, ὅττι καὶ αὐτὸς
4 (2C) Θρήικην ναιετάεις, ἐμπείραμος, οἷά περ Ἄρης —,
ἀντιβίων δὲ φάλαγγι δυσήνεμον ἆσθμα κομίζων
ἔγχεϊ παχνήεντι κορύσσεο Δηριαδῆι·
στήσας δ' ἀντιβίοισι θυελλήεσσαν Ἐνυὼ
δυσμενέας τόξευε χαλαζήεντι βελέμνωι,
καὶ Διὶ πιστὰ φέρων καὶ Παλλάδι καὶ Διονύσωι.
μνώεο Κεκροπέης εὐπαρθένου, ἧχι γυναῖκες
5 κερκίδι ποικίλλουσι τεῶν ὑμέναιον Ἐρώτων·
Ἰλισσὸν δὲ γέραιρε γαμοστόλον, ὁππόθι κούρην
Ἀτθίδα σὴν παράκοιτιν ἀνήρπασαν ἅρπαγες αὖραι
ἑζομένην ἀτίνακτον ἀκινήτωι σέθεν ὤμωι.
οἶδα μέν, ὡς συνάεθλος ἐλεύσεται ἄλλος ἀήτης
γείτων ἀντιβίοισιν Ἑῶιος· ἀλλ' ἐνὶ χάρμηι
οὐ τρομέω θρασὺν Εὖρον, ὅτι πτερόεντες ἀῆται
πάντες, ὅσοι πνείουσιν, ὀπάονές εἰσι Βορῆος·
καὶ πρόμος Αἰθιόπων Νοτίην ἐπὶ πέζαν ἀρούρης
μηκέτι νοστήσειε Κορύμβασος, ἀλλὰ δαμείη
θερμὸν ἔχων συνάεθλον ἑὸν Νότον Αἰθιοπῆα,
ψυχρὸν ὑπὲρ πόντοιο πιὼν θανατηφόρον ὕδωρ·

οὐκ ἀλέγω Ζεφύροιο, κορυσσομένοιο Βορῆος. 204 (116C)
δεῖξον ὁμοφροσύνην ἑκυρῶι σέθεν· οὐρανόθεν δὲ
σὺν σοὶ Βακχιάδεσσιν ἐμαῖς στρατιῇσιν ἀρήξει
μαρνάμενος τριόδοντι Ποσειδάων καὶ Ἀθήνη,
ἡ μὲν ἑοῖς ναέτῃσιν, ὁ δὲ γνωτοῖο γενέθλῃ·
καὶ πυρόεις Ἥφαιστος Ἐρεχθέος αἷμα γεραίρων
◆ ἵξεται εὐάντητος ἐς ὑδατόεσσαν Ἐνυώ,
ὁλκάσι Δηριάδαο μαχήμονα πυρσὸν ἑλίσσων.
δὸς δέ με νικῆσαι καὶ ἐν ὕδασι, καὶ μετὰ νίκην
Κεκροπίῃ κομίσειεν ἀπήμονα λαὸν Ἐρεχθεύς,
καὶ Βορέην μέλψωσι καὶ Ὠρείθυιαν Ἀθῆναι."
 τοῖον ἔπος βοόων ἁλιδίνεος ἥψατο χάρμης
ἔγχεϊ τεχνήεντι, καὶ ὡς ναέτης Μαραθῶνος
ναύμαχον εἶχεν ἔρωτα· φιληρέτμωι δὲ κυδοιμῶι
εὔστολος ἦεν Ἄρης τότε ναυτίλος, ἐν παλάμῃ δὲ
πηδάλιον Φόβος εἶχε, κυβερνήτης δὲ κυδοιμοῦ
Δεῖμος ἀκοντοφόρων ἀνελύσατο πείσματα νηῶν.
 Κυκλώπων δὲ φάλαγγες ἐναντίλλοντο θαλάσσῃ
ὁλκάδας ἀγχιάλοισιν ὀιστεύοντες ἐρίπναις·
Εὐρύαλος δ' ἀλάλαζεν, ἁλιρροίζωι δὲ κυδοιμῶι
ἀγχινεφὴς οἴστρησεν ἐς ὑσμίνην Ἁλιμήδης.
καὶ διδύμαις στρατιῇσιν ἐπέκτυπε πόντιος Ἄρης
χερσαίην μετὰ δῆριν, ἁλιρροίζωι δ' ἀλαλητῶι
ὁλκάσι Βακχείῃσιν ἐπέρρεον ὁλκάδες Ἰνδῶν·
καὶ φόνος ἦν ἑκάτερθε, καὶ ἔζεε κύματα λύθρωι,
L3[I] καὶ πολὺς ἀμφοτέρων στρατὸς ἤριπεν· ἀρτιχύτωι δὲ
αἵματι κυανέης ἐρυθαίνετο νῶτα θαλάσσης.
 πολλοὶ δ' ἔνθα καὶ ἔνθα χυτῶι πίπτοντες ὀλέθρωι
οἰδαλέοι πλωτῆρες ἐναντίλλοντο θαλάσσῃ·
καὶ ῥοθίοις ἑλικηδὸν ἔχων πορθμῆας ἀήτας
σύρετο νεκρὸς ὅμιλος ἀφειδέι σύνδρομος αὔρῃ·
πολλοὶ δ' αὐτοκύλιστον ὑπὸ στροφάλιγγα κυδοιμοῦ 5 (3C)
εἰς ῥόον ὠλίσθησαν, ἀναγκαίῃ δὲ πιόντες
πικρὸν ὕδωρ ἐνόησαν ὑποβρυχίης λίνα Μοίρης,
βριθόμενοι θώρηκι· καὶ οἰδαλέων μέλαν ὕδωρ
κυανέων ἐκάλυπτεν ὁμόχροα σώματα νεκρῶν
βένθεϊ φυκιόεντι, σὺν ὑγροπόρωι δὲ φορῆι
χάλκεος ἰλυόεντι χιτὼν ἐκαλύπτετο πηλῶι·
καὶ τάφος ἔπλετο πόντος. ἐτυμβεύοντο δὲ πολλοὶ 6
κητείοις γενύεσσιν, ἐν ἰχθυόεντι δὲ λαιμῶι
ἄπνοον αἰθύσσουσα νέκυν τυμβεύσατο φώκη,
ξανθὸν ἐρευγομένη ῥόον αἵματος. ὀλλυμένων δὲ
τεύχεα πόντος ἔδεκτο, νεοσφαγέος δὲ φορῆος
αὐτομάτη λοφόεσσα δι' ὕδατος ἔπλεε πήληξ
δεσμοῦ λυομένοιο, θυελλήεντι δὲ πολλῆς
χεύματι φοιταλέης ἐπενήχετο κύκλα βοείης
σὺν διερῶι τελαμῶνι. πολὺς δ' ὑπὸ κύμασιν ἄκροις
ἀφρὸς ἐρευθιόων πολιῆς ἀνεκήκιεν ἅλμης
αἱμαλέωι πάνλευκον ὑποστίξας χύσιν ὁλκῶι.
καὶ φονίαις λιβάδεσσιν ἐφοινίχθη Μελικέρτης·

Λευκοθέη δ' ὀλόλυζε, τιθηνήτειρα Λυαίου,
αὐχένα γαῦρον ἔχουσα, καὶ Ἰνδοφόνου περὶ νίκης
ἄνθεϊ φυκιόεντι κόμην ἐστέψατο Νύμφη·
καὶ Θέτις ἀκρήδεμνος ὑπερκύψασα θαλάσσης
χεῖρας ἐρεισαμένη καὶ Δωρίδι καὶ Πανοπείῃ
ἄσμενον ὄμμα τίταινεν ἐπ' εὐθύρσωι Διονύσωι.
 καὶ βυθίη Γαλάτεια θαλασσαίου διὰ κόλπου
ἡμιφανὴς πεφόρητο διαξύουσα γαλήνην,
καὶ φονίου Κύκλωπος ἀλιπτοίητον Ἐνυὼ
δερκομένη δεδόνητο, φόβωι δ' ἤμειψε παρειάς·
ἔλπετο γὰρ Πολύφημον ἰδεῖν κατὰ φύλοπιν Ἰνδῶν
ἀντία Δηριάδαο συναιχμάζοντα Λυαίωι·
ταρβαλέη δ' ἱκέτευε θαλασσαίην Ἀφροδίτην
υἷα Ποσειδάωνος ἀριστεύοντα σαῶσαι,
καὶ γενέτην φιλότεκνον ἐφ' υἱέι κυανοχαίτην
μαρναμένου λιτάνευε προασπίζειν Πολυφήμου.
καὶ βυθίου τριόδοντος ἐκυκλώσαντο φορῆα
θυγατέρες Νηρῆος· ἐρειδόμενος δὲ τριαίνῃ
πόντιος ἐννοσίγαιος ἐδέρκετο γείτονα χάρμην,
καὶ στρατὸν εὐθώρηκος ὀπιπεύων Διονύσου,
ζηλήμων ὀρόων ἑτέρου Κύκλωπος Ἐνυώ,
ὑγρομόθωι Βρομίωι πολυμεμφέα ῥήξατο φωνήν·
 "εἰς ἐνοπήν, φίλε Βάκχε, τόσους Κύκλωπας ἀγείρων,
καλλείψας δ' ἕνα μοῦνον ἀπόπροθι δηιοτῆτος
εἰς χρόνον ἑπταέτηρον ἔχεις πολύκυκλον ἀγῶνα,
βόσκων ἀλλοπρόσαλλον ἀτέρμονος ἐλπίδα χάρμης, L3[I]
ὅττι τεοῦ μεγάλοιο προασπιστῆρες ἀγῶνος
πάντες ἑνὸς χατέουσιν ἀνικήτου Πολυφήμου·
εἰ δὲ τεὴν ἐπὶ δῆριν ἐμὸς πάις ἵκετο Κύκλωψ,
καί κεν ὑπὲρ πεδίοιο συναιχμάζων Διονύσωι down 1
πατρῴην δ' ἐλέλιζεν ἐμῆς γλωχῖνα τριαίνης,
καὶ πολὺν αἰνὸν ὅμιλον ἐμῶι τριόδοντι δαΐζων
εἰς μίαν ἠριγένειαν ὅλον γένος ἔκτανεν Ἰνδῶν.
στήθεα βουκεράοιο διέθλασε Δηριαδῆος, up 2
υἱὸς ἐμὸς πάλιν ἄλλος ἔχων ἑκατοντάδα χειρῶν
Τιτήνων ὀλετῆρι τεῶι χραίσμησε τοκῆι,
Αἰγαίων πολύπηχυς, ὅτε Κρόνον εἰς φόβον ἕλκων
ἠλιβάτων ἐτίταινε πολυσπερὲς ἔθνος ἀγοστῶν,
ἠέλιον σκιόωσαν ἔχων ὑψαύχενα χαίτην,
καὶ βλοσυροὶ Τιτῆνες ἐνοσφίσθησαν Ὀλύμπου
εὐπαλάμου Βριαρῆος ὑποπτήσσοντες Ἐνυώ."
 τοῖον ἔπος φθονέων νεμεσήμονι πέφραδε φωνῇ.
αἰδομένη δὲ Θόωσα κατηφέας εἶχε παρειάς,
Ἄρεϊ μὴ παρεόντος ἐρωμανέος Πολυφήμου.
 ὡς δὲ πόνου τέλος ἦεν ἐριφλοίσβοιο κυδοιμοῦ,
ἠθάδα πόντον ὄπωπε κατάρρυτον αἵματι Νηρεύς·
ξανθῆς δ' ἐννοσίγαιος ἐθάμβεε νῶτα θαλάσσης,
ἰχθύας ἀνδροφάγους ὁρόων καὶ πληθύι νεκρῶν
γείτονος ἄβροχα νῶτα γεφυρωθέντα θαλάσσης
Βακχιάδες τε φάλαγγες ἐπέρρεον αἴθοπι λαῶι.

Nonnus

κεῖθι γὰρ ἴχνος ἔκαμψε, καὶ ἄσπετα πέπλα δοκεύων
θάμβεεν Ἀσσυρίης ἑτερόχροα δαίδαλα τέχνης,
ἄργυφον εἰσορόων Βαβυλωνίδος ἔργον Ἀράχνης·
καὶ Τυρίηι σκοπίαζε δεδευμένα φάρεα κόχλωι·
πορφυρέους σπινθῆρας ἀκοντίζοντα θαλάσσης,
ἧχι κύων ἁλιεργὸς ἐπ' αἰγιαλοῖσιν ἐρέπτων
ἐνδόμυχον χαροπῇσι γενειάσι θέσκελον ἰχθὺν
χιονέας πόρφυρε παρηίδας αἵματι κόχλου,
χείλεα φοινίξας διερῷ πυρί, τῶι ποτε μούνωι
φαιδρὸν ἀλιχλαίνων ἐρυθαίνετο φᾶρος ἀνάκτων.
καὶ πόλιν ἀθρήσας ἐπεγήθεεν, ἣν ἐνοσίχθων
οὐ διερῶι μίτρωσεν ὅλωι ζωστῆρι θαλάσσης,
ἀλλὰ τύπον λάχε τοῖον Ὀλύμπιον, οἷον ὑφαίνει
ἀγχιτελὴς λείπουσα μιῆι γλωχῖνι σελήνη.
καί οἱ ὀπιπεύοντι μέσην χθόνα σύζυγον ἅλμηι
διπλόον ἔλλαχε θάμβος, ἐπεὶ Τύρος εἰν ἁλὶ κεῖται
εἰς χθόνα μοιρηθεῖσα, συναπτομένη δὲ θαλάσσηι
τριχθαδίαις λαγόνεσσι μίαν ξυνώσατο μίτρην·
νηχομένηι δ' ἀτίνακτος ὁμοίιος ἔπλετο κούρηι,
καὶ κεφαλὴν καὶ στέρνα καὶ αὐχένα δῶκε θαλάσσηι,
χεῖρας ἐφαπλώσασα μέση διδυμάονι πόντωι,
γείτονι λευκαίνουσα θαλασσαίωι δέμας ἀφρῶι,
καὶ πόδας ἀμφοτέρους ἐπερείσατο μητέρι γαίηι.
καὶ πόλιν ἐννοσίγαιος ἔχων ἀστεμφέι δεσμῶι
νυμφίος ὑδατόεις περινήχεται, οἷα συνάπτων
L1[O] πήχεϊ παφλάζοντι περίπλοκον αὐχένα νύμφης.
𝔸 καὶ Τύρον εἰσέτι Βάκχος ἐθάμβεε, τῆι ἔνι μούνηι
βουκόλος ἀγχικέλευθος ὁμίλεε γείτονι ναύτηι
συρίζων παρὰ θῖνα, καὶ αἰπόλος ἰχθυβολῆι
✦ δίκτυον αὖ ἐρύοντι, καὶ ἀντιτύποισιν ἐρετμοῖς
σχιζομένων ὑδάτων ἐχαράσσετο βῶλος ἀρότρωι·
εἰναλίης δ' ὀάριζον ὁμήλυδες ἐγγύθι λόχμης 1
ποιμένες. ὑλοτόμοισι, καὶ ἔβρεμεν εἰν ἑνὶ χώρωι
φλοῖσβος ἁλός, μύκημα βοῶν, ψιθύρισμα πετήλον,
πεῖσμα, φυτόν, πλόος, ἄλσος, ὕδωρ, νέες, ὁλκάς, ἐχέτλη,
μῆλα, δόναξ, δρεπάνη, σκαφίδες, λίνα, λαίφεα, θώρηξ.
καὶ τάδε παπταίνων πολυθαμβέα ῥήξατο φωνήν·
"νῆσον ἐν ἠπείρωι πόθεν ἔδρακον; εἰ θέμις εἰπεῖν,
τηλίκον οὔ ποτε κάλλος ἐσέδρακον· ὑψιτενῆ γὰρ 1
δένδρεα συρίζει παρὰ κύματα, Νηρεΐδος δὲ
φθεγγομένης κατὰ πόντον Ἀμαδρυὰς ἐγγὺς ἀκούει,
καὶ Τυρίοις πελάγεσσι καὶ ἀγχιάλοισιν ἀρούραις
πνείων ἐκ Λιβάνοιο μεσημβρινὸς ἁβρὸς ἀήτης
ἄσθματι καρποτόκωι προχέει νηοσσόον αὔρην,
ψύχων ἀγρονόμον καὶ ναυτίλον εἰς πλόον ἕλκων,
καὶ χθονίην δρεπάνην βυθίηι πελάσασα τριαίνηι
φθέγγεται ὑγρομέδοντι θαλυσιὰς ἐνθάδε Δηώ,
κωφῆς ἄβροχον ἅρμα καθιππεύοντι γαλήνης,
ἰθύνειν δρόμον ἶσον ὁμοζήλων ἐπὶ δίφρων,
ὄμπνια μαστίζουσα μετάρσια νῶτα δρακόντων.

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The fortieth has the Indian chief wounded, and how Dionysos visited Tyre, the native place of Cadmos.

NONNUS
DIONYSIACA
BOOK 40

PREVIEW BOOK 42

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 580 lines 3.0
𝔸 2L 1 - 350
𝔹 2L 351 - 580

PRINT 2-SIDED: 231 to 238

Οὐ δὲ Δίκην ἀλέεινε πανόψιον, οὐδὲ καὶ αὐτῆς 206 (117C)
ἀρραγέος κλωστῆρος ἀκαμπέα νήματα Μοίρης·
ἀλλά μιν ἀθρήσασα πεφυζότα Παλλὰς Ἀθήνη —
ἕζετο γὰρ κατὰ πόντον ἐπὶ προβλῆτος ἐρίπνης,
ναύμαχον εἰσορόωσα κορυσσομένων μόθον Ἰνδῶν —
ἐκ σκοπιῆς ἀνέπαλτο, καὶ ἄρσενα δύσατο μορφήν·
κλεψινόοις δ' ὀάροισι παρήπαφεν ὄρχαμον Ἰνδῶν,
Μορρέος εἶδος ἔχουσα, χαριζομένη δὲ Λυαίωι
Δηριάδην ἀνέκοψε, καὶ ὡς ἀλέγουσα κυδοιμοῦ
φρικτὸν ἀπερροίβδησεν ἔπος πολυμεμφέι φωνῆι·
"φεύγεις, Δηριάδη; τίνι κάλλιπες Ἄρεα νηῶν;
πῶς δύνασαι ναέτηισι φανήμεναι; ἢ πόθεν ἄντην
ὄψεαι Ὀρσιβόην μενεδήιον, αἴ κεν ἀκούσηι
Δηριάδην φεύγοντα καὶ οὐ μίμνοντα γυναῖκας;
αἴδεο Χειροβίην ῥηξήνορα, μή σε νοήσηι
ὑσμίνην ἀσίδηρον ὑποπτήσσοντα Λυαίου,
ἢ δόρυ θοῦρον ἔχουσα καὶ ὀχλίζουσα βοείην
μάρνατο Βασσαρίδεσσι, συνεσπομένη παρακοίτηι.
χάζεό μοι Μορρῆι λιπὼν μόθον· ἢν δ' ἐθελήσηις,
αὐτὸς ἀριστεύσω καὶ ἀνάλκιδα Βάκχον ὀλέσσω.
πενθερὸν οὐ καλέσω σε πεφυζότα, σεῖο δὲ κούρης
ἔστω Χειροβίης ἕτερος πόσις· αἰδόμενος γὰρ
καλλείψω τεὸν ἄστυ, καὶ ἵξομαι εἰς χθόνα Μήδων,
ἵξομαι εἰς Σκυθίην, ἵνα μὴ σέο γαμβρὸς ἀκούσω.
ἀλλ' ἐρέεις· 'εὔοπλος ἐμὴ δάμαρ οἶδεν Ἐνυώ.'
L1[I] εἰσὶν Ἀμαζονίδες περὶ Καύκασον, ὁππόθι πολλαὶ
𝔸 Χειροβίης πολὺ μᾶλλον ἀριστεύουσι γυναῖκες·
κεῖθι δορικτήτην βριαρὴν ἀνάεδνον ἀκοίτης
εἰς γάμον, ἣν ἐθέλω, μίαν ἄξομαι· ἐν θαλάμοις γὰρ
✦ οὐ δέχομαι σέο παῖδα φυγοπτολέμοιο τοκῆος."
ὣς φαμένη παρέπεισεν ἀγήνορα Δηριαδῆα,
καί οἱ θάρσος ἔδωκε τὸ δεύτερον, ὄφρα δαμείη 2 (1C)
μαρναμένου Βρομίοιο τυπεὶς φθισήνορι θύρσω.
καὶ θρασὺς ἀγνώσσων δολίην παρεοῦσαν Ἀθήνην
ψευδομένου Μορρῆος ἐλεγχέα μῦθον ἀκούων
χείλεσιν αἰδομένοισι παρήγορον ἴαχε φωνήν·
"φείδεο σῶν ἐπέων· τί με μέμφεαι, ἄτρομε Μορρεῦ;
οὐ πρόμος, οὐ πρόμος οὗτος, ἑὸν δέμας αἰὲν ἀμείβων.
καὶ γὰρ ἀμηχανέω, τίνι μάρναμαι ἢ τίνα βάλλω· 2
σπεύδων μὲν πτερόεντι βαλεῖν Διόνυσον ὀιστῶι,
ἢ ξίφει· πλήξας μέσον αὐχένος, ἢ δόρυ πέμπων
οὐτῆσαι ποθέων διὰ γαστέρος, ἀντὶ Λυαίου
πόρδαλιν αἰολόνωτον ἐπαΐσσοντα κιχάνω·
μαρναμένου δὲ λέοντος ἐπείγομαι αὐχένα τέμνειν,
καὶ θρασὺν ἀντὶ λέοντος ὄφιν δασπλῆτα δοκεύω·
σπεύδων δ' ἀντὶ δράκοντος ὀπιπεύω ῥάχιν ἄρκτου·
εἰς λοφιὴν δ' ἐπίκυρτον ἐμὸν δόρυ θοῦρον ἰάλλω,
ἀλλὰ μάτην τανύω δολιχὸν βέλος· ἀντὶ γὰρ ἄρκτου
φαίνεται ἠερόφοιτος ἀνούτατος ἱπταμένη φλόξ.
κάπρον ἰδὼν ἐπιόντα βοὸς μυκηθμὸν ἀκούω,

ἀλλ' ὅτε λυσιπόνοιο παρήλυθε κῶμος ἑορτῆς,
νίκης ληίδα πᾶσαν ἑλὼν μετὰ φύλοπιν Ἰνδῶν
ἀρχαίης Διόνυσος ἑῆς ἐμνήσατο πάτρης,
λύσας ἑπταέτηρα θεμείλια δηιοτῆτος.
καὶ δηίων ὅλον ὄλβον ἐληίζοντο μαχηταί,
ὧν ὁ μὲν Ἰνδὸν ἴασπιν, ὁ δὲ γραπτῆς ὑακίνθου
Φοιβάδος εἶχε μέταλλα καὶ ἔγχλοα νῶτα μαράγδου·
ἄλλος ἐυκρήπιδος ὑπὸ σκοπιῆισιν Ἰμαίου
ὄρθιον ἴχνος ἔπειγε δορικτήτων ἐλεφάντων,
ὃς δὲ παρ' Ἠμωδοῖο βαθυσπήλυγγι κολώνηι
ἤλασεν Ἰνδώιων μετανάστιον ἅρμα λεόντων
κυδιόων, ἕτερος δὲ κατ' αὐχένος ἅμμα πεδήσας
Μυγδονίην ἔσπευδεν ἐς ἠιόνα πόρδαλιν ἕλκειν·
καὶ Σάτυρος πεφόρητο, φιλακρήτωι δὲ πετήλωι
στικτὸν ἔχων προκέλευθον ἐκώμασε τίγριν ἱμάσσων·
ἄλλος ἄγων νόστησεν ἑῆι Κυβεληίδι νύμφηι
φυταλιὴν εὔοδμον ἀλιτρεφέων δονακήων,
καὶ λίθον ἀστράπτουσαν Ἐρυθραίης γέρας ἅλμης·
πολλὴ δ' ἐκ θαλάμοιο σὺν ἀρτιγάμωι παρακοίτηι
ληιδίη πλοκάμων μελανόχροος ἕλκετο νύμφη,
δέσμιον αὐχένα δοῦλον ὑποζεύξασα λεπάδνωι.
χειρὶ δὲ κουφίζουσα ῥυηφενέος χύσιν ὄλβου
εἰς σκοπιὰς Τμώλοιο θεόσσυτος ἤιε Βάκχη,
κῶμον ἀνευάζουσα παλιννόστωι Διονύσωι.
καὶ στρατιῆι Διόνυσος ἐδάσσατο ληίδα χάρμης
λαὸν ὅλον συνάεθλον ὑπότροπον οἴκαδε πέμπων L1[I]
Ἰνδώιην μετὰ δῆριν· ἀπεσσεύοντο δὲ λαοὶ 𝔸
μάρμαρα κουφίζοντες Ἑώια δῶρα θαλάσσης,
ὄρνεά τ' αἰολόμορφα· παλιννόστωι δὲ πορείηι
κῶμον ἀνευάζοντες ἀνικήτωι Διονύσωι
πάντες ἐβακχεύοντο, πολυκμήτοιο λιπόντες
μνῆστιν ὅλον πολέμοιο, Βορειάδι σύνδρομον αὔρηι
σκιδναμένην· καὶ ἕκαστος ἔχων ἀναθήματα νίκης
ὄψιμον εἰς δόμον ἦλθε παλίνδρομος. ἀντὶ δὲ πάτρης
Ἰστέριος τότε μοῦνος ἀνιπτοπόδων σχεδὸν Ἄρκτων
Φάσιδος ἀμφὶ ῥέεθρον ἀθαλπέι νάσσατο γαίηι
Μασσαγέτην παρὰ κόλπον, ἑοῦ γενέταο τοκῆος
ναίων ἀστερόεντος ὑπὸ σφυρὰ δύσνιφα Ταύρου,
φεύγων Κνώσσιον ἄστυ καὶ ἀρσενόπαιδα γενέθλην,
Πασιφάην στυγέων καὶ ἑὸν Μίνωα τοκῆα,
καὶ Σκυθίην προβέβουλεν ἑῆς χθονός· αὐτὰρ ὁ μούνοις
Βάκχος ἑοῖς Σατύροισι καὶ Ἰνδοφόνοις ἅμα Βάκχαις
Καυκασίην μετὰ δῆριν Ἀμαζονίου ποταμοῖο
Ἀρραβίης ἐπέβαινε τὸ δεύτερον, ἧχι θαμίζων
λαὸν ἀβακχεύτων Ἀράβων ἐδίδαξεν ἀείρειν
μυστιπόλους νάρθηκας· ἀεξιφύτοιο δὲ λόχμης
Νύσια βοτρυόεντι κατέστεφεν οὔρεα θαλλῶι.
Ἀρραβίης δὲ τένοντα βαθύσκιον ἄλσος ἐάσας
ἀτραπὸν Ἀσσυρίην διεμέτρεε πεζὸς ὁδίτης,
καὶ Τυρίων μενέαινεν ἰδεῖν χθόνα πατρίδα Κάδμου·

Nonnus

Βάκχος ἑλὼν ὀλέσηι με σὺν ὀλλυμένωι παρακοίτηι,
καί με λαβὼν ῥίψειεν ἐς ὠκυρέεθρον Ὑδάσπην,
γαῖαν ἀναινομένην· ἐχέτω δέ με πενθερὸν ὕδωρ,
Δηριάδην δ' ἐσίδω καὶ ἐν ὕδασι· μηδὲ νοήσω
Πρωτονόην ἀέκουσαν ἐφεσπομένην Διονύσωι,
μή ποτε Χειροβίης ἕτερον γόον οἰκτρὸν ἀκούσω
ἑλκομένης ἐς ἔρωτα δορικτήτων ὑμεναίων·
μὴ πόσιν ἄλλον ἴδοιμι μετ' ἀνέρα Δηριαδῆα.
εἴην Νηιάδεσσιν ὁμέστιος, ὅττι καὶ αὐτὴν
Λευκοθέην ζώουσαν ἐδέξατο κυανοχαίτης,
καὶ μία Νηρεΐδων κικλήσκεται, ἀντὶ δὲ λευκῆς
ἄλλη κυανόπεζα φανήσομαι ὑδριὰς Ἰνώ."
τοῖα μὲν ἑλκεχίτωνες ἐπωδύροντο γυναῖκες
ἱστάμεναι στοιχηδὸν ἐρισμαράγων ἐπὶ πύργων.
Βάκχοι δ' ἐκροτάλιζον ἀπορρίψαντες Ἐνυώ,
τοῖον ἔπος βοόωντες ὁμογλώσσων ἀπὸ λαιμῶν·
"ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν ὄρχαμον Ἰνδῶν."
καὶ γελόων Διόνυσος ἐπάλλετο χάρματι νίκης,
ἀμπνεύσας δὲ πόνοιο καὶ αἱματόεντος ἀγῶνος
πρῶτα μὲν ἐκτερέιξεν ἀτυμβεύτων στίχα νεκρῶν,
δωμήσας ἕνα τύμβον ἀπείριτον εὐρέι κόλπωι
ἄκριτον ἀμφὶ πυρὴν ἑκατόμπεδον· ἀμφὶ δὲ νεκροῖς
Μυγδονὶς αἰολόμολπος ἐπέκτυπεν αἴλινα σύριγξ,
καὶ Φρύγες αὐλητῆρες ἀνέπλεκον ἄρσενα μολπὴν
πενθαλέοις στομάτεσσιν, ἐπωρχήσαντο δὲ Βάκχαι
L2[O] ἁβρὰ μελιζομένοιο Γανύκτορος Εὐάδι φωνῆι·
A καὶ Κλεόχου Βερέκυντες ὑπὸ στόμα δίζυγες αὐλοὶ
φρικτὸν ἐμυκήσαντο Λίβυν γόον, ὃν πάρος ἄμφω
Σθεννώ τ' Εὐρυάλη τε μιῆι πολυδειράδι φωνῆι
✦ ἀρτιτόμωι ῥοιζηδὸν ἐπεκλαύσαντο Μεδούσηι
φθεγγομένων κεφαλῆισι διηκοσίηισι δρακόντων,
ὧν ἄπο μυρομένων σκολιὸν σύριγμα κομάων
θρῆνον πουλυκάρηνον ἐφημίξαντο Μεδούσης.
παυσάμενος δὲ πόνοιο, καὶ ὕδατι γυῖα καθήρας,
ὤπασε λυσιμόθοισι θεουδέα κοίρανον Ἰνδοῖς,
κρινάμενος Μωλαῖον· ἐπὶ ξυνῶι δὲ κυπέλλωι
Βάκχοις δαινυμένοισι μιῆς ἥψαντο τραπέζης
ξανθὸν ὕδωρ πίνοντες ἀπ' οἰνοπόρου ποταμοῖο.
καὶ χορὸς ἄσπετος ἔσκεν· ἐπεσκίρτησε δὲ πολλὴ
Βασσαρὶς οἰστρήεντι πέδον κρούουσα πεδίλωι,
καὶ Σάτυρος βαρύδουπον ἐπιρρήσσων χθόνα ταρσῶι
λοξὰ κυβιστητῆρι ποδῶν βακχεύετο παλμῶι,
πῆχυν ἐπικλίνων μανιώδεος αὐχένι Βάκχης·
καὶ πρυλέες Βρομίοιο συνωρχήσαντο βοείαις,
καὶ τροχαλῆς κλονέοντες ἐνόπλια κύκλα χορείης
ῥυθμὸν ἐμιμήσαντο φερεσσακέων Κορυβάντων,
καὶ στρατὸς ἱππήων κορυθαιόλον εἰς χορὸν ἔστη
νίκην πανδαμάτειραν ἀνευάζων Διονύσου·
οὐδέ τις ἄψοφος ἦεν· ὁμογλώσσωι δ' ἀλαλητῶι
εἰς πόλον ἑπτάζωνον ἀνέδραμεν εὔιος ἠχώ.

207 (118C)

Nonnus

ἀντὶ συός τινα ταῦρον ὑπὲρ λοξοῖο μετώπου
παπταίνω χαροπῆισιν ἀκοντίζοντα κεραίαις
ἡμετέρους ἐλέφαντας· ἐγὼ δ' ἐμὸν ἄορ ἑλίσσω
θηρσὶ πολυσπερέεσσι, καὶ οὐχ ἕνα θῆρα δαμάζω.
καὶ φυτὸν ἀθρήσας τανύω βέλος, ἀλλὰ φυγόντος
νύσσαν ἐς ἠερίην ὁρόω κυρτούμενον ὕδωρ.
ἔνθεν ἐγὼ τρομέων πολυφάρμακα θαύματα τέχνης
φύλοπιν ἀλλοπρόσαλλον ἀλυσκάζω Διονύσου·
ἀλλὰ πάλιν Βρομίωι θωρήξομαι, ἄχρις ἐλέγξω
μάγγανα τεχνήεντα δολορραφέος Διονύσου."
ὣς εἰπὼν κεκόρυστο τὸ δεύτερον ἠθάδι λύσσηι,
καὶ πάλιν ἐν πεδίωι μόθος ἔβρεμε, μαρναμένωι δὲ
εἰναλίην μετὰ δῆριν ἐθωρήχθη Διονύσωι·
καὶ προτέρης Βρομίοιο λελασμένος ἔπλετο νίκης,
ὁππότε δενδρήεντι περίπλοκος αὐχένα δεσμῶι
ἱκεσίην πολύευκτον ἀνέσχεθε μάρτυρι Βάκχωι·
ἀλλὰ πάλιν πρόμος ἔσκε θεημάχος· εἶχε δὲ βουλὴν
διχθαδίην, ἢ Βάκχον ἑλεῖν ἢ δμῶα τελέσσαι.
τρὶς μὲν ἑὸν δόρυ πέμπε, καὶ ἤμβροτεν ἠέρα βάλλων·
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέδραμεν οἴνοπι Βάκχωι
εἰς σκοπὸν ἀχρήιστον ἐπήορον ἔγχος ἰάλλων
Δηριάδης ὑπέροπλος, ἑοῦ συνάεθλον ἀγῶνος
γαμβρὸν ἑὸν καλέεσκε, καὶ οὐκέτι φαίνετο Μορρεύς·
ἀλλὰ μεταστρέψασα δολοπλόκον εἶδος Ἀθήνη
δαίμονι βοτρυόεντι παρίστατο· δερκομένου δὲ
L2[O] δείματι θεσπεσίωι λύτο γούνατα Δηριαδῆος·
A ἔγνω δ' ἀνδρομέης ἀπατήλιον εἰκόνα μορφῆς
Μορρέος ἀντιτύποιο φέρειν μίμημα προσώπου·
καὶ δόλον ἠπεροπῆα σοφῆς ἐνόησεν Ἀθήνης.
τὴν μὲν ἰδὼν Διόνυσος ἐγήθεεν, ἐν κραδίηι δὲ
ψευδομένην γίνωσκε συναιχμάζουσαν Ἀθήνην.
3 (2C) καὶ τότε βοτρυόεις κοτέων βακχεύετο δαίμων
ὑψιτενὴς περίμετρος, ἴσος Παρνησσίδι πέτρηι·
Δηριάδην δ' ἐδίωκε ταχύδρομον· αὐτὰρ ὁ φεύγων
κοῦφος ἐπειγομέναις ἐτιταίνετο σύνδρομος αὔραις·
ἀλλ' ὅτε χῶρον ἵκανον, ὅπηι πολεμητόκον ὕδωρ
κύματι λυσσώοντι γέρων κελάρυζεν Ὑδάσπης,
ἤτοι ὁ μὲν ποταμοῖο παρ' ἠιόνας ἄπλετος ἔστη,
3 ὡς γενέτην συνάεθλον ἔχων κελάδοντα μαχητὴν
ὑγρὸν ἀκοντιστῆρα κορυσσομένου Διονύσου,
δαίμων δ' ἀμπελόεις ταμεσίχροα θύρσον ἰάλλων
ἀκρότατον χρόα μοῦνον ἐπέγραφε Δηριαδῆος.
αὐτὰρ ὁ κισσήεντι τυπεὶς φθισήνορι θαλλῶι
πατρώιωι προκάρηνος ἐπωλίσθησε ῥεέθρωι,
μηκεδανοῖς μελέεσσι γεφυρώσας ὅλον ὕδωρ
αὐτόματος. χρονίην δὲ θεοὶ μετὰ φύλοπιν Ἰνδῶν
σὺν Διὶ παμμεδέοντι πάλιν νόστησαν Ὀλύμπωι.
Βάκχοι δ' ἀμφαλάλαζον ἀδηρίτου Διονύσου
δῆριν ἀνευάζοντες, ἀολλίζοντο δὲ πολλοὶ
ἔγχεσιν οὐτάζοντες ὅλον χρόα Δηριαδῆος.

Ὀρσιβόη δ' ᾤμωξε πολυθρήνων ἐπὶ πύργων,
κείμενον ἀρτιδάικτον ὀδυρομένη παρακοίτην·
πενθαλέοις δ' ὀνύχεσσι κατέγραφε κύκλα προσώπου,
καὶ σκολιῆς ὤλοψεν ἀκηδέα βότρυν ἐθείρης,
καὶ κόνιν αἰθαλόεσσαν ἑοῦ κατέχευε καρήνου·
κυανέους δ' ἤρασσε βραχίονας, ἀργυφέου δὲ
στέρνον ὅλον γύμνωσε διχαζομένοιο χιτῶνος·
up 2 Χειροβίη δ' ὀλόλυξε καταφθιμένοιο τοκῆος,
Πρωτονόη δ' ἀπέδιλος ἑὰς ξύουσα παρειάς,
κύκλα κονισαλέοιο καταισχύνουσα προσώπου,
κλαῖεν ἐπ' ἀμφοτέροισι καὶ ἀνέρι καὶ γενετῆρι,
διπλόον ἄλγος ἔχουσα, καὶ ἴαχε πενθάδι φωνῆι·
"ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο· κὰδ δ' ἐμὲ χήρην
ἔλλιπες ἐν μεγάροισιν ἀπειρήτην τοκετοῖο·
νήπιον οὐ τέκον υἷα παραίφασιν· οὐ μετὰ νίκην
νόστιμον ἄνδρα νόησα τὸ δεύτερον, ἀλλὰ σιδήρωι
αὐτὸς ἑῶι δέδμητο, καὶ οὔνομα δῶκε ῥεέθροις,
καὶ θάνεν ἐν ξείνοισιν, ὅπως ἐμὸν ἄνδρα καλέσσω
ἄσπορον αὐτοδάικτον ἀνόστιμον ὑγρὸν Ὀρόντην.
μύρομαι ἀμφοτέρους καὶ Δηριάδην καὶ Ὀρόντην,
ἶσον ἀποφθιμένους διερὸν μόρον· ἀνδροφόνον γὰρ
Δηριάδην κρύφε κῦμα, ῥόος δ' ἐκάλυψεν Ὀρόντην.
μητέρι δ' οὐ γενόμην πανομοίιος· Ὀρσιβόη γὰρ
θυγατέρων ἤεισε καταφθαμένους ὑμεναίους·
Πρωτονόης γάμον εἶδεν, ἐδέξατο γαμβρὸν Ὀρόντην,
L2[I] Χειροβίην δ' ἔζευξεν ἀνικήτωι παρακοίτηι,
𝔸 ὃν τρομέει καὶ Βάκχος ὁ τηλίκος· ἀμφιέπει μὲν
Χειροβίη ζώοντα φίλον πόσιν, οὐ δέ ἑ θύρσος,
οὐ ῥόος ἐπρήνιξεν· ἐγὼ δ' ἄρα διπλόα πάσχω,
✦ ἀνέρος οἰχομένοιο καὶ ὀλλυμένου γενετῆρος.
λῆγε, μάτην σέο παῖδα παρηγορέουσα, τιθήνη,
δός μοι ἔχειν ἐμὸν ἄνδρα, καὶ οὐ γενετῆρα γοήσω·
δεῖξον ἐμοί τινα παῖδα, παρήγορον ἀνδρὸς ἀνίης.
τίς με λαβὼν κομέσειεν ἐς ἱερὰ τέμπεα Δάφνης,
up 2 τίς με λαβὼν κομίσειεν ἐς εὐρυρέεθρον Ὑδάσπην,
ὄφρα κύσω φίλον οἶδμα μελισταγέος ποταμοῖο;
ὄφρα περιπτύξαιμι καὶ ἐν προχοῆισιν Ὀρόντην;
εἴην ἱμερόεις καὶ ἐγὼ ῥόος· αἴθε καὶ αὐτὴ
δάκρυσιν ὀμβρηθεῖσα φανήσομαι αὐτόθι πηγή,
ἧχι θανὼν εὔυδρος ἐμὸς πόσις οἶδμα κυλίνδει,
εὐνέτις ὑδατόεσσα· καὶ ἔσσομαι οἷα Κομαιθώ,
ἣ πάρος ἱμερόεντος ἐρασσαμένη ποταμοῖο
τέρπεται ἀγκὰς ἔχουσα καὶ εἰσέτι Κύδνον ἀκοίτην,
δαέρος ἡμετέρου παρὰ Μορρέος οἷον ἐκείνοις
ἀνδράσι πὰρ Κιλίκεσσι μεμηλότα μῦθον ἀκούω·
οὐ μὲν ἐγὼ ποθέουσα παρέρχομαι ἡδὺν Ὀρόντην,
οἷα φυγὰς Περίβοια, καὶ οὔ ποτε καμπύλον ὕδωρ
Nonnus ἂψ ἀνασειράζουσα φυλάξομαι ὑγρὸν ἀκοίτην.
εἰ δέ μοι οὐ πέπρωτο θανεῖν παρὰ γείτονι Δάφνηι,
κύμασι πατροπάτωρ με κατακρύψειεν Ὑδάσπης,
208 (119C) μὴ Φρύγα κῶμον ἴδω, μὴ κύμβαλα χερσὶ τινάξω,
μὴ τελετὴν τελέσω φιλοπαίγμονα, μηδὲ νοήσω
Μαιονίην, μὴ Τμῶλον ἴδω, μὴ δῶμα Λυαίου
μὴ Σατύρου κερόεντος ἐν ἀγκοίνηισιν ἰαύσω, up 3
ἢ ζυγὰ δουλοσύνης βαρυαχθέα, μή τις ἐνίψηι·
'κούρη Δηριάδαο δοριθρασέος βασιλῆος
ληιδίη μετὰ δῆριν ὑποδρήσσει Διονύσωι.'"
ὣς φαμένης ἐλεεινὰ συνεστενάχοντο γυναῖκες,
ὧν πάις, ὧν τέθνηκεν ἀδελφεός, ὧν γενετῆρες
ἢ πόσις ἀρτιγένειος ἀώριος. ἐκ δὲ καρήνου
Χειροβίη τίλλουσα κόμην ἤμυξε παρειάς·
διχθαδίαις δ' ὀδύνηισιν ἱμάσσετο, καὶ γενετῆρα
οὐ τόσον ἐστενάχιζεν, ὅσον νεμέσιζεν ἀκοίτηι·
ἔκλυε γὰρ Μορρῆος ἐρωμανέουσαν ἀνάγκην
καὶ δόλον ἠπεροπῆα σαόφρονα Χαλκομεδείης.
καί τινα μῦθον ἔειπεν ἑὸν ῥήξασα χιτῶνα·
"φειδόμενος μελίης γενέτην ἐμὸν ἔκτανε Μορρεύς·
οὐδὲ πέλε φθιμένου τιμήορος· ἐχθομένην δὲ
Χαλκομέδην ποθέων οὐκ ἤλασε θῆλυν Ἐνυώ,
ἀλλ ἔτι Βασσαρίδεσσι χαρίζεται. εἴπατε, Μοῖραι·
τίς φθόνος Ἰνδώιην πόλιν ἔπραθε; τίς φθόνος ἄφνω
ἔχραεν ἀμφοτέρηισι θυγατράσι Δηριαδῆος;
θνήσκων μὲν κατὰ δῆριν ἑὴν παράκοιτιν Ὀρόντης
Πρωτονόην ἀκόμιστον ἐθήκατο πενθάδα χήρην,
Χειροβίην δ' ἀπέειπεν ἔτι ζώουσαν ἀκοίτης.
γνωτῆς δ' ἡμετέρης ὀλοώτερα πήματα πάσχω· L2[I]
Πρωτονόη πόσιν ἔσχεν ἀοσσητῆρα τιθήνης, 𝔸
Χειροβίη πόσιν ἔσχεν ἑῆς δηλήμονα πάτρης,
αἰχμητὴν ἀνόνητον, ὀπάονα Κυπρογενείης
ἄλκιμον, ἀλλοπρόσαλλον, ὁμοφρονέοντα Λυαίωι.
εἰς ἐμὲ θωρήχθη καὶ ἐμὸς γάμος· ἡμετέρου γὰρ
4 (3C) Μορρέος ἱμείροντος ἐσυλήθη πόλις Ἰνδῶν·
πατρὸς ἐνοσφίσθην χάριν ἀνέρος· ἡ πρὶν ἀγήνωρ
καὶ θυγάτηρ βασιλῆος, ἐγώ ποτε δεσπότις Ἰνδῶν,
ἔσσομαι ἀμφιπόλων καὶ ἐγὼ μία· καὶ τάχα δειλὴ
δμωίδα Χαλκομέδειαν ἐμὴν δέσποιναν ἐνίψω.
σήμερον Ἰνδὸν ἔδεθλον ἔχεις, ἀπατήλιε Μορρεῦ·
αὔριον αὐτοκέλευστος ἐλεύσεαι εἰς χθόνα Λυδῶν,
4 Χαλκομέδης διὰ κάλλος ὑποδρήσσων Διονύσωι.
ἀμφαδὰ Χαλκομέδης ἔχε δέμνια, νυμφίε Μορρεῦ·
οὐκέτι γὰρ τρομέεις βλοσυρὸν στόμα Δηριαδῆος.
χάζεο, κικλήσκει σε δράκων πάλιν, ὅς σε διώκει
φρουρὸν ἀσυλήτοιο γάμου συριγμὸν ἰάλλων."
τοῖα μὲν ἀχνυμένη βαρυδάκρυος ἔννεπε νύμφη·
Πρωτονόη δ' ὀλόλυξε τὸ δεύτερον. ἀμφοτέραις δὲ
χεῖρας ἐπικλίνασα κατηφέας ἴαχε μήτηρ·
"πατρίδος ἡμετέρης πέσον ἐλπίδες· οὐκέτι λεύσσω
ἀνέρα Δηριαδῆα καὶ οὐκέτε γαμβρὸν Ὀρόντην. Nonnus
Δηριάδης τέθνηκεν· ἐσυλήθη πόλις Ἰνδῶν,
ἀρραγὲς ἤριπε τεῖχος ἐμῆς χθονός· αἴθε καὶ αὐτὴν

ἤθελον εἰ γενόμην καὶ ἐγὼ ῥόος, ὡς ἐνοσίχθων,
καὶ κελάδων πήχυνα ποθοβλήτωι παρὰ πηγῆι
διψαλέην ἀφύλακτον ἐμὴν Λιβανηίδα Τυρώ."
εἶπε θεός· μελέων δὲ μετάτροπον εἶδος ἀμείψας,
ὁππόθι παρθένος ἦεν, ἐδύσατο δάσκιον ὕλην
Εὔιος ἀγρευτῆρι πανείκελος· ἁβροκόμωι δὲ
ἀλλοφυὴς ἄγνωστος ὁμίλεεν ἄζυγι κούρηι
εἴκελος ἡβητῆρι, καὶ ἀκλινὲς ἀμφὶ προσώπωι
ψευδαλέον μίμημα σαόφρονος ἔπλασεν αἰδοῦς·
καὶ πῆι μὲν σκοπίαζεν ἐρημάδος ἄκρον ἐρίπνης,
πῆι δὲ τανυπτόρθοιο βαθύσκιον εἰς ῥάχιν ὕλης,
εἰς πίτυν ὄμμα φέρων λελιημένον, ἄλλοτε πεύκην
ἢ πτελέην ἐδόκευε· φυλασσομένου δὲ προσώπου
ὄμμασι λαθριδίοισιν ἐδέρκετο γείτονα κούρην,
μή μιν ἀλυσκάζειε μετάτροπος· ἠιθέωι γὰρ
κάλλος ὀπιπεύοντι καὶ ἥλικος ὄμματα κούρης
Κυπριδίων ἐλάχεια παραίφασίς ἐστιν Ἐρώτων.
καὶ Βερόης σχεδὸν ἦλθε καὶ ἤθελε μῦθον ἐνίψαι,
ἀλλὰ φόβωι πεπέδητο· φιλεύιε, πῆι σέο θύρσοι
ἀνδροφόνοι; πῆι φρικτὰ κεράατα; πῆι σέο χαίτηι
γλαυκὰ πεδοτρεφέων ὀφιώδεα δεσμὰ δρακόντων;
πῆι στομάτων μύκημα βαρύβρομον; ἆ μέγα θαῦμα,
παρθένον ἔτρεμε Βάκχος, ὃν ἔτρεμε φῦλα Γιγάντων·
Γηγενέων ὀλετῆρα φόβος νίκησεν Ἐρώτων·
τοσσατίων δ' ἤμησεν ἀρειμανέων γένος Ἰνδῶν,
L1[O] καὶ μίαν ἱμερόεσσαν ἀνάλκιδα δείδιε κούρην,
𝔹 δείδιε θηλυτέρην ἁπαλόχροον· ἐν δὲ κολώναις
θηρονόμωι νάρθηκι κατεπρήυνε λεόντων
φρικαλέον μύκημα, καὶ ἔτρεμε θῆλυν ἀπειλήν·
καί οἱ ἐριπτοίητον ὑπὸ στόμα μῦθος ἀλήτης
γλῶσσαν ἐς ἀκροτάτην ἐτιταίνετο χείλεϊ γείτων,
ἐκ φρενὸς ἀίσσων καὶ ἐπὶ φρένα νόστιμος ἕρπων·
ἀλλὰ φόβον γλυκύπικρον ἔχων αἰδήμονι σιγῆι
εἰς φάος ἐσσυμένην παλινάγρετον ἔσπασε φωνήν.
καὶ μόγις ὑστερόμυθον ὑπὸ στόμα δεσμὸν ἀράξας
αἰδοῦς ἀμβολιεργὸν ἀπεσφήκωσε σιωπήν,
καὶ Βερόην ἐρέεινε χέων ψευδήμονα φωνήν·
"Ἄρτεμι, πῆι σέο τόξα; τίς ἥρπασε σεῖο φαρέτρην;
πῆι λίπες, ὃν φορέεις ἐπιγουνίδος ἄχρι χιτῶνα;
πῆι σέο κεῖνα πέδιλα, θοώτερα κυκλάδος αὔρης;
πῆι χορὸς ἀμφιπόλων; πῆι δίκτυα; πῆι κύνες ἀργαί;
οὐ δρόμον ἐντύνεις κεμαδοσσόον· οὐκ ἐθέλεις γὰρ
ἀγρώσσειν, ὅθι Κύπρις Ἀδώνιδος ἐγγὺς ἰαύει."
ἔννεπε θάμβος ἔχων ἀπατήλιον· ἐν κραδίηι δὲ
παρθενικὴ μείδησεν· ἀπειροκάκωι δὲ μενοινῆι
αὐχένα γαῦρον ἄειρεν ἀγαλλομένη χάριν ἥβης,
ὅττι, γυνή περ ἐοῦσα, φυὴν ἤικτο θεαίνηι·
οὐδὲ δόλον γίνωσκε νοοπλανέος Διονύσου.
καὶ πλέον ἄχνυτο Βάκχος, ἐπεὶ πόθον οὐ μάθε κούρη
οἶστρον ἐὸν βαρύμοχθον, ἐπισταμένης ὅτι κούρης
up 1 νήπιον ἦθος ἔχουσα, καὶ ἤθελεν, ὄφρα δαείη

ὦ πόλι πασιμέλουσα, τύπος χθονός, αἰθέρος εἰκών,
συμφυέος τρίπλευρον ἔχεις τελαμῶνα θαλάσσης."
ὣς εἰπὼν παράμειβε δι' ἄστεος ὄμμα τιταίνων·
καί οἱ ὀπιπεύοντι λιθογλώχινες ἀγυιαὶ
μαρμαρυγὴν ἀνέφαινον ἀμοιβαίοιο μετάλλου·
καὶ προγόνου δόμον εἶδεν Ἀγήνορος, ἔδρακεν αὐλὰς
καὶ θάλαμον Κάδμοιο, καὶ ἁρπαμένης ποτὲ νύμφης
Εὐρώπης ἀφύλακτον ἐδύσατο παρθενεῶνα,
μνῆστιν ἔχων κερόεντος ἑοῦ Διός· ἀρχεγόνους δὲ
πηγὰς θάμβεε μᾶλλον, ὅπηι χθονίου διὰ κόλπου
νάματος ἐκχυμένου παλινάγρετον εἰς μίαν ὥρην
χεύμασιν αὐτογόνοισι πολυτρεφὲς ἔβλυεν ὕδωρ·
εἶδεν Ἀβαρβαρέης γόνιμον ῥόον, ἔδρακε πηγὴν
Καλλιρόην ἐρόεσσαν ἐπώνυμον, εἶδε καὶ αὐτῆς
ἁβρὸν ἐρευγομένης Δροσερῆς νυμφήιον ὕδωρ.
ἀλλ' ὅτε πάντα νόησεν ἑῶι φιλοτερπέι θυμῶι,
εἰς δόμον Ἀστροχίτωνος ἐχώμασε, καὶ πρόμον ἄστρων
τοῖον ἔπος βοόων ἐκαλέσσατο μύστιδι φωνῆι·
"ἀστροχίτων Ἥρακλες, ἄναξ πυρός, ὄρχαμε κόσμου,
Ἠέλιε, βροτέοιο βίου δολιχόσκιε ποιμήν,
ἱππεύων ἑλικηδὸν ὅλον πόλον αἴθοπι δίσκωι,
υἷα χρόνου λυκάβαντα δυωδεκάμηνον ἑλίσσων,
κύκλον ἄγεις μετὰ κύκλον· ἀφ' ὑμετέροιο δὲ δίφρου
γήραϊ καὶ νεότητι ῥέει μορφούμενος αἰών·
μαῖα σοφῆς ὠδῖνος ἀμήτορος εἰκόνα Μήνης
ὠδίνεις τριέλικτον, ὅτε δροσόεσσα Σελήνη L1[O]
σῆς λοχίης ἀκτῖνος ἀμέλγεται ἀντίτυπον πῦρ, 𝔹
ταυρείην ἐπίκυρτον ἀολλίζουσα κεραίην·
παμφαὲς αἰθέρος ὄμμα, φέρεις τετράζυγι δίφρωι,
χεῖμα μετὰ φθινόπωρον, ἄγεις θέρος εἶαρ ἀμείβων.
νὺξ μὲν ἀκοντιστῆρι διωκομένη σέο πυρσῶι
χάζεται ἀστήρικτος, ὅτε ζυγὸν ἄργυφον ἕλκων
ἀκροφανὴς ἵππειος ἱμάσσεται ὄρθιος αὐχήν,
σεῖο δὲ λαμπομένοιο φαάντερον οὐκέτι λάμπων
ποικίλος εὐφαέεσσι χαράσσεται ἄστρασι λειμών,
χεύμασι δ' ἀντολικοῖο λελουμένος Ὠκεανοῖο
σεισάμενος γονόεσσαν ἀθαλπέος ἰκμάδα χαίτης
ὄμβρον ἄγεις φερέκαρπον, ἐπ' εὐώδινι δὲ Γαίηι
ἠερίης ἠῷον ἐρεύγεαι ἀρδμὸν ἐέρσης,
καὶ σταχύων ὠδῖνας ἀναλδαίνεις σέο δίσκωι
ῥαίνων ζωοτόκοιο δι' αὔλακος ὄμπνιον ἀκτήν.
Βῆλος ἐπ' Εὐφρήταο, Λίβυς κεκλημένος Ἄμμων,
Ἆπις ἔφυς Νειλῷος, Ἄραψ Κρόνος, Ἀσσύριος Ζεύς·
καὶ ξύλα κηώεντα φέρων γαμψώνυχι ταρσῶι
χιλιέτης σοφὸς ὄρνις ἐπ' εὐόδμωι σέο βωμῶι
φοίνιξ, τέρμα βίοιο φέρων αὐτόσπορον ἀρχήν,
τίκτεται ἰσοτύποιο χρόνου παλινάγρετος εἰκών,
λύσας δ' ἐν πυρὶ γῆρας ἀμείβεται ἐκ πυρὸς ἥβην·
εἴτε Σάραπις ἔφυς, Αἰγύπτιος ἀννέφελος Ζεύς,
εἰ Κρόνος, εἰ Φαέθων πολυώνυμος, εἴτε σὺ Μίθρης,

Ἠέλιος Βαβυλῶνος, ἐν Ἑλλάδι Δελφὸς Ἀπόλλων,
εἰ Γάμος, ὃν σκιεροῖσιν Ἔρως ἔσπειρεν ὀνείροις
μιμηλῆς τελέων ἀπατήλιον ἵμερον εὐνῆς,
ἐκ Διὸς ὑπνώοντος ὅτε γλωχῖνι μαχαίρης
αὐτογάμωι σπόρον ὑγρὸν ἐπιξύσαντος ἀρούρης
οὐρανίαις λιβάδεσσιν ἐμαιώθησαν ἐρίπναι,
εἴτε σὺ Παιήων ὀδυνήφατος, εἰ πέλες Αἰθὴρ
ποικίλος, Ἀστροχίτων δὲ φατίζεαι — ἐννύχιοι γὰρ
οὐρανὸν ἀστερόεντες ἐπαυγάζουσι χιτῶνες —·
οὔασιν εὐμενέεσσιν ἐμὴν ἀσπάζεο φωνήν."
τοῖον ἔπος Διόνυσος ἀνήρυγεν. ἐξαπίνης δὲ
ἔνθεον εἶδος ἔχων θεοδέγμονος ἔνδοθι νηοῦ
Ἀστροχίτων ἤστραψε· πυριγλήνου δὲ προσώπου
μαρμαρυγὴν ῥοδόεσσαν ἀπηκόντιζον ὀπωπαί·
καὶ θεὸς αἰγλήεις παλάμην ὤρεξε Λυαίωι,
ποικίλον εἶμα φέρων, τύπον αἰθέρος, εἰκόνα κόσμου,
στίλβων ξανθὰ γένεια καὶ ἀστερόεσσαν ὑπήνην·
καί μιν ἐυφραίνων φιλίηι μείλιξε τραπέζηι.
αὐτὰρ ὁ θυμὸν ἔτερπεν ἀδαιτρεύτωι παρὰ δείπνωι
ψαύων ἀμβροσίης καὶ νέκταρος· οὐ νέμεσις δέ,
εἰ γλυκὺ νέκταρ ἔπινε μετὰ γλάγος ἄμβροτον Ἥρης.
εἴρετο δ' Ἀστροχίτωνα χέων φιλοπευθέα φωνήν·
"Ἀστροχίτον, με δίδασκε, τύπωι χθονός, εἰκόνι νήσου,
τίς θεὸς ἄστυ πόλισσε, τίς ἔγραφεν οὐρανίη χείρ;
τίς σκοπέλους ἀνάειρε καὶ ἐρρίζωσε θαλάσσηι;
τίς κάμε δαίδαλα ταῦτα; πόθεν λάχον οὔνομα πηγαί;
τίς χθονὶ νῆσον ἔμιξεν ὁμόζυγα μητρὶ θαλάσσηι;"
εἶπε· καὶ Ἡρακλέης φιλίωι μειλίξατο μύθωι·
"Βάκχε, σὺ μὲν κλύε μῦθον· ἐγὼ δέ σε πάντα διδάξω·
ἐνθάδε φῶτες ἔναιον, ὁμόσπορος οὕς ποτε μούνους
ἀενάου κόσμοιο συνήλικας ἔδρακεν Αἰών,
ἀγνὸν ἀνυμφεύτοιο γένος χθονός, ὧν τότε μορφὴν
αὐτομάτην ὤδινεν ἀνήροτος ἄσπορος ἰλύς·
οἳ πόλιν ἰσοτύπων δαπέδων αὐτόχθονι τέχνηι
πετραίοις ἀτίνακτον ἐπυργώσαντο θεμέθλοις.
καί ποτε πηγαίηισι παρ' εὐύδροισι χαμευναῖς
ἠελίου πυρόεντος ἱμασσομένης χθονὸς ἀτμῶι
τερψινόου Ληθαῖον ἀμεργόμενοι πτερὸν Ὕπνου
εὗδον ὁμοῦ, κραδίηι δὲ φιλόπτολιν οἶστρον ἀέξων
Γηγενέων στατὸν ἴχνος ἐπηιώρησα καρήνωι,
καὶ βροτέου σκιοειδὲς ἔχων ἴνδαλμα προσώπου
θέσφατον ὀμφήεντος ἀνήρυγον ἀνθερεῶνος·
'ὕπνον ἀποσκεδάσαντες ἀεργέα, παῖδες ἀρούρης,
τεύξατέ μοι ξένον ἅρμα βατῆς ἁλός· ὀξυτόμοις δὲ
κόψατέ μοι πελέκεσσι ῥάχιν πιτυώδεος ὕλης·
τεύξατέ μοι σοφὸν ἔργον· ὑπὸ σταμίνεσσι δὲ πυκνοῖς
ἰκρία γομφώσαντες ἐπασσυτέρωι τινὶ κόσμωι
συμφερτὴν ἀτίνακτον ἀρηρότι δήσατε δεσμῶι,
δίφρον ἁλός, σχεδίην πρωτόπλοον, ἣ διὰ πόντου
ὑμέας ὀχλίζειε· καὶ ἀγκύλον ἄκρον ἀπ' ἄκρου

καὶ κύσε νηρίθμοισι φιλήμασι λάθριος ἕρπων
χῶρον, ὅπηι πόδα θῆκε, καὶ ἣν ἐπάτησε κονίην
παρθενικὴ ῥοδόεντι καταυγάζουσα πεδίλωι·
καὶ γλυκὺν αὐχένα Βάκχος ἐδέρκετο, καὶ σφυρὰ κούρης
νισσομένης καὶ κάλλος, ὅ περ φύσις ὤπασε νύμφηι,
κάλλος, ὅ περ φύσις εὗρε· καὶ οὐ ξανθόχροϊ κόσμωι
χρισαμένη Βερόη ῥοδοειδέα κύκλα προσώπου
ψευδομένας ἐρύθηνε νόθωι σπινθῆρι παρειάς,
οὐ χροὸς ἀντιτύποιο διαυγέι μάρτυρι χαλκῶι
μιμηλῆς ἐγέλασσεν ἐς ἄπνοον εἶδος ὀπωπῆς
κάλλος ἑὸν κρίνουσα, καὶ οὐ τεχνήμονι θεσμῶι
πολλάκις ἰσάζουσα παρ' ὀφρύσιν ἄκρα κομάων
πλαζομένης ἔστησε μετήλυδα βότρυν ἐθείρης.
ἀλλὰ γυναιμανέοντα πολὺ πλέον ὀξέι κέντρωι
ἀγλαΐαι κλονέουσιν ἀκηδέστοιο προσώπου,
καὶ πλόκαμοι ῥυπόωντες ἀκοσμήτοιο καρήνου
ἁβρότεροι γεγάασιν, ὅτ' ἀπλεκέες καὶ ἀλῆται
χιονέωι στιχόωσι παρήοροι ἀμφὶ προσώπωι.
καί ποτε διψήσασα μετέστιχε γείτονα πηγήν,
οὐρανίου πυρόεντος ἱμασσομένη Κυνὸς ἀτμῶι,
χείλεσι καρχαλέοισι· καθελκομένωι δὲ καρήνωι
κάμπτετο κυρτωθεῖσα, καὶ εἰς στόμα πολλάκι κούρη
χερσὶ βαθυνομένηισιν ἀρύετο πάτριον ὕδωρ,
ἄχρι κορεσσαμένη λίπε νάματα· χαζομένης δὲ
ἱμερτῆι Διόνυσος ὑποκλίνας γόνυ πηγῆι
κοιλαίνων παλάμας ἐρατὴν μιμήσατο κούρην,
νέκταρος αὐτοχύτοιο πιὼν γλυκερώτερον ὕδωρ.
καί μιν ἐσαθρήσασα πόθου δεδονημένον οἴστρωι
πηγαίη βαθύκολπος ἀσάμβαλος ἴαχε Νύμφη·
"ψυχρὸν ὕδωρ, Διόνυσε, μάτην πίες· οὐ δύναται γὰρ
σβέσσαι δίψαν ἔρωτος ὅλος ῥόος Ὠκεανοῖο.
εἴρεο σὸν γενέτην, ὅτι τηλίκον οἶδμα περήσας
νυμφίος Εὐρώπης οὐκ ἔσβεσεν ἱμερόεν πῦρ,
ἀλλ' ἔτι μᾶλλον ἔκαμνεν ἐν ὕδασιν· ὑγροπόρου δὲ
μάρτυρα λάτριν Ἔρωτος ἔχεις Ἀλφειὸν ἀλήτην,
ὅττι τόσοις ῥοθίοισι δι' ὕδατος ὕδατα σύρων
οὐ φύγε θερμὸν ἔρωτα, καὶ εἰ πέλεν ὑγρὸς ὁδίτης."
ὣς φαμένη πηγαῖον ἐδύσατο σύγχροον ὕδωρ
Νηιὰς ἀκρήδεμνος ἐπεγγελόωσα Λυαίωι.
καὶ θεὸς ὑγρομέδοντι Ποσειδάωνι μεγαίρων
εἶχε φόβον καὶ ζῆλον, ἐπεὶ πίε παρθένος ὕδωρ
ἀντὶ μέθης, καὶ κωφὸν ἐς ἠέρα ῥήξατο φωνήν,
οἷά περ εἰσαΐουσαν ἔχων πειθήμονα κούρην·
"παρθένε, δέχνυσο νέκταρ· ἔα φιλοπάρθενον ὕδωρ·
φεῦγε ποτὸν κρηναῖον, ὅπως μὴ σεῖο κορείην
ὑδατόεις κλέψειεν ἐν ὕδασι κυανοχαίτης,
ὅττι γυναιμανέων δολόεις πέλε· Θεσσαλίδος δὲ
Τυροῦς οἶδας ἔρωτα καὶ ὑγροπόρους ὑμεναίους·
καὶ σὺ ῥόον δολόεντα φυλάσσεο, μὴ σέο μίτρην
ψευδαλέος λύσειε, γαμοκλόπος ὥς περ Ἐνιπεύς.

καὶ κόνιν ἐξετίναξε καὶ ἔκλυσεν ὕδατι πηγῆς
Nonnus θερμὸν ἀναψύχων κεχαραγμένον αὐχένα θηρῶν.
ἔνθα μολὼν ἀκίχητος Ἔρως ἐπὶ γείτονι κούρηι
δαίμονας ἀμφοτέρους διδυμάονι βάλλεν ὀιστῶι,
βακχεύσας Διόνυσον ἄγειν κειμήλια νύμφηι,
εὐφροσύνην βιότοιο καὶ οἴνοπα βότρυν ὀπώρης,
οἰστρήσας δ᾽ ἐς ἔρωτα κυβερνητῆρα τριαίνης
διπλόον ἕδνον ἔρωτος ἄγειν ἁλιγείτονι κούρηι,
ναύμαχον ὑγρὸν Ἄρηα καὶ αἰόλα δεῖπνα τραπέζης.
καὶ πλέον ἔφλεγε Βάκχον, ἐπεὶ νόον οἶνος ἐγείρει
εἰς πόθον, ὁπλοτέρων δὲ πολὺ πλέον ἄφρονι κέντρωι
θελγομένην ἀχάλινον ἔχων πειθήνιον ἥβην
Βάκχον Ἔρως τόξευεν, ὅλον βέλος εἰς φρένα πήξας·
ἔφλεγε δ᾽, ὅσσον ἔθελγεν ἐπιστάξας μέλι πειθοῦς.
ἀμφοτέρους δ᾽ οἴστρησε· δι᾽ αἰθερίης δὲ κελεύθου
κυκλώσας βαλίοισιν ὁμόδρομον ἴχνος ἀήταις
νηχομένωι νόθος ὄρνις ἀνηιώρητο πεδίλωι,
τοῖον ἔπος βοόων φιλοκέρτομον· ἀνέρας οἴνωι
εἰ κλονέει Διόνυσος, ἐγὼ πυρὶ Βάκχον ὀρίνω.”
καὶ θεὸς ἀμπελόεις ἀντώπιον ὄμμα τιταίνων
ἁβρὸν ἐυπλοκάμοιο δέμας διεμέτρεε νύμφης,
◆ θάμβος ἔχων ὀχετηγὸν ἐς ἵμερον· ἀρχομένων δὲ
ὀφθαλμὸς προκέλευθος ἐγίνετο πορθμὸς Ἐρώτων.
πλάζετο μὲν Διόνυσος ἔσω τερψίφρονος ὕλης,
λάθριος εἰς Βερόην πεφυλαγμένον ὄμμα τιταίνων,
L2[O] καὶ κατὰ βαιὸν ὄπισθεν ἐς ἀτραπὸν ἤιε κούρης·
οὐδέ οἱ εἰσορόωντι κόρος πέλεν· ἱσταμένην γὰρ
παρθένον ὅσσον ὄπωπε, τόσον πλέον ἤθελε λεύσσειν.
καὶ Κλυμένης φιλότητος ἀναμνήσας πρόμον ἄστρων
Ἠέλιον λιτάνευεν, ὀπισθοτόνων ἐπὶ δίφρων
αἰθερίωι στατὸν ἵππον ἀνασφίγγοντα χαλινῶι
μηκύνειν γλυκὺ φέγγος, ἵνα βραδὺς εἰς δύσιν ἔλθηι
φειδομένηι μάστιγι παλιμφυὲς ἦμαρ ἀέξων.
καὶ Βερόης μετρηδὸν ἐπ᾽ ἴχνεσιν ἴχνος ἐρείδων,
οἷά περ ἀγνώσσων, περιδέδρομεν· ἐκ Λιβάνου δὲ
{...} ὀκναλέου ποδὸς ἴχνος ὑποκλέπτων ἐνοσίχθων
ἐντροπαλιζομένωι βραδυπειθέι χάζετο ταρσῶι,
καὶ νόον ἀστήρικτον ὁμοίιον εἶχε θαλάσσηι,
κύμασι παφλάζοντα πολυφλοίσβοιο μερίμνης.
καὶ γλυκερῆς ἀκόρητος ἔσω Λιβανηίδος ὕλης
οἰώθη Διόνυσος ἐρημαίηι παρὰ νύμφηι,
οἰώθη Διόνυσος. Ὀρειάδες εἴπατε Νύμφαι,
τί πλέον ἤθελεν ἄλλο φιλαίτερον, ἢ χρόα κούρης
μοῦνος ἰδεῖν δυσέρωτος ἐλεύθερος ἐννοσιγαίου;
65 to 70 after 274 καὶ δολίην Διόνυσος ἔχων ἀγέλαστον ὀπωπὴν
παρθενικὴν ἐρέεινεν Ἀδώνιδος ἀμφὶ τοκῆος,
ὡς φίλος, ὡς ὁμόθηρος ὀρέδρομος· ἱσταμένης δὲ
στήθεϊ χεῖρα πέλασσε δυσίμερον, ἄκρα δὲ μίτρης
ὡς ἀέκων ἔθλιψεν· ἐπιψαύουσα δὲ μαζῶν
δεξιτερὴ νάρκησε γυναιμανέος Διονύσου.

πρωτοπαγὲς δόρυ μακρὸν ὅλον στήριγμα δεχέσθω·
ἰκρία δὲ σταμίνεσσιν ἀρηρότα δήσατε κύκλωι, Nonnus
τοίχου δουρατέου πυκινὸν τύπον· ὑψιτενὲς δὲ
σφιγγόμενον δεσμοῖσι μέσον ξύλον ὄρθιον ἔστω·
καὶ λίνεον πλατὺ φᾶρος ἐφάψατε δούρατι μέσσωι,
συμπλεκέας δὲ κάλωας ἀμοιβαδίς, ὧν ἀπὸ δεσμῶν
ἐκταδὸν ἠερίωι κολπώσατε φᾶρος ἀήτηι
ἔγκυον ἐξ ἀνέμου νηοσσόον· ἀρτιπαγῆ δὲ
φράξατε λεπταλέοισι σεσηρότα δούρατα γόμφοις,
πυκνὰ περιστρώσαντες ὁμοζυγέων ἐπὶ τοίχων
ῥίπεσιν οἰσυΐνοις, μὴ φώριον οἶδμα χυθείη
ἐνδόμυχον γλαφυροῖο κεχηνότι δούρατος ὁλκῶι.
καὶ σχεδίης οἴηκα κυβερνητῆρα πορείης
ὑγρῆς ἀτραπιτοῖο πολύστροφον ἡνιοχῆα
πάντοθι δινεύοντες, ὅπηι νόος ὑμέας ἕλκει,
δουρατέωι κενεῶνι χαράξατε νῶτα θαλάσσης,
εἰσόκε χῶρον ἵκοισθε μεμορμένον, ὁππόθι δισσαὶ
ἀσταθέες πλώουσιν ἀλήμονες εἰν ἁλὶ πέτραι,
ἃς Φύσις Ἀμβροσίας ἐπεφήμισεν, αἷς ἔνι θάλλει
ἥλικος αὐτόρριζον ὁμόζυγον ἔρνος ἐλαίης,
πέτρης ὑγροπόροιο μεσόμφαλον· ἀκροτάτοις δὲ
αἰετὸν ἀθρήσητε παρεδρήσσοντα κορύμβοις
καὶ φιάλην εὔτυκτον· ἀπὸ φλογεροῖο δὲ δένδρου
θαμβαλέους σπινθῆρας ἐρεύγεται αὐτόματον πῦρ,
καὶ σέλας ἀφλεγέος περιβόσκεται ἔρνος ἐλαίης·
καὶ φυτὸν ὑψιπέτηλον ἕλιξ ὄφις ἀμφιχορεύει, L2[O]
ἀμφότερον βλεφάροισι καὶ οὔασι θάμβος ἀέξων· 𝔹
οὐ γὰρ ἀερσιπότητον ἐς αἰετὸν ἄψοφος ἕρπων
λοξὸς ἀπειλητῆρι δράκων περιβάλλεται ὁλκῶι,
οὐδὲ διαπτύων θανατηφόρον ἰὸν ὀδόντων
ὄρνιν ἑαῖς γενύεσσι κατεσθίει, οὐδὲ καὶ αὐτὸς
αἰετὸς ἑρπηστῆρα πολυσπείρητον ἀκάνθαις
ἁρπάξας ὀνύχεσσι μετάρσιος ἠέρα τέμνει,
οὐδέ μιν ὀξυόδοντι καταγράψειε γενείω·
οὐδὲ τανυπρέμνοιο φυτοῦ πεφορημένος ὄζοις
πυρσὸς ἀδηλήτου περιβόσκεται ἔρνος ἐλαίης,
οὐδὲ δρακοντείων φολίδων σπείρημα μαραίνει
σύννομον ἀγχικέλευθον, ὁμοπλεκέων δὲ καὶ αὐτῶν
οὐ πτερύγων ὄρνιθος ἐφάπτεται ἀλλόμενον πῦρ,
οὐδὲ κύλιξ ἀτίνακτος ἐπήορος ὑψόθι πίπτει
σειομένων ἀνέμοισιν ὀλισθήσασα κορύμβων.
ἀλλὰ φυτοῦ κατὰ μέσσα φίλον σέλας ἀτμὸν ἰάλλει· up 2
καὶ σοφὸν ἀγρεύσαντες ὁμόχρονον ὄρνιν ἐλαίης
αἰετὸν ὑψιπέτην ἱερεύσατε κυανοχαίτηι,
λύθρον ἐπισπένδοντες ἁλιπλανέεσσι κολώναις
καὶ Διὰ καὶ μακάρεσσι· καὶ ἄστατος οὐκέτι πέτρη
πλάζεται ὑγφροφόρητος, ἀκινήτοις δὲ θεμέθλοις
αὐτομάτη ζωσθεῖσα συνάπτεται ἄζυγι πέτρηι.
πήξατε δ᾽ ἀμφοτέραις ἐπικείμενον ἄστυ κολώναις
ἀμφοτέρης ἑκάτερθεν ἐπὶ κρηπῖδι θαλάσσης.’

τοῖον ἔπος μαντῷιον ἀνήρυγον· ἐγρόμενοι δὲ
Γηγενέες δεδόνηντο, καὶ οὔασιν αἰὲν ἑκάστου
θέσκελος ἀπλανέων ἐπεβόμβεε μῦθος ὀνείρων.
τοῖσι δ' ἐγὼ τέρας ἄλλο μετὰ πτερόεντας ὀνείρους
ἀχνυμένοις ἀνέφηνα, φυλόκτιτον ἦθος ἀέξων
ἐσσόμενος πολιοῦχος· ὑπερκύψας δὲ θαλάσσης
ἀντίτυπον μίμημα φέρων ἰσόζυγι μορφῆι
εἰς πλόον αὐτοδίδακτον ἐνήχετο ναυτίλος ἰχθύς·
τὸν τότε παπταίνοντες ἐοικότα νηὶ θαλάσσης
καὶ πλόον εὐποίητον ἄτερ καμάτοιο μαθόντες,
καὶ σχεδίην πήξαντες ὁμοίιον ἰχθύι πόντου
ναυτιλίης τύπον ἶσον ἐμιμήσαντο θαλάσσης.
καὶ πλόος ἦν· πισύρων δὲ λίθων ἰσοελκέι φόρτωι
ναυτιλίην ἰσόμετρον ἐπιστώσαντο θαλάσσηι,
καὶ γεράνων ἀτίνακτον ἐμιμήσαντο πορείην,
αἳ στομάτων ἔντοσθεν ἀοσσητῆρα κελεύθου
λᾶαν ἐλαφρίζουσι καταχθέα, μή ποτε κείνων
ἱπταμένων πτερὰ κοῦφα παραπλάγξειεν ἀήτης,
εἰσόκε χῶρον ἐκεῖνον ἐσέδρακον, ἧχι θυέλλαις
εἰς πλόον αὐτοκέλευθον ἐναυτίλλοντο κολῶναι.
καὶ σχεδίην ἔστησαν ἁλιστεφάνωι παρὰ νήσωι,
καὶ σπιλάδων ἐπέβαινον, ὅπηι φυτὸν ἦεν Ἀθήνης.
τοῖσι δὲ μαιομένοισιν ἐφέστιον ὄρνιν ἐλαίης
αἰετὸς ἠερόφοιτος ἑκούσιον εἰς μόρον ἔστη·
Γηγενέες δὲ λαβόντες ἐύπτερον ἔνθεον ἄγρην,
ἂψ ἀνασειράζοντες ὀπισθοτόνοιο καρήνου
γυμνὸν ἐφαπλώσαντες ἐλεύθερον ἀνθερεῶνα,
αἰετὸν αὐτοκέλευθον ἐδαιτρεύσαντο μαχαίρηι
Ζηνὶ καὶ ὑγρομέδοντι· δαϊζομένου δὲ σιδήρωι
ἔμφρονος οἰωνοῖο νεοσφαγέων ἀπὸ λαιμῶν
θέσκελον ἔρρεεν αἷμα, θαλασσοπόρους δὲ κολώνας
δαιμονίαις λιβάδεσσιν ἐπερρίζωσε θαλάσσηι
ἄγχει Τύρου παρὰ πόντον· ἐπ' ἀρραγέεσσι δὲ πέτραις
Γηγενέες βαθύκολπον ἐδωμήσαντο τιθήνην.
σοὶ μέν, ἄναξ Διόνυσε, πεδοτρεφὲς αἷμα Γιγάντων
ἔννεπον αὐτολόχευτον Ὀλύμπιον, ὄφρα δαείης
ὑμετέρων προγόνων Τυρίην αὐτόχθονα φύτλην·
ἀμφὶ δὲ πηγάων μυθήσομαι· ἀρχέγονοι γὰρ
παρθενικαὶ πάρος ἦσαν ἐχέφρονες, ὧν ἐπὶ μίτρηι
θερμὸς Ἔρως κεχόλωτο, καὶ ἱμερόεν βέλος ἕλκων
τοῖον ἀλεξιγάμοισιν ἔπος ξυνώσατο Νύμφαις·
'Νηὶς Ἀβαρβαρέη φιλοπάρθενε, δέξο καὶ αὐτὴ
τοῦτο βέλος, τό περ ἔσχεν ὅλη φύσις· ἐνθάδε πήξω
παστάδα Καλλιρόης, Δροσερῆς δ' ὑμέναιον ἀείσω.
ἀλλ' ἐρέεις· 'μεθέπω διερὸν γένος, ἐκ δὲ ῥοάων
αὐτοτελὴς γενόμην, καὶ ἐμὴ τροφὸς ἔπλετο πηγή.'
Νηιὰς ἦν Κλυμένη καὶ ἀπόσπορος Ὠκεανοῖο·
ἀλλὰ γάμοις ὑπόειξεν, ἐνυμφεύθη δὲ καὶ αὐτή,
ὡς ἴδε λάτριν Ἔρωτος ἀρείονα κυανοχαίτην
οἴστρωι Κυπριδίωι δεδονημένον· ἀρχέγονος δὲ
Ὠκεανὸς ποταμοῖσι καὶ ὕδασι πᾶσι κελεύων
Τηθύος οἶδεν ἔρωτα καὶ εὐύδρους ὑμεναίους.
τέτλαθι καὶ σὺ φέρειν ἴσα Τηθύι. τοσσατίης δὲ
ἐξ ἁλὸς αἷμα φέρουσα καὶ οὐκ ὀλίγης ἀπὸ πηγῆς
ἱμείρει Γαλάτεια μελιζομένου Πολυφήμου,
καὶ βυθίη χερσαῖον ἔχει πόσιν, ἐκ δὲ θαλάσσης
πηκτίδι θελγομένη μετανάστιος εἰς χθόνα βαίνει.
καὶ πηγαὶ δεδάασιν ἐμὸν βέλος· οὔ σε διδάξω
ἵμερον ὑδατόεντα· ποθοβλήτοιο δὲ πηγῆς
ἔκλυες ὑγρὸν ἔρωτα Συρηκοσίης Ἀρεθούσης·
Ἀλφειὸν δεδάηκας, ὃς ἰκμαλέωι παρὰ παστῶι
ὑδρηλαῖς παλάμαις περιβάλλεται ἠθάδα Νύμφην.
πηγῆς αἷμα φέρουσα τί τέρπεαι ἰοχεαίρηι;
Ἄρτεμις οὐ βλάστησεν ἀφ' ὕδατος, ὡς Ἀφροδίτη.
Κύπριδι μᾶλλον ὄφελλες ἄγειν χάριν, ὅττι καὶ αὐτὴ
ἔννεπε Καλλιρόηι· Δροσερῆι μὴ κρύπτε καὶ αὐτῆι.
αὐχένα κάμψεν Ἔρωτι, καὶ εἰ τροφός ἐστιν Ἐρώτων.
δέχνυσο κέντρα πόθοιο, καὶ ὑγρονόμον δε καλέσσω
εἰς γενεήν, ἐς ἔρωτα κασιγνήτην Ἀφροδίτης.'
τοῖον ἔπος κατέλεξεν· ὀπισθοτόνοιο δὲ τόξου
τριπλόα πέμπε βέλεμνα, καὶ εὐύδρωι παρὰ παστῶι
Νηιάδων φιλότητι συνήρμοσεν υἷας ἀρούρης,
καὶ Τυρίης ἔσπειρε θεηγενὲς αἷμα γενέθλης."
τοῖα μὲν Ἡρακλέης πρόμος αἰθέρος ἔννεπε Βάκχωι
τερψινόοις ὀάροισιν· ὁ δὲ φρένα τέρπετο μύθωι,
καὶ πόρεν Ἡρακλῆι, τὸν οὐρανίη κάμε τέχνη,
χρυσοφαῆ κρητῆρα σελασφόρον· Ἡρακλέης δὲ
ἀστραίωι Διόνυσον ἀνεχλαίνωσε χιτῶνι.
καὶ θεὸν ἀστροχίτωνα Τύρου πολιοῦχον ἐάσας
Ἀσσυρίης ἑτέρης ἐπεβήσατο Βάκχος ἀρούρης.

Ὣς φαμένη παρέπεισε· μεταχρονίωι δὲ πεδίλωι
θερμὸς Ἔρως ἀκίχητος ὑπηνέμιον πόδα πάλλων
ὑψινεφὴς πτερόεντι **κατέγραφεν** ἠέρα ταρσῶι,
τόξα φέρων φλογόεντα· κατωμαδίη δὲ καὶ αὐτὴ
μειλιχίου πλήθουσα πυρὸς κεχάλαστο φαρέτρη.
ὡς δ' ὁπότ' ἀννεφέλοιο δι' αἰθέρος ὀξὺς ὁδίτης
ἐκταδίωι σπινθῆρι τιταίνεται ὄρθιος ἀστήρ,
ἢ στρατιῆι πολέμοιο φέρων τέρας ἤ τινι ναύτηι,
αἰθέρος ἔγραφε νῶτον ὀπισθιδίωι πυρὸς ὁλκῶι·
ὣς τότε θοῦρος Ἔρως πεφορημένος ὀξέι ῥοίζωι,
παλλομένων πτερύγων ἀνεμώδεα βόμβον ἰάλλων,
ἠερόθεν ῥοίζησε· καὶ Ἀσσυρίηι παρὰ πέτρηι
ἔμπυρα δισσὰ βέλεμνα μιῆι ξυνώσατο νευρῆι,
παρθενικῆς ὑπ' ἔρωτος ὁμοίιον εἰς πόθον ἕλκων
διχθαδίους μνηστῆρας ὁμοζήλων ὑμεναίων,
δαίμονα βοτρυόεντα καὶ ἡνιοχῆα θαλάσσης.
τῆμος ὁ μὲν βαθὺ κῦμα λιπὼν ἁλιγείτονος ὅρμου,
ὃς δὲ Τύρου μετὰ πέζαν, ἔσω Λιβάνοιο καρήνων
ἤντεον εἰς ἕνα χῶρον. ἀπὸ βλοσυροῖο δὲ δίφρου
πόρδαλιν ἱδρώοντα Μάρων ἀνέλυσε λεπάδνων,

τύμπανα δουπήσειεν· Ἐνυαλίωι δὲ χορεύων
Nonnus Γλαῦκον ὀιστεύσειε Μάρων ῥηξήνορι θύρσωι·
καὶ πλοκάμους Πρωτῆος ἀήθεϊ δήσατε κισσῶι,
καὶ Φαρίου πόντοιο λιπὼν Αἰγύπτιον ὕδωρ,
νεβρίδα ποικιλόνωτον ἔχων μετὰ δέρματα φώκης,
αὐχένα κυρτώσειεν ἐμοὶ θρασύν· εἰ δύναται δέ,
Σειληνῶι μεθύοντι κορυσσέσθω Μελικέρτης·
καὶ ναέτην Τμώλοιο μετὰ βρυόεντας ἐναύλους
γηραλέον Φόρκυνα διδάξατε θύρσον ἀέρειν,
καὶ Σάτυρος μενέχαρμος ἐὸν νάρθηκα τινάσσων
διψαλέον Νηρῆα μεταστήσειε θαλάσσης
up 2 ἀμπελόεις δὲ γένοιτο γέρων χερσαῖος ἀλωεύς·
ἀγραύλοις παλάμηισι· καὶ ἀρτιφύτων ἀπὸ κήπων
βόστρυχα μιτρώσασθε Παλαίμονος οἴνοπι δεσμῶι,
καί μιν ὑποδρήσσοντα μετ' Ἰσθμιάδος βυθὸν ἅλμης
πόντιον ἡνιοχῆα κομίσσατε μητέρι Ῥείηι,
εἰναλίηι μάστιγι κυβερνητῆρα λεόντων·
οὐ γὰρ ἐμὸν κατὰ πόντον ἀνεψιὸν εἰσέτι νάσσω.
ἀθρήσωι δὲ φάλαγγα δορικτήτοιο θαλάσσης
νεβρίδι κοσμηθεῖσαν· ἀπειρήτηισι δὲ Νύμφαις
κύμβαλα Νηρεΐδεσσιν ὀπάσσατε· μίξατε Βάκχαις
Ὑδριάδας· Θέτιδος δέ, καὶ εἰ γένος ἐστὶ θαλάσσης,
μούνης ξεινοδόκοιο φυλάξατε δῶμα θεαίνης·
Λευκοθέης δ' ἀπέδιλα συνάψατε ταρσὰ κοθόρνοις·
χερσαίη δὲ φανεῖσα συνέμπορος Εὐάδι Βάκχηι
L1[O] Δωρὶς ἀερτάζειεν ἐμὴν θιασώδεα πεύκην·
43.100 καὶ βυθίη Πανόπεια τιναξαμένη βρύον ἅλμης
βόστρυχα μιτρώσειεν ἐχιδνήεντι κορύμβωι·
Εἰδοθέη δ' ἀέκουσα περίκροτα ῥόπτρα δεχέσθω·
καὶ πόθον ἶσον ἔχουσαν ἐρωμανέοντι καὶ αὐτῶι
τίς νέμεσις Γαλάτειαν ὑποδρήσσειν Διονύσωι,
ἕδνον Ἀμυμώνης θαλαμηπόλον ὄφρα τελέσσηι
ἱστοπόνωι παλάμηι Λιβανηίδι πέπλον ἀνάσσηι;
ἀλλὰ γένος Νηρῆος ἐάσατε· ποντοπόρους γὰρ
δμωίδας οὐκ ἐθέλω, Βερόηι μὴ ζῆλον ἐγείρω.
καὶ κομόων γλωχῖνι τανυπτόρθοιο μετώπου
Πὰν ἐμὸς οὐρεσίφοιτος ἀτευχέι χειρὶ πιέζων
θηγαλέηι πλήξειε Ποσειδάωνα κεραίηι,
στέρνου μεσσατίοιο τυχὼν εὐκαμπέσιν αἰχμαῖς
ἢ σκοπέλωι λοφόεντι, διαρρήξειε δὲ χηλαῖς
δισσοφυῆ Τρίτωνος ὁμόζυγα κύκλον ἀκάνθης.
Γλαῦκος ἀλιβρέκτοιο διάκτορος ἐννοσιγαίου
Βάκχωι ὑποδρήσσειε, περίκροτα χερσὶν ἀείρων
αὐχενίωι τελαμῶνι παρήορα τύμπανα Ῥείης.
οὐ μούνης Βερόης περιμάρναμαι, ἀλλὰ καὶ αὐτῆς
νύμφης ἡμετέρης περὶ πατρίδος· οὔ μιν ἀράξας
ἱσταμένην ἀτίνακτον ἁλὸς μεδέων ἐνοσίχθων,
εἰναλίην περ ἐοῦσαν, ἀμαλδύνειε τριαίνηι,
ὅττι κορυσσομένωι θωρήξομαι· ἀμφότερον γάρ,
43.123 εἰ λάχε γείτονα πόντον, ἔχει φυτὰ μυρία Βάκχου,
νίκης ἡμετέρης σημήιον· ἀγχιάλου γὰρ

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The forty-first tells how Aphrodite bore Amymone a second Cypris to the son of Myrrha.

NONNUS

DIONYSIACA

BOOK 41

PREVIEW
BOOK 43

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

1 language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 427 lines 3.0
3L 1 - 427

PRINT 2-SIDED: **239** to **244**

Ἄρτι μὲν ὀφρυόεντος ὑπὲρ Λιβάνοιο καρήνων
πήξας ἀγλαόκαρπον ἐπὶ χθονὶ βότρυν ὀπώρης
οἰνοτόκους ἐμέθυσσεν ὅλης κενεῶνας ἀρούρης·
καὶ Παφίης δόμον εἶδε γαμήλιον· ἡμερίδων δὲ
ἔρνεσιν ἀρτιφύτοισι βαθύσκιον ἄλσος ἐρέψας
ἀμπελόεν πόρε δῶρον Ἀδώνιδι καὶ Κυθερείηι.
καὶ Χαρίτων χορὸς ἦεν· ἀεξιφύτοιο δὲ λόχμης
ἡμερίδων ζωστῆρι θορὼν ἐπιβήτορι παλμῶι
κισσὸς ἀερσιπότητος ἐμιτρώθη κυπαρίσσωι.
ἀλλὰ θεμιστοπόλου Βερόης παρὰ γείτονι πέζηι
ὕμνον Ἀμυμώνης, Λιβανηΐδες εἴπατε Μοῦσαι,
καὶ βυθίου Κρονίδαο καὶ εὐύμνοιο Λυαίου
Ἄρεα κυματόεντα καὶ ἀμπελόεσσαν Ἐνυώ.
ἔστι πόλις Βερόη, βιότου τρόπις, ὅρμος Ἐρώτων,
ποντοπαγής, εὔνησος, εὔχλοος, οὗ ῥάχις ἰσθμοῦ
στεινὴ μῆκος ἔχοντος, ὅπηι διδύμης μέσος ἅλμης
κύμασιν ἀμφοτέροισιν ἱμάσσεται ὄρθιος αὐχήν·
ἀλλὰ τὰ μὲν βαθύδενδρον ὑπὸ ῥάχιν αἴθοπος Εὔρου
Ἀσσυρίωι Λιβάνωι παραπέπταται, ἧχι πολίταις
ὄρθια συρίζουσα βιοσσόος ἔρχεται αὔρη,
εὐόδμοις ἀνέμοισι τινασσομένων κυπαρίσσων
καὶ δόμος ἀγρονόμων, ὅθι πολλάκις ἐγγύθι λόχμης
Πανὶ μελιζομένωι δρεπανηφόρος ἤντετο Δηώ,
καί τις ἐφ' ἱστοβοῆι γεωμόρος αὐχένα κάμψας,
ῥαίνων ἀρτιχάρακτον ὀπισθοβόλωι χθόνα καρπῶι,
L1[I] γείτονι μηλοβοτῆρι παρὰ σφυρὰ φορβάδος ὕλης,
✦ σφίγξας σύζυγα ταῦρον, ὁμίλεε κυρτὸς ἀροτρεύς.
ἄλλα δὲ πὰρ πελάγεσσιν ἔχεν πόλις, ἧχι τιταίνει
στέρνα Ποσειδάωνι, καὶ ἔμβρυον αὐχένα κούρης
πήχεϊ μυδαλέωι περιβάλλεται ὑγρὸς ἀκοίτης,
πέμπων ὑδατόεντα φιλήματα χείλεσι νύμφης·
καὶ βυθίης ἀπὸ χειρὸς ὁμευνέτις ἠθάδι κόλπωι
ἔδνα Ποσειδάωνος ἁλίτροφα πώεα λίμνης
δέχνυται, ἰχθυόεντα πολύχροα δεῖπνα τραπέζης,
εἰναλίηι Νηρῆος ἐπισκαίροντα τραπέζηι,
ἀρκτώιην παρὰ πέζαν, ὅπηι βαθυκύμονος ἀκτῆς
μηκεδανῶι κενεῶνι Βορήιος ἕλκεται αὐλών.
ἀμφὶ δὲ τερψινόοιο μεσημβρινὸν αὐχένα γαίης
εἰς ῥαχίην Νοτίην ψαμαθώδεές εἰσιν ἀταρποὶ
εἰς χθόνα Σιδονίην, ὅθι ποικίλα δένδρεα κήπων
καὶ σταφυλαὶ κομόωσι, τανυπτόρθοις δὲ πετήλοις
δάσκιος ἀπλανέεσσι τιταίνεται οἶμος ὁδίταις.
δοχμώσας δὲ ῥέεθρον ἐπ' ἠόνι πόντος ἀράσσει
ἀμφὶ δύσιν κυανωπόν, ὅπηι λιγυηχέι ταρσῶι
Ἑσπερίων Ζεφύροιο καθιππεύοντος ἐναύλων
συριγμῶι δροσόεντι Λίβυς ῥιπίζεται ἀγκών,
ἀνθεμόεις ὅθι χῶρας, ὅπηι παρὰ γείτονι πόντωι
φυταλιαὶ θαλέουσι, καὶ εὐπετάλων ἀπὸ δένδρων
ἄσθματι βομβήεντι μελίζεται ἔμπνοος ὕλη.
σύννομος ἰχθυβολῆι γέρων ἐμελίζετο ποιμήν. after 21

ἄμπελος αὐτοτέλεστος ὅλον δέμας ἔσκεπε Βάκχου,
βόστρυχα μιτρώσασα κατάσκια σύζυγι κισσῶι·
καί τις ὑπὸ ζυγόδεσμα περίπλοκον αὐχένα σείων
τρηχαλέον μύκημα σεσηρότι χείλεϊ πέμπων·
θηγαλέωι χθονὸς ἄκρα λέων ἐχαράξατο ταρσῶι, up 1
καὶ βραδὺς ἑρπύζων ἐλέφας παρὰ γείτονι πηγῆι,
ὄρθιον ἀγνάμπτοιο ποδὸς στήριγμα κολάψας,
ὄμβριον ἀζαλέοισιν ἀνήφυσε χείλεσιν ὕδωρ,
καὶ προχοὰς ξήραινε· κονιομένων δὲ ῥοάων
πηγαίην ἀχίτωνα μετήγαγε διψάδα Νύμφην.
καὶ θεὸς ὑγρομέδων ἐκορύσσετο· Νηρεΐδων δὲ
ἦν κλόνος· ἰκμαλέοι δὲ θαλασσαίων ἀπὸ νώτων
δαίμονες ἐστρατόωντο· τανυπτόρθοις δὲ κορύμβοις
δῶμα Ποσειδάωνος ἱμάσσετο, πόντιον ὕδωρ·
καὶ χθονίου λοφόεντος ἀρασσομένου κενεῶνος
ἡμερίδες Λιβάνοιο μετοχλίζοντο τριαίνηι.
καί τινα βοσκομένην μελανόχροον ἐγγύθι πόντου
εἰς βοέην ἀγέλην Ποσιδήιον ἅλματι λάβρωι
θυιάδες ἐρρώοντο· τανυγλήνοιο δὲ ταύρου
ἡ μὲν ἐφαπτομένη ῥάχιν ἔσχισεν, ἡ δὲ μετώπου
διχθαδίης ἀτίνακτα διέθλασεν ἄκρα κεραίης·
καί τις ἀλοιητῆρι διέτμαγε γαστέρα θύρσωι·
ἄλλη πλευρὸν ἔτεμνεν ὅλον βοός· ἡμιθανὴς δὲ
ὕπτιος αὐτοκύλιστος ὑπώκλασε ταῦρος ἀρούρηι·
καὶ βοὸς ἀρτιτόμοιο κυλινδομένοιο κονίηι
ἡ μὲν ὀπισθιδίους πόδας ἔσπασεν, ἡ δὲ λαβοῦσα ✦ L1[I]
προσθιδίους ἐρύεσκε, πολυστροφάλιγγι δὲ ῥιπῆι 43.50
ὄρθιον ἐσφαίρωσεν ἐς ἠέρα δίζυγα χηλήν.
καὶ στρατιῆς Διόνυσος ἐκόσμεεν ἡγεμονῆας,
στήσας πέντε φάλαγγας ἐς ὑδατόεσσαν Ἐνυώ.
τῆς πρώτης στιχὸς ἦρχε Κίλιξ εὐάμπελος Οἰνεὺς
1 υἱὸς Ἐρευθαλίωνος, ὃν ἤροσεν ἐγγύθι Ταύρου
Φυλλίδος ἀγραύλοισιν ὁμιλήσας ὑμεναίοις·
τῆς δ' ἑτέρης ἡγεῖτο μελαγχαίτης Ἑλικάων
ξανθοφυὴς ῥοδέηισι παρηίσιν, ἀμφὶ δὲ δειρῆι
πλοχμὸς ἐυστροφάλιγγος ἕλιξ ὑπεσύρετο χαίτης·
Οἰνοπίων τριτάτης, Στάφυλος προμάχιζε τετάρτης,
Οἰνομάου δύο τέκνα, φιλακρήτοιο τοκῆος·
2 πέμπτης δ' ἡγεμόνευε Μελάνθιος, ὄρχαμος Ἰνδῶν,
ὃν τέκεν Οἰνώνη Κισσηιάς, ἀμφὶ δὲ κούρωι
φυταλιῆς πλέξασα θυώδεος ἄκρα πετήλων
σπάργανα βοτρυόεντα πέριξ εἰλίξατο μήτηρ,
υἱέα χυτλώσασα μέθης ἐγκύμονι ληνῶι.
τοίη κισσοφόροισιν ὀιστεύουσα βελέμνοις
σύνδρομος ἀμπελόεντι φάλαγξ ἐκορύσσετο Βάκχωι.
καὶ στρατιὴν θώρηξε χέων λαοσσόον ἠχώ·
"Βασσαρίδες, μάρνασθε· κορυσσομένου δὲ Λυαίου
αὐλὸς ἐμὸς κερόεις πολεμήιον ἦχον ἀράσσων
ἀντίτυπον φθέγξαιτο μέλος μυκήτορι κόχλωι,
καὶ διδύμοις πατάγοισι μόθου χαλκόθροον ἠχὼ

υἱέος ἐγγὺς ἔθηκεν ἑὴν χρυσήλατον ἕδρην,
καὶ μέσον ἀγκὰς ἑλοῦσα γαληνιόωντι προσώπωι
πεπταμένωι πήχυνε γεγηθότι κοῦρον ἀγοστῶι,
γούνασι κουφίζουσα φίλον βάρος· ἀμφότερον δὲ
καὶ στόμα παιδὸς ἔκυσσε καὶ ὄμματα· θελξινόου δὲ
ἁπτομένη τόξοιο καὶ ἀμφαφόωσα φαρέτρην,
οἷά περ ἀσχαλόωσα, δολόφφονα ῥήξατο φωνήν·
"ἐλπὶς ὅλου βιότοιο, παραίφασις ἀφρογενείης,
νηλειὴς ἐμὰ τέκνα βιήσατο μοῦνα Κρονίων·
ἐννέα γὰρ πλήσασα μογοστόκα κύκλα Σελήνης
δριμὺ βέλος μεθέπουσα δυηπαθέος τοκετοῖο
Ἁρμονίην ἐλόχευσα, καὶ ἄλγεα ποικίλα πάσχει
ἀχνυμένη· κούρην δὲ μογοστόκον ἔλλαχε Λητώ,
Ἄρτεμιν Εἰλείθυιαν, ἀρηγόνα θηλυτεράων.
τέκνον Ἀμυμώνης ὁμογάστριον, οὔ σε διδάξω,
ὡς λάχον ἐξ ἁλὸς αἷμα καὶ αἰθέρος· ἀλλὰ τελέσσαι
ἤθελον ἄξιον ἔργον, ὅπως παρὰ μητρὶ θαλάσσηι
οὐρανόθεν γεγαυῖα καὶ οὐρανὸν ἐν χθονὶ πήξω·
ἀλλὰ κασιγνήτης ἐπὶ κάλλεϊ σεῖο {...} τιταίνων
θέλγε θεούς, καὶ μᾶλλον ἴσον βέλος εἰν ἑνὶ θεσμῶι
πέμπε Ποσειδάωνι καὶ ἀμπελόεντι Λυαίωι,
ἀμφοτέροις μακάρεσσιν· ἐγὼ δέ σοι ἄξια μόχθων
δῶρον ἐκηβολίης ἐπεοικότα μισθὸν ὀπάσσω·
δώσω σοι χρυσέην γαμίην χέλυν, ἣν παρὰ παστῶι
Ἁρμονίηι πόρε Φοῖβος, ἐγὼ δέ σοι ἐγγυαλίξω
L2[O] ἄστεος ἐσσομένου μνημήιον, ὄφρά κεν εἴης
41.427◆ καὶ μετὰ τοξευτῆρα λυροκτύπος, ὥς περ Ἀπόλλων."

43.1 Ὣς ὁ μὲν ἐγρεκύδοιμος Ἄρης, ὀχετηγὸς Ἐρώτων,
νυμφιδίης ἀλάλαζε μάχης θαλαμηπόλον ἠχώ,
καὶ γαμίου πολέμοιο θεμείλια πῆξεν Ἐνυώ·
καὶ κλόνον αἰθύσσων ἐνοσίχθονι καὶ Διονύσωι
θοῦρος ἔην Ὑμέναιος, ἐς ὑσμίνην δὲ χορεύων 2
χάλκεον ἔγχος ἄειρεν, Ἀμυκλαίης Ἀφροδίτης
Ἄρεος ἁρμονίην Φρυγίωι μυκώμενος αὐλῶι.
καὶ Σατύρων βασιλῆι καὶ ἡνιοχῆι θαλάσσης
παρθένος ἦεν ἄεθλον· ἀναινομένη δὲ σιωπῆι
εἰναλίου μνηστῆρος ἔχειν μετανάστιον εὐνὴν
ὑγρὸν ὑποβρυχίων ἐπεδείδιε παστὸν Ἐρώτων,
καὶ πλέον ἤθελε Βάκχον· ἔικτο δὲ Δηιανείρηι, 3
ἥ ποτε νυμφιδίοιο περιβρομέοντος ἀγῶνος
ἤθελεν Ἡρακλῆα, καὶ ἀσταθέος ποταμοῖο
ἵστατο δειμαίνουσα βοοκραίρους ὑμεναίους.
καὶ δρόμον αὐτοκέλευστον ἔχων ἑλικώδεϊ ῥόμβωι
ἀννέφελος σάλπιζε μέλος πολεμήιον αἰθήρ·
καὶ βλοσυρὸν μύκημα χέων λυσσώδεϊ λαιμῶι
Ἀσσυρίωι τριόδοντι κορύσσετο κυανοχαίτης,
σείων πόντιον ἔγχος. ἀπειλήσας δὲ θαλάσσηι
εἰς ἐνοπὴν Διόνυσος ἐκώμασεν οἴνοπι θύρσωι,
μητρὸς ὀρεσσινόμοιο καθήμενος ἅρματι Ῥείης·
43.23 καί τις ἀεξομένη παρὰ Μυγδόνος ἄντυγα δίφρου

ἐνθάδε φῶτες ἔναιον ὁμήλικες ἠριγενείης,
οὓς Φύσις αὐτογένεθλος ἀνυμφεύτωι τινὶ θεσμῶι
ἤροσε νόσφι γάμων, ἀπάτωρ, ἀλόχευτος, ἀμήτωρ,
ὁππότε συμμιγέων ἀτόμων τετράζυγι δεσμῶι
ὕδατι καὶ πυρόεντι πεφυρμένον ἠέρος ἀτμῶι
σύζυγα μορφώσασα σοφὸν τόκον ἄσπορος ἰλὺς
ἔμπνοον ἐψύχωσε γονὴν ἐγκύμονι πηλῶι,
οἷς Φύσις εἶδος ὄπασσε τελεσφόρον· ἀρχεγόνου γὰρ
Κέκροπος οὐ τύπον εἶχον, ὃς ἰοβόλωι ποδὸς ὁλκῶι
γαῖαν ἐπιξύων ὀφιώδεϊ σύρετο ταρσῶι,
νέρθε δράκων, καὶ ὕπερθεν ἀπ' ἰξύος ἄχρι καρήνου
ἀλλοφυὴς ἀτέλεστος ἐφαίνετο δίχροος ἀνήρ·
οὐ τύπον ἄγριον εἶχον Ἐρεχθέος, ὃν τέκε Γαίης
αὔλακι νυμφεύσας γαμίην Ἥφαιστος ἐέρσην·
ἀλλὰ θεῶν ἴνδαλμα γονῆς αὐτόχθονι ῥίζηι
πρωτοφανὴς χρύσειος ἐμαιώθη στάχυς ἀνδρῶν.
καὶ Βερόης νάσσαντο πόλιν πρωτόσπορον ἕδρην,
ἣν Κρόνος αὐτὸς ἔδειμε, σοφῆς ὅτε νεύματι Ῥείης
ὀκρυόεν θέτο δόρπον ἑῶι πολυχανδέι λαιμῶι,
καὶ λίθον Εἰλείθυιαν ἔχων βεβριθότι φόρτωι,
θλιβομένης πολύπαιδος ἀκοντιστῆρα γενέθλης,
χανδὸν ὅλον ποταμοῖο ῥόον νεφεληδὸν ἀφύσσων
στήθεϊ παφλάζοντι μογοστόκον ἔσπασεν ὕδωρ,
λύσας γαστέρος ὄγκον· ἐπασσυτέρους δὲ διώκων
δισσοτόκους υἱῆας ἀνήρυγεν ἔγκυος αὐχήν,
πορθμὸν ἔχων τοκετοῖο λεχώιον ἀνθερεῶνα· L2[O]
Ζεὺς τότε κοῦρος ἔην, ἔτι που βρέφος· οὔ ποτε πυκνῶι
θερμὸν ἀνασχίζουσα νέφος βητάρμονι παλμῶι
ἀστεροπὴ σελάγιζε, καὶ οὐ Τιτηνίδι χάρμηι
Ζηνὸς ἀοσσητῆρες ὀιστεύοντο κεραυνοί·
οὐδὲ συνερχομένων νεφέων μυκήτορι ῥόμβωι
βρονταίη βαρύδουπος ἐβόμβεεν ὄμβριος ἠχώ.
ἀλλὰ πόλις Βερόη προτέρη πέλεν, ἣν ἅμα γαίηι
πρωτοφανὴς ἐνόησεν ὁμήλικα σύμφυτος Αἰών·
οὐ τότε Ταρσὸς ἔην τερψίμβροτος, οὐ τότε Θήβη,
οὐ τότε Σάρδιες ἦσαν, ὅπηι Πακτωλίδος ὄχθης
χρυσὸν ἐρευγομένης ἀμαρύσσεται ὄλβιος ἰλύς,
Σάρδιες, Ἠελίοιο συνήλικες· οὐ γένος ἀνδρῶν,
οὐ τότε τις πόλις ἦεν Ἀχαιάς, οὐδὲ καὶ αὐτὴ
Ἀρκαδίη προσέληνος· ἀνεβλάστησε δὲ μούνη
πρεσβυτέρη Φαέθοντος, ὅθεν φάος ἔσχε Σελήνη,
καὶ φθαμένη χθόνα πᾶσαν, ἑῶι παμμήτορι κόλπωι
Ἠελίου νεοφεγγὲς ἀμελγομένη σέλας αἴγλης
καὶ φάος ὀψιτέλεστον ἀκοιμήτοιο Σελήνης,
πρώτη κυανέης ἀπεσείσατο κῶνον ὀμίχλης,
καὶ χάος ζοφόεσσαν ἀπεστυφέλιξε καλύπτρην·
καὶ φθαμένη Κύπροιο καὶ Ἴσθμιον ἄστυ Κορίνθου
πρώτη Κύπριν ἔδεκτο φιλοξείνωι πυλεῶνι
ἐξ ἁλὸς ἀρτιλόχευτον, ὅτε βρυχίην Ἀφροδίτην
Οὐρανίης ὤδινεν ἀπ' αὔλακος ἔγκυον ὕδωρ, 41.100

ὁππόθι νόσφι γάμων ἀρόσας ῥόον ἄρσενι λύθρωι
αὐτοτελὴς μορφοῦτο θυγατρογόνωι γόνος ἀφρῶι,
καὶ Φύσις ἔπλετο μαῖα· συναντέλλων δὲ θεαίνηι
στικτὸς ἱμάς, στεφανηδὸν ἐπ' ἰξύι κύκλον ἑλίξας,
αὐτομάτωι ζωστῆρι δέμας μίτρωσεν ἀνάσσης.
καὶ θεὸς ἰχνεύουσα δι' ὕδατος ἄψοφον ἀκτὴν
οὐ Πάφον, οὐκ ἐπὶ Βύβλον ἀνέδραμεν, οὐ πόδα χέρσωι
Κωλιάδος ῥηγμῖνος ἐφήρμοσεν, ἀλλὰ καὶ αὐτῶν
ὠκυτέρηι στροφάλιγγι παρέτρεχεν ἄστυ Κυθήρων·
καὶ χρόα φυκιόεντι περιτρίψασα κορύμβωι
πορφυρέη πέλε μᾶλλον· ἀκυμάντοιο δὲ πόντου
χεῖρας ἐρετμώσασα θεητόκον ἔσχισεν ὕδωρ
νηχομένη, καὶ στέρνον ἐπιστορέσασα θαλάσσηι
σιγαλέην ἀνέκοπτε χαρασσομένην ἅλα ταρσῶι,
καὶ δέμας ἠιώρησε, διχαζομένης δὲ γαλήνης
ποσσὶν ἀμοιβαίοισιν ὀπίστερον ὤθεεν ὕδωρ·
καὶ Βερόης ἐπέβαινε· ποδῶν δ' ἐπίβαθρα θεαίνης
ἐξ ἁλὸς ἐρχομένης ναέτης ἐψεύσατο Κύπρου.
πρώτη Κύπριν ἔδεκτο· καὶ ὑψόθι γείτονος ὅρμου
αὐτοφυεῖς λειμῶνες ἐρευγόμενοι βρύα ποίης
ἤνθεον ἔνθα καὶ ἔνθα, πολυψαμάθωι δ' ἐνὶ κόλπωι
ἠιόνες ῥοδέοισιν ἐφοινίσσοντο κορύμβοις,
πέτρη δ' ἀφριόωσα θυώδεος ἔγκυος οἴνου
πορφυρέην ὠδῖνα χαραδραίωι τέκε μαζῶι,
ληναίαις λιβάδεσσι κατάσκιον ὄμβρον ἐέρσης
L2[I] ἀργεννὴ κελάρυζε γαλαξαίωι χύσις ὁλκῶι·
✦ αὐτοχύτου δὲ μύροιο μετάρσιον ἀτμὸν ἑλίσσων
ἠερίους ἐμέθυσσε πόρους εὔοδμος ἀήτης.
καὶ τότε θοῦρον Ἔρωτα, γονῆς πρωτόσπορον ἀρχήν,
ἁρμονίης κόσμοιο φερέσβιον ἡνιοχῆα,
ἀρτιφανὴς ὤδινεν ἐπ' ὀφρύσι γείτονος ὅρμου·
καὶ πάις ὠκυπόδης, κόπον ἄρσενα ποσσὶ τινάξας,
γαστρὸς ἀμαιεύτοιο μογοστόκον ἔφθασεν ὥρην,
μητρὸς ἀνυμφεύτοιο μεμυκότα κόλπον ἀράξας,
θερμὸς ἔτι πρὸ τόκοιο· κυβιστητῆρι δὲ παλμῶι
δινεύων πτερὰ κοῦφα πύλας ὤιξε λοχείης.
καὶ ταχὺς αἰγλήεντι θορὼν ἐπὶ μητρὸς ἀγοστῶι
ἄστατος ἀκλινέεσσιν Ἔρως ἀνεπάλλετο μαζοῖς,
στήθεϊ παιδοκόμωι τετανυσμένος· εἶχε δὲ φορβῆς
ἵμερον αὐτοδίδακτον· ἀνημέλκτοιο δὲ θηλῆς
ἄκρα δακὼν γονίμων λιβάδων τεθλιμμένον ὄγκωι
οἰδαλέων ἀκόρητος ὅλον γλάγος ἔσπασε μαζῶν.
ῥίζα βίου, Βερόη, πολίων τροφός, εὖχος ἀνάκτων,
πρωτοφανής, Αἰῶνος ὁμόσπορε, σύγχρονε κόσμου,
ἕδρανον Ἑρμείαο, Δίκης πέδον, ἄστυ θεμίστων,
ἔνδιον Εὐφροσύνης, Παφίης δόμος, οἶκος Ἐρώτων,
Βάκχου τερπνὸν ἔδεθλον, ἐναύλιον Ἰοχεαίρης,
Νηρεΐδων ἀνάθημα, Διὸς δόμος, Ἄρεος αὐλή,
Ὀρχομενὸς Χαρίτων, Λιβανηίδος ἄστρον ἀρούρης,
Τηθύος ἰσοέτηρος, ὁμόδρομος Ὠκεανοῖο,

215 (120C) τοῖς ἔνι ποικίλα πάντα μεμορμένα θέσφατα κόσμου
γράμματι φοινικόεντι γέρων ἐχάραξεν Ὀφίων.
ἀλλ', ἐπεὶ ἰθυνόων με διείρεαι εἵνεκα θεσμῶν,
πρεσβυτέρηι πολίων πρεσβήια ταῦτα φυλάσσω·
εἴτ' οὖν Ἀρκαδίη προτέρη πέλεν ἢ πόλις Ἥρης,
Σάρδιες εἰ γεγάασι παλαίτεραι, εἰ δὲ καὶ αὐτὴ
Ταρσὸς ἀειδομένη πρωτόπτολις, εἰ δέ τις ἄλλη,
οὐκ ἐδάην· Κρόνιος δὲ πίναξ τάδε πάντα διδάσκει,
τίς προτέρη βλάστησε, τίς ἔπλετο σύγχρονος Ἠοῦς."
εἶπε· καὶ ἡγεμόνευεν ἐς ἀγλαὰ θέσφατα τοίχου,
εἰσόκεν ἔδρακε χῶρον, ὅπηι Βερόης περὶ πάτρης
θέσφατον ὀψιτέλεστον Ὀφιονίη γράφε τέχνη
ἐν πίνακι Κρονίωι κεχαραγμένον οἴνοπι μίλτωι·
πρωτοφανὴς Βερόη πέλε σύγχρονος ἥλικι κόσμωι,
νύμφης ὀψιγόνοιο φερώνυμος, ἣν μετανάσται
υἱέες Αὐσονίων, ὑπατήια φέγγεα Ῥώμης,
Βηρυτὸν καλέσουσιν, ἐπεὶ Λιβάνωι πέσε γείτων.
τοῖον ἔπος δεδάηκε θεοπρόπον. ἀλλ' ὅτε δαίμων
θέσκελον ἑβδομάτου πίνακος παρεμέτρεεν ἀρχήν,
δεύτερον ἐσκοπίαζεν, ὅπηι παρὰ γείτονι τοίχωι
ποικίλα παντοίης ἐχαράσσετο δαίδαλα τέχνης
μαντιπόλοις ἐπέεσσιν, ὅτι πρώτιστα νοήσει
Πὰν νόμιος σύριγγα, λύρην Ἑλικώνιος Ἑρμῆς,
δίθροον ἁβρὸς Ὕαγνις ἐυτρήτου μέλος αὐλοῦ,
Ὀρφεὺς μυστιπόλοιο θεηγόρα χεύματα μολπῆς,
καὶ Λίνος εὐεπίην Φοιβήιος, Ἀρκὰς ἀλήτης L2[I]
μέτρα δυωδεκάμηνα καὶ Ἠελίοιο πορείην,
μητέρα τικτομένων ἐτέων τετράζυγι δίφρωι,
καὶ σοφὸς Ἐνδυμίων ἑτερότροπα δάκτυλα κάμψας
γνώσεται ἄστατα κύκλα παλιννόστοιο Σελήνης
τριπλόα, καὶ στοιχεῖον ὁμόζυγον ἄζυγι μίξας
3 (1C) Κάδμος ἐυγλώσσοιο διδάξεται ὄργια φωνῆς,
θεσμὰ Σόλων ἄχραντα, καὶ ἔννομον Ἀτθίδι πεύκηι
συζυγίης ἀλύτοιο συνωρίδα δίζυγα Κέκροψ.
καὶ Παφίη μετὰ πάντα πολύτροπα δαίδαλα Μούσης
πυκνὰ πολυσπερέων παρεμέτρεεν ἔργα πολήων·
καὶ πίνακος γραπτοῖο μέσην ὑπὲρ ἄντυγα κόσμου
τοῖον ἔπος σοφὸν εὗρε πολύστιχον Ἑλλάδι Μούσηι·
4 "σκῆπτρον ὅλης Αὔγουστος ὅτε χθονὸς ἡνιοχεύσει,
Ῥώμηι μὲν ζαθέηι δωρήσεται Αὐσόνιος Ζεὺς
κοιρανέην, Βερόηι δὲ χαρίζεται ἡνία θεσμῶν,
ὁππότε θωρηχθεῖσα φερεσσακέων ἐπὶ νηῶν
φύλοπιν ὑγρομόθοιο κατευνήσει Κλεοπάτρης·
πρὶν γὰρ ἀτασθαλίη πολιπόρθιος οὔ ποτε λήξει
εἰρήνην κλονέουσα σαόπτολιν, ἄχρι δικάζει
Βηρυτὸς βιότοιο γαληναίοιο τιθήνη
γαῖαν ὁμοῦ καὶ πόντον, ἀκαμπέι τείχεϊ θεσμῶν
ἄστεα πυργώσασα, μία πτόλις ἄστεα κόσμου."
καὶ θεός, ὁππότε πᾶσαν Ὀφιονίην μάθεν ὀμφήν,
εἰς ἑὸν οἶκον ἔβαινε παλίνδρομος· ἐζομένου δὲ

216 (121C) καὶ πυμάτην παρὰ πέζαν ἐυκλώστοιο χιτῶνος
Nonnus ὠκεανὸν κύκλωσε περίδρομον ἄντυγι κόσμου.
ἀμφίπολος δέ οἱ ἦλθε καὶ ἐγγύθι θήλεος ἱστοῦ
ἱσταμένην ἤγγειλε παρὰ προθύροις Ἀφροδίτην.
καὶ θεός, ὡς ἤκουσε, μίτους ῥίψασα χιτῶνος
θέσκελον ἱστοπόνων ἀπεσείσατο κερκίδα χειρῶν·
καὶ ταχινὴ πυκάσασα δέμας χιονώδεϊ πέπλωι
φαιδροτέρη χρυσέης ὑπερίζανεν ἠθάδος ἕδρης,
δεχνυμένη Κυθέρειαν, ἀναΐξασα δὲ θώκου
τηλεφανῆ κύδηνεν ἐπερχομένην Ἀφροδίτην.
καὶ Παφίην ἵδρυσεν ἐπὶ θρόνον ἐγγὺς ἀνάσσης
Εὐρυνόμη τανύπεπλος· ἀτυζομένου δὲ προσώπου
Κύπριν ὀπιπεύουσα κατηφέι μάρτυρι μορφῆι
παντρόφος Ἁρμονίη φιλίωι μειλίξατο μύθωι·
"ῥίζα βίου, Κυθέρεια φυτοσπόρε, μαῖα γενέθλης,
ἐλπὶς ὅλου κόσμοιο, τεῆς ὑπὸ νεύματι βουλῆς
ἀπλανέες κλώθουσι πολύτροπα νήματα Μοῖραι {...}"
"... εἰρομένηι θέσπιζε, καὶ ὡς βιότοιο τιθήνη,
ὡς τροφὸς ἀθανάτων, ὡς σύγχρονος ἥλικι κόσμωι,
εἰπέ· τίνι πτολίων βασιληίδος ὄργανα φωνῆς
λυσιπόνων ἀτίνακτα φυλάσσεται ἡνία θεσμῶν;
ὅττι πολυχρονίοιο πόθου δεδονημένον οἴστρωι
Ἥρης κέντρον ἔχοντα κασιγνήτων ὑμεναίων
εἰς χρόνον ἱμείροντα τριηκοσίων ἐνιαυτῶν
Ζῆνα γάμοις ἔζευξα· χάριν δέ μοι ἄξιον ἔργων
L3[O] μισθὸν ἑοῦ θαλάμοιο νοήμονι νεῦσε καρήνωι,
✦ ὅττι μιῆι πολίων, ὧν ἔλλαχον, ἐγγυαλίξει
θεσμὰ Δίκης. ποθέω δὲ δαήμεναι, εἰ χθονὶ Κύπρου
ἠὲ Πάφωι τάδε δῶρα φυλάσσεται ἠὲ Κορίνθωι
ἢ Σπάρτηι, Λυκόοργος ὅθεν πέλεν, ἠὲ καὶ αὐτῆς
κούρης ἡμετέρης Βερόης εὐήνορι πάτρηι.
4 (2C) ἀλλὰ δίκης ἀλέγιζε καὶ ἁρμονίην πόρε κόσμωι
Ἁρμονίη γεγαυῖα βιοσσόος· εἰς σὲ γὰρ αὐτὴ
πέμψεν ἐπειγομένην με θεμιστοπόλων τροφὸς ἀνδρῶν,
Παρθένος ἀστερόεσσα· τὸ δὲ πλέον ἔννομος Ἑρμῆς
τοῦτο γέρας μεθέηκε, βιαζομένους ἵνα μούνη
ἀνέρας, οὓς ἔσπειρα, γάμου θεσμοῖσι σαώσω."
ὣς φαμένην θάρσυνε θεὰ καὶ ἀμείβετο μύθωι·
5 "γίνεο θαρσαλέη, μὴ δείδιθι, μῆτερ Ἐρώτων·
ἑπτὰ γὰρ ἐν **πινάκεσσιν** ἔχω μαντήια κόσμου,
καὶ **πίνακες** γεγάασιν ἐπώνυμοι ἑπτὰ πλανήτων.
πρῶτος ἐυτροχάλοιο φερώνυμός ἐστι Σελήνης·
@ **δεύτερος** Ἑρμείαο **πίναξ χρύσειος** ἀκούει
στίλβων, ὧι ἔνι πάντα τετεύχαται ὄργια θεσμῶν·
οὔνομα σὸν μεθέπει ῥοδόεις **τρίτος**· ὑμετέρου γὰρ
ἀστέρος Ἠώιοιο φέρει τύπον· ἑπταπόρων δὲ
τέτρατος Ἠελίοιο μεσόμφαλός ἐστι πλανήτων·
πέμπτος ἐρευθιόων πυρόεις κικλήσκεται Ἄρης·
καὶ Φαέθων Κρονίδαο φατίζεται **ἕκτος** ἀλήτης·
ἕβδομος ὑψιπόροιο Κρόνου πέλεν οὔνομα φαίνων.

ὃς Βερόην ἐφύτευσεν ἑῶι πολυπίδακι παστῶι
Τηθύος ἰκμαλέοισιν ὁμιλήσας ὑμεναίοις, Nonnus
ἥν περ Ἀμυμώνην ἐπεφήμισαν, εὖτέ ἑ μήτηρ
ὑδρηλῆς φιλότητος ὑποβρυχίηι τέκεν εὐνῆι.
ἀλλά τις ὁπλοτέρη πέλεται φάτις, ὅττι μιν αὐτὴ
ἀνδρομέης Κυθέρεια κυβερνήτειρα γενέθλης
Ἀσσυρίωι πάνλευκον Ἀδώνιδι γείνατο μήτηρ·
καὶ δρόμον ἐννεάκυκλον ἀναπλήσασα Σελήνης
φόρτον ἐλαφρίζει· φθάμενος δέ μιν ὠκέι ταρσῶι,
ἐσσομένων κήρυκα, **Λατινίδα δέλτον**, ἀείρων,
εἰς Βερόης ὠδῖνα μογοστόκος ἤλυθεν Ἑρμῆς,
καὶ Θέμις Εἰλείθυια, καὶ οἰδαλέου διὰ κόλπου
στεινομένης ὠδῖνος ἀναπτύξασα παλύπτρην
ὀξὺ βέλος κούφιζε πεπαινομένου τοκετοῖο,
θεσμὰ Σόλωνος ἔχουσα· πιεζομένη δὲ λοχείηι
λυσιτόκωι βαρὺ νῶτον ἐπικλίνασα θεαίνηι
Κύπρις ἀνωδίνεσκε, καὶ Ἀτθίδος ὑψόθι **βίβλον**
παῖδα σοφὴν ἐλόχευσε, Λακωνίδες οἷα γυναῖκες
υἱέας ὠδίνουσιν ἐπ' εὐκύκλοιο βοείης·
καὶ τόκον ἀρτιλόχευτον ἀπέπτυε θήλεϊ κόλπωι,
ἄρσενα μαῖαν ἔχουσα δικασπόλον υἱέα Μαίης·
καὶ βρέφος εἰς φάος ἦγεν. ἐχυτλώσαντο δὲ κούρην
τέσσαρες ἄστεα πάντα διιππεύοντες ἀῆται,
ἐκ Βερόης ἵνα γαῖαν ὅλην πλήσωσι θεμίστων·
τῆι δὲ λοχευομένηι πρωτάγγελος εἰσέτι θεσμῶν
Ὠκεανὸς πόρε χεῦμα λεχώιον ἰξύι κόσμου L3[O]
ἀενάωι τελαμῶνι χέων μιτρούμενον ὕδωρ·
χερσὶ δὲ γηραλέηισιν ἐς ἀρτιτόκου χρόα κούρης
σπάργανα πέπλα Δίκης ἀνεκούφισε σύντροφος Αἰών,
μάντις ἐπεσσομένων, ὅτι γήραος ἄχθος ἀμείβων,
ὡς ὄφις ἀδρανέων φολίδων σπείρημα τινάξας,
ἔμπαλιν ἡβήσειε λελουμένος οἴδμασι θεσμῶν·
θεσπεσίην δὲ θύγατρα λοχευομένης Ἀφροδίτης
σύνθροον ἐκρούσαντο μέλος τετράζυγες Ὧραι.
καὶ Παφίης ὠδῖνα τελεσσιγόνοιο μαθόντες
θῆρες ἐβακχεύοντο· λέων δέ τις ἁβρὸν ἀθύρων
χείλεϊ μειλιχίωι ῥαχίην ἠσπάζετο ταύρου,
ἀκροτέροις στομάτεσσι φίλον μυκηθμὸν ἰάλλων,
καὶ τροχαλῆι βαρύδουπον ἐπιρρήσσων πέδον ὁπλῆι
ἵππος ἀνεκροτάλιζε γενέθλιον ἦχον ἀράσσων,
καὶ ποδὸς ὑψιπόροιο θορὼν ἐπιβήτορι παλμῶι
πόρδαλις αἰολόνωτος ἐπεσκίρτησε λαγωῶι,
ὠρυγῆς δ' ὀλόλυγμα χέων φιλοπαίγμονι λαιμῶι
ἀδρύπτοις γενύεσσι λύκος προσπτύξατο ποίμνην,
καί τις ἐνὶ ξυλόχοισι λιπὼν κεμαδοσσόον ἄγρην,
ἄλλον ἔχων γλυκὺν οἶστρον, ἀμιλλητῆρι χορείηι
ὀρχηστὴρ ἐρίδαινε κύων βητάρμονι κάπρωι,
καὶ πόδας ὀρθώσασα, περιπλεχθεῖσα δὲ δειρῆι,
ἄρκτος ἀδηλήτωι δαμάλην ἠγκάσσατο δεσμῶι,
πυκνὰ δὲ κυρτώσασα φιλέψιον ἄντυγα κόρσης

πόρτις ἀνεσκίρτησε, δέμας λιχμῶσα λεαίνης,
ἡμιτελὲς μύκημα νέων πέμπουσα γενείων,
καὶ φιλίων ἐλέφαντι δράκων ἔψαυεν ὀδόντων·
καὶ δρύες ἐφθέγξαντο· γαληναίωι δὲ προσώπωι
ἠθάδα πέμπε γέλωτα φιλομμειδὴς Ἀφροδίτη,
τερπομένων ὁρόωσα λεχώια παίγνια θηρῶν.
πᾶσι μὲν ἀμφελέλιζε γεγηθότα κύκλον ὀπωπῆς,
πᾶσιν ὁμοῦ· μούνην δὲ συῶν οὐκ ἤθελε λεύσσειν
τερπωλήν, ἅτε μάντις, ἐπεὶ συὸς εἰκόνι μορφῆς
Ἄρης καρχαρόδων θανατηφόρον ἰὸν ἰάλλων
ζηλομανὴς ἤμελλεν Ἀδώνιδι πότμον ὑφαίνειν.
καὶ Βερόην γελόωσαν ἔτι βρέφος ἄμματι χειρῶν
δεξαμένη παρὰ μητρὸς ὅλου κόσμοιο τιθήνη
παρθένος Ἀστραίη, χρυσέης θρέπτειρα γενέθλης,
ἔννομα παππάζουσαν ἀνέτρεφεν ἔμφρονι μαζῶι·
παρθενίωι δὲ γάλακτι ῥοὰς βλύζουσα θεμίστων
χείλεα παιδὸς ἔδευσε, καὶ ἔβλυεν εἰς στόμα κούρης
Ἀτθίδος ἡδυτόκοιο περιθλίψασα μελίσσης
δαιδαλέην ὠδῖνα πολυτρήτοιο λοχείης,
κηρία φωνήεντα σοφῶι κεράσασα κυπέλλωι·
εἴ ποτε διψαλέη ποτὸν ἤτεεν, ὤρεγε κούρηι
Πύθιον Ἀπόλλωνι λάλον πεφυλαγμένον ὕδωρ
ἢ ῥόον Ἰλισσοῖο, τὸν ἔμπνοον Ἀτθίδι Μούσηι
Πιερικαὶ δονέουσιν ἐπ' ἠιόνι Φοιβάδες αὖραι·
κοῦραι δ' ἁβρὰ λοετρὰ χορίτιδες Ὀρχομενοῖο
L3[I] ἀμφίπολοι Παφίης μεμελημένον ἐννέα Μούσαις
✦ ἐκ κρήνης ἀρύοντο νοήμονος ἵππιον ὕδωρ.
up 3 καὶ στάχυν ἀστερόεντα περιγνάμψασα κορύμβωι
up 3 χρύσεον, οἷά περ ὁρμόν, ἐπ' αὐχένι θήκατο κούρης.
καὶ Βερόη βλάστησεν ὁμόδρομος ἰοχεαίρηι,
δίκτυα θηρητῆρος ἀερτάζουσα τοκῆος·
καὶ Παφίης ὅλον εἶδος ὁμόγνιον εἶχε τεκούσης
καὶ πόδας αἰγλήεντας· ὑπερκύψασα δὲ πόντου
χιονέωι σκαίρουσα Θέτις βητάρμονι ταρσῶι
ἄλλην ἀργυρόπεζαν ἴδεν Θέτιν· αἰδομένη δὲ
κρύπτετο δειμαίνουσα πάλιν στόμα Κασσιεπείης.
Ἀσσυρίην δ' ἑτέρην δεδοκημένος ἄζυγα κούρην
Ζεὺς πάλιν ἐπτοίητο, καὶ ἤθελεν εἶδος ἀμεῖψαι·
καί νύ κε φόρτον Ἔρωτος ἔχων ταυρώπιδι μορφῆι
ἀκροβαφὴς πεφόρητο δι' ὕδατος ἴχνος ἐρέσσων,
κουφίζων ἀδίαντον ὑπὲρ νώτοιο γυναῖκα,
εἰ μὴ μνῆστις ἔρυκε βοοκραίρων ὑμεναίων
Σιδονίς, ἀστερόεν δὲ μέλος ζηλήμονι λαιμῶι
νυμφίος Εὐρώπης μυκήσατο, Ταῦρος Ὀλύμπου,
μὴ βοὸς ἰσοτύποιο δι' αἰθέρος εἰκόνα τεύχων
ποντοπόρων στήσειε νεώτερον ἄστρον Ἐρώτων·
καὶ Βερόην διεροῖσιν ὀφειλομένην ὑμεναίοις
Nonnus γνωτῶι λεῖπεν ἄκοιτιν, ἐπιχθονίης περὶ νύμφης
ὑσμίνην γαμίης πεφυλαγμένος ἐννοσιγαίου.
τοίη ἔην Βερόη, Χαρίτων θάλος· εἴ ποτε κούρη.
217 (122C) λαροτέρην σίμβλοιο μελίρρυτον ἤπυε φωνήν,
ἡδυεπὴς ἀκόρητος ἐφίστατο χείλεσι Πειθὼ
καὶ πινυτὰς οἴστρησεν ἀκηλήτων φρένας ἀνδρῶν·
Ἀσσυρίης δ' ἔκρυπτον ὁμήγυριν ἥλικος ἥβης
ὀφθαλμοὶ γελόωντες, ἀκοντιστῆρες Ἐρώτων,
φαιδροτέραις χαρίτεσσιν, ὅσον πλέον ἄστρα καλύπτει
ἀννεφέλους ἀκτῖνας οιστεύουσα Σελήνη
πλησιφαής· λευκοὶ δὲ παρὰ σφυρὰ νείατα κούρης
πορφυρέοις μελέεσσιν ἐφοινίσσοντο χιτῶνες.
οὐ νέμεσίς ποτε τοῦτο, καὶ εἰ πλέον ἥλικος ἥβης
τηλίκον ἔλλαχεν εἶδος, ἐπεί νύ οἱ ἀμφὶ προσώπωι
κάλλεα διχθαδίων ἀμαρύσσετο φαιδρὰ τοκήων.
τὴν τότε Κύπρις ἰδοῦσα, νοήμονος ἔγκυος ὀμφῆς,
ὠκυτέρην ἐλέλιζε περιστρωφῶσα μενοινήν,
καὶ νόον ἱππεύσασα περὶ χθόνα πᾶσαν ἀλήτην
φαιδρὰ παλαιγενέων διεμέτρεε βάθρα πολήων,
ὅττι φερωνυμίην ἑλικώπιδος εἶχε Μυκήνης
στέμματι τειχιόεντι περιζωσθεῖσα Μυκήνη
Κυκλώπων κανόνεσσι, καὶ ὡς Νοτίωι παρὰ Νείλωι
Θήβης ἀρχεγόνοιο φερώνυμος ἔπλετο Θήβη·
καὶ Βερόης μενέαινεν ἐπώνυμον ἄστυ χαράξαι,
ἀντιτύπων μεθέπουσα φιλόπτολιν οἶστρον Ἐρώτων.
φραζομένη δὲ Σόλωνος ἀλεξικάκων στίχα θεσμῶν
δόχμιον ὄμμα τίταινεν ἐς εὐρυάγυιαν Ἀθήνην,
γνωτῆς ζῆλον ἔχουσα δικασπόλον· ἐσσυμένωι δὲ
ἠερίην ἀψῖδα διερροίζησε πεδίλωι L3[I]
εἰς δόμον Ἁρμονίης παμμήτορος, ὁππόθι νύμφη
εἴκελον οἶκον ἔναιε τύπωι τετράζυγι κόσμου
αὐτοπαγῆ· πίσυρες δὲ θύραι στιβαροῖο μελάθρου
ἀρραγέες πισύρεσσιν ἐμιτρώθησαν ἀήταις·
καὶ δόμον ἐρρύοντο περίτροχον εἰκόνα κόσμου
5 (3C) δμωίδες ἔνθα καὶ ἔνθα· μεριζομένων δὲ θυρέτρων
Ἀντολίη θεράπαινα πύλην περιδέδρομεν Εὔρου,
καὶ Ζεφύρου πυλεῶνα Δύσις, θρέπτειρα Σελήνης,
καὶ Νότιον πυρόεντα Μεσημβριὰς εἶχεν ὀχῆα,
καὶ πυκινὴν νεφέεσσι, παλυνομένην δὲ χαλάζηι
Ἄρκτος ὑποδρήστειρα πύλην ἐπέτασσε Βορῆος.
κεῖθι Χάρις προθοροῦσα, συνέμπορος ἀφρογενείης,
6 Εὔρου κόψε θύρετρον Ἑώιον· ἐνδόμυχος δὲ
Ἀντολίης κροκόεντος ἀρασσομένου πυλεῶνος
ἄνδραμεν Ἀστυνόμεια διάκτορος, ἱσταμένην δὲ
Κύπριν ἐσαθρήσασα παρὰ προπύλαια μελάθρου
ποσσὶ παλιννόστοισι προάγγελος ἦλθεν ἀνάσσηι.
ἡ μὲν ἐποιχομένη πολυδαίδαλον ἱστὸν Ἀθήνης
κερκίδι πέπλον ὕφαινεν· ὑφαινομένου δὲ χιτῶνος
πρώτην γαῖαν ἔπασσε μεσόμφαλον, ἀμφὶ δὲ γαίηι
οὐρανὸν ἐσφαίρωσε τύπωι κεχαραγμένον ἄστρων,
συμφερτὴν δὲ θάλασσαν ἐφήρμοσε σύζυγι γαίηι· Nonnus
καὶ ποταμοὺς ποίκιλλεν, ἐπ' ἀνδρομέωι δὲ μετώπωι
ταυροφυὴς μορφοῦτο κερασφόρος ἔγχλοος εἰκών·

καὶ γάμον αἰχμητῆρα καὶ ἱμερόεσσαν Ἐνυώ.
καί μιν ὅλην πυκάσασα γυναικείωι τινὶ κόσμωι
Κύπρις ἐπ᾽ ἀκροπόληος ἑῆς ἱδρύσατο πάτρης
παρθένον ἀμφήριστον ἀέθλιον ἁβρὸν Ἐρώτων·
ἀμφοτέροις δὲ θεοῖσι μίαν ξυνώσατο φωνήν·
"ἤθελον, εἰ δύο παῖδας ἐγὼ λάχον, ὄφρα συνάψω
τὴν μὲν ὀφειλομένην ἐνοσίχθονι, τὴν δὲ Λυαίωι·
ἀλλ᾽ ἐπεὶ οὐ γενόμην διδυμητόκος, οὐδὲ κελεύει
θεσμὰ γάμων ἄχραντα μίαν ξυνήονα κούρην
ζεῦξαι διχθαδίοισιν ἀμοιβαίοις παρακοίταις,
ἀμφὶ μιῆς ἀλόχοιο μόθος νυμφοστόλος ἔστω·
οὐ γὰρ ἄτερ καμάτου Βερόης λέχος· ἀμφὶ δὲ νύμφης
ἄμφω ἀεθλεύσοιτε γάμον προκέλευθον ἀγῶνα·
ὃς δέ κε νικήσει, Βερόην ἀνάεδνον ἀγέσθω
ἀμφοτέροις φίλος ὅρκος· ἐπεὶ περιδείδια κούρης
γείτονος ἀμφὶ πόληος, ὅπηι πολιοῦχος ἀκούω,
πατρίδα μὴ Βερόης Βερόης διὰ κάλλος ὀλέσσω·
συνθεσίας πρὸ γάμοιο τελέσσατε, μὴ μετὰ χάρμην
πόντιος ἐννοσίγαιος ἀτεμβόμενος περὶ νίκης
γαῖαν ἀιστώσειεν ἑῆς γλωχῖνι τριαίνης,
μὴ κοτέων Διόνυσος Ἀμυμώνης περὶ λέκτρων
ἄστεος ἀμπελόεσσαν ἀμαλδύνειεν ἀλωήν.
εὐμενέες δὲ γένεσθε μετὰ κλόνον· ἀμφότεροι δὲ
φίλτρον ζῆλον ἔχοντες ὁμοφροσύνης ἐνὶ θεσμῶι
κάλλεϊ φαιδροτέρωι κοσμήσατε πατρίδα νύμφης."
L1[O] ὣς φαμένης μνηστῆρες ἐπήινεον· ἀμφοτέροις δὲ
ἔμπεδος ὅρκος ἔην Κρονίδης καὶ Γαῖα καὶ Αἰθὴρ
καὶ Στύγιαι ῥαθάμιγγες· ἐπιστώσαντο δὲ Μοῖραι
συνθεσίας· καὶ δῆρις ἀέξετο πομπὸς Ἐρώτων
καὶ κλόνος· ἀμφοτέρους δὲ γαμοστόλος ὥπλισε Πειθώ.
οὐρανόθεν δὲ μολόντες ὀπιπευτῆρες ἀγῶνος
σὺν Διὶ πάντες ἔμιμνον, ὅσοι ναετῆρες Ὀλύμπου, 1
μάρτυρες ὑσμίνης Λιβανηίδος ὑψόθι πέτρης.
ἔνθα φάνη μέγα σῆμα ποθοβλήτωι Διονύσωι·
κίρκος ἀελλήεις χαλάσας πτερὸν ἔγκυον αὔρης
βοσκομένην ἐδίωκε πελειάδα· τὴν δέ τις ἄφνω
ἐκ χθονὸς ἁρπάξας ἁλιαίετος εἰς βυθὸν ἔπτη,
φειδομένοις ὀνύχεσσι μετάρσιον ὄρνιν ἀείρων.
καί μιν ἰδὼν Διόνυσος ἀπέπτυεν ἐλπίδα νίκης· 1
ἔμπης δ᾽ εἰς μόθον ἦλθεν. ἐπ᾽ ἀμφοτέρων δὲ κυδοιμῶι
ὄμματι μειδιόωντι πατὴρ κεχάρητο Κρονίων,
42.542 ✦ δῆριν ἀδελφειοῖο καὶ υἱέος ὕψι δοκεύων.
44.1 Ἤδη δ᾽ Ἰλλυρίης Δαυλάντιον ἔθνος ἀρούρης
καὶ πέδον Αἱμονίης καὶ Πήλιον ἄκρον ἐάσας
Ἑλλάδος ἐγγὺς ἵκανε, καὶ Ἀονίηι παρὰ πέζηι
στῆσε χορούς. αἰων δὲ μέλος μυκήτορος αὐλοῦ
Πανὶ Ταναγραίωι θιάσους ἐστήσατο ποιμήν·
καὶ κρήνη κελάδησεν, ὅπηι χθονὸς ἄκρον ἀράξας
ὑγρὸς ὄνυξ ἵππειος ἐπώνυμον ἔγλυφεν ὕδωρ·
44.8 Ἀσωπὸς δ᾽ ἐχόρευε πυρίπνοα χεύματα σύρων
καὶ προχοὰς ἐλέλιξε· σὺν Ἰσμηνῶι δὲ τοκῆι

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The forty-second web I have woven, where I celebrate a delightful love of Bacchos and the desire of Earthshaker.

NONNUS
DIONYSIACA
BOOK 42

PREVIEW BOOK 44

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 542 lines 3.0
3L 1 - 542

219 (123C) Ὣς φαμένη παρέπεισε· μεταχρονίωι δὲ πεδίλωι
θερμὸς Ἔρως ἀκίχητος ὑπηνέμιον πόδα πάλλων
ὑψινεφὴς πτερόεντι κατέγραφεν ἠέρα ταρσῶι,
τόξα φέρων φλογόεντα· κατωμαδίη δὲ καὶ αὐτὴ
μειλιχίου πλήθουσα πυρὸς κεχάλαστο φαρέτρη.
ὡς δ' ὁπότ' ἀννεφέλοιο δι' αἰθέρος ὀξὺς ὁδίτης
ἐκταδίωι σπινθῆρι τιταίνεται ὄρθιος ἀστήρ,
ἢ στρατιῆι πολέμοιο φέρων τέρας ἤ τινι ναύτηι,
αἰθέρος ἔγραφε νῶτον ὀπισθιδίωι πυρὸς ὁλκῶι·
ὡς τότε θοῦρος Ἔρως πεφορημένος ὀξέι ῥοίζωι,
παλλομένων πτερύγων ἀνεμώδεα βόμβον ἰάλλων,
ἠερόθεν ῥοίζησε· καὶ Ἀσσυρίηι παρὰ πέτρηι
ἔμπυρα δισσὰ βέλεμνα μιῆι ξυνώσατο νευρῆι,
παρθενικῆς ὑπ' ἔρωτος ὁμοίιον εἰς πόθον ἕλκων
διχθαδίους μνηστῆρας ὁμοζήλων ὑμεναίων,
δαίμονα βοτρυόεντα καὶ ἡνιοχῆα θαλάσσης.
τῆμος ὁ μὲν βαθὺ κῦμα λιπὼν ἁλιγείτονος ὅρμου,
ὃς δὲ Τύρου μετὰ πέζαν, ἔσω Λιβάνοιο καρήνων
ἤντεον εἰς ἕνα χῶρον. ἀπὸ βλοσυροῖο δὲ δίφρου
πόρδαλιν ἱδρώοντα Μάρων ἀνέλυσε λεπάδνων,
καὶ κόνιν ἐξετίναξε καὶ ἔκλυσεν ὕδατι πηγῆς
θερμὸν ἀναψύχων κεχαραγμένον αὐχένα θηρῶν.
ἔνθα μολὼν ἀκίχητος Ἔρως ἐπὶ γείτονι κούρηι
δαίμονας ἀμφοτέρους διδυμάονι βάλλεν ὀιστῶι,
βακχεύσας Διόνυσον ἄγειν κειμήλια νύμφηι,
L1[I] εὐφροσύνην βιότοιο καὶ οἴνοπα βότρυν ὀπώρης,
οἰστρήσας δ' ἐς ἔρωτα κυβερνητῆρα τριαίνης
διπλόον ἕδνον ἔρωτος ἄγειν ἁλιγείτονι κούρηι,
ναύμαχον ὑγρὸν Ἄρηα καὶ αἰόλα δεῖπνα τραπέζης.
καὶ πλέον ἔφλεγε Βάκχον, ἐπεὶ νόον οἶνος ἐγείρει
εἰς πόθον, ὁπλοτέρων δὲ πολὺ πλέον ἄφρονι κέντρωι
2 (1C) θελγομένην ἀχάλινον ἔχων πειθήνιον ἥβην
Βάκχον Ἔρως τόξευεν, ὅλον βέλος εἰς φρένα πήξας·
ἔφλεγε δ', ὅσσον ἔθελγεν ἐπιστάξας μέλι πειθοῦς.
ἀμφοτέρους δ' οἴστρησε· δι' αἰθερίης δὲ κελεύθου
κυκλώσας βαλίοισιν ὁμόδρομον ἴχνος ἀήταις
νηχομένωι νόθος ὄρνις ἀνηιώρητο πεδίλωι,
τοῖον ἔπος βοόων φιλοκέρτομον· ἀνέρας οἴνωι
2 εἰ κλονέει Διόνυσος, ἐγὼ πυρὶ Βάκχον ὀρίνω."
καὶ θεὸς ἀμπελόεις ἀντώπιον ὄμμα τιταίνων
ἁβρὸν ἐυπλοκάμοιο δέμας διεμέτρεε νύμφης,
θάμβος ἔχων ὀχετηγὸν ἐς ἵμερον· ἀρχομένων δὲ
ὀφθαλμὸς προκέλευθος ἐγίνετο πορθμὸς Ἐρώτων.
πλάζετο μὲν Διόνυσος ἔσω τερψίφρονος ὕλης,
λάθριος εἰς Βερόην πεφυλαγμένον ὄμμα τιταίνων,
καὶ κατὰ βαιὸν ὄπισθεν ἐς ἀτραπὸν ἤιε κούρης·
οὐδέ οἱ εἰσορόωντι κόρος πέλεν· ἱσταμένην γὰρ
Nonnus παρθένον ὅσσον ὄπωπε, τόσον πλέον ἤθελε λεύσσειν.
καὶ Κλυμένης φιλότητος ἀναμνήσας πρόμον ἄστρων
Ἠέλιον λιτάνευεν, ὀπισθοτόνων ἐπὶ δίφρων
οἷά τε γυμνωθέντα παρακλιδὸν ἄκρα δοκεύων
στήθεα μαρμαίροντα, πολυπλεκέεσσι δὲ δεσμοῖς
μαζῶν κρυπτομένων φθονερὴν ἐπεμέμφετο μίτρην,
δινεύων ἑλικηδὸν ἐρωμανὲς ὄμμα προσώπου,
παπταίνων ἀκόρητος ὅλον δέμας· οἰστρομανὴς δὲ
εἰναλίην Κυθέρειαν ἁλὸς μεδέων ἐνοσίχθων
μοχθίζων ἱκέτευε, καὶ ἀγραύλωι παρὰ ποίμνηι
παρθένον ἱσταμένην φιλίωι μειλίξατο μύθωι·
"Ἑλλάδα καλλιγύναικα γυνὴ μία πᾶσαν ἐλέγχει·
οὐ Πάφος, οὐκέτι Λέσβος ἀείδεται, οὐκέτι Κύπρου
οὔνομα καλλιτόκοιο φατίζεται· οὐκέτι μέλψω
Νάξον ἀειδομένην εὐπάρθενον· ἀλλὰ καὶ αὐτὴ
εἰς τόκον, εἰς ὠδῖνας ἐνικήθη Λακεδαίμων·
οὐ Πάφος, οὐκέτι Λέσβος, Ἀμυμώνης δὲ τιθήνη
ἀντολίη σύλησεν ὅλον κλέος Ὀρχομενοῖο,
μούνην ἀμφιέπουσα μίαν Χάριν· ὁπλοτέρη γὰρ
τρισσάων Χαρίτων Βερόη βλάστησε τετάρτη.
παρθένε, κάλλιπε γαῖαν, ὅ περ θέμις· οὐ σέο μήτηρ
ἐκ χθονὸς ἐβλάστησεν, ἁλὸς θυγάτηρ Ἀφροδίτη·
πόντον ἔχεις ἐμὸν ἕδνον ἀτέρμονα, μείζονα γαίης·
σπεῦσον ἐριδμαίνειν ἀλόχωι Διός, ὄφρά τις εἴπηι,
ὅττι δάμαρ Κρονίδαο καὶ εὐνέτις ἐννοσιγαίου
πάντοθι κοιρανέουσιν, ἐπεὶ νιφόεντος Ὀλύμπου
Ἥρη σκῆπτρον ἔχει, Βερόη κράτος ἔσχε θαλάσσης.
οὔ σοι Βασσαρίδας μανιώδεας ἐγγυαλίξω,
οὐ Σάτυρον σκαίροντα καὶ οὐ Σειληνὸν ὀπάσσω· L1[I]
ἀλλὰ τελεσσιγάμοιο τεῆς θαλαμηπόλον εὐνῆς
Πρωτέα σοι καὶ Γλαῦκον ὑποδρηστῆρα τελέσσω·
δέχνυσο καὶ Νηρῆα καί, ἢν ἐθέλῃς, Μελικέρτην·
καὶ πλατὺν ἀενάου μιτρούμενον ἄντυγι κόσμου
Ὠκεανὸν κελάδοντα τεὸν θεράποντα καλέσσω·
σοὶ ποταμοὺς ξύμπαντας ὀπάονας ἕδνον ὀπάσσω.
εἰ δὲ καὶ ἀμφιπόλοις ἐπιτέρπεαι, εἰς σὲ κομίσσω
θυγατέρας Νηρῆος· ἀναινομένη δὲ γενέσθω
μαῖα Διωνύσοιο τεὴ θαλαμηπόλος Ἰνώ."
ἔννεπε· χωομένην δὲ λιπὼν δυσπειθέα κούρην
ἠέρι μῦθον ἔειπε χέων ἀνεμώδεα φωνήν·
"Μύρρης ὄλβιε κοῦρε, λαχὼν εὔπαιδα γενέθλην
τιμὴν μοῦνος ἔχεις διδυμάονα· μοῦνος ἀκούεις
καὶ γενέτης Βερόης καὶ νυμφίος ἀφρογενείης."
τοῖα μὲν ἐννοσίγαιος ἱμάσσετο κέντορι κεστῶι·
πολλὰ δὲ δῶρα τίταινεν Ἀδώνιδι καὶ Κυθερείηι,
κούρης ἕδνον ἔρωτος. ὁμοφλέκτωι δὲ βελέμνωι
ὄλβον ἄγων Διόνυσος, ὅσον παρὰ γείτονι Γάγγηι
χρυσοφαεῖς ὠδῖνες ἐμαιώσαντο μετάλλων,
πολλὰ μάτην ἱκέτευε θαλασσαίην Ἀφροδίτην.
καὶ Παφίη δεδόνητο, πολυμνήστοιο δὲ κούρης
ἀμφοτέρους μνηστῆρας ἐδείδιεν· ἀμφοτέρων δὲ Nonnus
ἰσοτύπων ὁρόωσα πόθον καὶ ζῆλον Ἐρώτων
Ἄρεϊ νυμφιδίωι Βερόης κήρυξεν ἀγῶνα

Βάκχας ἀμφιπόλους, Σατύρους θεράποντας ὀπάσσω· 220 (124C)
Nonnus δέξό μοι ἕδνα γάμοιο καὶ ἀμπελόεσσαν ὀπώρην·
εἰ δ᾽ ἐθέλεις δόρυ θοῦρον Ἀδώνιδος οἷά τε κούρη,
θύρσον ἔχεις ἐμὸν ἔγχος· ἔα γλωχῖνα τριαίνης.
φεῦγε, φίλη, κακὸν ἦχον ἀσιγήτοιο θαλάσσης,
φεῦγε δυσαντήτων Ποσιδήιον οἶστρον Ἐρώτων.
ἄλληι Ἀμυμώνηι παρελέξατο κυανοχαίτης,
ἀλλὰ γυνὴ μετὰ λέκτρον ὁμώνυμος ἔπλετο πηγή·
καὶ Σκύλληι παρίανε καὶ εἰναλίην θέτο πέτρην·
Ἀστερίην δ᾽ ἐδίωκε, καὶ ἔπλετο νῆσος ἐρήμη·
παρθενικὴν δ᾽ Εὔβοιαν ἐνερρίζωσε θαλάσσηι.
οὗτος Ἀμυμώνην μνηστεύεται, ὄφρα καὶ αὐτὴν
λαϊνέην τελέσηι μετὰ δέμνιον· οὗτος ὀπάσσει
ἕδνον ἑῶν θαλάμων ὀλίγον ῥόον ἢ βρύον ἅλμης
ἢ βυθίην τινὰ κόχλον. ἐγὼ δέ σοι εἵνεκα μορφῆς
ἵσταμαι ἀσχαλόων, τίνα σοι, τίνα δῶρα κομίσσω·
οὐ χατέει χρυσοῖο τέκος χρυσῆς Ἀφροδίτης.
ἀλλά σοι ἐξ Ἀλύβης κειμήλια πολλὰ κομίσσω·
ἄργυρον ἀργυρύπηχυς ἀναίνεται. εἰς σὲ κομίσσω
δῶρα διαστίλβοντα φεραυγέος Ἠριδανοῖο·
Ἡλιάδων δ᾽ ὅλον ὄλβον ἐπαισχύνει σέο μορφὴ
λευκὸν ἐρευθιόωσα, βολαῖς δ᾽ ἀντίρροπος Ἠοῦς
εἴκελος ἠλέκτρωι Βερόης ἀμαρύσσεται αὐχήν
{...} καὶ λίθον ἀστράπτοντα· τεοῦ χροὸς εἶδος ἐλέγχει
μάρμαρα τιμήεντα· μὴ εἴκελον αἴθοπι λύχνωι
L2[O] λυχνίδα σοι κομίσοιμι, σέλας πέμπουσιν ὀπωπαί·
μὴ καλύκων ῥοδόεντος ἀναΐσσοντα κορύμβον
σοὶ ῥόδα δῶρα φέροιμι, ῥοδώπιδές εἰσι παρειαί.”
τοῖον ἔπος κατέλεξε· καὶ οὔατος ἔνδοθι κούρη
χεῖρας ἐρεισαμένη διδύμας ἔφραξεν ἀκουάς,
μὴ πάλιν ἄλλον Ἔρωτι μεμηλότα μῦθον ἀκούσηι,
ἔργα γάμου στυγέουσα· ποθοβλήτωι δὲ Λυαίωι 3 (2C)
μόχθωι μόχθον ἔμιξε. τί κύντερόν ἐστιν Ἐρώτων,
ἢ ὅτε θυμοβόροιο πόθου λυσσώδεϊ κέντρωι
ἀνέρας ἱμείροντας ἀλυσκάζουσι γυναῖκες
καὶ πλέον οἶστρον ἄγουσι σαόφρονες; ἐνδόμυχος δὲ
διπλόος ἐστὶν ἔρως, ὅτε παρθένος ἀνέρα φεύγει.
ὣς ὁ μὲν οἰστρήεντι πόθου μαστίζετο κεστῶι·
παρθενικῆς δ᾽ ἀπέμιμνεν· ἀμιτροχίτωνι δὲ κούρηι 3
σύνδρομον ἀγρώσσοντα νόον πόμπευεν ἀλήτην,
κέντρον ἔχων γλυκύπικρον. ἀνεσσύμενος δὲ θαλάσσης,
◆ ἴκμια διψαλέοιο δι᾽ οὔρεος ἴχνια πάλλων,
παρθενικὴν μάστευε Ποσειδάων μετανάστης,
ἄβροχον ὑδατόεντι περιρραίνων χθόνα ταρσῶι·
καί οἱ ἔτι σπεύδοντι παρὰ κλέτας εὔβοτον ὕλης
οὔρεος ἄκρα κάρηνα ποδῶν ἐλελίζετο παλμῶι.
εἰς Βερόην σκοπίαζε, καὶ ἐκ ποδὸς ἄχρι καρήνου
κούρης ἱσταμένης διεμέτρεεν ἔνθεον ἥβην·
ὀξὺ δὲ λεπταλέοιο δι᾽ εἵματος οἷα κατόπτρωι
ὄμμασιν ἀπλανέεσσι τύπον τεκμαίρετο κούρης,

αἰθερίωι στατὸν ἵππον ἀνασφίγγοντα χαλινῶι
μηκύνειν γλυκὺ φέγγος, ἵνα βραδὺς εἰς δύσιν ἔλθηι
φειδομένηι μάστιγι παλιμφυὲς ἦμαρ ἀέξων. Nonnus
καὶ Βερόης μετρηδὸν ἐπ᾽ ἴχνεσιν ἴχνος ἐρείδων,
οἷά περ ἀγνώσσων, περιδέδρομεν· ἐκ Λιβάνου δὲ {...}
ὀκναλέου ποδὸς ἴχνος ὑποκλέπτων ἐνοσίχθων
ἐντροπαλιζομένωι βραδυπειθέι χάζετο ταρσῶι,
καὶ νόον ἀστήρικτον ὁμοίιον εἶχε θαλάσσηι,
κύμασι παφλάζοντα πολυφλοίσβοιο μερίμνης.
καὶ γλυκερῆς ἀκόρητος ἔσω Λιβανηίδος ὕλης
οἰώθη Διόνυσος ἐρημαίηι παρὰ νύμφηι,
οἰώθη Διόνυσος. Ὀρειάδες εἴπατε Νύμφαι,
τί πλέον ἤθελεν ἄλλο φιλαίτερον, ἢ χρόα κούρης
μοῦνος ἰδεῖν δυσέρωτος ἐλεύθερος ἐννοσιγαίου;
καὶ δολίην Διόνυσος ἔχων ἀγέλαστον ὀπωπὴν 65 to 70 after 274
παρθενικὴν ἐρέεινεν Ἀδώνιδος ἀμφὶ τοκῆος,
ὡς φίλος, ὡς ὁμόθηρος ὀρέδρομος· ἱσταμένης δὲ
στήθεϊ χεῖρα πέλασσε δυσίμερον, ἄκρα δὲ μίτρης
ὡς ἀέκων ἔθλιψεν· ἐπιψαύουσα δὲ μαζῶν
δεξιτερὴ νάρκησε γυναιμανέος Διονύσου.
καὶ κύσε νηρίθμοισι φιλήμασι λάθριος ἕρπων
χῶρον, ὅπηι πόδα θῆκε, καὶ ἣν ἐπάτησε κονίην
παρθενικὴ ῥοδόεντι καταυγάζουσα πεδίλωι·
καὶ γλυκὺν αὐχένα Βάκχος ἐδέρκετο, καὶ σφυρὰ κούρης
νισσομένης καὶ κάλλος, ὅ περ φύσις ὤπασε νύμφηι,
κάλλος, ὅ περ φύσις εὗρε· καὶ οὐ ξανθόχροϊ κόσμωι L2[O]
χρισαμένη Βερόη ῥοδοειδέα κύκλα προσώπου
ψευδομένας ἐρύθηνε νόθωι σπινθῆρι παρειάς,
οὐ χροὸς ἀντιτύποιο διαυγέι μάρτυρι χαλκῶι
μιμηλῆς ἐγέλασσεν ἐς ἄπνοον εἶδος ὀπωπῆς
κάλλος ἐὸν κρίνουσα, καὶ οὐ τεχνήμονι θεσμῶι
πολλάκις ἰσάζουσα παρ᾽ ὀφρύσιν ἄκρα κομάων
πλαζομένης ἔστησε μετήλυδα βότρυν ἐθείρης.
ἀλλὰ γυναιμανέοντα πολὺ πλέον ὀξέι κέντρωι
ἀγλαΐαι κλονέουσιν ἀκηδέστοιο προσώπου,
καὶ πλόκαμοι ῥυπόωντες ἀκοσμήτοιο καρήνου
ἁβρότεροι γεγάασιν, ὅτ᾽ ἀπλεκέες καὶ ἀλῆται
χιονέωι στιχόωσι παρήοροι ἀμφὶ προσώπωι.
καί ποτε διψήσασα μετέστιχε γείτονα πηγήν,
οὐρανίου πυρόεντος ἱμασσομένη Κυνὸς ἀτμῶι,
χείλεσι καρχαλέοισι· καθελκομένωι δὲ καρήνωι
κάμπτετο κυρτωθεῖσα, καὶ εἰς στόμα πολλάκι κούρη
χερσὶ βαθυνομένηισιν ἀρύετο πάτριον ὕδωρ,
ἄχρι κορεσσαμένη λίπε νάματα· χαζομένης δὲ
ἱμερτῆι Διόνυσος ὑποκλίνας γόνυ πηγῆι
κοιλαίνων παλάμας ἐρατὴν μιμήσατο κούρην,
νέκταρος αὐτοχύτοιο πιὼν γλυκερώτερον ὕδωρ.
καί μιν ἐσαθρήσασα πόθου δεδονημένον οἴστρωι
πηγαίη βαθύκολπος ἀσάμβαλος ἴαχε Νύμφη·
“ψυχρὸν ὕδωρ, Διόνυσε, μάτην πίες· οὐ δύναται γὰρ

σβέσσαι δίψαν ἔρωτος ὅλος ῥόος Ὠκεανοῖο. 221 (125C)
εἴρεο σὸν γενέτην, ὅτι τηλίκον οἶδμα περήσας
νυμφίος Εὐρώπης οὐκ ἔσβεσεν ἱμερόεν πῦρ,
ἀλλ' ἔτι μᾶλλον ἔκαμνεν ἐν ὕδασιν· ὑγροπόρου δὲ
μάρτυρα λάτριν Ἔρωτος ἔχεις Ἀλφειὸν ἀλήτην,
ὅττι τόσοις ῥοθίοισι δι' ὕδατος ὕδατα σύρων
οὐ φύγε θερμὸν ἔρωτα, καὶ εἰ πέλεν ὑγρὸς ὁδίτης."
ὣς φαμένη πηγαῖον ἐδύσατο σύγχροον ὕδωρ
Νηιὰς ἀκρήδεμνος ἐπεγγελόωσα Λυαίωι.
καὶ θεὸς ὑγρομέδοντι Ποσειδάωνι μεγαίρων
εἶχε φόβον καὶ ζῆλον, ἐπεὶ πίε παρθένος ὕδωρ
ἀντὶ μέθης, καὶ κωφὸν ἐς ἠέρα ῥήξατο φωνήν,
οἷά περ εἰσαΐουσαν ἔχων πειθήμονα κούρην·
"παρθένε, δέχνυσο νέκταρ· ἔα φιλοπάρθενον ὕδωρ·
φεῦγε ποτὸν κρηναῖον, ὅπως μὴ σεῖο κορείην
ὑδατόεις κλέψειεν ἐν ὕδασι κυανοχαίτης,
ὅττι γυναιμανέων δολόεις πέλε· Θεσσαλίδος δὲ
Τυροῦς οἶδας ἔρωτα καὶ ὑγροπόρους ὑμεναίους·
καὶ σὺ ῥόον δολόεντα φυλάσσεο, μὴ σέο μίτρην
ψευδαλέος λύσειε, γαμοκλόπος ὥς περ Ἐνιπεύς.
ἤθελον εἰ γενόμην καὶ ἐγὼ ῥόος, ὡς ἐνοσίχθων,
καὶ κελάδων πήχυνα ποθοβλήτωι παρὰ πηγῆι
διψαλέην ἀφύλακτον ἐμὴν Λιβανηίδα Τυρώ."
εἶπε θεός· μελέων δὲ μετάτροπον εἶδος ἀμείψας,
ὁππόθι παρθένος ἦεν, ἐδύσατο δάσκιον ὕλην
L2[I] Εὔιος ἀγρευτῆρι πανείκελος· ἁβροκόμωι δὲ
ἀλλοφυὴς ἄγνωστος ὁμίλεεν ἄζυγι κούρηι
εἴκελος ἡβητῆρι, καὶ ἀκλινὲς ἀμφὶ προσώπωι
ψευδαλέον μίμημα σαόφφονος ἔπλασεν αἰδοῦς·
καὶ πῆι μὲν σκοπίαζεν ἐρημάδος ἄκρον ἐρίπνης,
πῆι δὲ τανυπτόρθοιο βαθύσκιον εἰς ῥάχιν ὕλης,
εἰς πίτυν ὄμμα φέρων λελιημένον, ἄλλοτε πεύκην 4 (3C)
ἢ πτελέην ἐδόκευε· φυλασσομένου δὲ προσώπου
ὄμμασι λαθριδίοισιν ἐδέρκετο γείτονα κούρην,
μή μιν ἀλυσκάζειε μετάτροπος· ἠιθέωι γὰρ
κάλλος ὀπιπεύοντι καὶ ἥλικος ὄμματα κούρης
Κυπριδίων ἐλάχεια παραίφασίς ἐστιν Ἐρώτων.
καὶ Βερόης σχεδὸν ἦλθε καὶ ἤθελε μῦθον ἐνίψαι,
ἀλλὰ φόβωι πεπέδητο· φιλεύιε, πῆι σέο θύρσοι 4
ἀνδροφόνοι; πῆι φρικτὰ κεράατα; πῆι σέο χαίτηι
γλαυκὰ πεδοτρεφέων ὀφιώδεα δεσμὰ δρακόντων;
◆ πῆι στομάτων μύκημα βαρύβρομον; ἆ μέγα θαῦμα,
παρθένον ἔτρεμε Βάκχος, ὃν ἔτρεμε φῦλα Γιγάντων·
Γηγενέων ὀλετῆρα φόβος νίκησεν Ἐρώτων·
τοσσατίων δ' ἤμησεν ἀρειμανέων γένος Ἰνδῶν,
καὶ μίαν ἱμερόεσσαν ἀνάλκιδα δείδιε κούρην,
δείδιε θηλυτέρην ἁπαλόχροον· ἐν δὲ κολώναις
θηρονόμωι νάρθηκι κατεπρήυνε λεόντων
φρικαλέον μύκημα, καὶ ἔτρεμε θῆλυν ἀπειλήν·
καί οἱ ἐριπτοίητον ὑπὸ στόμα μῦθος ἀλήτης

φάρεϊ μαρμαίρουσαν ἑὴν ἔκρυψε παρειήν.
καὶ πλέον ἔφλεγε Βάκχον, ὅτι δρηστῆρες Ἐρώτων
αἰδομένας ἔτι μᾶλλον ὀπιπεύουσι γυναῖκας,
καὶ πλέον ἱμείρουσι καλυπτομένοιο προσώπου.
καί ποτε μουνωθεῖσαν Ἀδώνιδος ἄζυγα κούρην
ἀθρήσας σχεδὸν ἦλθε, καὶ ἀνδρομέης ἀπὸ μορφῆς
εἶδος ἑὸν μετάμειψε, καὶ ὡς θεὸς ἵστατο κούρηι·
καί οἱ ἑὸν γένος εἶπε καὶ οὔνομα, καὶ φόνον Ἰνδῶν,
καὶ χορὸν ἀμπελόεντα, καὶ ἡδυπότου χύσιν οἴνου,
ὅττί μιν ἀνδράσιν εὗρε· φιλοστόργωι δὲ μενοινῆι
θάρσος ἀναιδείηι κεράσας ἀλλότριον αἰδοῦς
τοίην ποικιλόμυθον ὑποσσαίνων φάτο φωνήν·
"παρθένε, σὸν δι' ἔρωτα καὶ οὐρανὸν οὐκέτι ναίω·
σῶν πατέρων σπήλυγγες ἀρείονές εἰσιν Ὀλύμπου·
πατρίδα σὴν φιλέω πλέον αἰθέρος· οὐ μενεαίνω
σκῆπτρα Διὸς γενετῆρος, ὅσον Βερόης ὑμεναίους·
ἀμβροσίης σέο κάλλος ὑπέρτερον· αἰθερίου δὲ
νέκταρος εὐόδμοιο τεοὶ πνείουσι χιτῶνες.
παρθένε, θάμβος ἔχω σέο μητέρα Κύπριν ἀκούων,
ὅττί σε κεστὸς ἔλειπεν ἀθελγέα· πῶς δὲ σὺ μούνη
σύγγονον εἶχες Ἔρωτα καὶ οὐ μάθες οἶστρον Ἐρώτων;
οὔ σε τέκε γλαυκῶπις ἢ Ἄρτεμις. ἀλλὰ σύ, κούρη, down 3
Κύπριδος αἷμα φέρουσα τί Κύπριδος ὄργια φεύγεις; down 3
ἀλλ' ἐρέεις γλαυκῶπιν ἀπειρήτην ὑμεναίων·
νόσφι γάμου βλάστησε καὶ οὐ γάμον οἶδεν Ἀθήνη·
μὴ γένος αἰσχύνῃς μητρώιον· Ἀσσυρίου δὲ L2[I]
εἰ ἐτεὸν χαρίεντος Ἀδώνιδος αἷμα κομίζεις,
ἁβρὰ τελεσσιγάμοιο διδάσκεο θεσμὰ τοκῆος,
καὶ Παφίης ζωστῆρι συνήλικι πείθεο κεστῶι,
καὶ γαμίων πεφύλαξο δυσάντεα μῆνιν Ἐρώτων·
νηλέες εἰσὶν Ἔρωτες, ὅτε χρέος, ὁππότε ποινὴν
ἀπρήκτου φιλότητος ἀπαιτίζουσι γυναῖκας·
οἶσθα γάρ, ὡς πυρόεσσαν ἀτιμήσασα Κυθήρην
μισθὸν ἀγηνορίης φιλοπάρθενος ὤχμασε Σύριγξ,
ὅττι φυτὸν γεγαυῖα νόθηι δονακώδεϊ μορφῆι
ἔκφυγε Πανὸς ἔρωτα, πόθους δ' ἔτι Πανὸς ἀείδει·
καὶ θυγάτηρ Λάδωνος, ἀειδομένου ποταμοῖο,
ἔργα γάμων στυγέουσα δέμας δενδρώσατο Νύμφη,
ἔμπνοα συρίζουσα, καὶ ὀμφήεντι κορύμβωι
Φοίβου λέκτρα φυγοῦσα κόμην ἐστέψατο Φοίβου.
καὶ σὺ χόλον δασπλῆτα φυλάσσεο, μή σε χαλέψηι
θερμὸς Ἔρως βαρύμηνις· ἀφειδήσασα δὲ μίτρης
διπλόον ἄμφεπε Βάκχον ὀπάονα καὶ παρακοίτην·
καὶ λίνα σοῖο τοκῆος Ἀδώνιδος αὐτὸς ἀείρων
λέκτρον ἐγὼ στορέσοιμι κασιγνήτης Ἀφροδίτης.
ποιά σοι ἐννοσίγαιος ἐπάξια δῶρα κομίσσει;
ἦ ῥά σοι ἕδνα γάμοιο λελέξεται ἁλμυρὸν ὕδωρ,
καὶ στορέσει πνείοντα δυσώδεα πόντιον ὀδμὴν
δέρματα φωκάων, Ποσιδήια πέπλα θαλάσσης;
δέρματα φωκάων μὴ δέχνυσο· σεῖο δὲ παστῶι

up 8 ἠνίδε, πῶς ὑάκινθος ἐπέτρεχε γείτονι μύρτωι,
up 8 πῶς γελάαι νάρκισσος ἐπιθρώισκων ἀνεμώνηι.'
Nonnus δέξο δὲ γειοπόνον με τεῆς ὑποεργὸν ἀλωῆς·
ὑμετέρης με κόμισσε φυτηκόμον ἀφρογενείης,
ὄφρα φυτὸν πήξαιμι φερέσβιον, ἡμερίδων δὲ
ὄμφακα γινώσκω νεοθηλέα χερσὶν ἀφάσσων.
οἶδα, πόθεν ποτὲ μῆλα πεπαίνεται· οἶδα φυτεῦσαι
καὶ πτελέην τανύφυλλον ἐρειδομένην κυπαρίσσωι·
ἄρσενα καὶ φοίνικα γεγηθότα θηλεϊ μίσγω,
καὶ κρόκον, ἣν ἐθέλῃς, παρὰ μίλακι καλὸν ἀέξω.
μή μοι χρυσὸν ἄγοις κομιδῆς χάριν· οὐ χρέος ὄλβου·
μισθὸν ἔχω δύο μῆλα, μιῆς ἕνα βότρυν ὀπώρης."
τοῖα μάτην ἀγόρευε, καὶ οὐκ ἠμείβετο κούρη
Βάκχου μὴ νοέουσα γυναιμανέος στίχα μύθων.
ἀλλὰ δόλωι δόλον ἄλλον ἐπέρραφεν Εἰραφιώτης·
καὶ Βερόης ἀπὸ χειρὸς ἐδέχνυτο δίκτυα θήρης
οἷά τε θαμβήσας τεχνήμονα, πυκνὰ δὲ σείων
εἰς χρόνον ἀμφελέλιζε, καὶ εἴρετο πολλάκι κούρην·
"τίς θεὸς ἔντεα ταῦτα, τίς οὐρανίη κάμε τέχνη;
τίς κάμε; καὶ γὰρ ἄπιστον ἔχω νόον, ὅττι τελέσσει
ζηλομανὴς Ἥφαιστος Ἀδώνιδι τεύχεα θήρης."
εἶπεν ἀκηλήτοιο παραπλάζων φρένα κούρης.
καί ποτε πεπταμένων ἀνεμωνίδος ὑψόθι φύλλων
νήδυμον ὕπνον ἴαυεν· ὄναρ δέ οἱ ἔπλετο κούρη
εἵματι νυμφιδίωι πεπυκασμένη. ἀντίτυπον γὰρ
L3[O] ἔργον, ὅ περ τελέει τις ἐν ἤματι, νυκτὶ δοκεύει·
βουκόλος ὑπνώων κεραοὺς βόας εἰς νομὸν ἕλκει·
δίκτυα θηρητῆρι φαείνεται ὄψις ὀνείρου·
γειοπόνοι δ' εὕδοντες ἀροτρεύουσιν ἀρούρας,
αὔλακα δὲ σπείρουσι φερέσταχυν· ἀζαλέηι δὲ
ἄνδρα μεσημβρίζοντα κατάσχετον αἴθοπι δίψηι
εἰς ῥόον, εἰς ἀμάρην ἀπατήλιος ὕπνος ἐλαύνει.
οὕτω καὶ Διόνυσος, ἔχων ἰνδάλματα μόχθων,
μιμηλῶι πτερόεντα νόον πόμπευεν ὀνείρωι,
καὶ σκιεροῖσι γάμοισιν ὁμίλεεν. ἐγρόμενος δὲ
παρθένον οὐκ ἐκίχησε, καὶ ἤθελεν αὖτις ἰαύειν·
καὶ κενεὴν ἐκόμισσε μινυνθαδίης χάριν εὐνῆς,
εὕδων ἐν πετάλοισι ταχυφθιμένης ἀνεμώνης.
μέμφετο δ' ἀφθόγγων πετάλων χύσιν· ἀχνύμενος δὲ
Ὕπνον ὁμοῦ καὶ Ἔρωτα καὶ ἑσπερίην Ἀφροδίτην
τὴν αὐτὴν ἱκέτευεν ἰδεῖν πάλιν ὄψιν ὀνείρου,
◆ φάσμα γάμου ποθέων ἀπατήλιον. ἄγχι δὲ μύρτου
πολλάκι Βάκχος ἴαυε, καὶ οὐ γαμίου τύχεν ὕπνου.
ἀλλὰ πόνον γλυκὺν εἶχε, ποθοβλήτωι δὲ καὶ αὐτὸς
λυσιμελὴς Διόνυσος ἐλύετο γυῖα μερίμνηι.
καὶ Βερόης γενετῆρι συνέμπορος, υἱέι Μύρρης,
θηροσύνην ἀνέφηνεν· ἀκοντιστῆρι δὲ θύρσωι
στικτὰ νεοσφαγέων ὑπεδύσατο δέρματα νεβρῶν,
λάθριος εἰς Βερόην δεδοκημένος· ἱσταμένου δὲ
παρθένος ἄστατον ὄμμα φυλασσομένη Διονύσου

222 (126C) γλῶσσαν ἐς ἀκροτάτην ἐτιταίνετο χείλεϊ γείτων,
ἐκ φρενὸς ἀίσσων καὶ ἐπὶ φρένα νόστιμος ἕρπων· Nonnus
ἀλλὰ φόβον γλυκύπικρον ἔχων αἰδήμονι σιγῆι
εἰς φάος ἐσσυμένην παλινάγρετον ἔσπασε φωνήν.
καὶ μόγις ὑστερόμυθον ὑπὸ στόμα δεσμὸν ἀράξας
αἰδοῦς ἀμβολιεργὸν ἀπεσφήκωσε σιωπήν,
καὶ Βερόην ἐρέεινε χέων ψευδήμονα φωνήν·
"Ἄρτεμι, πῆι σέο τόξα; τίς ἥρπασε σεῖο φαρέτρην;
πῆι λίπες, ὃν φορέεις ἐπιγουνίδος ἄχρι χιτῶνα;
πῆι σέο κεῖνα πέδιλα, θοώτερα κυκλάδος αὔρης;
πῆι χορὸς ἀμφιπόλων; πῆι δίκτυα; πῆι κύνες ἀργαί;
οὐ δρόμον ἐντύνεις κεμαδοσσόον· οὐκ ἐθέλεις γὰρ
ἀγρώσσειν, ὅθι Κύπρις Ἀδώνιδος ἐγγὺς ἰαύει."
ἔννεπε θάμβος ἔχων ἀπατήλιον· ἐν κραδίηι δὲ
παρθενικὴ μείδησεν· ἀπειροκάκωι δὲ μενοινῆι
αὐχένα γαῦρον ἄειρεν ἀγαλλομένη χάριν ἥβης,
ὅττι, γυνή περ ἐοῦσα, φυὴν ἤικτο θεαίνηι·
οὐδὲ δόλον γίνωσκε νοοπλανέος Διονύσου.
καὶ πλέον ἄχνυτο Βάκχος, ἐπεὶ πόθον οὐ μάθε κούρη
οἶστρον ἐὸν βαρύμοχθον, ἐπισταμένης ὅτι κούρης
νήπιον ἦθος ἔχουσα, καὶ ἤθελεν, ὄφρα δαείη up 1
ὄψιμος ἠιθέωι περιλείπεται ἐλπὶς Ἐρώτων
ἐσσομένης φιλότητος, ἐπ' ἀπρήκτωι δὲ μενοινῆι
ἀνέρες ἱμείρουσιν, ὅτ' ἀγνώσσουσι γυναῖκες.
καὶ θεὸς ἦμαρ ἐπ' ἦμαρ ἔσω πιτυώδεος ὕλης
δείελος, εἰς μέσον ἦμαρ, Ἑώιος, Ἕσπερος ἕρπων, L3[O]
παρθενικῆι παρέμιμνε, καὶ ἤθελεν εἰσέτι μίμνειν·
πάντων γὰρ κόρος ἐστὶ παρ' ἀνδράσιν, ἡδέος ὕπνου
μολπῆς τ' εὐκελάδοιο καὶ ὁππότε κάμπτεται ἀνὴρ
εἰς δρόμον ὀρχηστῆρα· γυναιμανέοντι δὲ μούνωι
οὐ κόρος ἐστὶ πόθων· ἐψεύσατο βίβλος Ὁμήρου.
5 (4C) καὶ μογέων Διόνυσος ὑπεβρυχᾶτο σιωπῆι,
δαιμονίηι μάστιγι τετυμμένος, ἔνδοθι πέσσων
κρυπτὸν ἀκοιμήτων ὑποκάρδιον ἕλκος Ἐρώτων.
ὡς δ' ὅτε βοῦς ἀκίχητος ἔσω πλαταμῶνος ὁδεύων
ἑσμὸν ὀρεσσινόμων παρεμέτρεεν ἠθάδα ταύρων
οἰστρηθεὶς ἀγέληθεν, ὃν εὐπετάλωι παρὰ λόχμηι
ἀπροϊδής, ὀλίγωι δὲ δέμας βεβολημένος οἴστρωι
5 βουτύπος ὀξυόεντι μύωψ ἐχαράσσετο κέντρωι up 1
τηλίκος ἐστυφέλικτο, καὶ ὄρθιον ὑψόθι νώτου
ἂψ ἀνασειράζων παλινάγρετον ἔσπασεν οὐρὴν
κυρτὺς ἐπιτρίβων σχοπέλων ῥάχιν, ἀντίτυπον δὲ
ὀξὺ κέρας δόχμωσεν ἀνούτατον ἠέρα τύπτων·
οὕτω καὶ Διόνυσον, ὃν ἔστεφε πολλάκι νίκη,
βαιὸς Ἔρως οἴστρησε βαλὼν πανθελγέι κέντρωι.
ὀψὲ δὲ μαστεύων γλυκὺ φάρμακον εἰς Ἀφροδίτην
Πανὶ δασυστέρνωι Παφίης ἐγκύμονι μύθωι
Κυπριδίην ἄγρυπνον ἑὴν ἀνέφαινεν ἀνάγκην,
καὶ βουλὴν ἐρέεινεν, ἀλεξήτειραν Ἐρώτων.
καὶ καμάτους Βάκχοιο πυριπνείοντας ἀκούων

Πὰν κερόεις ἐγέλασσε, κατεκλάσθη δὲ μενοινῆι 223 (127C)
οἰκτείρων δυσέρωτα δυσίμερος· εἶπε δὲ βουλὴν
Κυπριδίην· ὀλίγην δὲ παραίφασιν εἶχεν Ἐρώτων
ἄλλον ἰδὼν φλεχθέντα μιῆς σπινθῆρι φαρέτρης·
“ξυνὰ παθών, φίλε Βάκχε, τεὰς ᾤκτειρα μερίμνας·
καὶ σὲ πόθεν νίκησεν Ἔρως θρασύς; εἰ θέμις εἰπεῖν,
εἰς ἐμὲ καὶ Διόνυσον Ἔρως ἐκένωσε φαρέτρην.
ἀλλὰ πόθου δολίοιο πολύτροπον ἦθος ἐνίψω.
πᾶσα γυνὴ ποθέει πλέον ἀνέρος, αἰδομένη δὲ
κεύθει κέντρον Ἔρωτος ἐρωμανέουσα καὶ αὐτή,
καὶ μογέει πολὺ μᾶλλον, ἐπεὶ σπινθῆρες Ἐρώτων
θερμότεροι γεγάασιν, ὅτε κρύπτουσι γυναῖκες
ἐνδόμυχον πραπίδεσσι πεπαρμένον ἰὸν Ἐρώτων.
καὶ γὰρ ὅτ᾽ ἀλλήληισι πόθων ἐνέπουσιν ἀνάγκην,
λυσιπόνοις ὀάροισιν ὑποκλέπτουσι μερίμνας
Κυπριδίας. σὺ δέ, Βάκχε, τεῶν ὀχετηγὸν Ἐρώτων
μιμηλῆς ἐρύθημα φέρων ἀπατήλιον αἰδοῦς,
οἷα σαοφρονέουσαν ἔχων ἀγέλαστον ὀπωπήν,
ὡς ἀέχων Βερόης σχεδὸν ἵστασο· καὶ λίνα πάλλων
θαύματι μὲν δολίωι ῥοδοειδέα δέρκεο κούρην,
κάλλος ἐπαινήσας, ὅτι τηλίκον οὐ λάχεν Ἥρη,
down 10 πεπταμένηι δὲ μέτωπον ἀφειδέι χειρὶ πατάξας
down 10 ψευδαλέον σέο θάμβος ἐχέφρονι δείκνυε σιγῆι.
καὶ Χάριτας κίκλησκε χερείονας, ἀμφοτέρων δὲ
μορφῆι μῶμον ἄναπτε, καὶ Ἀρτέμιδος καὶ Ἀθήνης,
L3[I] καὶ Βερόην ἀγόρευε φαεινοτέρην Ἀφροδίτης·
κούρη δ᾽ εἰσαΐουσα τεὴν ψευδήμονα μομφὴν
αἴνωι τερπομένη πλέον ἵσταται· οὐκ ἐθέλει γὰρ
ὄλβον ὅλον χρύσειον, ὅσον ῥοδέης περὶ μορφῆς
εἰσαΐειν, ὅτι κάλλος ὑπέρβαλεν ἥλικος ἥβης.
παρθενικὴν δ᾽ ἐς ἔρωτα νοήμονι θέλγε σιωπῆι,
κινυμένων βλεφάρων ἀντώπια νεύματα πέμπων· 6 (5C)
ἀλλὰ φόβος μεθέκει σε σαόφρονος ἐγγύθι κούρης·
εἰπέ, τί σοὶ ῥέξει μία παρθένος; οὐ δόρυ πάλλει,
οὐ ῥοδέηι παλάμηι τανύει βέλος· ἔγχεα κούρης
ὀφθαλμοὶ γεγάασιν ἀκοντιστῆρες Ἐρώτων,
παρθενικῆς δὲ βέλεμνα ῥοδώπιδές εἰσι παρειαί.
ἕδνα δὲ σοῖο πόθοιο, τεῆς κειμήλια νύμφης,
μὴ λίθον Ἰνδώιην, μὴ μάργαρα χειρὶ τινάξηις, 6
οἷα γυναιμανέοντι πέλει θέμις· εἰς Παφίην γὰρ
ἀμφιέπεις τεὸν εἶδος ἐπάρκιον, εὐαφέος δὲ
◆ κάλλεος ἱμείρουσι καὶ οὐ χρυσοῖο γυναῖκες.
μαρτυρίης ἑτέρης οὐ δεύομαι· ἁβροκόμου γὰρ
ποῖα παρ᾽ Ἐνδυμίωνος ἐδέξατο δῶρα Σελήνη;
Κύπριδι ποῖον Ἄδωνις ἐδείκνυεν ἕδνον Ἐρώτων;
ἄργυρον Ὠρίων οὐκ ὤπασεν ἠριγενείηι·
οὐ Κέφαλος πόρεν ὄλβον ἐπήρατον· ἀλλ᾽ ἄρα μοῦνος
Nonnus χωλὸς ἐὼν Ἥφαιστος ἀθελγέος εἵνεκα μορφῆς
ὤπασε ποικίλα δῶρα, καὶ οὐ παρέπεισεν Ἀθήνην·
οὐ πέλεκυς χραίσμησε λεχώιος· ἀλλὰ θεαίνης
ἱμείρων ἀφάμαρτε. σὲ δὲ ζυγίων ὑμεναίων
φέρτερον, ἢν ἐθέληις, θελκτήριον ἄλλο διδάξω·
βάρβιτα χειρὶ λίγαινε, τεῆς ἀναθήματα Ῥείης,
Κύπριδος ἁβρὸν ἄγαλμα παροίνιον· ἀμφοτέροις δὲ
πλήκτροις καὶ στομάτεσσι χέων ἑτερόθροον ἠχώ,
Δάφνην πρῶτον ἄειδε καὶ ἀσταθέος δρόμον Ἠχοῦς
καὶ κτύπον ὑστερόφωνον ἀσιγήτοιο θεαίνης,
ὅττι θεοὺς ποθέοντας ἀπέστυγον· ἀλλὰ καὶ αὐτὴν
μέλπε Πίτυν φυγόδεμνον, ὀρειάσι σύνδρομον αὔραις,
Πανὸς ἀλυσκάζουσαν ἀνυμφεύτους ὑμεναίους·
μέλπε μόρον φθιμένης αὐτόχθονα· μέμφεο γαίηι.
καὶ τάχα δακρύσειε γοήμονος ἄλγεα νύμφης
καὶ μόρον οἰκτείρουσα· σὺ δὲ φρένα τέρπεο σιγῆι
μυρομένης ὁρόων μελιηδέα δάκρυα κούρης·
οὐδὲ γέλως πέλε τοῖος, ἐπεὶ πλέον οἴνοπι μορφῆι
ἱμερταὶ γεγάασιν, ὅτε στενάχουσι γυναῖκες.
μέλψον ἐρωμανέουσαν ἐπ᾽ Ἐνδυμίωνι Σελήνην,
μέλπε γάμον χαρίεντος Ἀδώνιδος, εἰπὲ καὶ αὐτὴν
αὐχμηρὴν ἀπέδιλον ἀλωομένην Ἀφροδίτην,
νυμφίον ἰχνεύουσαν ὀρίδρομον· οὐδέ σε φεύγει
πατρώιων ἀΐουσα μελίφρονα θεσμὸν Ἐρώτων.
σοὶ μὲν ἐγὼ τάδε πάντα, δυσίμερε Βάκχε, πιφαύσκω·
ἀλλά με καὶ σὺ δίδαξον ἐμῆς θελκτήριον Ἠχοῦς.”
ὣς εἰπὼν ἀπέπεμπε γεγηθότα παῖδα Θυώνης.
καί ποτε νηπιάχοισιν ἐν ἤθεσιν εἴρετο κούρη
υἷα Διὸς παρεόντα, τίς ἔπλετο καὶ τίνος εἴη· L3[I]
καὶ πρόφασιν μόγις εὗρε παρὰ προθύροις Ἀφροδίτης
ὄρχατον ἀμπελόεντα καὶ ὄμπνια λήια γαίης
καὶ δροσερὸν λειμῶνα καὶ αἰόλα δένδρα δοκεύων
ἤθεσι κερδαλέοισι· καί, οἷά τε γηπόνος ἀνήρ,
ἀμφὶ γάμου τινὰ μῦθον ἀσημάντωι φάτο φωνῆι·
“εἰμὶ τεοῦ Λιβάνοιο γεωμόρος· ἢν ἐθελήσηις,
ἀρδεύω σέο γαῖαν, ἐγὼ σέο καρπὸν ἀέξω.
Ὡράων πισύρων νοέω δρόμον· ἱσταμένην δὲ
νύσσαν ὀπιπεύων φθινοπωρίδα τοῦτο βοήσω·
‘Σκορπίος ἀντέλλει βιοτήσιος, ἔστι δὲ κῆρυξ
αὔλακος εὐκάρποιο· βόας ζεύξωμεν ἀρότρωι.
Πληιάδες δύνουσι· πότε σπείρωμεν ἀρούρας;
αὔλακες ὠδίνουσιν, ὅτε δρόσος εἰς χθόνα πίπτει
αὐομένην Φαέθοντι.’ καὶ Ἀρκάδος ἐγγὺς Ἀμάξης.
χείματος ὀμβρήσαντος ἰδὼν Ἀρκτοῦρον ἐνίψω·
‘διψαλέη πότε γαῖα Διὸς νυμφεύεται ὄμβρωι;’
εἴαρος ἀντέλλοντος Ἑώιος εἰς σὲ βοήσω·
‘ἄνθεα σεῖο τέθηλε· πότε κρίνα καὶ ῥόδα τίλλω;
καὶ σταφυλὴν ὁρόων θέρεος παρεόντος ἐνίψω·
‘ἄμπελος ἡβώουσα πεπαίνεται ἄμμορος ἅρπης·
παρθένε, σύγγονος ἦλθε· πότε τρυγόωμεν ὀπώρην;
σὸς στάχυς ἠέξητο καὶ ἀμητοῖο χατίζει· Nonnus
λήιον ἀμήσω σταχυηφόρον, ἀντὶ δὲ Δηοῦς
μητρὶ τεῆι ῥέξαιμι θαλύσια Κυπρογενείηι.’

Τειρεσίας δ' ἱέρευσεν ἀλεξικάκωι Διονύσωι
Nonnus βωμὸν ἀναστήσας, ἵνα Πενθέος ὕβρυν ἐρύξηι
καὶ χόλον ἀπρήυντον ἀποσκεδάσειε Λυαίου·
ἀλλὰ μάτην ἱκέτευσεν, ἐπεὶ λίνον ἤλυθε Μοίρης.
καὶ Σεμέλης γενέτην ἐκαλέσσατο μάντις ἐχέφρων,
ὄφρα μετασχήσωσι χοροστασίην Διονύσου.
βοιθομένοις δὲ πόδεσσι γέρων ὠρχήσατο Κάδμος
στέψας Ἀονίωι χιονώδεα βόστρυχα κισσῶι·
Τειρεσίας δ' ὁμόφοιτος ἑὸν πόδα νωθρὸν ἑλίσσων,
Μυγδονίωι Φρύγα κῶμον ἀνακρούων Διονύσωι,
εἰς χορὸν ἀίσσοντι συνέμπορος ἤιε Κάδμωι
γηραλέον νάρθηκι θεουδέι πῆχυν ἐρείσας.
ἀθρήσας δὲ γέροντας ὁμήλυδας ὄμματι λοξῶι
Τειρεσίαν καὶ Κάδμον ἀτάσθαλος ἴαχε Πενθεύς·
"Κάδμε, τί μαργαίνεις; τίνι δαίμονι κῶμον ἐγείρεις;
Κάδμε, μιαινομένης ἀποκάτθεο κισσὸν ἐθείρης,
κάτθεο καὶ νάρθηκα νοοπλανέος Διονύσου·
Ὀγκαίης δ' ἀνάειρε σαόφρονα χαλκὸν Ἀθήνης.
νήπιε Τειρεσία, στεφανηφόρε, ῥῖψον ἀήταις
σῶν πλοκάμων τάδε φύλλα, νόθον στέφος· ἀντὶ δὲ θύρσου
Φοίβου μᾶλλον ἄειρε τεὴν Ἰσμηνίδα δάφνην.
αἰδέομαι σέο γῆρας, ἀμετροβίων δὲ καὶ αὐτῶν
μάρτυρα σῶν ἐτέων πολιὴν πλοκαμῖδα γεραίρω·
εἰ μὴ γὰρ τόδε γῆρας ἐρήτυε καὶ σέο χαίτη,
καί κεν ἀλυκτοπέδηισιν ἐγὼ σέο χεῖρας ἑλίξας
L1[O] δέσμιον ἀχλυόεντι κατεσφρήγισσα μελάθρωι.
σὸς νόος οὔ με λέληθε· σὺ γὰρ Πενθῆι μεγαίρων
μαντοσύναις δολίηισι νόθον θεὸν ἀνέρα τεύχεις,
δῶρα λαβὼν Λυδοῖο παρ' ἀνέρος ἠπεροπῆος,
δῶρα πολυχρύσοιο φατιζομένου ποταμοῖο.
ἀλλ' ἐρέεις, ὅτι Βάκχος ἐποίνιον εὗρεν ὀπώρην·
οἶνος ἀεὶ μεθύοντας ἐφέλκεται εἰς Ἀφροδίτην,
εἰς φόνον ἀσταθέος νόον ἀνέρος οἶνος ἐγείρει.
ἀλλὰ Διὸς γενετῆρος ἔχει δέμας ἠὲ χιτῶνας·
χρύσεα πέπλα φέρων, οὐ νεβρίδας, ὑψιμέδων Ζεὺς
ἀστράπτει μακάρεσσι· καὶ ἀνδράσι μάρναται Ἄρης
χάλκεον ἔγχος ἔχων, οὐκ οἴνοπα θύρσον ἀείρων·
οὐ βοέοις κεράεσσι κερασφόρος ἐστὶν Ἀπόλλων.
μὴ ποταμὸς Σεμέλην νυμφεύσατο, καὶ τέκε νύμφη
υἷα νόθον κερόεντα βοοκραίρωι παρακοίτηι;
ἀλλ' ἐρέεις· 'γλαυκῶπις ἐς ἄρσενα δῆριν ἱκάνει
σύγγονον ἔγχος ἔχουσα καὶ ἀσπίδα Παλλὰς Ἀθήνη'
{…} αἰγίδα καὶ σὺ τίταινε τεοῦ Κρονίδαο τοκῆος."
ὣς φαμένου Πενθῆος ἀμείβετο μάντις ἐχέφρων·
"τί κλονέεις Διόνυσον, ὃν ἤροσεν ὑψιμέδων Ζεύς,
ὃν Κρονίδης ὤδινε πατὴρ ἐγκύμονι μηρῶι,
παιδοκόμωι δὲ γάλακτι θεητόκος ἔτρεφε Ῥείη,
ὃν πάρος ἡμιτέλεστον ἔτι πνείοντα τεκούσης
45.100 ἀφλεγέες σπινθῆρες ἐχυτλώσαντο κεραυνοῦ;
45.101 οὗτος ἀμαλλοτόκωι Δημήτερι μοῦνος ἐρίζει
ἀντίτυπον σταχύεσσιν ἔχων εὔβοτρυν ὀπώρην.

1

✦ row of last line.
simile or omen crux

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT
Look again at the forty-third, in which I sing a war of the waters and a battle of the vine.

NONNUS
DIONYSIACA
BOOK 43

PREVIEW BOOK 45

EPIC POEM .ORG
DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 449 lines 3.0
3L 1 - 449

PRINT 2-SIDED: **251** to **256**

Ὣς ὁ μὲν ἐγρεκύδοιμος Ἄρης, ὀχετηγὸς Ἐρώτων,
νυμφιδίης ἀλάλαζε μάχης θαλαμηπόλον ἠχώ,
καὶ γαμίου πολέμοιο θεμείλια πῆξεν Ἐνυώ·
καὶ κλόνον αἰθύσσων ἐνοσίχθονι καὶ Διονύσωι
θοῦρος ἔην Ὑμέναιος, ἐς ὑσμίνην δὲ χορεύων
χάλκεον ἔγχος ἄειρεν, Ἀμυκλαίης Ἀφροδίτης
Ἄρεος ἁρμονίην Φρυγίωι μυκώμενος αὐλῶι.
καὶ Σατύρων βασιλῆι καὶ ἡνιοχῆι θαλάσσης
παρθένος ἦεν ἄεθλον· ἀναινομένη δὲ σιωπῆι
εἰναλίου μνηστῆρος ἔχειν μετανάστιον εὐνὴν
ὑγρὸν ὑποβρυχίων ἐπεδείδιε παστὸν Ἐρώτων,
καὶ πλέον ἤθελε Βάκχον· ἔικτο δὲ Δηιανείρηι,
ἥ ποτε νυμφιδίοιο περιβρομέοντος ἀγῶνος
ἤθελεν Ἡρακλῆα, καὶ ἀσταθέος ποταμοῖο
ἵστατο δειμαίνουσα βοοκραίρους ὑμεναίους.
καὶ δρόμον αὐτοκέλευστον ἔχων ἑλικώδεϊ ῥόμβωι
ἀννέφελος σάλπιζε μέλος πολεμήιον αἰθήρ·
καὶ βλοσυρὸν μύκημα χέων λυσσώδεϊ λαιμῶι
Ἀσσυρίωι τριόδοντι κορύσσετο κυανοχαίτης,
σείων πόντιον ἔγχος. ἀπειλήσας δὲ θαλάσσηι
εἰς ἐνοπὴν Διόνυσος ἐκώμασεν οἴνοπι θύρσωι,
μητρὸς ὀρεσσινόμοιο καθήμενος ἅρματι Ῥείης·
καί τις ἀεξομένη παρὰ Μυγδόνος ἄντυγα δίφρου
ἄμπελος αὐτοτέλεστος ὅλον δέμας ἔσκεπε Βάκχου,
βόστρυχα μιτρώσασα κατάσκια σύζυγι κισσῶι·
καί τις ὑπὸ ζυγόδεσμα περίπλοκον αὐχένα σείων
τρηχαλέον μύκημα σεσηρότι χείλεϊ πέμπων
θηγαλέωι χθονὸς ἄκρα λέων ἐχαράξατο ταρσῶι,
καὶ βραδὺς ἑρπύζων ἐλέφας παρὰ γείτονι πηγῆι,
ὄρθιον ἀγνάμπτοιο ποδὸς στήριγμα κολάψας,
ὄμβριον ἀζαλέοισιν ἀνήφυσε χείλεσιν ὕδωρ,
καὶ προχοὰς ξήραινε· κονιομένων δὲ ῥοάων
πηγαίην ἀχίτωνα μετήγαγε διψάδα Νύμφην.
καὶ θεὸς ὑγρομέδων ἐκορύσσετο· Νηρεΐδων δὲ
ἦν κλόνος· ἰκμαλέοι δὲ θαλασσαίων ἀπὸ νώτων
δαίμονες ἐστρατόωντο· τανυπτόρθοις δὲ κορύμβοις
δῶμα Ποσειδάωνος ἱμάσσετο, πόντιον ὕδωρ·
καὶ χθονίου λοφόεντος ἀρασσομένου κενεῶνος
ἡμερίδες Λιβάνοιο μετοχλίζοντο τριαίνηι.
καί τινα βοσκομένην μελανόχροον ἐγγύθι πόντου
εἰς βοέην ἀγέλην Ποσιδήιον ἅλματι λάβρωι
θυιάδες ἐρρώοντο· τανυγλήνοιο δὲ ταύρου
ἡ μὲν ἐφαπτομένη ῥάχιν ἔσχισεν, ἡ δὲ μετώπου
διχθαδίης ἀτίνακτα διέθλασεν ἄκρα κεραίης·
καί τις ἀλοιητῆρι διέτμαγε γαστέρα θύρσωι·
ἄλλη πλευρὸν ἔτεμνεν ὅλον βοός· ἡμιθανὴς δὲ
ὕπτιος αὐτοκύλιστος ὑπώκλασε ταῦρος ἀρούρηι·
καὶ βοὸς ἀρτιτόμοιο κυλινδομένοιο κονίηι
ἡ μὲν ὀπισθιδίους πόδας ἔσπασεν, ἡ δὲ λαβοῦσα
προσθιδίους ἐρύεσκε, πολυστροφάλιγγι δὲ ῥιπῆι

Nonnus 43.50

χάρματι λυσσήεντι κατάσχετος, ὄφρα νοήσηι
νυμφίον Ἀκταίωνα παρήμενον ἰοχεαίρηι·
καί οἱ ἐπειγομένηι σφαλερῶι ποδὶ σύνδρομος αὔραις
εἰς ὄρος ἀκρήδεμνος ὁμάρτεε Μαινὰς Ἀγαύη,
καὶ Κρονίης μάστιγος ἱμασσομένη φρένα κέντρωι
ἄσκοπον ἐρροίβδησε μεμηνότι χείλεϊ φωνήν·
"οὐτιδανῶι Πενθῆι κορύσσομαι, ὄφρα δαείη,
θαρσαλέην ὅτι Κάδμος Ἀμαζόνα τίκτεν Ἀγαύην.
ἔμπλεος ἠνορέης καὶ ἐγὼ πέλον· ἣν ἐθελήσω,
καὶ γυμναῖς παλάμηισιν ὅλον Πενθῆα δαμάσσω,
καὶ στρατιὴν εὔοπλον ἀτευχέι χειρὶ δαΐξω.
θύρσον ἔχω· μελίης οὐ δεύομαι, οὐ δόρυ πάλλω·
ἔγχεϊ δ᾽ ἀμπελόεντι δορυσσόον ἀνέρα βάλλω·
οὐ φορέω θώρηκα, καὶ εὐθώρηκα δαμάσσω.
κύμβαλα δ᾽ αἰθύσσουσα καὶ ἀμφιπλῆγα βοείην
κυδαίνω Διὸς υἷα, καὶ οὐ Πενθῆα γεραίρω.
Λύδιά μοι δότε ῥόπτρα· τί μέλλετε, θυιάδες ὧραι;
ἵξομαι εἰς σκοπέλους, ὅθι Μαινάδες, ἧχι γυναῖκες
ἥλικες ἀγρώσσοντι συναγρώσσουσι Λυαίωι.
ζῆλον ἔχω, Διόνυσε, λεοντοφόνοιο Κυρήνης·
φείδεό μοι Βρομίοιο, θεημάχε, φείδεο, Πενθεῦ·
εἰς σκοπέλους ἀκίχητος ἐλεύσομαι, ὄφρα καὶ αὐτὴ
Εὔιον ἀείδουσα χοροίτυπον ἴχνος ἑλίξω·
οὐκέτι βοτρυόεντος ἀναίνομαι ὄργια Βάκχου,
οὐκέτι Βασσαρίδων στυγέω χορόν· ἀλλὰ καὶ αὐτὴ
δειμαίνω Διόνυσον, ὃν ἤροσεν ἄφθιτος εὐνή,
ὃν Διὸς ὑψιμέδοντος ἐχυτλώσαντο κεραυνοί.
ἔσσομαι ὠκυπέδιλος, ὁμήλυδος ἰοχεαίρης
δίκτυα κουφίζουσα, καὶ οὐ κλωστῆρας Ἀθήνης."
ὣς φαμένη πεπότητο νέη σκαίρουσα Μιμαλλών,
ληναίης μεθέπουσα φιλεύιον ἅλμα χορείης,
Βάκχον ἀνευάζουσα καὶ ἀείδουσα Θυώνην·
καὶ Σεμέλην ὑπάτοιο Διὸς κίκλησκε γυναῖκα,
καὶ σέλας εὐφαέων γαμίων ἐλίγαινε κεραυνῶν.
καὶ χορὸς ἐν σκοπέλοισιν ἔην πολύς· ἀμφὶ δὲ πέτραι
ἴαχον· ἑπταπύλου δὲ πέδον περιδέδρομε Θήβης
ἠχὴ ποικιλόμορφος· ὁμογλώσσωι δ᾽ ἀλαλητῶι
μελπομένων βαρύδουπος ἐπεσμαράγησε Κιθαιρών·
καὶ δροσόεις κελάδησεν ἁλὸς κτύπος· ἦν δὲ νοῆσαι
δένδρεα κωμάζοντα καὶ αὐδήεσσαν ἐρίπνην.
καί τις ἑοῦ θαλάμοιο χοροίτυπος ἔκθορε κούρη,
αὐλὸς ὅτε τρητοῖσι πόροις ἰάχησε κεράστης·
καὶ κτύπος ἀμφιβόητος ἀδεψήτοιο βοείης
παρθενικὰς βάκχευσεν, ἀπ᾽ εὐτύκτων δὲ μελάθρων
εἰς ὄρος ὑψικάρηνον ἐρημάδας ἤλασε Βάκχας.
καί τις ἀνοιστρηθεῖσα θυελλήεντι πεδίλωι
κούρη λυσιέθειρα διέσσυτο παρθενεῶνος,
κερκίδα καλλείψασα καὶ ἱστοτέλειαν Ἀθήνην·
καὶ πλοκάμων ἀκόμιστον ἀπορρίψασα καλύπτρην
μίσγετο Βασσαρίδεσσι καὶ Ἀονὶς ἔπλετο Βάκχη.

Nonnus 45.50 45.51

ὁρμὸν ἄγων κάλυκάς τε φέρων ἕλικάς τε τιταίνων,
ὁππόσα Νηρεΐδεσσιν ἀμιμήτωι κάμε τέχνηι
Λήμνιος ἐργοπόνος παρὰ Κύπριδι· καὶ μέσον ἅλμης
ἔμπυρον ἄκμονα πάλλεν ὑποβρυχίην τε πυράγρην,
φυσαλέου χοάνοιο περίδρομον ἆσθμα τιταίνων
ποιητοῖς ἀνέμοισιν, ἀναπτομένης δὲ καμίνου
ἐν ῥοθίοις ἄσβεστον ἐβόμβεεν ἐνδόμυχον πῦρ.
Νηρεὺς μὲν τάδε δῶρα πολύτροπα, δῶκε δὲ κούρηι
Περσικὸς Εὐφρήτης πολυδαίδαλον εἶδος ἀράχνης·
χρυσὸν Ἴβηρ πόρε Ῥῆνος· ἐχεκτεάνων δὲ μετάλλων
ἤλυθεν εἴκελα δῶρα γέρων Πακτωλὸς ἀείρων
χερσὶ φυλασσομένηισιν, ὅτι πρόμον ἔτρεμε Λυδῶν
Βάκχον ἐὸν βασιλῆα, καὶ ἔτρεμε γείτονα Ῥείην
Μυγδονίης πολιοῦχον ἑῆς χθονός· Ἠριδανὸς δὲ
Ἡλιάδων ἤλεκτρα ῥυηφενέων ἀπὸ δένδρων
δῶρα πόρε στίλβοντα· καὶ ἀργυρέης ἀπὸ πέτρης
Στρυμὼν ὅσσα μέταλλα καὶ ὁππόσα Γεῦδις ἀείρει,
ἕδνον Ἀμυμώνηι δωρήσατο κυανοχαίτης.
 ὣς ὁ μὲν ἀρτιχόρευτος ὑποβρυχίωι παρὰ παστῶι
γήθεεν ἐννοσίγαιος· ἀμειδήτωι δὲ Λυαίωι
γνωτὸς Ἔρως φθονέοντι παρήγορον ἴαχε φωνήν·
"νυμφοκόμωι, Διόνυσε, τί μέμφεαι εἰσέτι κεστῶι;
οὐ Βρομίωι Βερόης γάμος ἔπρεπεν, ἀλλὰ θαλάσσης
ἄρμενος ἦν γάμος οὗτος, ὅτι βρυχίης Ἀφροδίτης
παῖδα λαβὼν ἔζευξα θαλασσοπόρωι παρακοίτηι·
ἁβροτέρην δ' ἐφύλαξα τεοῖς θαλάμοις Ἀριάδνην,
ἐκ γενεῆς Μίνωος ὁμόγνιον· οὐτιδανὴν δὲ
πόντιον αἷμα φέρουσαν Ἀμυμώνην λίπε πόντωι.
ἀλλὰ λιπὼν Λιβάνοιο λόφον καὶ Ἀδώνιδος ὕδωρ
ἵξεαι εἰς Φρυγέην εὐπάρθενον, ἧχί σε μίμνει
ἄβροχον Ἠελίοιο λέχος Τιτηνίδος Αὔρης·
καὶ στέφος ἀσκήσασα μάχης καὶ παστάδα κούρης
Θρήκη νυμφοκόμος σε δεδέξεται, ἧχι καὶ αὐτὴ
Παλλήνη καλέει σε δορυσσόος, ἧς παρὰ παστῶι
ἀθλοφόρον γαμίοισι περιστέψω σε κορύμβοις
ἱμερτὴν τελέσαντα παλαισμοσύνην Ἀφροδίτης."
 τοῖα γυναιμανέοντι κασιγνήτωι φάτο Βάκχωι
θοῦρος Ἔρως· πτερύγων δὲ πυρώδεα βόμβον ἰάλλων
ἠερίηι νόθος ὄρνις ἀνηιώρητο πορείηι,
καὶ Διὸς εἰς δόμον ἦλθεν. ἀπ' Ἀσσυρίοιο δὲ κόλπου
ἁβροχίτων Διόνυσος ἀνήιεν εἰς χθόνα Λυδῶν
Πακτωλοῦ παρὰ πέζαν, ὅπηι χρυσαυγέι πηλῶι
ἀφνειῆς τιτάνοιο μέλαν φοινίσσεται ὕδωρ·
Μαιονίης δ' ἐπέβαινε, καὶ ἵστατο μητέρι Ῥείηι
Ἰνδώιης ὀρέγων βασιλήια δῶρα θαλάσσης.
καλλείψας δὲ ῥέεθρα βαθυπλούτου ποταμοῖο
καὶ Φρύγιον κενεῶνα καὶ ἁβροβίων γένος ἀνδρῶν
Ἀρκτώιην παρὰ πέζαν ἑὴν ἐφύτευσεν ὀπώρην,
43.449 Εὐρώπης πτολίεθρα μετ' Ἀσίδος ἄστεα βαίνων.
45.1 Ὣς φαμένου Βρομίοιο δόμων ἐξέδραμε νύμφη

ὄρθιον ἐσφαίρωσεν ἐς ἠέρα δίζυγα χηλήν.
 καὶ στρατιῆς Διόνυσος ἐκόσμεεν ἡγεμονῆας,
στήσας πέντε φάλαγγας ἐς ὑδατόεσσαν Ἐνυώ.
τῆς πρώτης στιχὸς ἦρχε Κίλιξ εὐάμπελος Οἰνεὺς
υἱὸς Ἐρευθαλίωνος, ὃν ἤροσεν ἐγγύθι Ταύρου
Φυλλίδος ἀγραύλοισιν ὁμιλήσας ὑμεναίοις·
τῆς δ' ἑτέρης ἡγεῖτο μελαγχαίτης Ἑλικάων
ξανθοφυὴς ῥοδέηισι παρηίσιν, ἀμφὶ δὲ δειρῆι
πλοχμὸς ἐυστροφάλιγγος ἕλιξ ὑπεσύρετο χαίτης·
Οἰνοπίων τριτάτης, Στάφυλος προμάχιζε τετάρτης,
Οἰνομάου δύο τέκνα, φιλακρήτοιο τοκῆος·
πέμπτης δ' ἡγεμόνευε Μελάνθιος, ὄρχαμος Ἰνδῶν,
ὃν τέκεν Οἰνώνη Κισσηιάς, ἀμφὶ δὲ κούρωι
φυταλιῆς πλέξασα θυώδεος ἄκρα πετήλων
σπάργανα βοτρυόεντα πέριξ εἱλίξατο μήτηρ,
υἱέα χυτλώσασα μέθης ἐγκύμονι ληνῶι.
τοίη κισσοφόροισιν ὀιστεύουσα βελέμνοις
σύνδρομος ἀμπελόεντε φάλαγξ ἐκορύσσετο Βάκχωι.
καὶ στρατιὴν θώρηξε χέων λαοσσόον ἠχώ·
 "Βασσαρίδες, μάρνασθε· κορυσσομένου δὲ Λυαίου
αὐλὸς ἐμὸς κερόεις πολεμήιον ἦχον ἀράσσων
ἀντίτυπον φθέγξαιτο μέλος μυκήτορι κόχλωι,
καὶ διδύμοις πατάγοισι μόθου χαλκόθροον ἠχὼ
τύμπανα δουπήσειεν· Ἐνυαλίωι δὲ χορεύων
Γλαῦκον ὀιστεύσειε Μάρων ῥηξήνορι θύρσωι·
καὶ πλοκάμους Πρωτῆος ἀήθεϊ δήσατε κισσῶι,
καὶ Φαρίου πόντοιο λιπὼν Αἰγύπτιον ὕδωρ,
νεβρίδα ποικιλόνωτον ἔχων μετὰ δέρματα φώκης,
αὐχένα κυρτώσειεν ἐμοὶ θρασύν· εἰ δύναται δέ,
Σειληνῶι μεθύοντι κορυσσέσθω Μελικέρτης·
καὶ ναέτην Τμώλοιο μετὰ βρυόεντας ἐναύλους
γηραλέον Φόρκυνα διδάξατε θύρσον ἀείρειν,
καὶ Σάτυρος μενέχαρμος ἑὸν νάρθηκα τινάσσων
διψαλέον Νηρῆα μεταστήσειε θαλάσσης
ἀμπελόεις δὲ γένοιτο γέρων χερσαῖος ἀλωεύς·
ἀγραύλοις παλάμηισι· καὶ ἀρτιφύτων ἀπὸ κήπων
βόστρυχα μιτρώσασθε Παλαίμονος οἴνοπι δεσμῶι,
καί μιν ὑποδρήσσοντα μετ' Ἰσθμιάδος βυθὸν ἅλμης
πόντιον ἡνιοχῆα κομίσσατε μητέρι Ῥείηι,
εἰναλίηι μάστιγι κυβερνητῆρα λεόντων·
οὐ γὰρ ἐμὸν κατὰ πόντον ἀνεψιὸν εἰσέτι νάσσω.
ἀθρήσωι δὲ φάλαγγα δορικτήτοιο θαλάσσης
νεβρίδι κοσμηθεῖσαν· ἀπειρήτηισι δὲ Νύμφαις
κύμβαλα Νηρεΐδεσσιν ὀπάσσατε· μίξατε Βάκχαις
Ὑδριάδας· Θέτιδος δέ, καὶ εἰ γένος ἐστὶ θαλάσσης,
μούνης ξεινοδόκοιο φυλάξατε δῶμα θεαίνης·
Λευκοθέης δ' ἀπέδιλα συνάψατε ταρσὰ κοθόρνοις·
χερσαίη δὲ φανεῖσα συνέμπορος Εὐάδι Βάκχηι
Δωρὶς ἀερτάζειεν ἐμὴν θιασώδεα πεύκην·
καὶ βυθίη Πανόπεια τιναξαμένη βρύον ἅλμης 43.100

226 (128C) βόστρυχα μιτρώσειεν ἐχιδνήεντι κορύμβωι·
Εἰδοθέη δ' ἀέκουσα περίκροτα ῥόπτρα δεχέσθω·
καὶ πόθον ἶσον ἔχουσαν ἐρωμανέοντι καὶ αὐτῶι
τίς νέμεσις Γαλάτειαν ὑποδρήσσειν Διονύσωι,
ἕδνον Ἀμυμώνης θαλαμηπόλον ὄφρα τελέσσηι
ἱστοπόνωι παλάμηι Λιβανηίδι πέπλον ἀνάσσηι;
ἀλλὰ γένος Νηρῆος ἐάσατε· ποντοπόρους γὰρ
δμωίδας οὐκ ἐθέλω, Βερόηι μὴ ζῆλον ἐγείρω.
καὶ κομόων γλωχῖνι τανυπτόρθοιο μετώπου
Πὰν ἐμὸς οὐρεσίφοιτος ἀτευχέι χειρὶ πιέζων
θηγαλέηι πλήξειε Ποσειδάωνα κεραίηι,
στέρνου μεσσατίοιο τυχὼν εὐκαμπέσιν αἰχμαῖς
ἢ σκοπέλωι λοφόεντι, διαρρήξειε δὲ χηλαῖς
δισσοφυῆ Τρίτωνος ὁμόζυγα κύκλον ἀκάνθης.
Γλαῦκος ἁλιβρέκτοιο διάκτορος ἐννοσιγαίου
Βάκχωι ὑποδρήσσειε, περίκροτα χερσὶν ἀείρων
αὐχενίωι τελαμῶνι παρήορα τύμπανα Ῥείης.
οὐ μούνης Βερόης περιμάρναμαι, ἀλλὰ καὶ αὐτῆς
νύμφης ἡμετέρης περὶ πατρίδος· οὔ μιν ἀράξας
ἱσταμένην ἀτίνακτον ἁλὸς μεδέων ἐνοσίχθων,
εἰναλίην περ ἐοῦσαν, ἀμαλδύνειε τριαίνηι,
ὅττι κορυσσομένωι θωρήξομαι· ἀμφότερον γάρ,
εἰ λάχε γείτονα πόντον, ἔχει φυτὰ μυρία Βάκχου,
νίκης ἡμετέρης σημήιον· ἀγχιάλου γὰρ
ἀλλὰ παλαιοτέρην μετὰ Παλλάδα μάρτυρι Βάκχωι
L2[I] Κέκροψ ἄλλος ἵκοιτο δικασπόλος, ὄφρα καὶ αὐτὴ
ἄμπελος ἀείδοιτο φερέπτολις, ὥς περ ἐλαίη.
καὶ πόλιος τελέσας ἕτερον τύπον οὔ μιν ἐάσω
ἐγγὺς ἁλός, κραναὰς δὲ ταμὼν νάρθηκι κολώνας
γείτονα Βηρυτοῖο γεφυρώσω βυθὸν ἅλμης,
χερσώσας σκοπέλοισιν ἁλὸς πετρούμενον ὕδωρ.
τρηχαλέη δὲ κέλευθος ἰσάζεται ὀξέι θύρσωι. 3 (2C)
ἀλλὰ πάλιν μάρνασθε, Μιμαλλόνες, ἠθάδι νίκηι
θαρσαλέαι· κταμένων δὲ νεόρρυτον αἷμα Γιγάντων
νεβρὶς ἐμὴ μεθέπουσα μελαίνεται· εἰσέτι δ' αὐτὴ
ἀντολίη τρομέει με, καὶ εἰς πέδον αὐχένα κάμπτει
Ἰνδὸς Ἄρης, Βρομίωι δὲ λιτήσια δάκρυα λείβων
δάκρυα κυματόεντα γέρων ἔφριξεν Ὑδάσπης.
καὶ διερὴν μετὰ δῆριν ἔχων Λιβανηίδα νύμφην 4
ἓν γέρας ἱμείροντι χαρίζομαι ἐννοσιγαίωι·
ἣν ἐθέληι, μέλψειεν ἐμῶν ὑμέναιον Ἐρώτων,
μοῦνον ἐμῆι Βερόηι μὴ δόχμιον ὄμμα τανύσσηι."
τοῖον ἔπος κατέλεξεν· ἀπειλητῆρι δὲ μύθωι
κερτομέων Διόνυσον ἀμείβετο κυανοχαίτης·
"αἰδόμενος, Διόνυσε, κορύσσομαι, ὅττι τριαίνης
ἤρισας αἰχμητῆρι φυγὼν βουπλῆγα Λυκούργου·
οὐκ ἄγαμαί ποτε τοῦτο, σελασφόρε· μητροφόνον γὰρ
ἐκ πυρὸς ἐβλάστησας, ὅθεν πυρὸς ἄξια ῥέζεις.
ἀλλά, φίλοι Τρίτωνες, ἀρήξατε, δήσατε Βάκχας
ποντοπόρους τελέσαντες· ὀρεσσαύλου δὲ φορῆος

καί τις ἀμερσινόοιο κατάσχετος ἅλματι λύσσης
ἴχνεσιν ἀβρέκτοισιν ἐπεσκίρτησε θαλάσσηι;
οἷα Ποσειδάωνος ἐπισκαίρουσα καρήνωι·
λὰξ ποδὶ κύματα τύψεν, ἐπηπείλησε δὲ πόντωι
σιγαλέωι, καὶ κωφὸν ὕδωρ ἐπεμάστιε θύρσωι
Βασσαρὶς ὑγροφόρητος· ἀπὸ πλοκάμοιο δὲ νύμφης
ἀφλεγέος σελάγιζε κατ' αὐχένος αὐτόματον πῦρ,
θάμβος ἰδεῖν. κινυρὴ δὲ παρ' ἠιόνι γείτονι πόντωι
φύλοπιν εἰσορόωσα θαλασσομόθου Διονύσου
αἰνοπαθὴς Ψαμάθη πολυταρβέα ῥήξατο φωνήν·
"εἰ Θέτιδος χάριν οἶσθα καὶ εὐπαλάμου Βριαρῆος,
εἰ μάθες Αἰγαίωνα τεῶν χραισμήτορα θεσμῶν,
Ζεῦ ἄνα, Βάκχον ἔρυκε μεμηνότα· μηδὲ νοήσω
δουλοσύνην Νηρῆος ἐπὶ Γλαύκοιο τελευτῆι·
μὴ Θέτις αἰολόδακρυς ὑποδρήσσειε Λυαίωι,
δμωίδα μή μεν ἴδοιμι παρὰ Βρομίωι, χθόνα Λυδῶν
ὀψομένην μετὰ πόντον, Ἀχιλλέα, Πηλέα, Πύρρον,
υἱωνόν, πόσιν, υἷα μιῆι στενάχουσαν ἀνίηι·
Λευκοθέην δ' ἐλέαιρε γοήμονα, τῆς παρακοίτης
υἷα λαβὼν ἐδάιξε, τὸν ἀστόργοιο τοκῆος
παιδοφόνοι γλωχῖνες ἐδαιτρεύσαντο μαχαίρης."
ὣς φαμένης ἤκουσε δι' αἰθέρος ὑψιμέδων Ζεύς,
καὶ Βερόης ὑμέναιον ἐπέτρεπεν ἐννοσιγαίωι,
καὶ μόθον ἐπρήυνε γαμοστόλον· οὐρανόθεν γὰρ
νυμφιδίην ἀτέλεστον ἀναστέλλοντες Ἐνυὼ
Βάκχον ἀπειλητῆρες ἐκυκλώσαντο κεραυνοί. L2[I]
καὶ θεὸς ἀμπελόεις γαμίωι δεδονημένος ἰῶι
κούρην μὲν μενέαινε· πατὴρ δέ μιν ὑψιμέδων Ζεὺς
βρονταίης ἀνέκοπτε μέλος σάλπιγγος ἀράσσων,
καὶ πόθον ὑσμίνης ἀνεσείρασε πάτριος ἠχώ.
ὀκναλέοις δὲ πόδεσσιν ἐχάζετο νωθρὸς ὁδίτης,
στυγνὸς ὀπισθοβόλωι δεδοκημένος ὄμματι κούρην·
οὔασι δ' αἰδομένοισιν ἀειδομένων ἐνὶ πόντωι
ζῆλον ἔχων ἤκουεν Ἀμυμώνης ὑμεναίων.
καὶ γάμον ἡμιτέλεστον ἁλίβρομος ἤπυε σύριγξ,
καὶ δονέων ἄσβεστον ἐν ὕδασι νυμφίδιον πῦρ
παστὸν Ἀμυμώνης θαλαμηπόλος ἤπυε Νηρεύς,
καὶ μέλος ἔπλεκε Φόρκυς· ὁμοζήλωι δὲ πορείηι
Γλαῦκος ἀνεσκίρτησεν, ἐβακχεύθη Μελικέρτης·
καὶ ζυγίην Γαλάτεια διακρούουσα χορείην
ἄστατος ὀρχηστῆρι ποδῶν ἐλελίζετο παλμῶι,
καὶ γάμιον μέλος εἶπεν, ἐπεὶ μάθε καλὰ λιγαίνειν
ποιμενίηι σύριγγι διδασκομένη Πολυφήμου.
καὶ Βερόης διεροῖσιν ὁμιλήσας ὑμεναίοις
νυμφίος ἐννοσίγαιος ἐφίλατο πατρίδα νύμφης·
καὶ Βερόης ναέτησιν ἑῆς κειμήλιον εὐνῆς
Ἄρεος εἰναλίοιο θαλασσαίην πόρε νίκην.
καὶ γάμος ὄλβιος ἦεν, ἐπεὶ βυθίωι παρὰ παστῶι
ἄξιον ἕδνον Ἔρωτος Ἄραψ ἐκομίσσατο Νηρεύς,
Ἡφαίστου σοφὸν ἔργον, Ὀλύμπια δαίδαλα, νύμφηι,

καί τις ἀναΐξας ῥοθίων χερσαῖος ὁδίτης
εἰς σκοπιὴν πόδα λαιὸν ἐρείσατο, δεξιτερῶι δὲ
οὔρεος ἄκρα κάρηνα ταμὼν ἐνοσίχθονι ταρσῶι
Μαινάδος ἀψαύστοιο κατηκόντιζε καρήνου·
καὶ βυθίωι τριόδοντι καταιχμάζων Διονύσου
ἅλμασι μητρώιοισιν ἐβακχεύθη Μελικέρτης.
Βασσαρίδων δὲ φάλαγγες ἐπεστρατόωντο κυδοιμῶι,
ὧν ἡ μὲν δονέουσα μετήλυδα βότρυν ἐθείρης
εἰς μόθον ὑδατόεντα κορύσσετο φοιτάδι λύσσηι,
ἄστατος οἰστρηθεῖσα ποδῶν βητάρμονι παλμῶι·
ἡ δὲ Σάμου Θρήισσαν ὑπὸ σπήλυγγα Καβείρων
νασσαμένη Λιβάνοιο παρεσκίρτησεν ἐρίπνηι,
βάρβαρον αἰθύσσουσα μέλος Κορυβαντίδος ἠχοῦς·
ἄλλη ἀπὸ Τμώλοιο λεχωίδος ὕψι λεαίνης
ἄρσενα μιτρώσασα κόμην ὀφιώδεϊ δεσμῶι,
Μαιονὶς ἀκρήδεμνος ὑπεβρυχᾶτο Μιμαλλών,
καὶ ποδὸς ἴχνος ἔπηξε μετήορον ὑψόθεν ὄχθης,
μιμηλαῖς γενύεσσιν ὑπαφριόωσα θαλάσσηι.
Σειληνοὶ δὲ Κίλισσαν ἀναβλύζοντες ἐέρσην
Μυγδονίων ἐλατῆρες ἐθωρήσσοντο λεόντων,
καὶ βυθίωι καναχηδὸν ἐπισκιρτῶντες ὁμίλωι
ἀμπελόεν παλάμηισιν ἀνέσχεθον ἔρνος Ἐνυοῦς,
καὶ παλάμας τανύσαντο λεοντείην ἐπὶ δειρὴν
δραξάμενοι πλοκαμῖδος, ἀμαιμακέτους δὲ φορῆας
θαρσαλέοι λασίοισιν ἀνεκρούσαντο χαλινοῖς.
ἁρπάξας δὲ τένοντα χαραδρήεντος ἐναύλου
Σειληνὸς πολέμιζε Παλαίμονι, φοιταλέην δὲ
ἔγχεϊ κισσήεντι δι' ὕδατος ἤλασεν Ἰνώ.
ἄλλωι δ' ἄλλος ἔριζε· καὶ οὐκ ἠιδέσσατο Βάκχη
θύρσωι ἀκοντιστῆρι καταΐσσουσα τριαίνης,
Βάκχη θῆλυς ἐοῦσα· προασπίζων δὲ θαλάσσης
Πανὶ φιλοσκοπέλωι μετανάστιος ἤρισε Νηρεὺς
πήχεϊ παφλάζοντι· δαφοινήεντι δὲ κισσῶι
δαίμονα Παλληναῖον ὀρεστιὰς ἤλασε Βάκχη,
οὐ δέ μιν ἐστυφέλιξεν· ἐπερχόμενον δὲ Λυαίωι
Γλαῦκον ἀκοντιστῆρι Μάρων ἀπεσείσατο θύρσωι.
ὑψινεφὴς δ' ἐλέφας μελέων ἐνοσίχθονι παλμῶι
δινεύων στατὸν ἴχνος ἀκαμπέι γούνατος ὁλκῶι
χείλεσι μηκεδανοῖσι χαμευνάδι μάρνατο φώκηι.
καὶ Σάτυροι ῥώοντο κυβιστητῆρι κυδοιμῶι
ταυροφυεῖς κεράεσσι πεποιθότες, ἐσσυμένων δὲ
ἀλλοφανὴς κεχάλαστο δι' ἰξύος ὄρθιος οὐρή.
Σειληνῶν δὲ φάλαγγες ἐπέρρεον, ὧν ὁ μὲν αὐτῶν
ποσσὶ διχαζομένοις ἐποχημένος ἰξύι ταύρου
συμπλεκέων ἔθλιψε μέλος διδυμόθροον αὐλῶν.
καὶ πλοκάμους βαλίηισι συναιθύσσουσα θυέλλαις
Μυγδονὶς ἐκροτάλιζεν ὁμόζυγα κύμβαλα Βάκχη,
καὶ λοφιὴν ἐπίκυρτον ἐμάστιε λυσσάδος ἄρκτου
θηρὸς ὑποβρυχίης ἀντώπιον· ἀγροτέρη δὲ
πόρδαλις οὐρεσίφοιτος ἐλαύνετο κέντορι θύρσωι.

Nonnus

τύμπανα Σειληνοῖο κατακλύζοιτο θαλάσσηι,
κύματι συρομένοιο, καὶ οἰδαίνοντι ῥεέθρωι
νηχομένου Σατύροιο φιλεύιος αὐλὸς ἀλάσθω
εἰς πλόον αὐτοέλικτον· ἐν εὐύδρωι δὲ μελάθρωι
Βασσαρίδες στορέσειαν ἐμὸν λέχος ἀντὶ Λυαίου.
οὐ χατέω Σατύρων, οὐ Μαινάδας εἰς βυθὸν ἕλκω·
Νηρεΐδες γεγάασιν ἀρείονες· ἀλλὰ θαλάσσηι
διψαλέαι κρύπτοιντο Μιμαλλόνες, οἰνοχύτου δὲ
ἀντὶ μέθης πιέτωσαν ἐμῆς ἁλὸς ἁλμυρὸν ὕδωρ·
καί τις ἐλαυνομένη διερῆι Πρωτῆος ἀκωκῆι
Βασσαρὶς αὐτοκύλιστος ὀλισθήσειε θαλάσσηι,
ὀρχηθμὸν θανάτοιο κυβιστήσασα Λυαίωι.
δεῦρο, Θέτις, σκοπίαζε· τεὸς Διόνυσος ἀλύξας
καλὰ φιλοξείνωι ζωάγρια δῶκε θαλάσσηι·
Αἰθιόπων δὲ φάλαγγας ἐρύσσατε καὶ στίχας Ἰνδῶν,
ληίδα Νηρεΐδεσσι, κακογλώσσοιο δὲ νύμφης
Δωρίδι δούλια τέκνα κομίσσατε Κασσιεπείης,
ποινὴν ὀψιτέλεστον· ἀμαιμακέτωι δὲ ῥεέθρωι
Ὠκεανὸς πυρόεντα λελουμένον ἀστέρα Μαίρης,
ληναίης προκέλευθον ἀκοιμήτοιο χορείης,
Σείριον ἀμπελόεντα μεταστήσειεν Ὀλύμπου.
ἀλλὰ σύ, Λύδιε Βάκχε, χερείονα θύρσον ἐάσας
δίζεό σοι βέλος ἄλλο, καὶ αἰόλα δέρματα νεβρῶν
κάτθεο, σῶν μελέων ὀλίγον σκέπας· οὐρανίου δὲ
εἴ σε Διὸς γαμίη μαιώσατο νυμφιδίη φλόξ,
ἄρτι πυρὶ πτολέμιζε, πυριτρεφές, ἄρτι κεραυνῶι
πατρώιωι προμάχιζε κυβερνητῆρι τριαίνης,
καὶ στεροπὴν κούφιζε καὶ αἰγίδα πάλλε τοκῆος·
οὐ γὰρ Δηριάδης σε μένει πρόμος, οὐ Λυκοόργου
οὗτος ἀγών, Ἀράβων ὀλίγος μόθος, ἀλλὰ θαλάσσης
τοσσατίης. τρομέων δὲ καὶ εἰσέτι πόντιον αἰχμὴν
οὐρανὸς ἡμετέρην βυθίην δεδάηκεν Ἐνυώ·
καὶ πρόμος ὑψικέλευθος ἐμῆς τριόδοντος ἀκωκῆς
πειρήθη Φαέθων, ὅτε δύσμαχος ἀμφὶ Κορίνθου
εἰς μόθον ἀστερόεντα κορύσσετο πόντιος Ἄρης·
ὑψώθη δὲ θάλασσα κατ' αἰθέρος, Ὠκεανῶι δὲ
λούετο διψὰς Ἅμαξα, καὶ ὕδασι γείτονος ἅλμης
βάψας θερμὰ γένεια Κύων ἐψύχετο Μαίρης,
καὶ βυθίων κενεῶνες ἀνυψώθησαν ἐναύλων
κύματα πυργώσαντες, ἱμασσομένοιο δὲ πόντου
οὐρανίωι Δελφῖνι θαλάσσιος ἤντετο δελφίς."
ὣς εἰπὼν τριόδοντι μυχοὺς ἐτίναξε θαλάσσης,
καὶ ῥοθίωι κελάδοντι καὶ οἰδαίνοντι ῥεέθρωι
ἠέρα μαστίζοντες ἐβόμβεον ὕδατος ὁλκοί.
καὶ διεροῖς σακέεσσιν ἐθωρήχθη στρατὸς ἅλμης·
καὶ βυθίου Κρονίωνος ἁλιβρέκτωι παρὰ φάτνηι
ἐγχείην ἐλέλιζεν ὑποβρυχίην Μελικέρτης,
ζεύξας Ἴσθμιον ἅρμα, καὶ ὑγροπόρου βασιλῆος
ἔγχος ἁλικνήμιδι παρηιώρησεν ἀπήνηι,
τριχθαδίηι γλωχῖνι θαλάσσια νῶτα χαράσσων,

ζεύξας Ἴσθμιον ἅρμα· καὶ ἱππείωι χρεμετισμῶι
Ἰνδώιων κελάδημα συνεπλατάγησε λεόντων.
καὶ δρόμον ὑγρὸν ἔλαυνε· τιταινομένοιο δὲ δίφρου
ἄκρον ὕδωρ ἀδίαντος **ἐπέγραφεν** ἄβροχος ὁπλή.
Τρίτων δ' εὐρυγένειος ἐπέκτυπε θυιάδι χάρμηι,
ὃς διδύμοις μελέεσσιν ἔχει βροτοειδέα μορφὴν
ἀλλοφυῆ, χλοάουσαν, ἀπ' ἰξύος ἄχρι καρήνου
ἡμιτελής· διερῆς δὲ παρήορος ἰξύος ὁλῶι
δίπτυχος ἰχθυόεντι τύπωι περικάμπτεται οὐρή.
καὶ διερῆι μάστιγι, θαλασσαίηι παρὰ φάτνηι
ζεύξας ὠκυπόρωι πεφορημένον ἅρμα θυέλληι,
Γλαῦκος ἀνιπτοπόδων λοφιὴν ἐπεμάστιεν ἵππων
καὶ Σατύρους ἐδίωκεν. ἁλιρροίζωι δὲ κυδοιμῶι
Πὰν κερόεις, ἀβάτοισιν ἐν ὕδασι κοῦφος ὁδίτης,
ἄβροχος αἰγείηισιν ἀνακρούων ἅλα χηλαῖς,
ἄστατος ἐσκίρτησε, καλαύροπι πόντον ἀράσσων,
πηκτίδι συρίζων πολέμου μέλος· ἐν ῥοθίοις δὲ
μιμηλὴν αἴων ἀνεμώλιον εἰκόνα φωνῆς
ποσσὶν ὀρεσσινόμοισι διέτρεχε πόντιον ὕδωρ,
μαστεύων κτύπον ἄλλον· ὑπηνέμιος δὲ καὶ αὐτὴ
τικτομένη σύριγγι διώκετο ποντιὰς ἠχώ.
ἄλλος ἐυκρήπιδα λόφον νησαῖον ἑλίξας
ῥῖψεν ἐφ' Ὑδριάδεσσιν, ἀποπλαγχθεῖσα δὲ πέτρη
Νηρεΐδων ἐτίναξε Παλαίμονος ἔμβρυον αὐλήν.
Πρωτεὺς δ' Ἴσθμιον οἶδμα λιπὼν Παλληνίδος ἅλμης
εἰναλίωι θώρηκι κορύσσετο, δέρματι φώκης·
ἀμφὶ δέ μιν στεφανηδὸν ἐπέρρεον αἴθοπες Ἰνδοὶ
Βάκχου κεκλομένοιο, καὶ οὐλοκόμων στίχες ἀνδρῶν
φωκάων πολύμορφον ἐπηχύναντο νομῆα.
σφιγγομένου δὲ γέροντος ἔην ἑτερόχροος εἰκών·
Πρωτεὺς γὰρ μελέεσσι τύπον μιμηλὸν ὑφαίνων
πόρδαλις αἰολόνωτος ἐὴν **ἐστίξατο** μορφήν·
καὶ φυτὸν αὐτοτέλεστον ἐπὶ χθονὸς **ὄρθιον** ἔστη
δενδρώσας ἑὰ γυῖα, τινασσομένων δὲ πετήλων
ψευδαλέον ψιθύρισμα Βορειάδι σύρισεν αὔρηι·
καὶ **γραπταῖς** φολίδεσσι κεκασμένα νῶτα **χαράξας**
εἷρπε δράκων, μεσάτου δὲ πιεζομένου κενεῶνος
σπεῖραν ἀνηιώρησεν, ὑπ' ὀρχηστῆρι δὲ παλμῶι
ἄκρα τιταινομένης ἐλελίζετο κυκλάδος οὐρῆς,
καὶ κεφαλὴν ὤρθωσεν, ἀποπτύων δὲ γενείων
ἰὸν ἀκοντιστῆρα κεχηνότι σύρισε λαιμῶι·
καὶ δέμας ἀλλοπρόσαλλον ἔχων σκιοειδέι μορφῆι
φρῖξε λέων, σύτο κάπρος, ὕδωρ ῥέε· καὶ χορὸς Ἰνδῶν
ὑγρὸν ἀπειλητῆρι ῥόον σφηκώσατο δεσμῶι
χερσὶν ὀλισθηρῆισιν ἔχων ἀπατήλιον ὕδωρ·
κερδαλέος δὲ γέρων πολυδαίδαλον εἶδος ἀμείβων
εἶχε Περικλυμένοιο πολύτροπα δαίδαλα μορφῆς,
ὃν κτάνεν Ἡρακλέης, ὅτε δάκτυλα δισσὰ συνάψας
ψευδαλέον μίμημα νόθης ἔθραυσε μελίσσης.
χερσαίην δὲ γέροντος ἐκυκλώσαντο πορείην
πώεα κητώεντα, φιλοψαμάθοιο δὲ φώκης
οἰγομένωι βαρύδουπον ὕδωρ ἐπεπάφλασε λαιμῶι.
θυγατέρων δὲ φάλαγγα φιλεύιον εἰς μόθον ἕλκων
ἔγχεϊ κυματόεντι γέρων ὡπλίζετο Νηρεύς,
ποντοπόρωι τριόδοντι καταθρώισκων ἐλεφάντων,
δεινὸς ἰδεῖν· πολλαὶ δὲ παρ' ἠιόνα γείτονες ὄχθαι
εἰναλίηι Νηρῆος ἐδοχμώθησαν ἀκωκῆι.
Νηρεΐδων δὲ γένεθλα συνεκρούσαντο τοκῆι
ὑσμίνης ἀλάλαγμα· καὶ εἰς μόθον ὑψόθι πόντου
ἡμιφανὴς ἀπέδιλος ἐβακχεύθη χορὸς ἅλμης.
καὶ Σατύρων ἀσίδηρος ἐπαΐσσουσα κυδοιμῶι
ἀρχαίην ἐπὶ λύσσαν ἀνέδραμεν ἄστατος Ἰνώ,
λευκὸν ἐρευγομένη μανιώδεος ἀφρὸν ὑπήνης.
καὶ βλοσυρὴ Πανόπεια διαΐσσουσα γαλήνης
γλαυκὰ θαλασσαίης ἐπεμάστιε νῶτα λεαίνης·
καὶ ῥόπαλον δυσέρωτος ἀειρομένη Πολυφήμου
εἰναλίη Γαλάτεια κορύσσετο λυσσάδι Βάκχηι·
κουφίζων δ' ἀτίνακτον ἁλιτρεφέων ἐπὶ νώτων
πομπίλος ἠέρταζε δι' ὕδατος ἄβρογον Εἰδώ.
ὡς δέ τις ἱππεύων ἐλατὴρ ὑπὸ κυκλάδι τέχνηι,
δοχμώσας ὅλον ἵππον ἀριστερὸν ἐγγύθι νύσσης,
δεξιτερὸν κάμψειε, παριεμένοιο χαλινοῦ
κέντρωι ἐπισπέρχων, προχέων πλήξιππον ἀπειλήν,
ὀχλάζων ἐπίκυρτος, ἐπ' ἄντυγι γούνατα πήξας
ἰξύι καμπτομένηι, καὶ ἑκούσιον ἵππον ἐλαύνων
φειδομένηι παλάμηι τεχνήμονι βαιὸν ἱμάσσει,
ὄμμα βαλὼν κατόπισθε, παρελκομένου δὲ προσώπου
δίφρον ὀπισθοπόροιο φυλάσσεται ἡνιοχῆος·
ὣς τότε Νηρεΐδες διερὴν περὶ νύσσαν ἀγῶνος
ἰχθύας ὠκυπόροισιν ἐοικότας ἤλασαν ἵπποις.
ἄλλη δ' ἀντικέλευθον ἁλίδρομον εἶχε πορείην
νώτωι δ' ἰχθυόεντι καθιππεύουσα γαλήνης
ἡνίοχος δελφῖνος ὑπερκύψασα θαλάσσης,
ὑγρομανῆ δρόμον εἶχε· μανεὶς δέ τις ὑγρὸς ὁδίτης
μεσσοφανὴς δελφῖνας ὁμόζυγας ἔσχισε δελφίς.
καὶ ποταμοὶ κελάδησαν ἐς ὑσμίνην Διονύσου
θαρσύνοντες ἄνακτα, καὶ ἀενάων ἀπὸ λαιμῶν
ὑδατόεν μύκημα κεχηνότος Ὠκεανοῖο
ἄγγελος ὑσμίνης Ποσιδήιος ἔβρεμε σάλπιγξ·
καὶ πελάγη κυρτοῦτο συναιχμάζοντα τριαίνηι·
Ἰκαρίωι Μυρτῶιος ἐπέτρεχεν, ἀγχιφανὴς δὲ
Ἑσπερίωι Σαρδῶιος, Ἴβηρ ἐπεσύρετο Κελτῶι
οἰδαίνων πελάγεσσι, καὶ ἠθάδι δίζυγι πόντωι
Βόσπορος ἀστήρικτος ἐμίγνυε καμπύλον ὕδωρ,
Αἰγαίου δὲ ῥέεθρα συναιθύσσοντες ἀέλληι
Ἰονίης κενεῶνες ἐμαστίζοντο θαλάσσης
συζυγέες, Σικελῆς δὲ παρὰ σφυρὰ θυιάδος ἅλμης
κύμασι πυργωθεῖσα συνέκτυπεν Ἀδριὰς ἅλμη
ἀγχινεφής· καὶ κόχλον ἑλὼν ὑπὸ Σύρτιος ὕδωρ
εἰναλίηι σάλπιγγι Λίβυς μυκήσατο Νηρεύς·

Nonnus

ὀλβίη, Αὐτονόη, Σεμέλης πλέον, ὅττι θεαίνης
εἰς γάμον ἐρχομένης ἑκυρὴ πέλες ἰοχεαίρης·
Ἰνοῦς καλλιτόκοιο μακαρτέρη, ὅττι θεαίνης
σὸς πάις ἔλλαχε λέκτρα, τὰ μὴ λάχεν Ὦτος ἀγήνωρ.
οὐ θρασὺς Ὠρίων πέλε νυμφίος ἰοχεαίρης.
χάρματι δ᾽ ἡβήσας σέθεν υἱέος εἵνεκα νύμφης
κωμάζει σέο Κάδμος ὀρεσσαύλωι παρὰ παστῶι,
σείων ἠερίοις ἀνέμοις χιονώδεα χαίτην.
ἔγρεο, καὶ σὺ γένοιο γαμοστόλος, εὔλοχε μήτηρ·
ἅρμενος οὗτος Ἔρως, ὅτι νυμφίον Ἄρτεμις ἁγνὴ
υἷα κασιγνήτοιο, καὶ οὐ ξένον εἶχεν ἀκοίτην.
ἀλλὰ θεὰ φυγόδεμνος ἐπήν ποτε παῖδα λοχεύσηι,
υἱέα κουφίζουσα σαόφρονος ἰοχεαίρης
πήχεϊ παιδοκόμωι ζηλήμονι δεῖξον Ἀγαύηι.
τίς νέμεσίς ποτε τοῦτο, κυνοσσόος εἰ παρὰ παστῶι
ἤθελε θηρητῆρα λαγωβόλον υἷα λοχεῦσαι,
εἴκελον Ἀκταίωνι φιλοσκοπέλωι τὸ Κυρήνηι,
44.318 ✦ μητρώιων ἐλάφων ἐποχημένον ὠκέι δίφρωι;”

46.1 Ἀλλ᾽ ὅτε δὴ γίνωσκεν ἄναξ θρασύς, ὅττι λυθέντος
αὐτομάτου δεσμοῖο σιδηροφόρων ἀπὸ χειρῶν
Μαινάδες ἐσσεύοντο μετήλυδες εἰς ῥάχιν ὕλης,
καὶ δόλον ἀλλοπρόσαλλον ἀθηήτου Διονύσου,
ἄστατος ὑβριστῆρι χόλωι κυμαίνετο Πενθεύς·
καί μιν ἰδὼν παρεόντα παλίνδρομον ἠθάδι κισσῶι
βόστρυχα μιτρωθέντα, καὶ ἄπλοκον ὑψόθεν ὤμων
L1[O] μηκεδανῆς ὀρόων κεχαλασμένον ὁλκὸν ἐθείρης,
τοῖον ἀπερροίβδησεν ἔπος λυσσώδεϊ λαιμῶι·
“ἡδὺς ὁ Τειρεσίαν ἀπατήλιον εἰς ἐμὲ πέμπων·
οὐ δύναται σέο μάντις ἐμὸν νόον ἠπεροπεύειν·
ἄλλοις ἔννεπε ταῦτα. θεὰ πόθεν υἱέι Ῥείη
οὐ Διὶ μαζὸν ὄρεξε, καὶ ἔτρεφεν υἷα Θυώνης;
εἴρεο Δικταίης κορυθαιόλον ἄντρον ἐρίπνης, 1
down 2 Ζεὺς μένος ἠέξησε, καὶ οὐ γλάγος ἔσπασε Ῥείης.
εἴρεο καὶ Κορύβαντας, ὅπηι ποτὲ κοῦρος ἀθύρων
μαζὸν Ἀμαλθείης κουροτρόφον αἰγὸς ἀμέλγων
ἤθεα σῆς δολίης ἀπεμάξαο καὶ σὺ τεκούσης·
✦ ψευδομένην Σεμέλην Κρονίδης ἔφλεξε κεραυνῶι·
ἄζεο, μὴ Κρονίδης μετὰ μητέρα καὶ σὲ δαμάσσηι.
βάρβαρον οὐ μεθέπω καὶ ἐγὼ γένος· ἀρχέγονος δὲ 1
Ἰσμηνός με φύτευσε, καὶ οὐ τέκεν ὑγρὸς Ὑδάσπης·
Δηριάδην οὐκ οἶδα καὶ οὐ Λυκόοργος ἀκούω.
ἀλλὰ σὺν ὑμετέροις Σατύροις καὶ θυιάσι Βάκχαις
Δίρκης λεῖπε ῥέεθρα, καί, ἢν ἐθέλῃς, σέο θύρσωι
κτεῖνε παρ᾽ Ἀσσυρίοισι νεώτερον ἄλλον Ὀρόντην.
οὐ σὺ γένος Κρονίωνος Ὀλύμπιον· ὀλλυμένης γὰρ
ἀστεροπαὶ βοόωσιν ὀνείδεα σεῖο τεκούσης,
καὶ κρυφίων λεχέων ἐπιμάρτυρές εἰσι κεραυνοί.
οὐ Δανάην μετὰ λέκτρα κατέφλεγεν ὑέτιος Ζεύς,
καὶ γνωτὴν ἀδόνητον ἐμοῦ Κάδμοιο κομίζων
46.32 Εὐρώπην ἐφύλαξε, καὶ οὐκ ἔκρυψε θαλάσσηι.
οἶδα μέν, ὡς ἀλόχευτον ἔτι βρέφος αἰθερίη φλὸξ

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

The forty-fourth web I have woven, where you may see maddened women and the heavy threat of Pentheus.

NONNUS

DIONYSIACA

BOOK 44

PREVIEW BOOK 46

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 318 lines 3.0
2L 1 - 318

PRINT 2-SIDED: **257** to **260**

Ἤδη δ' Ἰλλυρίης Δαυλάντιον ἔθνος ἀρούρης
καὶ πέδον Αἱμονίης καὶ Πήλιον ἄκρον ἐάσας
Ἑλλάδος ἐγγὺς ἵκανε, καὶ Ἀονίῃ παρὰ πέζῃ
στῆσε χορούς. αἴων δὲ μέλος μυκήτορος αὐλοῦ
Πανὶ Ταναγραίωι θιάσους ἐστήσατο ποιμήν·
καὶ κρήνη κελάδησεν, ὅπηι χθονὸς ἄκρον ἀράξας
ὑγρὸς ὄνυξ ἵππειος ἐπώνυμον ἔγλυφεν ὕδωρ·
Ἀσωπὸς δ' ἐχόρευε πυρίπνοα χεύματα σύρων
καὶ προχοὰς ἐλέλιξε· σὺν Ἰσμηνῶι δὲ τοκῆι
κυκλάδας αἰθύσσουσα ῥοὰς ὠρχήσατο Δίρκη.
καί ποτέ τις δρυόεντος ἀναΐξασα κορύμβου
ἡμιφανὴς ἐλίγαινεν Ἁμαδρυὰς ὑψόθι δένδρου,
οὔνομα κυδαίνουσα κορυμβοφόρου Διονύσου·
πηγαίη δ' ὁμόφωνος ἀσάμβαλος ἴαχε Νύμφη.
καὶ κτύπος οὐρεσίφοιτος ἀδεψήτοιο βοείης
Πενθέος ἀσπόνδοισιν ἐπεσμαράγησεν ἀκουαῖς·
οἰνοφόρωι δ' ἀθέμιστος ἄναξ ἐπεχώσατο Βάκχωι,
✦ καὶ στρατιὴν ἐκόρυσσε μαχήμονα, κέκλετο δ' ἀστοῖς
ἄστεος ἑπταπόροιο περιφράξαι πυλεῶνας·
οἱ μὲν ἐπεκλήισσαν ἀμοιβαδίς, ἐξαπίνης δὲ
αὐτόματοι κληῖδες ἀνωίγνυντο πυλάων,
καὶ δολιχοὺς πυλεῶνι μάτην ἐπέβαλλον ὀχῆας
ἠερίοις θεράποντες ἐριδμαίνοντες ἀήταις.
οὐ τότε τις πυλαωρὸς ἰδὼν ἀνεσείρασε Βάκχην·
Σειληνοὺς δὲ γέροντας ἀτευχέας ἀσπιδιῶται
L1[I] ἔτρεμον αἰχμητῆρες· ὁμογλώσσωι δ' ἀλαλητῶι
κεκλομένου βασιλῆος ἀφειδήσαντες ἀπειλῆς
πολλάκις ὠρχήσαντο, σὺν εὐτύκτοις δὲ βοείαις
κυκλάδος ἐστήσαντο σακεσπάλον ἅλμα χορείης,
φρικαλέαι δ' ἰάχησαν ἐν οὔρεσι λυσσάδες ἄρκτοι·
καὶ γένυν αἰθύσσουσα καὶ ὑψιπότητον ἐρωὴν
πόρδαλις ἠιώρητο· λέων δέ τις ἁβρὸν ἀθύρων
up 3 ἀντίτυπον μίμημα φιλοσμαράγων Κορυβάντων.
μειλίχιον βρύχημα συνήλικι πέμπε λεαίνηι.
ἤδη δ' αὐτοέλικτος ἐσείετο Πενθέος αὐλὴ
ἀκλινέων σφαιρηδὸν ἀναΐσσουσα θεμέθλων·
καὶ πυλεὼν δεδόνητο θορὼν ἐνοσίχθονι παλμῶι,
πήματος ἐσσομένοιο προάγγελος· αὐτόματος δὲ
λάινος Ὀγκαίης ἐλελίζετο βωμὸς Ἀθήνης,
ὃν ποτε Κάδμος ἔδειμεν, ὅτε βραδυπειθέι ῥιπῆι
μόσχου πυργοδόμοιο φερέπτολις ὤκλασε χηλή·
ἀμφὶ δὲ θεῖον ἄγαλμα πολισσούχοιο θεαίνης
αὐτομάτηι ῥαθάμιγγι θεόσσυτος ἔβλυεν ἱδρὼς
δεῖμα φέρων ναέτῃσι· καὶ ἐκ ποδὸς ἄχρι καρήνου
ἄγγελος ἐσσομένων βρέτας Ἄρεος ἔρρεε λύθρωι.
καὶ ναέται δεδόνηντο· φόβωι δ' ἐλελίζετο μήτηρ
Πενθέος αὐχήεντος, ἐβακχεύθη δὲ μενοινῆι,
Nonnus μνησαμένη προτέροιο δαφοινήεντος ὀνείρου
πικρὰ προθεσπίζοντος, ἐπεὶ πάρος ὑψόθι λέκτρων,
44.50 ἐξ ὅτε κοιρανίην πατρώιον ἥρπασε Πενθεύς,

230 (131C) χεύμασιν Ἀσσυρίοισι καλύπτεται Ἰνδὸς Ὀρόντης.
εἰσέτι δειμαίνων καὶ ἐν ὕδασιν οὔνομα Βάκχου."
τοῖον ἔπος Βρομίωι χρυσήνιος ἴαχε δαίμων.
ὄφρα μὲν εἰσέτι Βάκχος ὁμίλεε κυκλάδι Μήνῃ,
τόφρα δὲ καὶ Ζαγρῆι χαριζομένη Διονύσωι
Περσεφόνη θώρηξεν Ἐρινύας, ἀχνυμένη δὲ
ὀψιγόνωι χραίσμησε κασιγνήτωι Διονύσωι.
αἱ δὲ Διὸς χθονίοιο δυσάντεϊ νεύματι κόρσης
Εὐμενίδες Πενθῆος ἐπεστρατόωντο μελάθρωι,
ὧν ἡ μὲν ζοφεροῖο διαθρώισκουσα βερέθρου
Ταρταρίην ἐλέλιζεν ἐχιδνήεσσαν ἱμάσθλην,
Κωκυτοῦ δὲ ῥέεθρον ἀρύετο καὶ Στυγὸς ὕδωρ,
καὶ χθονίηι ῥαθάμιγγι δόμους ἔρραινεν Ἀγαύης {...}
οἷα προθεσπίζοντα γόον καὶ δάκρυα Θήβης·
Ἀκταίην δὲ μάχαιραν ἀπ' Ἀτθίδος ἤγαγε δαίμων,
ἀρχαίην Ἰτύλοιο μιαιφόνον, ἧι ποτε μήτηρ
Πρόκνη θυμολέαινα σὺν ἀνδροφόνωι Φιλομήληι
τηλυγέτην ὠδῖνα διατμήξασα σιδήρωι
παιδοβόρωι Τηρῆι φίλην δαιτρεύσατο φορβήν·
κείνην χειρὶ φέρουσα φόνων ὀχετηγὸν Ἐρινὺς
ἀρχεκάκοις ὀνύχεσσι διαγλύψασα κονίην
Ἀττικὸν ἔκρυφεν ἆορ ὀρεσσιφύτωι παρὰ ῥίζηι
μηκεδανῆς ἐλάτης, ἧι Μαινάδες, ὁππόθι Πενθεὺς
μέλλε θανεῖν ἀκάρηνος· ἐπαμήσασα δὲ κόχλωι
Γοργόνος ἀρτιφόνοιο νεόρρυτον αἷμα Μεδούσης
πορφυρέαις ἔχρισε Λιβυστίσι δένδρον ἐέρσαις. L1[I]
καὶ τὰ μὲν ἐν σκοπέλοις τεχνήσατο μαινὰς Ἐρινύς.
ὀρφναίοις δὲ πόδεσσι δόμων ἐπεβήσατο Κάδμου
νυκτιφαὴς Διόνυσος ἔχων ταυρώπιδα μορφήν,
αἰθύσσων Κρονίην μανιώδεα Πανὸς ἱμάσθλην·
βακχεύσας δ' ἀχάλινον Ἀρισταίοιο γυναῖκα
2 (1C) Αὐτονόην ἐκάλεσσε, καὶ ἴαχε θυιάδι φωνῆι·
"ὀλβίη, Αὐτονόη, Σεμέλης πλέον· ἀρτιγάμου γὰρ
υἱέος εἰς ὑμέναιον ἐριδμαίνεις καὶ Ὀλύμπωι·
αἰθέρος ἥρπασας εὖχος, ἐπεὶ λάχεν ἁβρὸν ἀκοίτην
Ἄρτεμις Ἀκταίωνα καὶ Ἐνδυμίωνα Σελήνη.
οὐ θάνεν Ἀκταίων, οὐκ ἔλλαχε θηρὸς ὀπωπήν,
οὐ στικτῆς ἐλάφοιο τανυγλώχινα κεραίην,
2 οὐ νόθον εἶδος ἔδεκτο, καὶ οὐκ ἐψεύσατο μορφήν,
οὐ κύνας ἀγρευτῆρας ἑοὺς ἐνόησε φονῆας·
ἀλλὰ κακογλώσσων στομάτων κενεόφρονι μύθωι
υἱέος ὑμετέροιο μόρον ψεύσαντο βοτῆρες,
νυμφίον ἐχθαίροντες ἀνυμφεύτοιο θεαίνης.
οἶδα, πόθεν δόλος οὗτος· ἐπ' ἀλλοτρίοις ὑμεναίοις
εἰς γάμον, εἰς Παφίην ζηλήμονές εἰσι γυναῖκες.
ἀλλὰ θυελλήεντι διαθρώισκουσα πεδίλωι
σπεῦδε μολεῖν ἀκίχητος ἐς οὔρεα· κεῖθι μολοῦσα
ὄψεαι Ἀκταίωνα συναγρώσσοντα Λυαίωι, Nonnus
Ἄρτεμιν ἐγγὺς ἔχοντα, καὶ αἰόλα δίκτυα θήρης
ἐνδρομίδας φορέοντα, καὶ ἀμφαφόωντα φαρέτρην. 44.300

μητρὸς ἐμῆς Σεμέλης ἀπὸ πατρίδος· ὠκύμορος γὰρ
Nonnus θνητὸς ἀνὴρ κλονέει με θεημάχος· ὡς νυχίῃ δὲ
νυκτελίωι χραίσμησον ἐλαυνομένωι Διονύσωι·
εἰ δὲ σὺ Περσεφόνεια νεκυσσόος, ὑμέτεραι δὲ
ψυχαὶ Ταρταρίοισιν ὑποδρήσσουσι θοώκοις,
νεκρὸν ἴδω Πενθῆα, καὶ ἀχνυμένου Διονύσου
δάκρυον εὐνήσειε τεὸς ψυχοστόλος Ἑρμῆς·
σεῖο δὲ Τισιφόνης μανιώδεος ἠὲ Μεγαίρης
Ταρταρίηι μάστιγι λαθίφρονα παῦσον ἀπειλὴν
Γηγενέος Πενθῆος, ἐπεὶ δυσμήχανος Ἥρη
ὀψίγονον Τιτῆνα νέωι θώρηξε Λυαίωι.
ἀλλὰ σὺ φῶτα δάμασσον ἀθέσμιον, ὄφρα γεραίρῃς
ἀρχεγόνου Ζαγρῆος ἐπωνυμίην Διονύσου.
Ζεῦ ἄνα, καὶ σὺ δόκευε μεμηνότος ἀνδρὸς ἀπειλήν·
κλῦθι, πάτερ καὶ μῆτερ· ἐλεγχομένου δὲ Λυαίου
σὴ στεροπὴ γαμίη Σεμέλης τιμήορος ἔστω."
ὣς φαμένου ταυρῶπις ἀνίαχεν ὑψόθι Μήνη·
◆ "νυκτιφαὲς Διόνυσε, φυτηκόμε, σύνδρομε Μήνης,
σῆς σταφυλῆς ἀλέγιζε· μέλει δέ μοι ὄργια Βάκχου,
ὑμετέρων ὅτι γαῖα φυτῶν ὠδῖνα πεπαίνει
μαρμαρυγὴν δροσόεσσαν ἀκοιμήτοιο Σελήνης
δεχνυμένη· σὺ δέ, Βάκχε χοροίτυπε, θύρσα τιταίνων
σῆς γενετῆς ἀλέγιζε, καὶ οὐ τρομέεις γένος ἀνδρῶν
ἀδρανέων, οἷς κοῦφος ἀεὶ νόος, ὧν καὶ ἀνάγκηι
Εὐμενίδων μάστιγες ἀναστέλλουσιν ἀπειλάς.
L2[O] σὺν σοὶ δυσμενέεσσι κορύσσομαι· ἶσα δὲ Βάκχωι
κοιρανέω μανίης ἑτερόφρονος· εἰμὶ δὲ Μήνη
Βακχιάς, οὐχ ὅτι μοῦνον ἐν αἰθέρι μῆνας ἑλίσσω,
ἀλλ' ὅτι καὶ μανίης μεδέω καὶ λύσσαν ἐγείρω.
οὐ χθονίην σέθεν ὕβριν ἐγὼ νήποινον ἐάσω·
ἤδη γὰρ Λυκόοργος ἀπειλήσας Διονύσωι,
ὁ πρὶν ἐὼν ταχύγουνος, ὁ Μαινάδας ὀξὺ διώξας,
τυφλὸς ἀλητεύει καὶ δεύεται ἡγεμονῆος.
ἤδη δ' ἀμφὶ τένοντας Ἐρυθραίων δονακήων
κέκλιται ἔνθα καὶ ἔνθα, τεῆς αὐτάγγελος ἀλκῆς,
Ἰνδῶν νεκρὸς ὅμιλος, ἀναινομένωι δὲ ῥεέθρωι
ἄφρονα Δηριαδῆα πατὴρ ἔκρυψεν Ὑδάσπης
ἔγχεϊ κισσήεντι τετυμμένον· αὐτὰρ ὁ φεύγων
πατρώιωι βαρύθοντι κατηφέι πῖπτε ῥεέθρωι·
Τυρσηνοὶ δεδάασι τεὸν σθένος, ὁππότε νηῶν
ὄρθιος ἱστὸς ἄμειπτο καὶ ἀμπελόεις πέλεν ὄρπηξ
αὐτοτελής, τὸ δὲ λαῖφος ὑπὸ σκιεροῖσι πετήλοις
ἡμερίδων εὔβοτρυς ἀνηέξητο καλύπτρη,
καὶ πρότονοι σύριζον ἐχιδνήεντι κορύμβωι
ἰοβόλοι, βροτέην δὲ φυὴν καὶ ἐχέφρονα βουλὴν
δυσμενέες ῥίψαντες ἀμειβομένοιο προσώπου
ἀφραδέες δελφῖνες ἐνιπλώουσι θαλάσσηι·
εἰσέτι κωμάζουσι καὶ ἐν ῥοθίοις Διονύσωι,
οἷα κυβιστητῆρες ἐπισκαίρουσι γαλήνηι.
καὶ νέκυς ὑμετέρωι βεβολημένος ὀξέι θύρσωι

231 (132C) πάννυχον ὑπναλέοις ὀάροις εὕδουσαν Ἀγαύην
φάσματα μιμηλοῖο διεπτοίησεν ὀνείρου, Nonnus
ἀπλανέος θρώισκοντα δι' εὐκεράου πυλεῶνος·
ἔλπετο γὰρ Πενθῆα χοροίτυπον ἁβρὸν ὁδίτην
ἄρσενα κοσμήσαντα γυναικείωι χρόα πέπλωι
ῥῖψαι πορφυρόνωτον ἐπὶ χθόνα φᾶρος ἀνάκτων,
θύρσον ἐλαφρίζοντα καὶ οὐ σκήπτροιο φορῆα·
καί μιν ἰδεῖν ἐδόκησε πάλιν Καδμηὶς Ἀγαύη
ἑζόμενον σκιεροῖο μετάρσιον ὑψόθι δένδρου·
καὶ φυτὸν ὑψικάρηνον, ὅπηι θρασὺς ἕζετο Πενθεύς,
θῆρες ἐκυκλώσαντο, καὶ ἄγριον εἶχον ἐρωὴν
δένδρον ἀπειλητῆρι μετοχλίζοντες ὀδόντι,
τρηχαλέαις γενύεσσι· τινασσομένοιο δὲ δένδρου
κύμβαχος αὐτοκύλιστος ἕλιξ δινεύετο Πενθεύς,
καὶ μὲν ἐδηλήσαντο δεδουπότα λυσσάδες ἄρκτοι·
ἀγροτέρη δὲ λέαινα καταΐσσουσα προσώπου
πρυμνόθεν ἔσπασε χεῖρα, καὶ ἄσχετα μαινομένη θὴρ
ἡμιτόμου Πενθῆος ἐρεισαμένη πόδα λαιμῶι
θηγαλέοις ὀνύχεσσι διέθρισεν ἀνθερεῶνα,
αἱμαλέον δὲ κάρηνον ἐκούφισεν ἅρπαγι ταρσῶι
οἰκτρὰ δαϊζομένου, καὶ ἐδείκνυε μάρτυρι Κάδμωι
παλλομένη, βροτέην δ' ἀλιτήμονα ῥήξατο φωνήν·
"εἰμὶ τεὴ θυγάτηρ θηροκτόνος· εἰμὶ δὲ μήτηρ
Πενθέος ὀλβίστοιο, τεὴ φιλότεκνος Ἀγαύη.
τηλίκον ὤλεσα θῆρα· λεοντοφόνοιο δὲ νίκης
δέχνυσο τοῦτο κάρηνον ἐμῆς πρωτάγριον ἀλκῆς· L2[O]
τηλίκον οὔ ποτε θῆρα κατέκτανε σύγγονος Ἰνώ,
οὐ κτάνεν Αὐτονόη· σὺ δὲ σύμβολα παιδὸς Ἀγαύης
πῆξον ἀριστοπόνοιο τεοῦ προπάροιθε μελάθρου."
τοῖον ὄναρ βλοσυρωπὸν ὑπόχλοος εἶδεν Ἀγαύη.
ἔνθεν ἐριπτοίητος ἀπωσαμένη πτερὸν Ὕπνου,
3 (2C) ὀρθρινὴ καλέσασα θεηγόρον υἷα Χαρικλοῦς,
μάντιας ἐσσομένων φονίους ἐδίδαξεν ὀνείρους·
Τειρεσίας δ' ἐκέλευσε θεοπρόπος ἄρσενα ῥέξαι
ταῦρον, ἀοσσητῆρα δαφοινήεντος ὀνείρου,
Ζηνὸς ἀλεξικάκοιο θεοκλήτωι παρὰ βωμῶι,
μηκεδανῆς ἐλάτης παρὰ δένδρεον, ἧχι Κιθαιρὼν
πέπταται ὑψικάρηνος· Ἀμαδρυάδεσσι δὲ Νύμφαις
3 θῆλυν ὄιν σήμαινε θυηπολέειν παρὰ λόχμηι.
ἔγνω δ' ἔμφρονα θῆρα καὶ ἀγρώσσουσαν Ἀγαύην
γαστρὸς ἑῆς ὠδῖνα καὶ ὠλεσίτεκνον ἀγῶνα
καὶ κεφαλὴν Πενθῆος· ἐν ἀφθόγγωι δὲ σιωπῆι
κρύψεν ὀνειρείης ἀπατήλιον εἰκόνα νίκης,
Πενθέα μὴ βαρύμηνιν ἐὸν βασιλῆα χαλέψηι.
πειθομένη δὲ γέροντι σοφῶι φιλότεκνος Ἀγαύη
εἰς ὄρος ὑψικάρηνον ὁμόστολος ἤιε Κάδμωι
Πενθέος ἑσπομένοιο· καὶ εὐκεράωι παρὰ βωμῶι
θῆλυν ὄιν κερόεντι συνέμπορον ἄρσενι ταύρωι,
ἧχι Διὸς πέλεν ἄλσος ὀρειάδος ἔμπλεον ὕλης,
Ζηνὶ καὶ Ἀδρυάδεσσι μίαν ξύνωσε θυηλὴν

Κάδμος Ἀγηνορίδης, θεοτερπέα βωμὸν ἀνάψας,
ῥέζων ἀμφοτέροισιν· ἀναπτομένοιο δὲ πυρσοῦ
κνίση μὲν περίφοιτος ἕλιξ συνενήχετο καπνῶι
εὐόδμωι στροφάλιγγι, δαϊζομένου δ' ἄρα ταύρου
ὄρθιος αἱμαλέης αὐτόσσυτος αὐλὸς ἐέρσης
χεῖρας ἐρευθιόωντι φόνωι πόρφυρεν Ἀγαύης
αὐχένιον δὲ τένοντα πέριξ στεφανηδὸν ἑλίξας
οἰδαλέην ἐπίκυρτον ἑὴν δοχμώσατο δειρὴν
μείλιχος εἰλικόεντι δράκων μιτρούμενος ὁλκῶι,
στέμματι δ' ὁλκαίωι κεφαλὴν κυκλώσατο Κάδμου
πρηῢς ὄφις, καὶ γλῶσσα πέριξ λίχμαζεν ὑπήνην
μειλιχίων φίλον ἰὸν ἀποπτύουσα γενείων
οἰγομένων· καὶ θῆλυς ὄφις μιτρώσατο κόρσην
Ἁρμονίης ξανθοῖσι περιπλεχθεῖσα κορύμβοις.
καὶ διδύμων ὀφίων πετρώσατο γυῖα Κρονίων,
ὅττι παρ' Ἰλλυρικοῖο δρακοντοβότου στόμα πόντου
Ἁρμονίη καὶ Κάδμος ἀμειβομένοιο προσώπου
◆ λαϊνέην ἤμελλον ἔχειν ὀφιώδεα μορφήν.
τοῖον ἴδεν ποτὲ φάσμα, καὶ ὀμφήεντος ὀνείρου
μνησαμένη δεδόνητο φόβωι φιλότεκνος Ἀγαύη.
up 2 καὶ φόβον ἄλλον ἔχουσα μετὰ προτέρου φόβον ὕπνου
up 2 νόστιμος εἰς δόμον ἦλθε σὺν υἱέι καὶ γενετῆρι.
ἤδη δ' ἐπταπόροιο δι' ἄστεος ἵπτατο Φήμη
ὄργια κηρύσσουσα χοροπλεκέος Διονύσου·
οὐδέ τις ἦν ἀχόρευτος ἀνὰ πτόλιν· ἀγρονόμων δὲ
L2[I] εἰαρινοῖς πετάλοισιν ἐμιτρώθησαν ἀγυιαί·
καὶ θάλαμον Σεμέλης χλοερῶι σκιόωσα κορύμβωι
νυμφιδίου σπινθῆρος ἔτι πνείοντα κεραυνοῦ
αὐτοφυὴς ἐμέθυσσεν ἕλιξ εὐώδεϊ καρπῶι.
φρικτὰ δὲ παπταίνων πολυειδέα θαύματα Βάκχου,
ζῆλον ἔχων ὑπέροπλον, ἄναξ κυμαίνετο Πενθεύς·
καὶ κενεῆς προχέων ὑπερήνορα κόμπον ἀπειλῆς
τοῖον ἔπος δμώεσσιν ἀτάσθαλος ἴαχε Πενθεύς·
"Λυδὸν ἐμὸν θεράποντα κομίσσατε, θῆλυν ἀλήτην,
δαινυμένου Πενθῆος ὑποδρηστῆρα τραπέζης,
οἰνοδόκωι ποτὸν ἄλλο διαστάζοντα κυπέλλωι,
ἢ γλάγος ἢ γλυκὺ χεῦμα {...} κασιγνήτην δὲ τεκούσης
Αὐτονόην πληγῇσιν ἀμοιβαίῃσιν ἱμάσσω,
κύμβαλα δ' ἠχήεντα διαρρίψαντες ἀῆται
καὶ πάταγον Βερέκυντα καὶ Εὔια τύμπανα Ῥείης
ἕλκετε Βασσαρίδας μανιώδεας, ἕλκετε Βάκχας,
ἀμφιπόλους Βρομίοιο συνήλυδας, ἃς ἐνὶ Θήβηι
Ἰσμηνοῦ διεροῖσιν ἀκοντίζοντες ἐναύλοις
Νηΐδας Ἀονίαις ποταμηίσι μίξατε Νύμφαις
ἥλικας, Ἀδρυάδας δὲ γέρων δέξαιτο Κιθαιρὼν
ἄλλαις Ἀδρυάδεσσιν ὁμόζυγας ἀντὶ Λυαίου.
up 8 καὶ πλοκάμους τμήξωμεν ἀκερσικόμου Διονύσου·
ἄξατε πῦρ, θεράποντες, ἐπεὶ ποινήτορι θεσμῶι,
ἐκ πυρὸς εἰ πέλε Βάκχος, ἐγὼ πυρὶ Βάκχον ὀπάσσω·
Ζεὺς Σεμέλην ἐδάμασσεν, ἐγὼ Διόνυσον ὀλέσσω.
232 (133C) εἰ δέ κε πειρήσαιτο καὶ ἡμετέροιο κεραυνοῦ,
γνώσεται, οἷον ἔχω χθόνιον σέλας· οὐρανίου γὰρ
θερμοτέρους σπινθῆρας ἐμὸν λάχεν ἀντίτυπον πῦρ·
σήμερον αἰθαλόεντα τὸν ἀμπελόεντα τελέσσω.
εἰ δὲ μόθον στήσειε μαχήμονα θύρσον ἀείρων,
γνώσεται, οἷον ἔχω χθόνιον δόρυ· καί μιν ὀλέσσω,
οὐ ποδός, οὐ λαγόνων, οὐ στήθεος, οὐ κενεώνων
ὠτειλὴν μεθέποντα· καὶ οὐ βουπλῆγι δαΐξω
κυρτὰ βοοκραίροιο κεράατα δισσὰ μετώπου,
οὐδὲ διατμήξω μέσον αὐχένος· ἀλλά ἑ τύψω
ἐγχεϊ χαλκείωι τετορημένον εἰς πτύχα μηροῦ,
ὅττι Διὸς μεγάλοιο γονὴν ἐψεύσατο μηροῦ
καὶ πόλον ὡς ἑὸν οἶκον· ἐγὼ δέ μιν ἀντὶ μελάθρου
ἀντὶ Διὸς πυλεῶνος ἐνέρτερον Ἄιδι πέμψω,
ἠέ μιν αὐτοκύλιστον ἀλυσκάζοντα καλύψω
κύμασιν Ἰσμηνοῖο, καὶ οὐ χρέος ἐστὶ θαλάσσης.
οὐ δέχομαι βροτὸν ἄνδρα νόθον θεόν· εἰ θέμις εἰπεῖν,
ψεύσομαι, ὡς Διόνυσος, ἐμὸν γένος· οὐκ ἀπὸ Κάδμου
αἷμα φέρω χθονίοιο, πατὴρ δ' ἐμός, ὄρχαμος ἄστρων,
Ἠέλιός με φύτευσε, καὶ οὐκ ἔσπειρεν Ἐχίων·
τίκτε Σεληναίη με, καὶ οὐκ ἐλόχευσεν Ἀγαύη·
εἰμὶ γένος Κρονίδαο, καὶ αἰθέρος εἰμὶ πολίτης·
οὐρανὸς ἀστερόφοιτος ἐμὴ πόλις· ἵλατε, Θῆβαι·
Παλλὰς ἐμὴ παράκοιτις, ἐμὴ δάμαρ ἄμβροτος Ἥβη·
Πενθέι μαζὸν ὄρεξε μετ' Ἄρεα δεσπότις Ἥρη,
καὶ ζαθέη μετὰ Φοῖβον ἐγείνατο Πενθέα Λητώ· L2[I]
Ἄρτεμιν ἱεμένην νυμφεύσομαι· οὐδέ με φεύγει,
ὥς ποτε Φοῖβον ἔφευγεν ἑῆς μνηστῆρα κορείης,
μῶμον ἀλυσκάζουσα κασιγνήτων ὑμεναίων.
εἰ δὲ τεὴν Σεμέλην οὐκ ἔφλεγεν οὐρανίη φλόξ,
παιδὸς ἑῆς διὰ μῶμον ἑὸν δόμον ἔφλεγε Κάδμος,
4 (3C) ἀστεροπὴν δ' ἐκάλεσσε χαμαιγενὲς ἁπτόμενον πῦρ,
καὶ δαΐδων ὀνόμηνε σέλας σπινθῆρα κεραυνοῦ."
ὣς φαμένου βασιλῆος ἐπεστρατόωντο μαχηταὶ
ὁπλοφόροι κενεοῖσιν ἐριδμαίνοντες ἀήταις·
καὶ στρατὸς ἄσπετος ἦεν ἔσω πιτυώδεος ὕλης,
ἴχνια μαστεύοντες ἀθηήτοιο Λυαίου.
ὄφρα μὲν ἐνναέτηισιν ἄναξ ἐπετέλλετο Πενθεύς,
4 τόφρα δὲ καὶ Διόνυσος ἀφεγγέα νύκτα δοκεύων
τοῖον ἔπος πρὸς Ὄλυμπον ἀνίαχε κυκλάδι Μήνηι·
"ὦ τέκος Ἠελίοιο, πολύστροφε, παντρόφε Μήνη,
ἅρματος ἀργυρέοιο κυβερνήτειρα Σελήνη,
εἰ σὺ πέλεις Ἑκάτη πολυώνυμος, ἐννυχίη δὲ
πυρσοφόρωι παλάμηι δονέεις θιασώδεα πεύκην,
ἔρχεο, νυκτιπόλος, σκυλακοτρόφος, ὅττί σε τέρπει
κυνζηθμῶι γοόωντι κυνοσσόος ἔννυχος ἠχώ·
Ἄρτεμις εἰ σὺ πέλεις ἐλαφηβόλος, ἐν δὲ κολώναις
νεβροφόνωι σπεύδουσα συναγρώσσεις Διονύσωι,
ἔσσο κασιγνήτοιο βοηθόος· ἀρχεγόνου γὰρ
αἷμα λαχὼν Κάδμοιο διώκομαι ἔκτοθι Θήβης,

Nonnus

νεκρὸν ἐλαφρίζοντες ἀνήγαγον εἰς ῥάχιν ὕλης
ἔμφρονα θυμὸν ἔχοντες, ἐν εὐύδρωι δὲ ῥεέθρωι
ὠτειλὰς ἐκάθηραν ὀρεσσιχύτωι παρὰ πηγῆι·
καὶ νέκυν ἀρτιδάικτον, ὃν ἔκτανον ἄφρονι λύσσηι,
ἀνδροφόνοις παλάμῃσιν ἐτυμβεύσαντο φονῆες.
  ψυχὴ δ' Ἰκαρίοιο πανείκελος ἔσσυτο καπνῶι
εἰς δόμον Ἠριγόνης· βροτέηι δ' ἰσάζετο μορφῆι
κοῦφον ὀνειρείης σκιερῆς εἴδωλον ὀπωπῆς,
ἀνδρὶ νεουτήτωι πανομοίιος, εἶχε δὲ δειλὴ
στικτὸν ἀσημάντοιο φόνου κήρυκα χιτῶνα,
αἵματι φοινίσσοντα καὶ αὐχμώοντα κονίηι,
ῥωγαλέον πληγῆισιν ἀμοιβαίοιο σιδήρου.
καὶ παλάμας ὤρεξε· νεοσφαγέων δὲ δοκεύειν
ὠτειλὰς μελέων ἐπεδείκνυε γείτονι κούρηι.
παρθενικὴ δ' ὀλόλυξε φιλοθρήνοις ἐν ὀνείροις,
ὡς ἴδεν ἕλκεα τόσσα καρήατος, ὡς ἴδε δειλὴ
λύθρον ἐρευθομένοιο νεόρρυτον ἀνθερεῶνος·
καὶ σκιόεις γενέτης ἔπος ἔννεπε πενθάδι κούρηι·
  "ἔγρεο, δειλαίη, καὶ δίζεο σεῖο τοκῆα·
ἔγρεο, καὶ μεθύοντας ἐμοὺς μάστευε φονῆας·
εἰμὶ τεὸς γενέτης βαρυώδυνος, ὃν χάριν οἴνου
ἀγρονόμοι δασπλῆτες ἐδηλήσαντο σιδήρωι.
ὦ τέκος, ὀλβίζω σε· σὺ γὰρ κταμένοιο τοκῆος
οὐ καναχὴν ἤκουσας ἀρασσομένοιο καρήνου,
οὐ πολιὴν ἐνόησας ἐρευθομένην ὑπὸ λύθρωι,
L1[O] οὐ νέκυν ἀρτιδάικτον ἐπισπαίροντα κονίηι,
πατροφόνους κορύνας οὐκ ἔδρακες· ἀλλά σε δαίμων
ἔκτοθι πατρὸς ἔρυκε, τεὴν δ' ἐφύλαξεν ὀπωπήν,
μὴ μόρον ἀθρήσειε δαϊζομένου γενετῆρος.
αἵματι πορφύροντας ἐμοὺς σκοπίαζε χιτῶνας·
χθιζὰ γὰρ οἰνωθέντες ἀμοιβαίοισι κυπέλλοις
ἀγρονόμοι βλύζοντες ἀήθεος ἰκμάδα Βάκχου
ἀμφ' ἐμὲ κυκλώσαντο· δαϊζόμενὸς δὲ σιδήρωι
μηλονόμους ἐκάλεσσα, καὶ οὐκ ἤκουσαν ἰωήν·
μούνη δ' ὑστερόφωνος ἐμὸν κτύπον ἔκλυεν Ἠχὼ
θρήνοις ἀντιτύποισι τεὸν στενάχουσα τοκῆα.
οὐκέτι κουφίζουσα καλαύροπα μεσσόθεν ὕλης
εἰς νομὸν ἀνθεμόεντα καὶ εἰς λειμῶνας ἱκάνεις,
σὴν ἀγέλην βόσκουσα σὺν ἀγραύλου παρακοίτηι·
οὐκέτι δενδροκόμοιο τεῆς ψαύουσα μακέλλης
κῆπον ἐς εὐώδινα φέρεις ἀμαρήιον ὕδωρ·
ἀλλὰ μελιρραθάμιγγος ἐμῆς ἀκόρητος ὀπώρης
κλαῖε τεὸν γενέτην με δεδουπότα· καί δὲ νοήσω
ὀρφανικὴν ζώουσαν ἀπειρήτην ὑμεναίων."
  ὣς φαμένη πτερόεσσα παρέδραμεν ὄψις ὀνείρου.
κούρη δ' ἐγρομένη ῥοδέας ἤμυξε παρειάς,
πενθαλέοις δ' ὀνύχεσσιν ἀκαμπέας ἔξεσε μαζούς,
καὶ δολιχῆς προθέλυμνον ἀνέσπασε βότρυν ἐθείρης·
καὶ βόας ἀθρήσασα παρισταμένους ἔτι πέτρηι
47.192 παρθένος ἀχνυμένη κινυρῆι βρυχήσατο φωνῆι·
"πῆι νέκυς Ἰκαρίοιο, φίλαι φθέγξασθε κολῶναι·

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

See also the forty-fifth, where Pentheus binds the bull instead of stronghorn Lyaios.

NONNUS

DIONYSIACA

BOOK 45

PREVIEW
BOOK 47

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 358 lines 3.0
3L 1 - 358

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT
2-SIDED:
261 to **266**

1

Ὣς φαμένου Βρομίοιο δόμων ἐξέδραμε νύμφη
χάρματι λυσσήεντι κατάσχετος, ὄφρα νοήσηι
νυμφίον Ἀκταίωνα παρήμενον ἰοχεαίρηι·
καί οἱ ἐπειγομένηι σφαλερῶι ποδὶ σύνδρομος αὔραις
εἰς ὄρος ἀκρήδεμνος ὁμάρτεε Μαινὰς Ἀγαύη,
καὶ Κρονίης μάστιγος ἱμασσομένη φρένα κέντρωι
ἄσκοπον ἐρροίβδησε μεμηνότι χείλεϊ φωνήν·
“οὐτιδανῶι Πενθῆι κορύσσομαι, ὄφρα δαείη,
θαρσαλέην ὅτι Κάδμος Ἀμαζόνα τίκτεν Ἀγαύην.
ἔμπλεος ἠνορέης καὶ ἐγὼ πέλον· ἢν ἐθελήσω,
καὶ γυμναῖς παλάμηισιν ὅλον Πενθῆα δαμάσσω,
καὶ στρατιὴν εὔοπλον ἀτευχέι χειρὶ δαΐξω.
θύρσον ἔχω· μελίης οὐ δεύομαι, οὐ δόρυ πάλλω·
ἔγχεϊ δ’ ἀμπελόεντι δορυσσόον ἀνέρα βάλλω·
οὐ φορέω θώρηκα, καὶ εὐθώρηκα δαμάσσω.
κύμβαλα δ’ αἰθύσσουσα καὶ ἀμφιπλῆγα βοείην
κυδαίνω Διὸς υἷα, καὶ οὐ Πενθῆα γεραίρω.
Λύδιά μοι δότε ῥόπτρα· τί μέλλετε, θυιάδες ὧραι;
ἵξομαι εἰς σκοπέλους, ὅθι Μαινάδες, ἧχι γυναῖκες
ἥλικες ἀγρώσσοντι συναγρώσσουσι Λυαίωι.
ζῆλον ἔχω, Διόνυσε, λεοντοφόνοιο Κυρήνης·
φείδεό μοι Βρομίοιο, θεημάχε, φείδεο, Πενθεῦ·
εἰς σκοπέλους ἀκίχητος ἐλεύσομαι, ὄφρα καὶ αὐτὴ
Εὔιον ἀείδουσα χοροίτυπον ἴχνος ἑλίξω·
οὐκέτι βοτρυόεντος ἀναίνομαι ὄργια Βάκχου,
οὐκέτι Βασσαρίδων στυγέω χορόν· ἀλλὰ καὶ αὐτὴ
δειμαίνω Διόνυσον, ὃν ἤροσεν ἄφθιτος εὐνή,
ὃν Διὸς ὑψιμέδοντος ἐχυτλώσαντο κεραυνοί.
ἔσσομαι ὠκυπέδιλος, ὁμήλυδος ἰοχεαίρης
δίκτυα κουφίζουσα, καὶ οὐ κλωστῆρας Ἀθήνης.”
ὣς φαμένη πεπότητο νέη σκαίρουσα Μιμαλλών,
ληναίης μεθέπουσα φιλεύιον ἅλμα χορείης,
Βάκχον ἀνευάζουσα καὶ ἀείδουσα Θυώνην·
καὶ Σεμέλην ὑπάτοιο Διὸς κίκλησκε γυναῖκα,
καὶ σέλας εὐφαέων γαμίων ἐλίγαινε κεραυνῶν.
καὶ χορὸς ἐν σκοπέλοισιν ἔην πολύς· ἀμφὶ δὲ πέτραι
ἴαχον· ἑπταπύλου δὲ πέδον περιδέδρομε Θήβης
ἠχὴ ποικιλόμορφος· ὁμογλώσσωι δ’ ἀλαλητῶι
μελπομένων βαρύδουπος ἐπεσμαράγησε Κιθαιρών·
καὶ δροσόεις κελάδησεν ἁλὸς κτύπος· ἦν δὲ νοῆσαι
δένδρεα κωμάζοντα καὶ αὐδήεσσαν ἐρίπνην.
καί τις ἑοῦ θαλάμοιο χοροίτυπος ἔκθορε κούρη,
αὐλὸς ὅτε τρητοῖσι πόροις ἰάχησε κεράστης·
καὶ κτύπος ἀμφιβόητος ἀδεψήτοιο βοείης
παρθενικὰς βάκχευσεν, ἀπ’ εὐτύκτων δὲ μελάθρων
εἰς ὄρος ὑψικάρηνον ἐρημάδας ἤλασε Βάκχας.
καί τις ἀνοιστρηθεῖσα θυελλήεντι πεδίλωι
κούρη λυσιέθειρα διέσσυτο παρθενεῶνος,
κερκίδα καλλείψασα καὶ ἱστοτέλειαν Ἀθήνην·
καὶ πλοκάμων ἀκόμιστον ἀπορρίψασα καλύπτρην

λυσίπονον καὶ ξεῖνον ἄγεις ποτόν· ἠερίοις γὰρ
πλαζομένας ἀνέμοισιν ἐμὰς ἐκέδασσε μερίμνας.
μή σοι δῶρον ἔδωκεν ἀπ’ αἰθέρος ἄμβροτος Ἥβη;
μή σοι τοῦτο κόμισσε τεὴ πολιοῦχος Ἀθήνη;
οὐρανόθεν κρητῆρα τίς ἥρπασεν, ἔνθεν ἀφύσσει
Ζηνὶ καὶ ἀθανάτοισι δέπας κεράσας Γανυμήδης;
ξεινοδόκου Κελεοῖο μακάρτερε, μὴ σὺ καὶ αὐτὸς
ἵλαον οὐρανόθεν ναέτην ξείνισσας Ὀλύμπου;
πείθομαι, ὡς θεὸς ἄλλος ἐκώμασε σεῖο μελάθρωι,
καὶ φιλίης πόμα τοῦτο τεῆς διὰ δεῖπνα τραπέζης
Ἀτθίδι δῶρον ἔδωκεν, ἅτε στάχυν ὤπασε Δηώ.”
ἔννεπε θαμβήσας γλυκερὸν ποτόν· ἐκ στομάτων δὲ
ἡδυμανὴς ἀλάλαζε χέων ἄγραυλον ἀοιδήν.
ἀγφονόμοι δ’ ἀρύοντες ἐπασσυτέροισι κυπέλλοις
πάντες ἐβακχεύθησαν ἀμερσινόωι φρένας οἴνωι·
ὄμματα δ’ ἐπλάζοντο, φιλακρήτοις δὲ κυπέλλοις
ἄργυφα πορφύροντο παρήια, γειοπόνων δὲ
στήθεα θερμαίνοντο, ποτῶι δ’ ἐβαρύνετο κόρση,
καὶ φλέβες οἰδαίνοντος ἐκυμαίνοντο καρήνου·
τοῖσι δὲ δερκομένοισιν ἐσείετο κόλπος ἀρούρης
καὶ δρύες ὠρχήσαντο καὶ ἐσκίρτησαν ἐρίπναι·
καὶ σφαλεραῖς λιβάδεσσιν ἀήθεος ἔμπλεος οἴνου
ὕπτιος αὐτοκύλιστος ἐπὶ χθόνα κάππεσεν ἀνήρ.
καὶ χορὸς ἀγρονόμων φονίωι δεδονημένος οἴστρωι
τλήμονος Ἰκαρίοιο κατέτρεχε θυιάδι λύσσηι,
οἷά τε φαρμακόεντα κερασσαμένουν δόλον οἴνου,
ὃς μὲν ἔχων βουπλῆγα σιδήρεον, ὃς δὲ μακέλληι
θωρήξας ἕο χεῖρας, ὁ δὲ σταχυητόμον ἅρπην
κουφίζων, ἕτερος δὲ λίθον περίμετρον ἀείρων,
ἄλλος ἀνεπτοίητο καλαύροπα χειρὶ τιταίνων,
γηραλέον πλήσσοντες· ἑλὼν δέ τις ἐγγὺς ἱμάσθλην
Ἰκαρίου τέτρηνε δέμας ταμεσίχροϊ κέντρωι.
καὶ μογέων χθονὶ πῖπτε γέρων φυτοεργὸς ἀλωεὺς
τυπτόμενος ῥοπάλοισιν, ἐπισκαίρων δὲ τραπέζηι
τύψε μέθης κρητῆρα, καὶ αἴθοπος εἰς χύσιν οἴνου
ἡμιθανὴς κεκύλιστο· βαρυνομένου δὲ καρήνου
ἀγρονόμων πληγῆισιν ἀμοιβαίηισι τυπέντος
αἱμαλέη φοίνιξεν ὁμόχροον οἶνον ἐέρση.
καὶ μόγις ἐκ στομάτων ἔπος ἴαχεν Ἄιδι γείτων·
“οἶνος ἐμοῦ Βρομίου, βροτέης ἄμπαυμα μερίμνης,
ὁ γλυκὺς εἰς ἐμὲ μοῦνον ἀμείλιχος· εὐφροσύνην γὰρ
ἀνδράσι πᾶσιν ὄπασσε, καὶ Ἰκαρίωι πόρε πότμον·
ὁ γλυκὺς Ἠριγόνηι πολεμήιος· ἡμετέρην γὰρ
νηπενθὴς Διόνυσος ἐθήκατο πενθάδα κούρην.”
οὔ πω μῦθος ἔληγε· μόρος δέ οἱ ἔφθασε φωνήν.
καὶ νέκυς αὐτόθι κεῖτο, σαόφρονος ἔκτοθι κούρης,
ὄμμασι πεπταμένοισιν. ἐν ἀστρώτωι δὲ χαμευνῆι
νήδυμον ὕπνον ἴαυον ὑπὲρ δαπέδοιο φονῆες
οἰνοβαρεῖς, νεκύεσσιν ἐοικότες· ἐγρόμενοι δέ,
ὃν κτάνον ἀγνώσσοντες, ἀνέστενον· ὑψόθι δ’ ὤμων

δεξιτερῆι δ' εὔοδμον ἔχων δέπας ἡδέος οἴνου
ὤρεγεν Ἰκαρίωι· φιλίωι δ' ἠσπάζετο μύθωι·
"δέξο, γέρον, τόδε δῶρον, ὃ μὴ δεδάασιν Ἀθῆναι.
ὦ γέρον, ὀλβίζω σε· σὲ γὰρ μέλψουσι πολῖται
τοῖον ἔπος βοόωντες, ὅτι κλέος εὗρεν ἐλέγξαι
Ἰκάριος Κελεοῖο καὶ Ἠριγόνη Μετανείρης.
ζῆλον ἔχω προτέρης Δημήτερος, ὅττι καὶ αὐτὴ
ἄλλωι γειοπόνωι στάχυν ὄμπνιον ὤπασε Δηώ.
Τριπτόλεμος στάχυν εὗρε, σὺ δ' οἴνοπα βότρυν ὀπώρης·
ἵλαος οὐρανίωι Γανυμήδει μοῦνος ἐρίζεις,
Τριπτολέμου προτέροιο μακάρτερε· θυμοβόρους γὰρ
οὐ στάχυες λύουσι μεληδόνας, οἰνοτόκοι δὲ
βότρυες ἀνδρομέης παιήονές εἰσιν ἀνίης."
τοῖον ἔπος κατέλεξε, φιλοξείνωι δὲ γεραιῶι
ἁβρὸν ἐγερσινόοιο δέπας πόρεν ἔμπλεον οἴνου·
καὶ πίεν ἄλλο μετ' ἄλλο γέρων φυτοεργὸς ἀλωεύς,
οἶστρον ἔχων ἀκόρητον ἐυρραθάμιγγος ἐέρσης·
κούρη δ' ἀντὶ γάλακτος ἀφυσσαμένη χύσιν οἴνου
ὤρεγε χειρὶ κύπελλον, ἕως ἐμέθυσσε τοκῆα.
ἀλλ ὅτε δὴ κόρον εὗρε κυπελλοδόκοιο τραπέζης,
δόχμιος ἀμφιέλικτος ἐρισφαλὲς ἴχνος ἑλίσσων
ποσσὶν ἀμοιβαίοισιν ἀνεσκίρτησεν ἀλωεύς,
Ζαγρέος Εὔιον ὕμνον ἀνακρούων Διονύσωι.
ἀγφονόμωι δὲ γέροντι φυτηκόμος ὤπασε δαίμων
κλήματα βοτρυόεντα, φιλεύια δῶρα τραπέζης·
L2[O] καί μιν ἄναξ ἐδίδαξεν ἀεξιφύτωι τινὶ τέχνηι
κλάσσαι βοθριάσαι τε βαλεῖν τ' ἐνὶ κλήματα γύροις.
ἄλλοις δ' ἀγρονόμοισι γέρων φυτοεργὸς ἀλωεὺς
δῶρα φέρων Βρομίοιο καὶ ἀμπελόεσσαν ὀπώρην
οἰνοφύτους ἐδίδαξε φυτηκομίας Διονύσου·
καὶ νομίωι κρητῆρι βαλὼν ῥόον ἄσπετον οἴνου
δαινυμένους ηὔφραινεν ἐπασσυτέροισι κυπέλλοις,
οἰνοδόκων θυόεσσαν ἀναπτύξας χύσιν ἀσκῶν.
καί τις ἐγερσινόοιο πιὼν ῥόον ἡδέος οἴνου
Ἠριγόνης γενετῆρα φίλωι μειλίξατο μύθωι·
"εἰπέ, γέρον, πόθεν εὗρες ἐπὶ χθονὶ νέκταρ Ὀλύμπου;
οὐκ ἀπὸ Κηφισοῖο φέρεις ξανθόχροον ὕδωρ,
οὐκ ἀπὸ Νηιάδων μελιηδέα δῶρα κομίζεις·
οὐ γὰρ ἀναβλύζουσι μελίρρυτα χεύματα πηγαί,
οὐ ῥόος Ἰλισσοῖο χυτῶι φοινίσσεται ὁλκῶι·
οὐ ποτὸν ἔπλετο τοῦτο φιλοπτόρθοιο μελίσσης,
ὀξύτατον μερόπεσσι φέρον κόρον· ἀλλοφυὲς δὲ
καὶ μέλιτος γλυκεροῖο φέρεις γλυκερώτερον ὕδωρ·
πάτριον οὐ πόμα τοῦτο λοχεύεται Ἀτθὶς ἐλαίη·
λαρότερον δὲ γάλακτος ἔχεις ποτὸν ἐμμενὲς αἰεὶ
συμφερταὶς λιβάδεσσι μελικρήτου κυκεῶνος.
εἰ δὲ ποτὸν μερόπεσσιν ἀεξιφύτων ἀπὸ κήπων
ἐκ καλύκων δεδάασιν ἄγειν ῥοδοπήχεες Ὧραι,
καί κεν ἐγὼ καλέεσκον Ἀδώνιδος ἢ Κυθερείης
εἰαρινὸν πόμα τοῦτο, ῥόδων εὔοδμον ἐέρσην.

μίσγετο Βασσαρίδεσσι καὶ Ἀονὶς ἔπλετο Βάκχη.
Τειρεσίας δ' ἱέρευσεν ἀλεξικάκωι Διονύσωι
βωμὸν ἀναστήσας, ἵνα Πενθέος ὕβριν ἐρύξηι
καὶ χόλον ἀπρήυντον ἀποσκεδάσειε Λυαίου·
ἀλλὰ μάτην ἱκέτευσεν, ἐπεὶ λίνον ἤλυθε Μοίρης.
καὶ Σεμέλης γενέτην ἐκαλέσσατο μάντις ἐχέφρων,
ὄφρα μετασχήσωσι χοροστασίην Διονύσου.
βοιθομένοις δὲ πόδεσσι γέρων ὠρχήσατο Κάδμος
στέψας Ἀονίωι χιονώδεα βόστρυχα κισσῶι·
Τειρεσίας δ' ὁμόφοιτος ἐὸν πόδα νωθρὸν ἑλίσσων,
Μυγδονίωι Φρύγα κῶμον ἀνακρούων Διονύσωι,
εἰς χορὸν ἀίσσοντι συνέμπορος ἤιε Κάδμωι
γηραλέον νάρθηκι θεουδέι πῆχυν ἐρείσας.
ἀθρήσας δὲ γέροντας ὁμήλυδας ὄμματι λοξῶι
Τειρεσίαν καὶ Κάδμον ἀτάσθαλος ἴαχε Πενθεύς·
"Κάδμε, τί μαργαίνεις; τίνι δαίμονι κῶμον ἐγείρεις;
Κάδμε, μιαινομένης ἀποκάτθεο κισσὸν ἐθείρης,
κάτθεο καὶ νάρθηκα νοοπλανέος Διονύσου·
Ὀγκαίης δ' ἀνάειρε σαόφρονα χαλκὸν Ἀθήνης.
νήπιε Τειρεσία, στεφανηφόρε, ῥῖψον ἀήταις
σῶν πλοκάμων τάδε φύλλα, νόθον στέφος· ἀντὶ δὲ θύρσου
Φοίβου μᾶλλον ἄειρε τεὴν Ἰσμηνίδα δάφνην.
αἰδέομαι σέο γῆρας, ἀμετροβίων δὲ καὶ αὐτῶν
μάρτυρα σῶν ἐτέων πολιὴν πλοκαμῖδα γεραίρω·
εἰ μὴ γὰρ τόδε γῆρας ἐρήτυε καὶ σέο χαίτη,
καί κεν ἀλυκτοπέδηισιν ἐγὼ σέο χεῖρας ἑλίξας L2[O]
δέσμιον ἀχλυόεντι κατεσφρήγισσα μελάθρωι.
σὸς νόος οὔ με λέληθε· σὺ γὰρ Πενθῆι μεγαίρων
μαντοσύναις δολίηισι νόθον θεὸν ἀνέρα τεύχεις,
δῶρα λαβὼν Λυδοῖο παρ' ἀνέρος ἠπεροπῆος,
δῶρα πολυχρύσοιο φατιζομένου ποταμοῖο.
2 ἀλλ' ἐρέεις, ὅτι Βάκχος ἐποίνιον εὗρεν ὀπώρην·
οἶνος ἀεὶ μεθύοντας ἐφέλκεται εἰς Ἀφροδίτην,
εἰς φόνον ἀσταθέος νόον ἀνέρος οἶνος ἐγείρει.
ἀλλὰ Διὸς γενετῆρος ἔχει δέμας ἠὲ χιτῶνας·
χρύσεα πέπλα φέρων, οὐ νεβρίδας, ὑψιμέδων Ζεὺς
ἀστράπτει μακάρεσσι· καὶ ἀνδράσι μάρναται Ἄρης
χάλκεον ἔγχος ἔχων, οὐκ οἴνοπα θύρσον ἀείρων·
3 οὐ βοέοις κεράεσσι κερασφόρος ἐστὶν Ἀπόλλων.
μὴ ποταμὸς Σεμέλην νυμφεύσατο, καὶ τέκε νύμφη
υἷα νόθον κερόεντα βοοκραίρωι παρακοίτηι;
ἀλλ' ἐρέεις· 'γλαυκῶπις ἐς ἄρσενα δῆριν ἱκάνει
σύγγονον ἔγχος ἔχουσα καὶ ἀσπίδα Παλλὰς Ἀθήνη' {...}
αἰγίδα καὶ σὺ τίταινε τεοῦ Κρονίδαο τοκῆος."
ὣς φαμένου Πενθῆος ἀμείβετο μάντις ἐχέφρων·
"τί κλονέεις Διόνυσον, ὃν ἤροσεν ὑψιμέδων Ζεύς,
ὃν Κρονίδης ὤδινε πατὴρ ἐγκύμονι μηρῶι,
παιδοκόμωι δὲ γάλακτι θεητόκος ἔτρεφε Ῥείη,
ὃν πάρος ἡμιτέλεστον ἔτι πνείοντα τεκούσης
ἀφλεγέες σπινθῆρες ἐχυτλώσαντο κεραυνοῦ;

οὗτος ἀμαλλοτόκωι Δημήτερι μοῦνος ἐρίζει
ἀντίτυπον σταχύεσσιν ἔχων εὔβοτρυν ὀπώρην.
ἀλλὰ χόλον Βρομίοιο φυλάσσεο· δυσσεβίης δὲ
σοί, τέκος, ἢν ἐθέληις, Σικελόν τινα μῦθον ἐνίψω.
Τυρσηνῶν ποτε παῖδες ἐναυτίλλοντο θαλάσσηι,
ξεινοφόνοι, πλωτῆρες ἀλήμονες, ἅρπαγες ὄλβου,
πάντοθεν ἁρπάζοντες ἐπάκτια πώεα μήλων·
καὶ πολὺς ἔνθα καὶ ἔνθα δορικτήτων ἀπὸ νηῶν
εἰς μόρον ὑδατόεντα γέρων ἐκυλίνδετο ναύτης
ἡμιθανής, ἕτερος δὲ προασπίζων ἕο ποίμνης
ἀμφιλαφὴς πολιῆισι φόνωι φοινίσσετο ποιμήν.
ἔμπορος εἰ τότε πόντον ἐπέπλεεν, εἴ ποτε Φοῖνιξ
ὤνια Σιδονίης ἁλιπόρφυρα πέπλα θαλάσσης
εἶχεν, ὑπὲρ πόντοιο λαβὼν Τυρσηνὸς ἀλήτης
ἀπροϊδὴς πεφόρητο ῥυηφενέων ἐπὶ νηῶν·
καί τις ἀνὴρ νήποινον ἀπείρονα φόρτον ὀλέσσας
εἰς Σικελὴν Ἀρέθουσαν ἀνὴρ πορθμεύετο Φοῖνιξ
δέσμιος, ἁρπαμένοιο λιπόπτολις ἄμμορος ὄλβου.
ἀλλὰ δόλωι Διόνυσος ἐπίκλοπον εἶδος ἀμείψας
Τυρσηνοὺς ἀπάφησε· νόθην δ' ὑπεδύσατο μορφήν,
ἱμερόεις ἅτε κοῦρος ἔχων ἀχάρακτον ὑπήνην,
αὐχένι κόσμον ἔχων χρυσήλατον· ἀμφὶ δὲ κόρσην
στέμματος ἀστράπτοντος ἔην αὐτόσσυτος αἴγλη
λυχνίδος ἀσβέστοιο, καὶ ἔγχλοα νῶτα μαράγδου,
καὶ λίθος Ἰνδώη χαροπῆς ἀμάρυγμα θαλάσσης·
καὶ χροῒ δύσατο πέπλα φαάντερα κυκλάδος Ἠοῦς
ἄρτι χαρασσομένης, Τυρίηι πεπαλαγμένα κόχλωι.
ἵστατο δ' αἰγιαλοῖο παρ' ὀφρύσιν, οἷα καὶ αὐτὸς
ὁλκάδος ἱμείρων ἐπιβήμεναι. οἱ δὲ θορόντες
φαιδρὸν ἐληίσσαντο δολοπλόκον υἷα Θυώνης
καὶ κτεάνων γύμνωσαν· ὑποτροχόωσα δὲ σειρὴ
χερσὶν ὀπισθοτόνοισιν ἐμιτρώθη Διονύσου.
καὶ νέος ἐξαπίνης μέγας ἔπλετο θέσπιδι μορφῆι
ἀνδροφυὴς κερόεις ὑψούμενος ἄχρις Ὀλύμπου,
νύσσων ἠερίων νεφέων σκέπας· εὐκελάδωι δὲ
ὡς στρατὸς ἐννεάχιλος ἑῶι μυκήσατο λαιμῶι.
μηκεδανοὶ δὲ κάλωες ἐχιδναῖοι πέλον ὁλκοί,
ἔμπνοα μορφωθέντες ἐς ἀγκύλα νῶτα δρακόντων·
καὶ πρότονοι σύριζον· ὑπηνέμιος δὲ κεράστης
ὁλκαίαις ἑλίκεσσιν ἀνέδραμεν εἰς κέρας ἱστοῦ·
καὶ χλοεροῖς πετάλοισι κατάσκιος ἠέρι γείτων
ἱστὸς ἔην κυπάρισσος ὑπέρτατος· ἐν δὲ μεσόδμηι
κισσὸς ἀερσιπότητος ἀνήιεν αἰθέρι γείτων,
σειρὴν αὐτοέλικτον ἐπιπλέξας κυπαρίσσωι·
ἀμφὶ δὲ πηδαλίοισιν ὑπερκύψασα θαλάσσης
Βακχιὰς ἀμπελόεντι κάμαξ ἐβαρύνετο καρπῶι·
πρύμνης δ' ἡδυπότοιο βαρυνομένης Διονύσου
οἶνον ἀναβλύζουσα μέθης βακχεύετο πηγή.
ἀμφὶ δὲ σέλματα πάντα διὰ πρώρης ἀνιόντες
45.150 θῆρες ἀεξήθησαν· ἐμυκήσαντο δὲ ταῦροι,

καὶ γλαφυρῶν γυάλων ἐφάνη γυμνούμενον ὕδωρ,
καί, μεγάλη περ ἐοῦσα, ῥόον τερσαίνετο πηγὴ
ἄγγεσι νηρίθμοισιν ἀφυσσομένου ποταμοῖο.
καὶ πόνος ἀχρήιστος ἔην καὶ ἐτώσιον ὕδωρ,
καὶ διεραῖς λιβάδεσσιν ἀέξετο βαλλόμενον πῦρ
θερμοτέραις ἀκτῖσι· καὶ ὡς πολέων ἀπὸ ταύρων
μυκηθμοῦ κελάδοντος ὑπωροφίη πέλεν ἠχώ,
βρονταῖς δ' ἐνδομύχοισιν ἐπέκτυπε Πενθέος αὐλή. 45.358

Ἤδη δ' ἔνθα καὶ ἔνθα δι' ἄστεος ἵπτατο Φήμη, 47.1
ἄγγελος αὐτοβόητος ἐρισταφύλου Διονύσου
Ἀτθίδι φοιτήσαντος· ἀκοιμήτου δὲ Λυαίου
εἰς χορὸν εὐώδινες ἐβακχεύθησαν Ἀθῆναι.
καὶ πολὺς ἔβρεμε κῶμος· ὁμηγερέες δὲ πολῖται
εἵμασι δαιδαλέοισιν ἀνεχλαίνωσαν ἀγυιὰς
χερσὶ πολυσπερέεσσιν· ἀεξιφύτοιο δὲ Βάκχου
ἡμερίδων πετάλοισιν ἐμιτρώθησαν Ἀθῆναι
αὐτόματοι· φιάλας δὲ σιδηροφόρων διὰ μαζῶν
στήθεσι μυστιπόλοισιν ἀνεζώννυντο γυναῖκες,
παρθενικαὶ δ' ἐχόρευον, ἐπεστέψαντο δὲ κόρσης
ἄνθεϊ κισσήεντι περίπλοκον Ἀτθίδα χαίτην.
Ἰλισσὸς δ' ἐλέλιζε περὶ πτόλιν ἔμπνοον ὕδωρ
κυδαίνων Διόνυσον· ὁμοζήλωι δὲ χορείηι
Εὔιον ἐκρούοντο μέλος Κηφισίδες ὄχθαι.
φυταλιὴ δ' ἀνέτελλεν, ἀπὸ χθονίοιο δὲ κόλπου
αὐτοφυὴς γλυκεροῖο πεπαινομένου τοκετοῖο
βότρυς ἐλαιήεντος ἐφοινίχθη Μαραθῶνος,
καὶ δρύες ἐψιθύριζον, ἀνοιγομένων δὲ πετήλων
δίχροον ἠρεύγοντο ῥόδον λειμωνίδες Ὧραι,
καὶ κρίνον αὐτοτέλεστον ἐμαιώσαντο κολῶναι.
καὶ Φρυγίοις αὐλοῖσιν ἐπέκτυπεν αὐλὸς Ἀθήνης,
καὶ δίδυμον κελάδημα δόναξ ἐλίγαινεν Ἀχαρνεὺς
θλιβόμενος παλάμηισιν· ὁμογλώσσων δ' ἀπὸ λαιμῶν
Μυγδονίηι βαρύδουπος ὁμόθροος ἄζυγι κούρηι
δίθροον ἁρμονίην ἐπιδήμιος ἴαχε Βάκχη
πῆχυν ἐπικλίνουσα νέηι Πακτωλίδι νύμφηι,
καὶ φλόγα νυκτιχόρευτον ἀνέσχεθε δίζυγι πεύκηι
ἀρχεγόνωι Ζαγρῆι καὶ ὀψιγόνωι Διονύσωι·
μνησαμένη δ' Ἰτύλοιο καὶ ἱστοπόνου Φιλομήλης
σύνθροος αἰολόδειρος ἀνέκλαγεν Ἀτθὶς ἀηδών,
καὶ Ζεφύρου λάλος ὄρνις ὑπωροφίην χέε μολπήν,
μνῆστιν ὅλην Τηρῆος ἀπορρίψασα θυέλλαις.

οὐδέ τις ἦν ἀχόρευτος ἀνὰ πτόλιν. αὐτὰρ ὁ χαίρων
Βάκχος ἐς Ἰκαρίου δόμον ἤλυθεν, ὃς πέλεν ἄλλων
φέρτερος ἀγρονόμων ἑτερότροπα δένδρα φυτεύειν.
ἀγραύλοις δὲ πόδεσσι γέρων ἐχόρευεν ἀλωεὺς
ἀθρήσας Διόνυσον ἐπήλυδα, καλλιφύτων δὲ
κοίρανον ἡμεριδῶν ὀλίγηι ξείνισσε τραπέζηι·
Ἠριγόνη δ' ἐκέρασσεν ἀφυσσαμένη γλάγος αἰγῶν·
ἀλλά ἑ Βάκχος ἔρυκε, φιλοστόργωι δὲ γεραιῶι
ὤπασε λυσιπόνοιο μέθης ἐγκύμονας ἀσκούς, 47.42

παιδὶ δὲ πειναλέωι λασίους πετάσασα χιτῶνας
Nonnus χείλεσι νηπιάχοισι νεόρρυτον ὤρεγε θηλήν,
παρθενικὴ δ' ἐκόρεσσεν ἀήθεϊ κοῦρον ἐέρσηι·
πολλαὶ δ' ἀρτιτόκοιο μετοχλισθέντα τεκούσης
τέκνα δασυστέρνοιο τιθηνήσαντο λεαίνης.
ἄλλη δίψιον οὖδας ἐπέκτυπεν ὀξέι θύρσωι
ἄκρον ὄρος πλήξασα νεοσχιδές· αὐτοτελῆ δὲ
◆ οἶνον ἐρευγομένη κραναὴ πορφύρετο πέτρη,
λειβομένου δὲ γάλακτος ἀρασσομένης ἀπὸ πέτρης
πίδακες αὐτοχύτοισιν ἐλευκαίνοντο ῥεέθροις.
ἄλλη ῥῖψε δράκοντα κατὰ δρυός· ἀμφὶ δὲ δένδρωι
σπεῖραν ὄφις κύκλωσε, καὶ ἔπλετο κισσὸς ἀλήτης
πρέμνον ἑλισσομένωι σκολιῶι μιτρούμενος ὁλκῶι,
ἀμφελελιζομένων μιμούμενος ἅμμα δρακόντων.
καὶ Σάτυρος πεφόρητο σεσηρότα θῆρα κομίζων
τίγριν ἀπειλητῆρα καθήμενον ὑψόθι νώτου,
ἄγριον ἦθος ἔχοντα καὶ οὐ ψαύοντα φορῆος·
καὶ συὸς ἄκρα γένεια γέρων Σειληνὸς ἐρύσσας
κάρχαρον ἠκόντιζεν ἐς ἠέρα κάπρον ἀθύρων·
ἄλλος ἀελλήεντι ποδῶν ἐπιβήτορι παλμῶι
εἰς λοφιὴν ἀκίχητος ἐπῃώρητο καμήλου·
καί τις ὑπὲρ νώτοιο θορὼν ἐποχήσατο ταύρωι.
καὶ τὰ μὲν ἐν σκοπέλοισι· λυροδμήτωι δ' ἐνὶ Θήβηι
θαύματα ποικίλα Βάκχος ἐδείκνυε πᾶσι πολίταις·
καὶ σφαλεροῖσι πόδεσσιν ἐβακχεύοντο γυναῖκες {...}
L3[O] χείλεσιν ἀφροκόμοισιν· ὅλη δ' ἐλελίζετο Θήβη,
καὶ φλογεροὺς σπινθῆρας ἀπηκόντιζον ἀγυιαί·
σείετο πάντα θέμεθλα, καὶ ὡς βοέων ἀπὸ λαιμῶν
ἀκλινέες πυλεῶνες ἐμυκήσαντο μελάθρων·
καὶ δόμος ἀστυφέλικτος ἀναβρομέεσκε κυδοιμῶι
λαϊνέηι σάλπιγγι χέων αὐτόσσυτον ἠχώ.
οὐδὲ χόλον Διόνυσος ἐπαύσατο· δαιμονίην δὲ
φθογγὴν ἠερόφοιτον ἐς ἑπταπόρων ἴτυν ἄστρων,
λυσσήεις ἅτε ταῦρος, ἑῶι μυκήσατο λαιμῶι·
καὶ κλονέων Πενθῆα μεμηνότα μάρτυρι πυρσῶι
μαρμαρυγῆς ἔπλησεν ὅλον δόμον· ἀμφὶ δὲ τοίχους
ἀντιπόρους σελάγιζε πολυσχιδὲς ἀλλόμενον πῦρ
δαιομένωι σπινθῆρι κατάσσυτον, ἀμφὶ δὲ πέπλοις
πορφυρέοις καὶ στέρνον ἀλιχλαίνου βασιλῆος
πυρσὸς ἕλιξ πεφόρητο, καὶ οὐκ ἔφλεξε χιτῶνας·
κεκριμέναις δ' ἀκτῖσιν ἀποσπάδες ἅλματι θερμῶι
ἐκ ποδὸς εἰς μέσα νῶτα, δι' ἰξύος εἰς ῥάχιν ἄκρην
Πενθέος ἀμφὶ τένοντα μετήλυδες ἔτρεχον αὐγαί·
πολλάκι δ' αὐτοπόροιο πυρὸς βητάρμονι παλμῶι
Γηγενέος βασιλῆος ἐυστρώτων ἐπὶ λέκτρων
ἀφλεγέας σπινθῆρας ἀπέπτυε θέσκελος αἴγλη.
καὶ σέλας αὐτοέλικτον ἰδὼν βρυχήσατο Πενθεύς,
κέκλετο δὲ δμώεσσιν ἄγειν ἀλκτήριον ὕδωρ,
ὄφρα κατασβέσσωσιν ἀναπτομένην φλόγα πυρσοῦ
δῶμα περιρραίνοντες ἀλεξικάκοισι ῥεέθροις·

236 (134C) καὶ βλοσυρὸν κελάδημα λέων βρυχήσατο λαιμῶι.
Τυρσηνοὶ δ' ἰάχησαν, ἐβακχεύοντο δὲ λύσσηι Nonnus
εἰς φόβον οἰστρηθέντες. ἀεξιφύτοιο δὲ πόντου
ἄνθεα κυματόεντες ἀπέπτυον ὕδατος ὁλκοί·
καὶ ῥόδον ἐβλάστησε, καὶ ὑψόθεν, ὡς ἐνὶ κήπωι,
ἀφροτόκοι κενεῶνες ἐφοινίσσοντο θαλάσσης,
καὶ κρίνον ἐν ῥοθίοις ἀμαρύσσετο. δερκομένων δὲ
ψευδομένους λειμῶνας ἐβακχεύθησαν ὀπωπαί,
καί σφιν ὄρος βαθύδενδρον ἐφαίνετο καὶ νομὸς ὕλης
καὶ χορὸς ἀγρονόμων καὶ πώεα μηλοβοτήρων,
καὶ κτύπον ὠίσαντο λιγυφθόγγοιο νομῆος
ποιμενίηι σύριγγι μελιζομένοιο νοῆσαι,
καὶ λιγυρῶν ἀΐοντες ἐυτρήτων μέλος αὐλῶν
μεσσατίου πλώοντες ἀτέρμονος ὑψόθι πόντου
γαῖαν ἰδεῖν ἐδόκησαν· ἀμερσινόωι δ' ὑπὸ λύσσηι
εἰς βυθὸν ἀίσσοντες ἐπωρχήσαντο γαλήνηι,
ποντοπόροι δελφῖνες· ἀμειβομένου δὲ προσώπου
εἰς φύσιν ἰχθυόεσσαν ἐμορφώθη γένος ἀνδρῶν.
καὶ σύ, τέκος, δολόεντα χόλον πεφύλαξο Λυαίου.
ἀλλ' ἐρέεις· 'μεθέπω δέμας ἄλκιμον, ἀμφιέπω δὲ
φρικτὸν ὀδοντοφύτων αὐτόσπορον αἷμα Γιγάντων.'
δαιμονίην φύγε χεῖρα Γιγαντοφόνου Διονύσου,
ὅς ποτε Τυρσηνοῖο παρὰ κρηπῖδα Πελώρου
Ἄλπον ἀπηλοίησε, θεημάχον υἱὸν Ἀρούρης,
μαρνάμενον σκοπέλοισι καὶ αἰχμάζοντα κολώναις·
μαινομένου δὲ Γίγαντος ὑποπτήσσων στίχα λαιμῶν L3[O]
οὐ τότε κεῖνο κάρηνον ὁδοιπόρος ἔστιχε πέτρης·
εἰ δέ τις ἀγνώσσων ἀβάτωι πεφόρητο κελεύθωι
μαστίζων θρασὺν ἵππον, ὑπὲρ σκοπέλοιο νοήσας
χερσὶ πολυσπερέεσσι περίπλοκον υἱὸς Ἀρούρης
ἡνίοχον καὶ πῶλον ἑῶι τυμβεύσατο λαιμῶι.
4 (1C) πολλάκι δ' εὐδένδροιο δι' οὔρεος εἰς νομὸν ἕλκων
μῆλα μεσημβρίζοντα γέρων δαιτρεύετο ποιμήν.
οὐ τότε δ' αἰπολίοισι παρήμενος ἢ παρὰ μάνδραις
συμφερτοῖς δονάκεσσι μελίζετο μουσοπόλος Πάν,
οὐ κτύπον ὑστερόφωνος ἀμείβετο πηκτίδος Ἠχώ·
ἀλλά, λάλον περ ἐοῦσαν, ἐθήμονι σύνθροον αὐλῶι
Πανὸς ἀσιγήτοιο κατεσφρηγίσσατο σιγή,
5 ὅττι Γίγας τότε πᾶσιν ἐπέχραεν· οὐ τότε βούτης,
οὐ χορὸς ὑλοτόμων τις ὁμήλικας ἤκαχε Νύμφας
τέμνων νήια δοῦρα, καὶ οὐ σοφὸς ὁλκάδα τέκτων
δουροπαγὲς γόμφωσεν ὁδοιπόρον ἅρμα θαλάσσης,
εἰσόκε κεῖνα κάρηνα παρέστιχε Βάκχος ὁδεύων,
σείων Εὔια θύρσα· παρερχομένωι δὲ Λυαίωι
ὑψινεφὴς περίμετρος ἐπέχραεν υἱὸς Ἀρούρης,
ἀσπίδα πετρήεσσαν ἑοῖς ὤμοισιν ἀείρων·
καὶ σκόπελον βέλος εἶχεν, ἐπεσκίρτησε δὲ Βάκχωι
γείτονα δενδρήεσσαν ἔχων ὑψίδρομον αἰχμήν,
ἢ πίτυν ἢ πλατάνιστον ἀκοντίζων Διονύσωι.
ὡς ῥόπαλον πίτυν εἶχε, καὶ ὡς θοὸν ἄορ ἑλίσσων

πρυμνόθεν αὐτόρριζον ἐκούφισε θάμνον ἐλαίης.
ἀλλ᾽ ὅτε τηλεβόλους ὀρέων ἐκένωσε κολώνας,
καὶ σκιερῆς βαθύδενδρος ἐγυμνώθη ῥάχις ὕλης,
θυρσομανὴς τότε Βάκχος, ἑὸν βέλος ἠθάδι ῥοίζωι
εἰς σκοπὸν ἠκόντιζε, καὶ ἠλιβάτου τύχεν Ἄλπου
εἰς πλατὺν ἀνθερεῶνα, κατ᾽ ἀσφαράγοιο δὲ μέσσου
ὀξυτενὴς χλοάουσα διέσσυτο Βακχιὰς αἰχμή·
ἔνθα Γίγας ὀλίγωι τετορημένος ὀξέι θύρσωι
ἡμιθανὴς κεκύλιστο καὶ ἔμπεσε γείτονι πόντωι,
πλησάμενος βαθύκολπον ὅλον κενεῶνα θαλασσης·
ὑψώσας δὲ ῥέεθρα Τυφαονίης διὰ πέτρης
θερμὰ κασιγνήτοιο κατέκλυσε νῶτα χαμευνῆς,
ἔμπυρον ὑδατόεντι καταψύχων δέμας ὁλκῶι.
ἀλλά, τέκος, πεφύλαξο, μὴ εἴκελα καὶ σὺ νοήσηις
Τυρσηνῶν ἅτε παῖδες, ἅτε θρασὺς υἱὸς Ἀρούρης."
εἶπε καὶ οὐ παρέπεισεν· ἀταρβήτωι δὲ πεδίλωι
εἰς ὄρος ὑψικάρηνον ὁμόσσυτος ἤιε Κάδμωι,
ὄφρα χοροῦ ψαύσειε. σιδηροφόροις δὲ μαχηταῖς
ἀσπίδα κουφίζων κορυθαιόλος ἴαχε Πενθεύς·
"δμῶες ἐμοί, στείχοντες ἐν ἄστεϊ καὶ μέσον ὕλης
ἄξατέ μοι βαρύδεσμον ἀνάλκιδα τοῦτον ἀλήτην,
ὄφρα τυπεὶς Πενθῆος ἀμοιβαίηισιν ἱμάσθλαις
μηκέτι φαρμακόεντι ποτῶι θέλξειε γυναῖκας,
ἀλλὰ γόνυ κλίνειεν· ἀπὸ σκοπέλων δὲ καὶ αὐτὴν
μητέρα βακχευθεῖσαν ἐμὴν φιλότεκνον Ἀγαύην
L3[I] φοιτάδος ἀγρύπνοιο μεταστήσασθε χορείης,
λυσσαλέης ἐρύσαντες ἀνάμπυκα βότρυν ἐθείρης."
ὣς φαμένου Πενθῆος ὀπάονες ὠκέι ταρσῶι
ἔδραμον ὑψικόμοιο δυσέμβατον εἰς ῥάχιν ὕλης
ἴχνια μαστεύοντες ὀριπλανέος Διονύσου.
καὶ μόγις ἀθρήσαντες ἐρημάδος ἀγχόθι πέτρης
θυρσομανῆ Διόνυσον ἐπερρώσαντο μαχηταί·
καὶ παλάμαις Βρομίοιο πέριξ ἔσφιγξαν ἱμάντας,
δεσμὰ βαλεῖν ἐθέλοντες ἀνικήτωι Διονύσωι·
ἀλλ᾽ ὁ μὲν ἦεν ἄφαντος, ἑῶι πτερόεντι πεδίλωι
ἀίξας ἀκίχητος, ἐν ἀφθόγγωι δὲ σιωπῆι
δαιμονίηι θεράποντες ἐδουλώθησαν ἀνάγκηι,
μῆνιν ἀλυσκάζοντες ἀθηήτοιο Λυαίου
ταρβαλέοι. καὶ Βάκχος ὁμοίιος ἀσπιδιώτηι
ἄζυγα ταῦρον ἔχων ἐδράξατο χειρὶ κεραίης,
ὡς θεράπων Πενθῆος ἀπειλείων Διονύσωι
ψευδομένωι κερόεντι, καὶ ὡς κοτέοντι προσώπωι
Πενθέος ἐγγὺς ἵκανε μεμηνότος, ἑζομένου δὲ
λυσσαλέου βασιλῆος ἀγήνορα κόμπον ἀθύρων
φρικαλέην ἀγέλαστος ἐπίκλοπον ἴαχε φωνήν·
"οὗτος ἀνήρ, σκηπτοῦχε, τεὴν οἴστρησεν Ἀγαύην·
οὗτος ἀνὴρ ἐθέλει βασιληίδα Πενθέος ἕδρην·
ἀλλὰ λαβὼν κερόεντα δολόφρονα Βάκχον ἀλήτην
δῆσον ἀλυκτοπέδηισι τεῶν μνηστῆρα θοώκον,
καὶ κεφαλὴν πεφύλαξο βοοχραίρου Διονύσου,
237 (135C) μή σε λαβὼν πλήξειε τανυγλώχινι κεραίηι."
ὣς φαμένου Βρομίοιο κατάσχετος ἔμφρονι λύσσηι
μῦθον ἀπειλητῆρα θεημάχος ἴαχε Πενθεύς·
"δήσατε, δήσατε τοῦτον, ἐμῶν συλήτορα θώκων·
οὗτος ἐμοῖς σκήπτροισι κορύσσεται, οὗτος ἱκάνει
Καδμείην ἐθέλων Σεμέλης πατρώιον ἕδρην.
καλὸν ἐμοὶ Διόνυσον, ὃν ἤροσε λάθριος εὐνή,
ἀνδροφυῆ τινα ταῦρον ἔχειν ξυνήονα τιμῆς,
βουκεράωι νόθον εἶδος ἐπαυγάζοντα μετώπωι,
ὃν μετὰ Πασιφάην Σεμέλη τάχα γείνατο ταύρωι,
βοσκομένωι κερόεντι συναπτομένη παρακοίτηι."
εἶπε καὶ ἀγραύλοιο πόδας ταύροιο πιέζων
σφίγξεν ἀλυκτοπέδηισι· λαβὼν δέ μιν ἀντὶ Λυαίου
ἤγαγεν ἱππείης πεπεδημένον ἐγγύθι φάτνης,
ὡς Σεμέλης θρασὺν υἷα καὶ οὔ τινα ταῦρον ἐέργων·
Βασσαρίδων δὲ φάλαγγα περίπλοκον ἅμματι χειρῶν
δέσμιον εὐρώεντι κατεσφρήγισσε μελάθρωι,
εἰς γλαφυρόν τινα κοῖλον ἀτερπέος οἶκον ἀνάγκης,
Κιμμερίων μίμημα δυσέκβατον, ἄμμορον Ἠοῦς,
ἀμφιπόλους Βρομίου θιασώδεας, ὧν ὑπὸ δεσμῶι
θλιβομέναις παλάμηισιν ἐμιτρώθησαν ἱμάντες,
χαλκείη δὲ πόδεσσιν ἐπεσφρηγίζετο σειρή.
ἀλλὰ ταχυστροφάλιγγος ὅτε δρόμος ἦλθε χορείης,
Μαινάδες ὠρχήσαντο· θυελλήεσσα δὲ Βάκχη
ἄστατα δινηθεῖσα ποδῶν βητάρμονι παλμῶι
ἀρραγέων ἀνέκοπτε παλίλλυτον ὁλκὸν ἱμάντων, L3[I]
καὶ παλάμαις κροτάλιζεν ἐλεύθερον Εὔιον ἠχὼ
εὐρύθμοις πατάγοισιν· ὑπὸ στροφάλιγγι δὲ ταρσῶν
χαλκοβαρὴς σφριγόωσα ποδῶν ἐσχίζετο σειρή.
καὶ δόμον ἀχλυόεντα θεόσσυτος ἔστεφεν αἴγλη
Βασσαρίδων ζοφεροῖο καταστάζουσα μελάθρου·
5 (2C) καὶ σκοτίου πυλεῶνες ἀνεπτύσσοντο βερέθρου
αὐτόματοι· τρομερῶι δὲ τεθηπότες ἅλματι ταρσῶν
Βασσαρίδων βρύχημα καὶ ἄγριον ἀφρὸν ὀδόντων
εἰς φόβον ἠπείγοντο φυλάκτορες. αἱ δὲ φυγοῦσαι
νόστιμον ἴχνος ἔκαμψαν ἐρημάδος εἰς ῥάχιν ὕλης,
ὧν ἡ μὲν βοέην ἀγέλην δαιτρεύσατο ταύρων.
ῥινοτόρωι, καὶ χεῖρας ἑὰς ἐμιήνατο λύθρωι
6 ταυρείην ὀνύχεσσι διασχίζουσα καλύπτρην
τρηχαλέην, ἑτέρη δὲ δαφοινήεντι κορύμβωι
εἰροπόκων ἄρρηκτα διέτμαγε πώεα μήλων,
ἄλλη δ᾽ αἶγας ἔπεφνεν· ἐφοινίσσοντο δὲ λύθρου
αἱμαλέαις λιβάδεσσι δαϊζομένης ἀπὸ ποίμνης.
ἄλλη δὲ τριέτηρον ἀφαρπάξασα τοκῆος
ἄτρομον ἀστυφέλικτον ἀδέσμιον ὑψόθεν ὤμων
ἵστατο κουφίζουσα μεμηλότα παῖδα θυέλλαις,
ἑζόμενον γελόωντα καὶ οὐ πίπτοντα κονίηι·
καὶ γλάγος ᾔτεε κοῦρος, ἑὴν ἅτε μητέρα, Βάκχην,
στήθεα δ᾽ ἀμφαφάασκεν· ἀνυμφεύτοιο δὲ κούρης
αὐτομάτην γλαγόεσσαν ἀνέβλυνον ἰκμάδα μαζοί·

Nonnus

καὶ ῥοδέης παλάμης ἐδράξατο, Κυπριδίην δὲ
εἶχε παραιφασίην χιονώδεα χεῖρα πιέζων·
οὐδὲ τόσον μενέαινεν ἐπὶ χθονὶ παῖδα κυλίνδειν,
ὅσσον ἐπιψαύειν ἁπαλοῦ χροός, ἡδέι μόχθωι
τερπόμενος· καὶ ἔκαμνε δολοπλόκον ἆσθμα τιταίνων
ὡς βροτός, ἀμβολίηι δὲ θελήμονι κάλλιπε νίκην.
Παλλήνη δ' ἐρόεσσα πάλης τεχνήμονι παλμῶι
θηλυτέραις παλάμηισι δέμας κούφιζε Λυαίου·
οὐδὲ μὲν ἤερταζε, τόσον βάρος, ἀλλὰ καμοῦσα
ἄρσενα γυῖα λέλοιπεν ἀκινήτου Διονύσου.
καὶ θεὸς ἀντιτύπωι περιδέσμιον ἅμματι χειρῶν
παρθενικὴν ἐρόεσσαν ἑλών, ἅτε θύρσον ἀείρων,
δόχμιον ἀμφιέλικτον ἐκούφισεν ὑψόθεν ὤμου·
χειρὶ δὲ φειδομένηι βριαρὴν ἀπεσείσατο κούρην,
Παλλήνην δ' ἀτίνακτον ὅλην ἐτανύσσατο γαίηι·
καὶ δολίοις βλεφάροισιν ἑὴν ἐλέλιζεν ὀπωπήν,
κούρης ἁβροκόμου κεκονιμένα γυῖα δοκεύων
καὶ πλοκάμους ῥυπόωντας ἀκηδέστοιο καρήνου.
48.150 ἀλλὰ παλινδίνητος ἀναΐξασα κονίης
ὄρθιος ἐστήριξε τὸ δεύτερον ἴχνια κούρη·
καὶ τρυχαλῆι Διόνυσος ἀφειδέι γούνατος ὁρμῆι
γαστέρα Παλλήνης κρατέων ἑτεραλκέι παλμῶι
παρθενικὴν μενέαινεν ὑπὲρ δαπέδοιο κυλίνδειν,
καὶ παλάμας μετέθηκεν ἐπὶ πλευροῖσιν ἑλίξας
αὐχένα κυρτώσας ἐπικάρσιον, ἀμφὶ δὲ νώτωι
L1[O] μεσσατίωι κύκλωσεν ὀπίστερα δάκτυλα κάμψας,
ἢ σφυρὸν ἢ κνήμην δεδοκημένος ἢ γόνυ μάρψειν.
καὶ θεὸς αὐτοκύλιστος ἑκούσιος ἤριπε γαίηι
οὐτιδανῆι παλάμηι νικώμενος· ἱμερόεν δὲ
φάρμακον ἔσχεν ἔρωτος, ἐνὶ γλυκερῆι δὲ κονίηι
κουφίζων ἐρόεις ἐπὶ νηδύι φόρτον Ἐρώτων
ὕπτιος αὐτὸς ἔμιμνε, καὶ οὐκ ἀπεσείσατο κούρην,
ἀλλά μιν ἐσφήκωσε πόθου φρενοθελγέι δεσμῶι.
ἡ δὲ ταχυστροφάλιγγι ποδῶν νωμήτορι παλμῶι
ἴχνιον ἠιώρησεν, ἐρωμανέος δὲ Λυαίου
ἄρσενα λύσατο χεῖρα· θεὸς δ' ὑπ' ὀλίζονι ῥιπῆι
γυῖα μεταστρέψας ῥοδέην ἐτανύσσατο κούρην
ἐν δαπέδωι στορέσας· καὶ ἐπὶ χθονὶ κέκλιτο κούρη
χεῖρας ἐφαπλώσασα· τιταινομένης δ' ἐπὶ πέζηι 1
εὐπαλάμωι σφήκωσεν ὁμόζυγον αὐχένα δεσμῶι.
ὠκυτέροις δὲ πόδεσσι πατὴρ κατὰ μέσσον ὀρούσας
ἀθλεύειν ἐθέλουσαν ἑὴν ἀνεσείρασε κούρην,
καὶ γαμίην ἀνέκοψεν ἀεθλοσύνην ὑμεναίων
νίκην ἱμερόεσσαν ἐπιτρέψας Διονύσωι,
μή μεν ἀποκτείνειεν ἔχων ἀστεμφέι δεσμῶι.
καὶ Διὸς αἰνήσαντος ἀεθλοφόρον μετὰ νίκην
γνωτὸν Ἔρως ἔστεψε γάμων πομπῆι κορύμβωι
ἱμερτὴν τελέσαντα παλαισμοσύνην ὑμεναίων.
καὶ πέλε τοῖος ἄεθλος ὁμοίιος, ὡς ὅτε κούρην
48.181 χρυσοφαῆ προπάροιθε γαμήλια δῶρα κυλίνδων
Ἱππομένης νίκησεν ἐπειγομένην Ἀταλάντην.

✦ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

See also the forty-sixth, where you will find the head of Pentheus and Agaue murdering her son.

NONNUS
DIONYSIACA
BOOK 46

PREVIEW BOOK 48

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 369 lines 3.0
3L 1 - 369

PRINT 2-SIDED: **267** to **272**

Ἀλλ᾽ ὅτε δὴ γίνωσκεν ἄναξ θρασύς, ὅττι λυθέντος
αὐτομάτου δεσμοῖο σιδηροφόρων ἀπὸ χειρῶν
Μαινάδες ἐσσεύοντο μετήλυδες εἰς ῥάχιν ὕλης,
καὶ δόλον ἀλλοπρόσαλλον ἀθηήτου Διονύσου,
ἄστατος ὑβριστῆρι χόλωι κυμαίνετο Πενθεύς·
καί μιν ἰδὼν παρεόντα παλίνδρομον ἠθάδι κισσῶι
βόστρυχα μιτρωθέντα, καὶ ἄπλοκον ὑψόθεν ὤμων
μηκεδανῆς ὀρόων κεχαλασμένον ὁλκὸν ἐθείρης,
τοῖον ἀπερροίβδησεν ἔπος λυσσώδεϊ λαιμῶι·
"ἡδὺς ὁ Τειρεσίαν ἀπατήλιον εἰς ἐμὲ πέμπων·
οὐ δύναται σέο μάντις ἐμὸν νόον ἠπεροπεύειν·
ἄλλοις ἔννεπε ταῦτα. θεὰ πόθεν υἱέι Ῥείη
οὐ Διὶ μαζὸν ὄρεξε, καὶ ἔτρεφεν υἷα Θυώνης;
εἴρεο Δικταίης κορυθαιόλον ἄντρον ἐρίπνης,
Ζεὺς μένος ἠέξησε, καὶ οὐ γλάγος ἔσπασε Ῥείης.
εἴρεο καὶ Κορύβαντας, ὅπηι ποτὲ κοῦρος ἀθύρων
μαζὸν Ἀμαλθείης κουροτρόφον αἰγὸς ἀμέλγων
ἤθεα σῆς δολίης ἀπεμάξαο καὶ σὺ τεκούσης·
ψευδομένην Σεμέλην Κρονίδης ἔφλεξε κεραυνῶι·
ἅζεο, μὴ Κρονίδης μετὰ μητέρα καὶ σὲ δαμάσσηι.
βάρβαρον οὐ μεθέπω καὶ ἐγὼ γένος· ἀρχέγονος δὲ
Ἰσμηνός με φύτευσε, καὶ οὐ τέκεν ὑγρὸς Ὑδάσπης·
Δηριάδην οὐκ οἶδα καὶ οὐ Λυκόοργος ἀκούω.
ἀλλὰ σὺν ὑμετέροις Σατύροις καὶ θυιάσι Βάκχαις
Δίρκης λεῖπε ῥέεθρα, καί, ἢν ἐθέληις, σέο θύρσωι
κτεῖνε παρ᾽ Ἀσσυρίοισι νεώτερον ἄλλον Ὀρόντην.
οὐ σὺ γένος Κρονίωνος Ὀλύμπιον· ὀλλυμένης γὰρ
ἀστεροπαὶ βοόωσιν ὀνείδεα σεῖο τεκούσης,
καὶ κρυφίων λεχέων ἐπιμάρτυρές εἰσι κεραυνοί.
οὐ Δανάην μετὰ λέκτρα κατέφλεγεν ὑέτιος Ζεύς,
καὶ γνωτὴν ἀδόνητον ἐμοῦ Κάδμοιο κομίζων
Εὐρώπην ἐφύλαξε, καὶ οὐκ ἔκρυψε θαλάσσηι.
οἶδα μέν, ὡς ἀλόχευτον ἔτι βρέφος αἰθερίη φλὸξ
ὤλεσεν αἰθομένης μετὰ μητέρος, ἡμιτελῆ δὲ
λῦσε νόθην ὠδῖνα μαραινομένου τοκετοῖο·
εἰ δέ μιν οὐκ ἐδάμασσεν, ὅτι χθονίων ὑμεναίων
κρυπταδίης φιλότητος ἀναίτιός ἐσσι τεκούσης,
πείθομαι, ὡς ἐνέπεις, ἀέκων δέ σε παῖδα καλέσσω
Ζηνὸς ἐπουρανίοιο, καὶ οὐ φλεχθέντα κεραυνῶι.
καὶ σύ με τοῦτο δίδαξον ἀληθέι μάρτυρι μύθωι·
Ζεὺς γενέτης πότε Φοῖβον ἢ Ἄρεα γείνατο μηρῶι;
εἰ Διὸς ἔλλαχες αἷμα, μετέρχεο κύκλον Ὀλύμπου
αἰθέρα ναιετάων, λίπε Πενθέι πατρίδα Θήβην.
ὤφελες ἄρμενον ἄλλον ἀμεμφέα μῦθον ἐνίψαι
ψεύδεϊ κερδαλέωι κεράσας θελξίφρονα Πειθώ,
ὅττί σε παιδοτόκωι Κρονίδης τέκεν ἠθάδι κόρσηι·
οὐ τάχα τόσσον ἄπιστον ἔην ἔπος, ὅττι καὶ αὐτὸν
Βάκχον ἀνυμφεύτωι μετὰ Παλλάδα τίκτε καρήνωι.
ἤθελον, εἰ γένος ἔσχες Ὀλύμπιον, αἴθε Κρονίων
ὑψιμέδων σε φύτευσεν, ὅπως Διὸς αἷμα διώκων

Βάκχος ἄναξ κεκόρυστο Γιγαντείοισι καρήνοις,
ἰοβόλων πλοκάμων ὀφιώδεα λήια κείρων·
καὶ στρατὸν αὐτοτέλεστον ἀτευχέι χειρὶ δαΐζων
μάρνατο λυσσήεις, χλοερῶν ἐπιβήτορα δένδρων
κισσὸν ἔχων τανύφυλλον, ἀκοντιστῆρα Γιγάντων.
καί νύ κε πάντας ἔπεφνεν ἑῶι ῥηξήνορι θύρσωι,
ἀλλὰ παλινδίνητος ἑκὼν ἀνεχάζετο χάρμης,
δυσμενέας ζώοντας ἑῶι γενετῆρι φυλάσσων.
καί νύ κεν εἰς Φρυγίην ταχὺς ἔδραμεν ὠκέι ταρσῶι,
ἀλλά μὲν ἄλλος ἄεθλος ἐρήτυεν, ὄφρα θανόντων
τοσσατίων ἕνα φῶτα κατακτείνειε φονῆα
Παλλήνης γενέτην θανατηφόρον, ὅς ποτε κούρης
οἶστρον ἔχων ἀθέμιστον ἁμαρτιγάμων ὑμεναίων
συζυγίην ἀνέκοπτεν, ἀμετρήτους δὲ δαΐζων
μελλογάμους μνηστῆρας ἀπέθρισεν, ὧν ὑπὸ λύθρωι
κτεινομένων καναχηδὸν ἐφοινίσσοντο παλαῖστραι,
εἰσόκε Βάκχος ἵκανε Δίκης πρόμος· ἀγχιγάμου δὲ
Παλλήνης δυσέρωτι παριστάμενος γενετῆρι
ῥιγεδανῆς ὑμέναιον ἀτάσθαλον ἤιτεε κούρης,
ποικίλα δ᾽ ὤρεγε δῶρα· καὶ αἰτίζοντι Λυαίωι
φρικτὸς ἀνὴρ κήρυξε παλαισμοσύνην ὑμεναίων·
καί μιν ἄγων ἐπέβησε κακοξείνοιο παλαίστρης,
ὁππόθι τολμήεσσα δορυσσόος ἵστατο κούρη
νυμφιδίην ὤμοισιν ἐλαφρίζουσα βοείην.
καὶ τότε Κύπρις ἔην ἐναγώνιος· ἦν δ᾽ ἐνὶ μέσσωι
γυμνὸς Ἔρως καὶ στέμμα γαμήλιον ὤρεγε Βάκχωι,
ἦν δὲ παλαισμοσύνη νυμφοστόλος· ἀργυφέωι δὲ
ἁβρὸν ἀνεχλαίνωσεν ἑὸν δέμας εἵματι Πειθὼ
νίκην μελλογάμοιο προθεσπίζουσα Λυαίου.
καὶ βριαρῶν μελέων ἀπεδύσατο φάρεα κούρη,
καὶ δόρυ θοῦρον ἔθηκε γαμήλιον, ἁβροτέρη δὲ
Σιθονὶς ἀκρήδεμνος ἀσάμβαλος ἵστατο κούρη,
θηλυφανής, ἀσίδηρος, ἐρευθιόωντι δὲ δεσμῶι
ἀκλινέων τροχόεσσαν ἴτυν μιτρώσατο μαζῶν·
καὶ δέμας ἀσκεπὲς ἦεν, ἀμετρήτων δὲ κομάων
ἀπλεκέες πλοκαμῖδες ἐπέρρεον αὐχένι κούρης,
καὶ κνήμας ἀνέφαινε καὶ ἀσκεπέων πτύχα μηρῶν
γυμνῆς φαινομένης ἐπιγουνίδος· ἀμφὶ δὲ μηροῖς
ἥρμοσε λευκὸν ὕφασμα, γυναικείης σκέπας αἰδοῦς·
καὶ χρόα πιαλέωι πεπαλαγμένον εἶχεν ἐλαίωι
καὶ παλάμας πολὺ μᾶλλον, ὅπως ἀλύτων ἀπὸ χειρῶν
ὑγρὸν ὀλισθήσειε πιεζομένη χρόα κούρη.
καὶ βλοσυροῖς στομάτεσσιν ἀπειλήσασα Λυαίωι
νυμφοκόμωι μνηστῆρι παρίστατο, διχθάδιον δὲ
αὐχένι δεσμὸν ἔβαλλεν ὁμόζυγι πήχεος ὁλκῶι·
ἀλλὰ παλινδίνητον ἑὴν ἀνελύσατο δειρὴν
Βάκχος ἀπορρίψας ἁπαλόχροα δάκτυλα κούρης,
δεσμοῖς θηλυτέροισι περίπλοκον αὐχένα σείων·
καὶ διδύμας στεφανηδὸν ἐπ᾽ ἰξύι χεῖρας ἑλίξας
Παλλήνην ἐτίναξε ποδῶν ἑτεραλκέι παλμῶι·

Γηγενέων δὲ φάλαγγες ἐπεστρατόωντο κυδοιμῶι·
Nonnus ὃς μὲν ἔχων Νυσαῖον ἐδέθλιον, ὃς δὲ σιδήρωι
ὑψινεφῆ κενεῶνα χαραδρήεντα κολάψας,
αἰχμάζων σκοπέλοισιν ἐθωρήχθη Διονύσωι·
ὃς δὲ λόφον πετραῖον ἁλικρήπιδος ἀρούρης,
ἄλλος ἁλιζώνοιο διαρρήξας ῥάχιν ἰσθμοῦ
εἰς ἐνοπὴν ἔσπευδεν. ἀμετρήτοισι δ' ἀγοστοῖς
Πήλιον ὑψικάρηνον ἀνηκόντιζε Πελωρεὺς
γυμνώσας Φιλύρης γλαφυρὸν δόμον· ἁρπαμένου δὲ
ἀσκεπέος σκοπέλοιο γέρων ἐλελίζετο Χείρων,
ἀνδροφυὴς ἀτέλεστος ὁμήλικι σύμπλοκος ἵππωι.
ἡμερίδων δὲ κόρυμβον ἔχων ὀλετῆρα Γιγάντων
Βάκχος ἀερσιλόφοιο κατέτρεχεν Ἀλκυονῆος,
οὐ δόρυ θοῦρον ἔχων, οὐ φοίνιον ἆορ ἀείρων,
ἀλλὰ πολυσπερέας παλάμας ἐδάιξε Γιγάντων,
αἰχμάζων ἑλίκεσσι· φιλακρήτωι δὲ πετήλωι
φρικτὰ πεδοτρεφέων ἐδαΐζετο φῦλα δρακόντων·
τυπτομένων δὲ Γίγαντος ἐχιδνοκόμων κεφαλάων
48.50 αὐχένες ἀμηθέντες ἐπωρχήσαντο κονίηι.
κτείνετο δ' ἄσπετα φῦλα· δαϊζομένων δὲ Γιγάντων
αἵματος ἀενάου ποταμοὶ ῥέον, ἀρτιχύτοις δὲ
πορφυρέοις ῥοθίοισιν ἐφοινίσσοντο χαράδραι.
Γηγενέων δὲ φάλαγγες ἐβακχεύοντο δρακόντων
βόστρυχα δειμαίνοντες ἐχιδνοκόμον Διονύσου.
καὶ πυρὶ μάρνατο Βάκχος, ἐς ἠέρα δαλὸν ἰάλλων
L2[O] ἀντιβίων ὀλετῆρα· δι' ὑψιπόρου δὲ κελεύθου
Βακχιὰς αὐτοέλικτος ἐπέτρεχεν ἁλλομένη φλόξ,
γυιοβόρωι σπινθῆρι καταΐσσουσα Γιγάντων·
καί τις ἀπειλητῆρι φέρων σέλας ἀνθερεῶνι
ἡμιδαὴς σύριζε δράκων πυριθαλπέι λαιμῶι,
καπνὸν ἀποπτύων, οὐ λοίγιον ἰὸν ἰάλλων.
καὶ κλόνος ἄσπετος ἦεν· ἐπ' ἀντιβίων δὲ καρήνων
Βάκχος ἀνηιώρητο μαχήμονα δαλὸν ἀείρων,
καὶ χθονίωι πρηστῆρι δέμας θέρμαινε Γιγάντων
ἀντίτυπον μίμημα Διοβλήτοιο κεραυνοῦ·
καὶ δαΐδες σελάγιζον· ἐπ' Ἐγκελάδου δὲ καρήνωι
ἠέρα θερμαίνων ἐλελίζετο πυρσὸς ἀλήτης·
ἀλλά μιν οὐκ ἐδάμασσε, καὶ οὐ χθονίου πυρὸς ἀτμῶι
Ἐγκέλαδος γόνυ κάμψεν, ἐπεὶ πεφύλακτο κεραυνῶι.
Ἀλκυονεὺς δ' ἀπέλεθρος ἐπεσκίρτησε Λυαίωι
Θρηικίοις σκοπέλοις κεκορυθμένος· ἀμφὶ δὲ Βάκχωι
ὑψινεφῆ κούφιζε ῥάχιν δυσχείμονος Αἵμου
εἰς σκυπὸν ἀχρήιστον, ἀνουτήτου Διονύσου·
καὶ σκοπιὴν ἔρριψεν· ἐφαπτόμεναι δὲ Λυαίου
νεβρίδος ἀρρήκτοιο διεσχίζοντο κολῶναι·
Ἠμαθίης δὲ κάρηνα νέος γύμνωσε Τυφωεὺς
ὑψιφανής, προτέρωι πανομοίιος, ὅς ποτε πολλοὺς
ῥωγαλέους κενεῶνας ἐκούφισε μητρὸς ἀρούρης,
πετραίοις βελέεσσι καταιχμάζων Διονύσου.
48.81 καί τινος ἀσπαίροντος ἐπὶ χθονὸς ἆορ ἐρύσσας

νικήσω Διόνυσον, Ἐχίονος υἱὸς ἀκούων."
ὣς φαμένου νεμέσιζε θεὸς καὶ ἀμείβετο μύθωι, Nonnus
κρύπτων δαιμονίης ὑποκάρδιον ὄγκον ἀπειλῆς·
"βάρβαρα θεσμὰ φέρουσαν ἐπολβίζω χθόνα Κελτῶν,
ἧχι νέων βρεφέων καθαρὴν ὠδῖνα δικάζων
Ῥῆνος ἀσημάντοιο θεμιστοπόλος τοκετοῖο
αἵματος ἀγνώστοιο νόθον γένος οἶδεν ἐλέγξαι.
οὐ μὲν ἐγὼ Ῥήνοιο φατιζομένου ποταμοῖο
χεύμασιν οὐτιδανοῖσι δικάζομαι, ἀλλὰ ῥεέθρων
πιστότεροι κήρυκες ἐμοὶ γεγάασι κεραυνοί·
κρείσσονα μαρτυρίην στεροπῆς μὴ δίζεο, Πενθεῦ·
ὕδατι μὲν Γαλάτης, σὺ δὲ πείθεο μάρτυρι πυρσῶι.
οὐ χατέω Πενθῆος ἐπιχθονίοιο μελάθρου·
δῶμα Διωνύσοιο πέλει πατρώιος αἰθήρ·
καὶ χθονὸς εἰ κρίσις ἦεν ἢ ἀστερόεντος Ὀλύμπου,
εἰπέ μοι εἰρομένωι, τίνα φέρτερον αὐτὸς ἐνίψῃς,
οὐρανὸν ἑπτάζωνον ἢ ἑπταπύλου χθόνα Θήβης;
οὐ χατέω Πενθῆος ἐπιχθονίοιο μελάθρου.
μοῦνον ἐμῆς κύδαινε μελισταγὲς ἄνθος ὀπώρης·
μὴ ποτὸν ἀμπελόεντος ἀτιμήσῃς Διονύσου.
Ἰνδοφόνωι Βρομίωι μὴ μάρναο, θηλυτέρηι δέ,
εἰ δύνασαι, πολέμιζε μιῆι ῥηξήνορι Βάκχηι.
σοὶ τάχα καλὸν ἔθεντο προμάντιες οὔνομα Μοῖραι
ὑμετέρου θανάτοιο προάγγελον· αἰνοπαθῆ δὲ
οὐ νέμεσις Πενθῆα πεδοτρεφέος γενετῆρος
Γηγενὲς αἷμα φέροντα φέρειν μίμημα Γιγάντων, L2[O]
οὐ νέμεσις καὶ Βάκχον Ὀλύμπιον αἷμα γενέθλης
Ζηνὸς ἔχειν μίμημα Γιγαντοφόνοιο τοκῆος.
εἴρεο Τειρεσίαν, τίνι χώεαι· εἴρεο Πυθώ,
τίς Σεμέλῃ παρίαυε, τίς ἤροσε παῖδα Θυώνης.
εἰ δὲ μαθεῖν ἐθέλεις χοροτερπέος ὄργια Βάκχου,
2 φάρεα καλλείψας βασιλήια τέτλαθι, Πενθεῦ,
θήλεα πέπλα φέρειν, καὶ γίνεο θῆλυς Ἀγαύη·
μὴ δέ σε θηρεύοντα παραΐξωσι γυναῖκες.
ἢν δὲ τεῆι παλάμηι θηροκτόνα τόξα τανύσσῃς,
Κάδμος ἐπαινήσει σε συναγρώσσοντα τεκούσηι.
Βάκχωι μοῦνος ἔριζε, καί, εἰ θέμις, ἰοχεαίρηι,
ὄφρα λεοντοφόνον σε μετ' Ἀκταίωνα καλέσσω.
3 κάτθεο τεύχεα ταῦτα· σιδηροφόρους δὲ μαχητὰς
χερσὶν ἀθωρήκτοισιν ἐμαὶ κτείνουσι γυναῖκες·
εἰ δέ σε νικήσωσιν ἀτευχέι θήλεϊ χάρμῃ
ἔντεσι κοσμηθέντα, τίς αἰνήσειε πολίτης
ἄνδρα γυναικείηι κεκαφηότα δηιοτῆτι;
Βασσαρὶς οὐ τρομέει πτερόεν βέλος, οὐ δόρυ φεύγει·
ἀλλὰ δόλωι κρυφίωι πυκάσας ἄγνωστον ὀπωπὴν
ὄψεαι ὄργια πάντα χοροπλεκέος Διονύσου."
ὣς εἰπὼν παρέπεισεν, ἐπεὶ νόον ἀνδρὸς ἱμάσσων
φοιταλέης ἐδόνησε κατάσχετον ἅλματι λύσσης
καὶ Βρομίωι συνάεθλος ἐπέχραε Πενθέι Μήνη
δαιμονίῃ μάστιγι· συνερχομένης δὲ Λυαίωι **46.**100

λυσσήεις θρασὺς οἶστρος ἀμερσινόοιο Σελήνης
φάσματα ποικιλόμορφα μεμηνότι Πενθέι δείξας
φρικτὸν Ἐχιονίδην προτέρης μετέθηκε μενοινῆς,
καὶ σφαλερῆι Πενθῆος ἐπεσμαράγησεν ἀκουῆι,
δαιμονίης σάλπιγγος ἀλάστορα δοῦπον ἀράσσων·
ἀνέρα δ' ἐπτοίησε. καὶ εἰς δόμον ἤλυθε Πενθεὺς
οἰστρομανής, ποθέων θιασώδεος ὄργια Βάκχου·
φωριαμοὺς δ' ὤιξε θυώδεας, ἧχι γυναικῶν
κέκλιτο Σιδονίης ἁλιπόρφυρα πέπλα θαλάσσης·
καὶ χροὶ ποικιλόνωτον ἐδύσατο πέπλον Ἀγαύης·
Αὐτονόης δ' ἔσφιγξεν ἐπὶ πλοκάμοισι καλύπτρην,
στήθεα μιτρώσας βασιλήια κυκλάδι τέχνηι·
καὶ πόδας ἐσφήκωσε γυναικείοισι πεδίλοις·
χειρὶ δὲ θύρσον ἄειρε· μετερχομένοιο δὲ Βάκχας
ποικίλος ἰχνευτῆρι χιτὼν ἐπεσύρετο ταρσῶι.
μιμηλοῖς δὲ πόδεσσιν ἕλιξ ὠρχήσατο Πενθεὺς
ἡδυμανής· λοξῶι δὲ πέδον κροτάλιζε πεδίλωι
ἐκ ποδὸς αἰθύσσων ἕτερον πόδα· χεῖρα δὲ δισσὴν
◆ θηλύνων ἐλέλιζεν ἀμοιβάδα δίζυγι παλμῶι,
οἷα γυνὴ παίζουσα χοροίτυπος· οἷα δὲ ῥόπτρωι
δίκτυπον ἁρμονίην κροτέων ἑτερόζυγι χαλκῶι
ἠερίαις μεθέηκεν ἀλήμονα βόστρυχον αὔραις,
Λυδὸν ἀνακρούων μέλος Εὔιον. ἦ τάχα φαίης
ἄγρια κωμάζουσαν ἰδεῖν λυσσώδεα Βάκχην.
καὶ διδύμους Φαέθοντας ἐδέρκετο καὶ δύο Θήβας·
L2[I] ἔλπετο δ' ἀκαμάτων ἐπικείμενον ὑψόθεν ὤμων
Θήβης ἑπταπόροιο μετοχλίζειν πυλεῶνα.
ἀμφὶ δέ μιν στεφανηδὸν ἐκυκλώσαντο πολῖται,
ὃς μὲν ἔχων τροχόεντα λόφον χθονός, ὃς δ' ἐπὶ πέτρωι
ὑψιφανής, ὁ δὲ πῆχυν ἐπ' ἀνέρος ὦμον ἐρείσας
ἴχνος ἀνηιώρησεν ἐπὶ χθονὶ δάκτυλα πήξας·
καί τις ἐυγλώχινα μετήιεν ὄγκον ἀρούρης,
ἄλλος ἐπὶ προβλῆτος ἐπάλξιος, ὃς δὲ δοκεύων
δόχμιον ὄμμα τίταινεν ἀερσιλόφων ἀπὸ πύργων·
ὃς δὲ μέσας στεφανηδὸν ἐπ' ἄντυγι χεῖρας ἑλίξας
ἴχνεσιν ἀκροπόροισιν ἀνήιε κίονα βαίνων,
Πενθέα παπταίνων δεδονημένον ἅλματι λύσσης,
θύρσον ἀερτάζοντα καὶ αἰθύσσοντα καλύπτρην.
ἤδη δ' ἑπταπόροιο παρέδραμε τείχεα Θήβης,
αὐτομάτοις ἑλίκεσσιν ἀνοιγομένων πυλεώνων·
ἤδη δὲ πρὸ πόληος ἐς ἠέρα βόστρυχα σείων
ἁβρὰ δρακοντοβότοιο παρέστιχε νάματα Δίρκης·
καὶ ποδὶ λυσσήεντι χοροίτυπον ἴχνος ἑλίσσων
δαίμονος ἀμπελόεντος ὀπίστερον εἶχε πορείην.
ἀλλ' ὅτε χῶρον ἵκανεν, ὅθι δρύες, ἧχι χορεῖαι,
καὶ τελεταὶ Βρομίου θιασώδεες, ἧχι καὶ αὐτὴ
Βασσαρίδων ἀπέδιλος ἔην κεμαδοσσόος ἄγρη,
Nonnus ἀμπελόεις τότε Βάκχος ὀρειάδος ἔνδοθι λόχμης
ἀρχαίην ἐλάτην ἰσομήκεα γείτονι πέτρηι
46.150 δένδρον ἰδὼν περίμετρον ἐγήθεεν, ἧς ὑπὸ θάμνωι

Ἁρμονίης γενέτειραν ἀνιάζων Ἀφροδίτην."
εἶπε, καὶ ὠλεσίτεκνος ὀδύρετο μᾶλλον Ἀγαύη.
καὶ νέκυν, ὃν κατέπεφνε, φίλη τυμβεύσατο μήτηρ
πίδακα δακρυόεσσαν ἀναβλύζουσα προσώπου·
καὶ τάφον εὐποίητον ἐτεκτήναντο πολῖται.
ὣς αἱ μὲν στενάχοντο κατηφέες· εἰσορόων δὲ
Βάκχος ἄναξ ἐλέαιρε, φιλοθρήνους δὲ γυναῖκας
μυρομένας ἀνέκοψεν, ἐπεὶ στοιχηδὸν ἑκάστηι
λυσίπονον κεράσας μελιηδέι φάρμακον οἴνωι
δῶκε ποτὸν ληθαῖον· ὀδυρομένοιο δὲ Κάδμου
πένθιμον ἐπρήυνε γόον παιήονι μύθωι·
ἀμφοτέρας δ' εὔνησε καὶ Αὐτονόην καὶ Ἀγαύην,
ἐλπίδος ἐσσομένης πρωτάγγελα θέσφατα φαίνων.
Ἰλλυρίην δ' ἐπὶ γαῖαν ἐς Ἑσπερίου χθόνα πόντου
Ἁρμονίην λιπόπατριν ὁμόστολον ἥλικι Κάδμωι
ἀμφοτέρους πόμπευεν ἀλήμονας, οἷς χρόνος ἕρπων
ὤπασε πετρήεσσαν ἔχειν ὀφιώδεα μορφήν.
καὶ Σατύρους καὶ Πᾶνας ἔχων καὶ λύγκας ἱμάσσων
ἁβρὸς ἀσιγήτοισιν ἐκώμασε Βάκχος Ἀθήναις. 46.369

Αὐτὰρ ὁ πορδαλίων ἐποχημένος ἄντυγι δίφρου 48.1
Θρηικίηι περίφοιτος ἐκώμασε Βάκχος ἀρούρηι,
ἵππιον ἀρχεγόνοιο Φορωνέος οὖδας ἐάσας.
οὐδὲ χόλον πρήυνε παλίγκοτον Ἰναχὶς Ἥρη
Ἄργεος οἰστρηθέντος, Ἀχαιιάδων δὲ γυναικῶν
λύσσης μνῆστιν ἔχουσα πάλιν θωρήσσετο Βάκχωι.
καὶ δολίας ἀνέφαινε λιτὰς παμμήτορι Γαίηι, L2[I]
ἔργα Διὸς βοόωσα καὶ ἠνορέην Διονύσου
Γηγενέων ὀλέσαντος ἀμετρήτων νέφος Ἰνδῶν·
καὶ Σεμέλης ὅτε παῖδα φερέσβιος ἔκλυε μήτηρ
Ἰνδώιην ταχύποτμον ἀιστώσαντα γενέθλην,
μνησαμένη τεκέων πλέον ἔστενεν· ἀμφὶ δὲ Βάκχωι
3 αὐτογόνων θώρηξεν ὀρίδρομα φῦλα Γιγάντων,
ὑψιλόφους ἕο παῖδας ἀνοιστρήσασα κυδοιμῶι·
"παῖδες ἐμοί, μάρνασθε κορυμβοφόρωι Διονύσωι
ἠλιβάτοις σκοπέλοισιν, ἐμῆς δ' ὀλετῆρα γενέθλης
Ἰνδοφόνον Διὸς υἷα κιχήσατε· μηδὲ νοήσω
σὺν Διὶ κοιρανέοντα νόθον σκηπτοῦχον Ὀλύμπου.
δήσατε, δήσατε Βάκχον, ὅπως θαλαμηπόλος εἴη,
4 ὁππότε Πορφυρίωνι χαρίζομαι εἰς γάμον Ἥβην
καὶ Χθονίωι Κυθέρειαν, ὅτε γλαυκῶπιν ἀείσω
εὐνέτιν Ἐγκελάδοιο καὶ Ἄρτεμιν Ἀλκυονῆος·
ἄξατέ μοι Διόνυσον, ἵνα Κρονίωνα χαλέψω
δουλοσύνην ὁρόωντα δορικτήτοιο Λυαίου·
ἠέ μιν οὐτάζοντες ἀλοιητῆρι σιδήρωι
κτείνατέ μοι Ζαγρῆι πανείκελον, ὄφρά τις εἴπηι
ἢ θεὸς ἢ μερόπων τις, ὅτι Κρονίδαο γενέθληι
Γαῖα χολωομένη διδύμους θώρηξε φονῆας, ◆
πρεσβυτέρους Τιτῆνας ἐπὶ προτέρωι Διονύσωι, Nonnus
ὁπλοτέρους δὲ Γίγαντας ἐπ' ὀψιγόνωι Διονύσωι."
ὣς φαμένη στίχα πᾶσαν ἀνεπτοίησε Γιγάντων. 48.31

θρῆνον ἕνα πλήξειε καὶ Αὐτονόηι καὶ Ἀγαύηι,
Nonnus ὠκύμορον Πενθῆα καὶ Ἀκταίωνα λιγαίνων.
ἡμετέρης, φίλε κοῦρε, τί φάρμακόν ἐστιν ἀνίης;
οὔ πω σοῖς θαλάμοισιν ἐκούφισα νυμφοκόμον πῦρ·
οὐ ζυγίων ἤκουσα τεῶν ὑμέναιον Ἐρώτων·
ποῖον ἴδω σέο παῖδα παρήγορον; αἴθέ σε Βάκχη
ἄλλη ἀπηλοίησε, καὶ οὐ πολύμοχθος Ἀγαύη.
μητέρι μαινομένηι μὴ μέμφεο, δύσμορε Πενθεῦ·
Βάκχωι μέμφεο μᾶλλον· ἀναίτιός ἐστιν Ἀγαύη.
χεῖρες ἐμαί, φίλε κοῦρε, τεὴν στάζουσιν ἐέρσην
αὐχένος ἀμηθέντος· ἀπ' αὐτοχύτου δὲ καρήνου
αἷμα τεὸν μητρῶιον ὅλον φοίνιξε χιτῶνα.
ναί, λίτομαι, Βρομίου δότε μοι δέπας· ἀντὶ γὰρ οἴνου
λύθρον ἐμοῦ Πενθῆος ἐπισπένδω Διονύσωι.
σοὶ μὲν ἐγὼ φιλόδακρυς, ἀώριε, τύμβον ἐγείρω
χερσὶν ἐμαῖς ἀκάρηνον ἐνικρύψασα κονίηι
σὸν δέμας· ὑμετέρωι δ' ἐπὶ σήματι τοῦτο χαράξω·
'εἰμὶ νέκυς Πενθῆος, ὁδοιπόρε· νηδὺς Ἀγαύης
✦ παιδοκόμος με λόχευσε καὶ ἔκτανε παιδοφόνος χείρ'."
ἔννεπε λυσσώουσα σοφῆι φρενί· μυρομένης δὲ
Αὐτονόη γοόωσα παρήγορον ἴαχε φωνήν·
"ζῆλον ἔχω καὶ ἔρωτα τεῆς κακότητος, Ἀγαύη,
ὅττι περιπτύσσεις γλυκερὴν Πενθῆος ὀπωπὴν
καὶ στόμα καὶ φίλον ὄμμα καὶ υἱέος ἄκρα κομάων.
γνωτή, ἐπολβίζω σε, καὶ εἰ κτάνες υἱέα μήτηρ·
L3[O] ἀντὶ γὰρ Ἀκταίωνος ἀμειβομένης ἀπὸ μορφῆς
νεβρὸν ἐγὼ δάκρυσα, καὶ υἱέος ἀντὶ καρήνου
μηκεδανὴν ἐλάφοιο νόθην κτερέιξα κεραίην.
σῆς δ' ὀδύνης ἐλάχεια παραίφασις, ὅττι θανόντος
οὐκ ἴδες ἀλλοῖον τύπον υἱέος, οὐ τρίχα νεβροῦ,
οὐ χηλὴν ἀνόνητον ἐκούφισας ἠὲ κεραίην·
μούνη δ' ἔδρακον υἷα νόθον νέκυν, ἀλλοφυῆ δὲ
καὶ στικτὴν καὶ ἄναυδον ἐκώκυον εἰκόνα μορφῆς,
καὶ μήτηρ ἐλάφοιο καὶ οὐκέτι παιδὸς ἀκούω.
ἀλλὰ σὺ κυδαίνουσα, Διὸς φιλοπάρθενε κούρη,
ἀνδρὸς ἐμοῦ σέο Φοῖβον Ἀρισταίοιο τοκῆα
εἰς ἔλαφον μετάμειψον ἐμὴν βροτοειδέα μορφήν·
δὸς χάριν Ἀπόλλωνι· μετ' Ἀκταίωνα δὲ δειλὴν
τοῖς αὐτοῖς σκυλάκεσσι καὶ Αὐτονόην πόρε φορβὴν
ἢ κυσὶν ὑμετέροισιν· ἐσαθρήσηι δὲ Κιθαιρὼν
μητέρα καὶ μετὰ παῖδα κυνοσπάδα· μηδέ με δειλὴν
σῶν ἐλάφων μεθέπουσαν ἴσην κεραελκέα μορφὴν
ἄγρια μαστίζουσα τεῆι ζεύξειας ἀπήνηι.
χαῖρε φυτὸν Πενθῆος, ἀμείλιχε χαῖρε Κιθαιρών·
χαίρετε καὶ νάρθηκες ἀμερσινόου Διονύσου·
σώζεό μοι, Φαέθων τερψίμβροτε· λάμπε κολώναις·
λάμπε καὶ ἀμφοτέροις, Λητωίδι καὶ Διονύσωι·
εἰ δὲ τεαῖς ἀκτῖσι καὶ ἀνέρας οἶσθα δαμάσσαι,
σῶι καθαρῶι πυρὶ βάλλε καὶ Αὐτονόην καὶ Ἀγαύην·
ἔσσο δὲ Πασιφάης τιμήορος, ὄφρα γελάσσηις

241 (136C) ἀγχινεφεῖς πετάλοισιν ἐπεσκιόωντο κολῶναι·
ἀκρότατον δὲ κόρυμβον ἀφειδέι χειρὶ πιέζων Nonnus
εἰς πέδον, εἰς πέδον εἷλκε κατὰ χθονὸς ἔκταδα Πενθεὺς
θαλλὸν ἀερσιπότητον, ἐπισφίγγων δὲ φορῆα
ὕψι τιταινομένων ἐδράξατο χειρὶ κορύμβων,
καὶ πόδας ἔνθα καὶ ἔνθα παλινδίνητος ἑλίσσων
ἄστατος ὀρχηστῆρι τύπωι κουφίζετο Πενθεύς.
καὶ τότε Βασσαρίδεσσι χορίτιδες ἤλυθον Ὧραι·
ἀλλήλαις δ' ἐκέλευον, ἀνεζώννυντο δὲ πέπλοις,
νεβρίδα δ' ἀμφεβάλοντο· καὶ οὐρεσίφοιτος Ἀγαύη
ἀφροκόμοις στομάτεσσιν ἀπερροίβδησεν ἰωήν·
"Αὐτονόη, σπεύσωμεν, ὅπηι χορός ἐστε Λυαίου
καὶ κτύπος οὐρεσίφοιτος ἀκούεται ἠθάδος αὐλοῦ,
ὄφρα μέλος πλέξαιμι φιλεύιον, ὄφρα δαείω,
τίς φθαμένη στήσειε χοροστασίην Διονύσωι,
τίς τίνα νικήσειε θυηπολέουσα Λυαίωι.
δηθύνεις, ἀχόρευτε, καὶ ἡμέας ἔφθασεν Ἰνώ·
οὐκέτι πόντον ἔχει μετανάστιος, ἀλλὰ καὶ αὐτὴ
ἐξ ἁλὸς ἦλθε θέουσα σὺν ὑγροπόρωι Μελικέρτηι,
ἦλθε προασπίζουσα διωκομένου Διονύσου,
μὴ Πενθεὺς ἀθέμιστος ἐπιβρίσειε Λυαίωι.
Μύστιδες, εἰς σκοπέλους, Ἰσμηνίδες ἔλθετε Βάκχαι,
καὶ τελετὰς στήσωμεν, ὁμοζήλωι δὲ χορείηι
Λυδαῖς Βασσαρίδεσσιν ἐρίζομεν, ὄφρά τις εἴπηι·
'Μυγδονίην νίκησε Μιμαλλόνα Μαινὰς Ἀγαύη.'"
ὣς φαμένη σκοπίαζε καθήμενον ὑψόθι δένδρου, L3[O]
ἄγριον οἷα λέοντα, θεημάχον υἱέα μήτηρ·
καί μιν ἀγειρομέναις ἐπεδείκνυε θυιάσι Βάκχαις·
υἱέα δ' ἔμφρονα θῆρα καλέσσατο λυσσάδι φωνῆι.
ἀμφὶ δέ μιν στεφανηδὸν ἐκυκλώσαντο γυναῖκες
ἑζόμενον πετάλοισι· καὶ εὐπαλάμωι τινὶ δεσμῶι
4 (1C) δένδρον ἐπηχύναντο, καὶ ἤθελον εἰς χθόνα ῥίπτειν
ἔρνος ὁμοῦ Πενθῆι· περισφίγξασα δὲ θάμνωι
ὁλκὸν ὁμοζυγέος παλάμης ἐνοσίχθονι παλμῶι
πρυμνόθεν αὐτόρριζον ἀνέσπασε δένδρον Ἀγαύη.
καὶ φυτὸν εἰς χθόνα πίπτεν· ἐγυμνώθη δὲ Κιθαιρών·
καὶ θρασὺς αὐτοέλικτος ἄναξ βητάρμονι παλμῶι
κύμβαχος ἠερόθεν κεκυλισμένος ἤριπε Πενθεύς.
5 καὶ τότε μιν λίπε λύσσα νοοσφαλέος Διονύσου,
καὶ προτέρας φρένας ἔσχε τὸ δεύτερον· ἀμφὶ δὲ γαίηι
γείτονα πότμον ἔχων κινυρὴν ἐφθέγξατο φωνήν·
"Νύμφαι Ἀμαδρυάδες με καλύψατε, μή μὲ δαμάσσηι
παιδοφόνοις παλάμηισιν ἐμὴ φιλότεκνος Ἀγαύη.
μῆτερ ἐμή, δύσμητερ, ἀπηνέος ἴσχεο λύσσης·
θῆρα πόθεν καλέεις με τὸν υἱέα; ποῖα κομίζω
στήθεα λαχνήεντα; τίνα βρυχηθμὸν ἰάλλω;
οὐκέτι γινώσκεις με, τὸν ἔτρεφες, οὐκέτι λεύσσεις·
σὴν φρένα καὶ τεὸν ὄμμα τίς ἥρπασε; χαῖρε, Κιθαιρών·
χαίρετε, δένδρεα ταῦτα καὶ οὔρεα· σώζεο, Θήβη·
σώζεο καὶ σύ, φίλη παιδοκτόνε μῆτερ Ἀγαύη.

δέρκεο ταῦτα γένεια νεότριχα, δέρκεο μορφὴν 242 (137C)
ἀνδρομέην· οὐκ εἰμὶ λέων· οὐ θῆρα δοκεύεις.
φείδεο σῆς ὠδῖνος, ἀμείλιχε, φείδεο μαζῶν·
Πενθέα παπταίνεις με, τὸν ἔτρεφες. ἴσχεο, φωνή,
μύθους σεῖο φύλαξον· ἀνήκοός ἐστιν Ἀγαύη.
εἰ δὲ κατακτείνεις με χαριζομένη Διονύσωι,
μούνη παῖδα δάμασσον, ἀγάστονε, μηδὲ δαμῆναι
Βασσαρίδων τεὸν υἷα νόθαις παλάμησιν ἐάσηις."
ὣς φάμενος λιτάνευε, καὶ οὐκ ἤκουσεν Ἀγαύη.
ἀμφὶ δέ μιν δασπλῆτες ἐπερρώοντο γυναῖκες
χερσὶν ὁμοζήλοισι· κυλινδομένου δὲ κονίηι
ἡ μὲν ὀπισθιδίους πόδας εἴρυσεν, ἡ δὲ λαβοῦσα
δεξιτερὴν προθέλυμνον ἀνέσπασεν, Αὐτονόη δὲ
λαιὴν ἀντερύεσκε· παραπλαγχθεῖσα δὲ μήτηρ
στήθεϊ παιδὸς ἔπηξεν ἑὸν πόδα, κεκλιμένου δὲ
αὐχένα τολμήεντα διέθρισεν ὀξέι θύρσωι·
καὶ φονίωι ταχύγουνος ἀνέδραμε χάρματι λύσσης,
αἱματόεν δὲ κάρηνον ἀτερπέι δείκνυε Κάδμωι·
✦ ψευδομένου δὲ λέοντος ἀγαλλομένη χάριν ἄγρης
τοῖον ἀπερροίβδησεν ἔπος λυσσώδεϊ λαιμῶι·
"Κάδμε μάκαρ, καλέω σε μακάρτερον· ἐν σκοπέλοις γὰρ
χερσὶν ἀθωρήκτοισιν ἀριστεύουσαν Ἀγαύην
Ἄρτεμις ἐσκοπίαζε, καὶ εἰ πέλε δεσπότις ἄγρης,
ζῆλον ὑποκλέπτουσα λεοντοφόνου σέο κούρης·
καὶ Δρυάδες θάμβησαν ἐμὸν πόνον· ἡμετέρης δὲ
L3[I] Ἁρμονίης γενέτης κεκορυθμένος ἠθάδι λόγχηι
παῖδα τεὴν ἀσίδηρον ἐθάμβεε χάλκεος Ἄρης
θύρσον ἀκοντίζουσαν ἀλοιητῆρα λεόντων,
κυδιόων· σὺ δέ, Κάδμε, τεῶν ἐπιβήτορα θώκων
Πενθέα δεῦρο κάλεσσον, ὅπως φθονερῆισιν ὀπωπαῖς
θηροφόνους ἱδρῶτας ὀπιπεύσειεν ὑαίνης.
δμῶες ἐμοί, στείχεσθε, παρὰ προπύλαια δὲ Κάδμου 5 (2C)
πήξατε τοῦτο κάρηνον ἐμῆς ἀναθήματα νίκης.
τηλίκον οὔ ποτε θῆρα κατέκτανε σύγγονος Ἰνώ·
Αὐτονόη, σκοπίαζε καὶ αὐχένα κάμψον Ἀγαύηι·
οὐ γὰρ ἐμοὶ λάχες εὖχος ὁμοίιον, ὑμετέρου δὲ
μητρὸς Ἀρισταίοιο φατιζομένην ἔτι νίκην
σῆς ἑκυρῆς ἤισχυνα λεοντοφόνοιο Κυρήνης."
ἔννεπε κουφίζουσα φίλον βάρος· εἰσαΐων δὲ 6
Κάδμος ἀγαλλομένης ἑτερόφρονα παιδὸς ἀπειλήν,
μίξας δάκρυσι μῦθον ἀμείβετο πενθάδι φωνῆι·
"οἷον θῆρα δάμασσας ἐχέφρονα, τέκνον Ἀγαύη;
οἷον θῆρα δάμασσας, ὃν ὑμετέρη τέκε γαστήρ;
οἷον θῆρα δάμασσας, ὃν ἐσπέρμηνεν Ἐχίων;
δέρκεο σεῖο λέοντα, τὸν εἰσέτι τυτθὸν ἀείρων
down 1 δέρκεο σεῖο λέοντα, τὸν Ἁρμονίη σέο μήτηρ
παιδοκόμωι κούφιζε γεγηθότι Κάδμος ἀγοστῶι·
πολλάκις ἠέρταζε καὶ ὤρεγε μαζὸν ἀμέλγειν.
μαστεύεις σέο παῖδα τεῶν θηήτορα μόχθων·
πῶς καλέσω Πενθῆα, τὸν ἐν παλάμησιν ἀείρεις;
θῆρα τεὸν σκοπίαζε, καὶ υἱέα σεῖο νοήσεις.
ὃν κτάνες ἀγνώσσουσα, πόθεν σέο παῖδα καλέσσω; up 1
καλὰ φέρεις, Διόνυσε, τεῶι θρεπτήρια Κάδμωι·
καλά μοι Ἁρμονίης νυμφεύματα δῶκε Κρονίων·
Ἄρεος ἄξια ταῦτα καὶ Οὐρανίης Ἀφροδίτης·
Ἰνὼ πόντον ἔχει, Σεμέλην ἔφλεξε Κρονίων,
μύρεται Αὐτονόη κερόεν τέκος, ἆ μέγα δειλὴ
ἔκτανεν, ὃν τέκε μοῦνον, ἀώριον υἱὸν Ἀγαύη,
καὶ μογέει Πολύδωρος ἐμὸς λιπόπατρις ἀλήτης.
μοῦνος ἐγὼ λιπόμην νέκυς ἔμπνοος· εἰς τίνα φεύγω,
Πενθέος ὀλλυμένοιο καὶ οἰχομένου Πολυδώρου;
τίς πόλις ὀθνείη με δεδέξεται; ἔρρε, Κιθαιρών·
γηροκόμους Κάδμοιο κατέκτανες, ἀμφοτέρους δὲ
νεκρὸν ἔχεις Πενθῆα, καὶ Ἀκταίωνα καλύπτεις."
ὣς φαμένου Κάδμοιο γόον κρουνηδὸν ἰάλλων
δάκρυσι πηγαίοισι γέρων ἔκλαυσε Κιθαιρών·
καὶ δρύες ὠδύροντο, καὶ ἔκλαγον αἴλινα Νύμφαι
Νηιάδες. πολιὴν δὲ κόμην ἠιδέσσατο Κάδμου
καὶ στοναχὴν Διόνυσος· ἀπενθήτου δὲ προσώπου
μίξας δάκρυ γέλωτι νόον μετέθηκεν Ἀγαύης,
καὶ πάλιν ἔμφρονα θῆκεν, ὅπως Πενθῆα γοήσηι.
ἡ δὲ μεταστρέψασα νόον καὶ ἄπιστον ὀπωπὴν
αὐτοπαγὴς ἄφθογγος ἐπὶ χρόνον ἵστατο μήτηρ·
καὶ κεφαλὴν Πενθῆος ὀπιπεύουσα θανόντος
ἤριπεν αὐτοκύλιστος, ὑπὲρ δαπέδοιο δὲ δειλὴ
βόστρυχον αἰσχύνουσα χυτῆι κεκύλιστο κονίηι· L3[I]
καὶ λασίους ἔρριψεν ἀπὸ στέρνοιο χιτῶνας
καὶ Βρομίου φιάλας θιασώδεας, αἵματος ὁλκῶι
στήθεα φοινίξασα καὶ ἀσκεπέων πτύχα μαζῶν·
καὶ κύσεν υἱέος ὄμμα καὶ ἔγχλοα κύκλα προσώπου
καὶ πλοκάμους χαρίεντας ἐρευθομένοιο καρήνου·
ὀξὺ δὲ κωκύουσα τόσην ἐφθέγξατο φωνήν·
"νηλειής Διόνυσε, τεῆς ἀκόρητε γενέθλης,
δὸς προτέρην ἔτι λύσσαν ἐμοὶ πάλιν· ἄρτι γὰρ ἄλλην
χείρονα λύσσαν ἔχω πινυτόφρονα· δός μοι ἐκείνην
ἀφροσύνην, ἵνα θῆρα τὸ δεύτερον υἷα καλέσσω.
θῆρα βαλεῖν ἐδόκησα· νεοτμήτοιο δὲ κόρσης
ἀντὶ λεοντείης κεφαλὴν Πενθῆος ἀείρω.
ὀλβίη Αὐτονόη βαρυδάκρυος, ὅττι θανόντα
ἔστενεν Ἀκταίωνα, καὶ οὐ κτάνεν υἱέα μήτηρ·
μούνη ἐγὼ γενόμην παιδοκτόνος· οὐ Μελικέρτην
ἔκτανεν ἠὲ Λέαρχον ἐμὴ μετανάστιος Ἰνώ,
ἀλλὰ πατὴρ ἐδάμασσε, τὸν ἤροσεν. ἆ μέγα δειλή,
Ζεὺς Σεμέληι παρίανεν, ὅπως Πενθῆα γοήσω·
Ζεὺς γενέτης Διόνυσον ἑῶι τεκνώσατο μηρῶι,
Καδμείην ἵνα πᾶσαν ἀιστώσειε γενέθλην.
ἱλήκοι Διόνυσος· ὅλον γένος ὤλεσε Κάδμου.
ἀλλὰ θεοκλήτου γαμίην μετὰ δαῖτα τραπέζης,
Ἁρμονίης μετὰ λέκτρον, ἐμοῦ μετὰ παστάδα Κάδμου
ἀρχαίην κιθάρην δονέων πάλιν αὐτὸς Ἀπόλλων

ὀλκάδα διζομένη· φθονερῶι δ' ἐπεμήνιεν ὕπνωι, 243
Nonnus καὶ Παφίης πολὺ μᾶλλον ἐμέμφετο μητρὶ θαλάσσηι·
καὶ Βορέην ἱκέτευε, καὶ ὅρκιον εἶπεν ἀήτην,
ὅρκιον Ὠρείθυιαν, ὅπως πάλιν εἰς χθόνα Νάξου
κοῦρον ἄγοι, γλυκερὴν δὲ τὸ δεύτερον ὀλκάδα λεύσσηι·
Αἰόλον ἤιτεε μᾶλλον ἀθελγέα· λισσομένηι δὲ
πείθετο καὶ κατένευσε, καὶ ἀντικέλευθον ἀήτην
πέμψεν, ἵνα πνεύσειε· ποθοβλήτοιο δὲ κούρης
οὐ Βορέης ἀλέγιξε δυσίμερος· ἀλλὰ καὶ αὐταὶ
παρθενικῆι κοτέοντο τάχα ζηλήμονες αὖραι,
αἳ τότε νῆα κόμισσαν ἐς Ἀτθίδα. παρθενικὴν δὲ
αὐτὸς Ἔρως θάμβησεν, ἀπενθήτωι δ' ἐνὶ Νάξωι
εἰσιδέειν ἐδόκησεν ὀδυρομένην Ἀφροδίτην·
ἦν δὲ φαεινοτέρη καὶ ἐν ἄλγεσι, καί μιν ἀνίη
ἀχνυμένην κόσμησε· κινυρομένηι δ' Ἀριάδνηι
εἴκαθεν εἰς κρίσιν ἧκα φιλομμειδὴς Ἀφροδίτη
ἱμερόεν γελόωσα, καὶ εἴκαθεν ὄμματα Πειθοῦς
καὶ Χαρίτων καὶ Ἔρωτος ἐπήρατα δάκρυσι κούρης.
ὀψὲ δὲ δακρυόεσσα τόσην ἐφθέγξατο φωνήν·
“ὕπνος ἐμοὶ γλυκὺς ἦλθεν, ἕως γλυκὺς ᾤχετο Θησεύς·
αἴθε μετερχομένην ἔτι κάλλιπεν· ὑπναλέη δὲ
Κεκροπίην ἐνόησα, καὶ ἔνδοθι Θησέος αὐλῆς
ἁβρὸς ἔην ὑμέναιος ἀειδομένης Ἀριάδνης
καὶ χορός, ἡμετέρη δ' ἐπεκόσμεε τερπομένη χεὶρ
εἰαρινοῖς πετάλοισι τεθηλότα βωμὸν Ἐρώτων·
L1[O] καὶ γάμιον στέφος εἶχον· ἔην δέ μοι ἐγγύθι Θησεὺς
𝔸 εἵμασι νυμφιδίοισι θυηπολέων Ἀφροδίτηι.
ὤμοι, ποῖον ὄνειρον ἴδον γλυκύν· ἀλλά με φεύγων
ᾤχετο καλλείψας ἔτι παρθένον· ἵλαθι, Πειθώ·
ταῦτά μοι ἀχλυόεσσα γαμοστόλος ὤπασεν ὀρφνή,
καὶ φθονερὴ τάδε πάντα φαεσφόρος ἥρπασεν Ἠώς·
ἐγρομένη δ' οὐχ εὗρον ἐμὸν πόθον· ἦ ῥα καὶ αὐταὶ 1
εἰκόνες ἀντιτύπων ζηλήμονές εἰσιν Ἐρώτων,
ὅττι τελεσσιγάμων ἀπατήλιον ὄψιν ὀνείρων
ἱμερτὴν ἐνόησα, καὶ ἱμερόεις φύγε Θησεύς;
εἰς ἐμὲ καὶ φίλος Ὕπνος ἀνάρσιος· εἴπατε, πέτραι,
εἴπατέ μοι δυσέρωτι· τίς ἥρπασεν ἀστὸν Ἀθήνης;
εἰ Βορέης πνεύσειεν, ἐς Ὠρείθυιαν ἱκάνω·
ἀλλά μοι Ὠρείθυια χολώεται, ὅττι καὶ αὐτὴ 1
αἷμα φέρει Μαραθῶνος, ὅθεν φίλος ἔπλετο Θησεύς.
✦ εἰ Ζέφυρος κλονέει, Ζεφυρηίδι δείξατε νύμφηι
Ἴριδι μητρὶ Πόθοιο βιαζομένην Ἀριάδνην·
εἰ Νότος, εἰ θρασὺς Εὖρος, ἐς ἠριγένειαν ἱκάνω
μεμφομένη ῥοθίων ἀνέμων δυσέρωτι τεκούσηι.
δὸς κενεὴν πάλιν, Ὕπνε, φίλην χάριν, ἶσον ἐκείνωι
πέμπων ἄλλον ὄνειρον ἐπήρατον, ὄφρα νοήσω
Κύπριδος ὑπναλέης γλυκερὴν ἀπατήλιον εὐνήν·
μοῦνον ἐμοῖς δήθυνον ἐπ' ὄμμασιν, ὄφρα νοήσω
ἄπνοον οἶστρον Ἔρωτος ὀνειρείων ὑμεναίων.
εἰ μὲν ἐς Ἀτθίδα γαῖαν, ἐπίκλοπε νυμφίε Θησεῦ,

✦ row of last line.

simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

Come to the forty-seventh, in which is Perseus, and the death of Icarios, and Ariadne in her rich robes.

NONNUS

DIONYSIACA

BOOK 47

PREVIEW BOOK 1

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 741 lines 3.0
𝔸 2L 1 - 350
𝔹 2L 351 - 741

PRINT 2-SIDED: **273** to **280**

Ἤδη δ' ἔνθα καὶ ἔνθα δι' ἄστεος ἵπτατο Φήμη,
ἄγγελος αὐτοβόητος ἐρισταφύλου Διονύσου
Ἀτθίδι φοιτήσαντος· ἀκοιμήτου δὲ Λυαίου
εἰς χορὸν εὐώδινες ἐβακχεύθησαν Ἀθῆναι.
καὶ πολὺς ἔβρεμε κῶμος· ὁμηγερέες δὲ πολῖται
εἵμασι δαιδαλέοισιν ἀνεχλαίνωσαν ἀγυιὰς
χερσὶ πολυσπερέεσσιν· ἀεξιφύτοιο δὲ Βάκχου
ἡμερίδων πετάλοισιν ἐμιτρώθησαν Ἀθῆναι
αὐτόματοι· φιάλας δὲ σιδηροφόρων διὰ μαζῶν
στήθεσι μυστιπόλοισιν ἀνεζώννυντο γυναῖκες,
παρθενικαὶ δ' ἐχόρευον, ἐπεστέψαντο δὲ κόρσης
ἄνθεϊ κισσήεντι περίπλοκον Ἀτθίδα χαίτην.
Ἰλισσὸς δ' ἐλέλιζε περὶ πτόλιν ἔμπνοον ὕδωρ
κυδαίνων Διόνυσον· ὁμοζήλωι δὲ χορείηι
Εὔιον ἐκρούοντο μέλος Κηφισίδες ὄχθαι.
φυταλιὴ δ' ἀνέτελλεν, ἀπὸ χθονίοιο δὲ κόλπου
αὐτοφυὴς γλυκεροῖο πεπαινομένου τοκετοῖο
βότρυς ἐλαιήεντος ἐφοινίχθη Μαραθῶνος,
καὶ δρύες ἐψιθύριζον, ἀνοιγομένων δὲ πετήλων
δίχροον ἠρεύγοντο ῥόδον λειμωνίδες Ὧραι,
καὶ κρίνον αὐτοτέλεστον ἐμαιώσαντο κολῶναι.
καὶ Φρυγίοις αὐλοῖσιν ἐπέκτυπεν αὐλὸς Ἀθήνης,
καὶ δίδυμον κελάδημα δόναξ ἐλίγαινεν Ἀχαρνεὺς
θλιβόμενος παλάμῃσιν· ὁμογλώσσων δ' ἀπὸ λαιμῶν
Μυγδονίηι βαρύδουπος ὁμόθροος ἄζυγι κούρηι
δίθροον ἁρμονίην ἐπιδήμιος ἴαχε Βάκχη
πῆχυν ἐπικλίνουσα νέηι Πακτωλίδι νύμφηι,
καὶ φλόγα νυκτιχόρευτον ἀνέσχεθε δίζυγι πεύκηι
ἀρχεγόνωι Ζαγρῆι καὶ ὀψιγόνωι Διονύσωι·
μνησαμένη δ' Ἰτύλοιο καὶ ἱστοπόνου Φιλομήλης
σύνθροος αἰολόδειρος ἀνέκλαγεν Ἀτθὶς ἀηδών,
καὶ Ζεφύρου λάλος ὄρνις ὑπωροφίην χέε μολπήν,
μνῆστιν ὅλην Τηρῆος ἀπορρίψασα θυέλλαις.
οὐδέ τις ἦν ἀχόρευτος ἀνὰ πτόλιν. αὐτὰρ ὁ χαίρων
Βάκχος ἐς Ἰκαρίου δόμον ἤλυθεν, ὃς πέλεν ἄλλων
φέρτερος ἀγρονόμων ἑτερότροπα δένδρα φυτεύειν.
ἀγραύλοις δὲ πόδεσσι γέρων ἐχόρευεν ἀλωεὺς
ἀθρήσας Διόνυσον ἐπήλυδα, καλλιφύτων δὲ
κοίρανον ἡμεριδῶν ὀλίγηι ξείνισσε τραπέζηι·
Ἠριγόνη δ' ἐκέρασσεν ἀφυσσαμένη γλάγος αἰγῶν·
ἀλλά ἑ Βάκχος ἔρυκε, φιλοστόργωι δὲ γεραιῶι
ὤπασε λυσιπόνοιο μέθης ἐγκύμονας ἀσκούς,
δεξιτερῆι δ' εὔοδμον ἔχων δέπας ἡδέος οἴνου
ὤρεγεν Ἰκαρίωι· φιλίωι δ' ἠσπάζετο μύθωι·
"δέξο, γέρον, τόδε δῶρον, ὃ μὴ δεδάασιν Ἀθῆναι.
ὦ γέρον, ὀλβίζω σε· σὲ γὰρ μέλψουσι πολῖται
τοῖον ἔπος βοόωντες, ὅτι κλέος εὗρεν ἐλέγξαι
Ἰκάριος Κελεοῖο καὶ Ἠριγόνη Μετανείρης.
ζῆλον ἔχω προτέρης Δημήτερος, ὅττι καὶ αὐτὴ
ἄλλωι γειοπόνωι στάχυν ὄμπνιον ὤπασε Δηώ.

εἰς πόλον ἀστερόφοιτον ἄγων ὀνόμηνε Βοώτην
φαιδρόν, Ἀμαξαίης ἐπαφώμενον Ἀρκάδος Ἄρκτου·
καὶ Κύνα μαρμαίροντα καταΐσσοντα Λαγωοῦ
ἔμπυρον ἄστρον ἔθηκεν, ὅπηι περὶ κύκλον Ὀλύμπου
ποντιὰς ἀστερόεντι τύπωι ναυτίλλεται Ἀργώ.
καὶ τὰ μὲν ἔπλασε μῦθος Ἀχαιικὸς ἠθάδα πειθὼ
ψεύδει συγκεράσας· τὸ δ' ἐτήτυμον, ὑψιμέδων Ζεὺς
ψυχὴν Ἠριγόνης σταχυώδεος ἀστέρι Κούρης
οὐρανίης ἐπένειμεν ὁμόζυγον, αὐθερίου δὲ
ἄγχι Κυνὸς κύνα θῆκεν ὁμοίιον εἴδεϊ μορφῆς,
Σείριον, ὃν καλέουσιν ὀπωρινόν, Ἰκαρίου δὲ
ψυχὴν ἠερόφοιτον ἐπεξύνωσε Βοώτηι.
καὶ τὰ μὲν οἰνοφύτωι Κρονίδης πόρεν Ἀτθίδι γαίηι,
ἓν γέρας ἐντύνων καὶ Παλλάδι καὶ Διονύσωι.
Ἰλισσοῦ δὲ ῥέεθρα μελίρρυτα Βάκχος ἐάσας
ἁβρὸς ἐς ἀμπελόεσσαν ἐκώμασεν ἄντυγα Νάξου·
ἀμφὶ δέ μιν πτερὰ πάλλεν Ἔρως θρασύς, ἐρχομένου δὲ
μελλογάμου Κυθέρεια προηγεμόνευε Λυαίου.
ἄρτι γὰρ ὑπνώουσαν ἐπ' αἰγιαλοῖσιν ἐάσας
παρθενικὴν λιπόπατριν ἀμείλιχος ἔπλεε Θησεύς,
συνθεσίας δ' ἀνέμοισιν ἐπέτρεπεν. ὑπναλέην δὲ
ἀθρήσας Διόνυσος ἐρημαίην Ἀριάδνην
θαύματι μῖξεν ἔρωτα· χοροπλεκέεσσι δὲ Βάκχαις
γλώσσηι θαμβαλέηι πεφυλαγμένον ἔννεπε μῦθον·
"Βασσαρίδες, μὴ ῥόπτρα τινάξατε, μὴ κτύπος ἔστω
ἢ ποδὸς ἢ σύριγγος· ἐάσατε Κύπριν ἰαύειν·
ἀλλ' οὐ κεστὸν ἔχει σημάντορα Κυπρογενείης.
πείθομαι, ὡς δολόεντι Χάρις νυμφεύεται Ὕπνωι·
ἀλλ' ἐπεὶ ὄρθρος ἔλαμψε καὶ ἐγγύθι φαίνεται Ἠώς,
Πασιθέην εὕδουσαν ἐγείρατε· τίς παρὰ Νάξωι,
τίς Χάριν ἐχλαίνωσεν ἀνείμονα; μὴ πέλεν Ἥβη;
ἀλλὰ δέπας μακάρων τίνι κάλλιπε; μὴ παρὰ πόντωι
κέκλιται αἰγλήεσσα βοῶν ἐλάτειρα Σελήνη;
καὶ πόθεν Ἐνδυμίωνος ἐθήμονος ἐκτὸς ἰαύει;
μὴ Θέτιν ἀργυρόπεζαν ἐπ' αἰγιαλοῖσι δοκεύω;
ἀλλ' οὐ γυμνὸν ἔχει ῥοδόεν δέμας. εἰ θέμις εἰπεῖν,
Ναξιὰς ἰοχέαιρα πόνων ἀμπαύεται ἄγρης,
θηροφόνους ἱδρῶτας ἀποσμήξασα θαλάσσηι·
τίκτει γὰρ γλυκὺν ὕπνον ἀεὶ πόνος· ἀλλ' ἐνὶ λόχμηι
Ἄρτεμιν ἑλκεχίτωνα τίς ἔδρακε; μίμνετε, Βάκχαι·
στῆθι, Μάρων· μὴ δεῦρο χορεύσατε· λῆγε λιγαίνων,
Πὰν φίλε, μὴ σκεδάσειας ἑὸν ὕπνον Ἀθήνης·
καὶ τίνι Παλλὰς ἔλειπεν ἑὸν δόρυ; καὶ τίς ἀείρει
χαλκείην τρυφάλειαν ἢ αἰγίδα Τριτογενείης;"
τοῖα μὲν ἔννεπε Βάκχος· ἀπὸ ψαμάθοιο δὲ δειλὴ
ὕπνον ἀποσκεδάσασα δυσίμερος ἔγρετο κούρη,
καὶ στόλον οὐκ ἐνόησε καὶ οὐ πόσιν ἠεροπῆα·
ἀλλὰ σὺν ἀλκυόνεσσι Κυδωνιὰς ἔστενε νύμφη
ἠιόνας μεθέπουσα, βαρύβρομον ἔδνον Ἐρώτων·
ἤιθεον δ' ὀνόμηνεν· ἐμαίνετο δ' ἐγγύθι πόντου

εἰ μὲν ἔτι ζώει γενέτης ἐμός, ἔρνεα κήπου
Nonnus ἀρδεύσω παλίνορσος ἅμα ζώουσα τοκῆι·
εἰ δὲ πατὴρ τέθνηκε καὶ οὐκέτι δένδρα φυτεύει,
ἀθρήσω μόρον ἶσον ἐπὶ φθιμένωι γενετῆρι."
ὣς φαμένη ταχύγουνος ἀνέδραμεν εἰς ῥάχιν ὕλης,
ἴχνια μαστεύουσα νεοσφαγέος γενετῆρος.
οὐ δέ οἱ εἰρομένηι θρασὺς αἰπόλος, οὐ παρὰ λόχμαις
παρθένον οἰκτείρων ἀγεληκόμος ἔννεπε βούτης
ἴχνιον ἀστήρικτον ἀκηρύκτοιο τοκῆος,
οὐ νέκυν Ἰκαρίοιο γέρων ἐπεδείκνυε ποιμήν·
ἀλλὰ μάτην ἀλάλητο· μόγις δέ μιν εὗρεν ἀλωεὺς
καὶ κινυροῖς στομάτεσσι δυσάγγελον ἴαχε φωνήν,
καὶ τάφον ἐγγὺς ἔδειξε νεοδμήτοιο τοκῆος.
παρθενικὴ δ' ἀίουσα σαόφρονι μαίνετο λύσσηι·
καὶ πλοκάμους τίλλουσα φίλωι παρακάτθετο τύμβωι
παρθένος ἀκρήδεμνος ἀσάμβαλος, αὐτοχύτοις δὲ
δάκρυσιν ἀενάοισι λελουμένον εἶχε χιτῶνα.
χείλεσι δ' ἀφθόγγοισιν ἐπεσφρηγίσσατο σιγὴν
εἰς χρόνον· Ἠριγόνηι δὲ κύων ὁμόφοιτος ἐχέφρων
κνυζηθμῶι γοόωντι συνέστιχε πενθάδι κούρηι,
καί οἱ ὀδυρομένηι συνοδύρετο. μαινομένη δὲ
εἰς φυτὸν ὑψικάρηνον ἀνέδραμεν· ἀμφὶ δὲ δένδρωι
ἀγχονίωι σφίγξασα περίπλοκον αὐχένα δεσμῶι
αὐτοφόνωι στροφάλιγγι μετάρσιος ὤλετο κούρη,
down 1 καὶ θάνε, καὶ μόρον εἶχεν ἑκούσιον· ἀμφὶ δὲ κούρην
L2[O] ἀμφοτέρους δονέουσα πόδας βητάρμονι παλμῶι·
𝔸 πυκνὰ κύων δεδόνητο, καὶ ἴαχε πένθιμον ἠχὼ
ὄμμασι θηρείοισι νοήμονα δάκρυα λείβων.
οὐδὲ κύων ἀφύλακτον ἐρημάδα κάλλιπε κούρην,
ἀλλὰ φυτῶι παρέμιμνεν ἐπήλυδα θῆρα διώκων,
πόρδαλιν ἠὲ λέοντα· παρερχομένοισι δ' ὁδίταις
νεύμασιν ἀφθόγγοις ἐπεδείκνυεν ἄζυγα κούρην
δεσμοῖς ἀγχονίοισι περίπλοκον ὑψόθι δένδρου.
οἱ δέ μιν οἰκτείροντες ἀνήιον εἰς φυτὸν ὕλης
ἴχνεσιν ἀκροτάτοισιν, ἀπ' εὐπετάλων δὲ κορύμβων
παρθενικὴν ἀδμῆτα κατήγαγον· ἀγχιφανῆ δὲ
γαῖαν ἐκοιλαίνοντο πεδοσκαφέεσσι μακέλλαις.
τοῖς ἅμα καὶ πεπόνητο κύων πινυτόφρονι θυμῶι,
πενθαλέωι δ' ἐβάθυνε πέδον τεχνήμονι ταρσῶι,
θηγαλέοις ὀνύχεσσι χυτῆς χθονὸς ἄκρα χαράσσων.
♦ καὶ νέκυν ἀρτιδάικτον ἐπεκτερέιξαν ὁδῖται·
καὶ ξυνῆς μεθέπων ὑποκάρδιον ὄγκον ἀνίης
εἰς ἑὸν ἔργον ἕκαστος ἀνέδραμεν ὀξέι ταρσῶι·
αὐτὰρ ὁ μοῦνος ἔμιμνε κύων παρὰ γείτονι τύμβωι
Ἠριγόνης ὑπ' ἔρωτι, θελήμονι δ' ὤλολε πότμωι.
Ζεὺς δὲ πατὴρ ἐλέαιρεν· ἐν ἀστερόεντι δὲ κύκλωι
Ἠριγόνην στήριξε Λεοντείωι παρὰ νώτωι·
παρθενικὴ δ' ἄγραυλος ἔχει στάχυν· οὐ γὰρ ἀείρειν
ἤθελεν οἴνοπα βότρυν ἑοῦ γενέταο φονῆα.
Ἰκάριον δὲ γέροντα συνήλυδα γείτονι κούρηι

245 (139C) Τριπτόλεμος στάχυν εὗρε, σὺ δ' οἴνοπα βότρυν ὀπώρης·
ἵλαος οὐρανίωι Γανυμήδει μοῦνος ἐρίζεις, Nonnus
Τριπτολέμου προτέροιο μακάρτερε· θυμοβόρους γὰρ
οὐ στάχυες λύουσι μεληδόνας, οἰνοτόκοι δὲ
βότρυες ἀνδρομέης παιήονές εἰσιν ἀνίης."
τοῖον ἔπος κατέλεξε, φιλοξείνωι δὲ γεραιῶι
ἁβρὸν ἐγερσινόοιο δέπας πόρεν ἔμπλεον οἴνου·
καὶ πίεν ἄλλο μετ' ἄλλο γέρων φυτοεργὸς ἀλωεύς,
οἶστρον ἔχων ἀκόρητον ἐυρραθάμιγγος ἐέρσης·
κούρη δ' ἀντὶ γάλακτος ἀφυσσαμένη χύσιν οἴνου
ὤρεγε χειρὶ κύπελλον, ἕως ἐμέθυσσε τοκῆα.
ἀλλ' ὅτε δὴ κόρον εὗρε κυπελλοδόκοιο τραπέζης,
δόχμιος ἀμφιέλικτος ἐρισφαλὲς ἴχνος ἑλίσσων
ποσσὶν ἀμοιβαίοισιν ἀνεσκίρτησεν ἀλωεύς,
Ζαγρέος Εὔιον ὕμνον ἀνακρούων Διονύσωι.
ἀγφονόμωι δὲ γέροντι φυτηκόμος ὤπασε δαίμων
κλήματα βοτρυόεντα, φιλεύια δῶρα τραπέζης·
καί μιν ἄναξ ἐδίδαξεν ἀεξιφύτωι τινὶ τέχνηι
κλάσσαι βοθριάσαι τε βαλεῖν τ' ἐνὶ κλήματα γύροις.
ἄλλοις δ' ἀγρονόμοισι γέρων φυτοεργὸς ἀλωεὺς
δῶρα φέρων Βρομίοιο καὶ ἀμπελόεσσαν ὀπώρην
οἰνοφύτους ἐδίδαξε φυτηκομίας Διονύσου·
καὶ νομίωι κρητῆρι βαλὼν ῥόον ἄσπετον οἴνου
δαινυμένους ηὔφραινεν ἐπασσυτέροισι κυπέλλοις,
οἰνοδόκων θυόεσσαν ἀναπτύξας χύσιν ἀσκῶν.
καί τις ἐγερσινόοιο πιὼν ῥόον ἡδέος οἴνου L2[O]
Ἠριγόνης γενετῆρα φίλωι μειλίξατο μύθωι· 𝔸
"εἰπέ, γέρον, πόθεν εὗρες ἐπὶ χθονὶ νέκταρ Ὀλύμπου;
οὐκ ἀπὸ Κηφισοῖο φέρεις ξανθόχροον ὕδωρ,
οὐκ ἀπὸ Νηιάδων μελιηδέα δῶρα κομίζεις·
οὐ γὰρ ἀναβλύζουσι μελίρρυτα χεύματα πηγαί,
3 (2C) οὐ ῥόος Ἰλισσοῖο χυτῶι φοινίσσεται ὁλκῶι·
οὐ ποτὸν ἔπλετο τοῦτο φιλοπτόρθοιο μελίσσης,
ὀξύτατον μερόπεσσι φέρον κόρον· ἀλλοφυὲς δὲ
καὶ μέλιτος γλυκεροῖο φέρεις γλυκερώτερον ὕδωρ·
πάτριον οὐ πόμα τοῦτο λοχεύεται Ἀτθὶς ἐλαίη·
λαρότερον δὲ γάλακτος ἔχεις ποτὸν ἐμμενὲς αἰεὶ
συμφερταῖς λιβάδεσσι μελικρήτου κυκεῶνος.
3 εἰ δὲ ποτὸν μερόπεσσιν ἀεξιφύτων ἀπὸ κήπων
ἐκ καλύκων δεδάασιν ἄγειν ῥοδοπήχεες Ὧραι,
καί κεν ἐγὼ καλέεσκον Ἀδώνιδος ἢ Κυθερείης
εἰαρινὸν πόμα τοῦτο, ῥόδων εὔοδμον ἐέρσην.
λυσίπονον καὶ ξεῖνον ἄγεις ποτόν· ἠερίοις γὰρ
πλαζομένας ἀνέμοισιν ἐμὰς ἐκέδασσε μερίμνας.
μή σοι δῶρον ἔδωκεν ἀπ' αἰθέρος ἄμβροτος Ἥβη;
μή σοι τοῦτο κόμισσε τεὴ πολιοῦχος Ἀθήνη;
οὐρανόθεν κρητῆρα τίς ἥρπασεν, ἔνθεν ἀφύσσει
Ζηνὶ καὶ ἀθανάτοισι δέπας κεράσας Γανυμήδης;
ξεινοδόκου Κελεοῖο μακάρτερε, μὴ σὺ καὶ αὐτὸς
ἵλαον οὐρανόθεν ναέτην ξείνισσας Ὀλύμπου;

246 (140C)

πείθομαι, ὡς θεὸς ἄλλος ἐκώμασε σεῖο μελάθρωι,
καὶ φιλίης πόμα τοῦτο τεῆς διὰ δεῖπνα τραπέζης
Ἀτθίδι δῶρον ἔδωκεν, ἅτε στάχυν ὤπασε Δηώ.”
ἔννεπε θαμβήσας γλυκερὸν ποτόν· ἐκ στομάτων δὲ
ἡδυμανὴς ἀλάλαζε χέων ἄγραυλον ἀοιδήν.
ἀγφονόμοι δ’ ἀρύοντες ἐπασσυτέροισι κυπέλλοις
πάντες ἐβακχεύθησαν ἀμερσινόωι φρένας οἴνωι·
ὄμματα δ’ ἐπλάζοντο, φιλακρήτοις δὲ κυπέλλοις
ἄργυφα πορφύροντο παρήια, γειοπόνων δὲ
στήθεα θερμαίνοντο, ποτῶι δ’ ἐβαρύνετο κόρση,
καὶ φλέβες οἰδαίνοντος ἐκυμαίνοντο καρήνου·
τοῖσι δὲ δερκομένοισιν ἐσείετο κόλπος ἀρούρης
καὶ δρύες ὠρχήσαντο καὶ ἐσκίρτησαν ἐρίπναι·
καὶ σφαλεραῖς λιβάδεσσιν ἀήθεος ἔμπλεος οἴνου
ὕπτιος αὐτοκύλιστος ἐπὶ χθόνα κάππεσεν ἀνήρ.
καὶ χορὸς ἀγρονόμων φονίωι δεδονημένος οἴστρωι
τλήμονος Ἰκαρίοιο κατέτρεχε θυιάδι λύσσηι,
οἷά τε φαρμακόεντα κερασσαμένουν δόλον οἴνου,
ὃς μὲν ἔχων βουπλῆγα σιδήρεον, ὃς δὲ μακέλληι
θωρήξας ἕο χεῖρας, ὁ δὲ σταχυητόμον ἅρπην
κουφίζων, ἕτερος δὲ λίθον περίμετρον ἀείρων,
ἄλλος ἀνεπτοίητο καλαύροπα χειρὶ τιταίνων,
γηραλέον πλήσσοντες· ἑλὼν δέ τις ἐγγὺς ἱμάσθλην
Ἰκαρίου τέτρηνε δέμας ταμεσίχροϊ κέντρωι.
καὶ μογέων χθονὶ πῖπτε γέρων φυτοεργὺς ἀλωεὺς
L2[I] τυπτόμενος ῥοπάλοισιν, ἐπισκαίρων δὲ τραπέζηι
𝔸 τύψε μέθης κρητῆρα, καὶ αἴθοπος εἰς χύσιν οἴνου
ἡμιθανὴς κεκύλιστο· βαρυνομένου δὲ καρήνου
ἀγρονόμων πληγῆισιν ἀμοιβαίηισι τυπέντος
αἱμαλέη φοίνιξεν ὁμόχροον οἶνον ἐέρση.
καὶ μόγις ἐκ στομάτων ἔπος ἴαχεν Ἄιδι γείτων·
“οἶνος ἐμοῦ Βρομίου, βροτέης ἄμπαυμα μερίμνης, 4 (3C)
ὁ γλυκὺς εἰς ἐμὲ μοῦνον ἀμείλιχος· εὐφροσύνην γὰρ
ἀνδράσι πᾶσιν ὄπασσε, καὶ Ἰκαρίωι πόρε πότμον·
ὁ γλυκὺς Ἠριγόνηι πολεμήιος· ἡμετέρην γὰρ
νηπενθὴς Διόνυσος ἐθήκατο πενθάδα κούρην.”
οὔ πω μῦθος ἔληγε· μόρος δέ οἱ ἔφθασε φωνήν.
καὶ νέκυς αὐτόθι κεῖτο, σαόφρονος ἔκτοθι κούρης,
ὄμμασι πεπταμένοισιν. ἐν ἀστρώτωι δὲ χαμευνῆι 4
νήδυμον ὕπνον ἴαυον ὑπὲρ δαπέδοιο φονῆες
✦ οἰνοβαρεῖς, νεκύεσσιν ἐοικότες· ἐγρόμενοι δέ,
ὃν κτάνον ἀγνώσσοντες, ἀνέστενον· ὑψόθι δ’ ὤμων
νεκρὸν ἐλαφρίζοντες ἀνήγαγον εἰς ῥάχιν ὕλης
ἔμφρονα θυμὸν ἔχοντες, ἐν εὐύδρωι δὲ ῥεέθρωι
ὠτειλὰς ἐκάθηραν ὀρεσσιχύτωι παρὰ πηγῆι·
καὶ νέκυν ἀρτιδάικτον, ὃν ἔκτανον ἄφρονι λύσσηι,
ἀνδροφόνοις παλάμηισιν ἐτυμβεύσαντο φονῆες.
Nonnus ψυχὴ δ’ Ἰκαρίοιο πανείκελος ἔσσυτο καπνῶι
εἰς δόμον Ἠριγόνης· βροτέηι δ’ ἰσάζετο μορφῆι
κοῦφον ὀνειρείης σκιερῆς εἴδωλον ὀπωπῆς,
ἀνδρὶ νεουτήτωι πανομοίιος, εἶχε δὲ δειλὴ
στικτὸν ἀσημάντοιο φόνου κήρυκα χιτῶνα,
αἵματι φοινίσσοντα καὶ αὐχμώοντα κονίηι,
ῥωγαλέον πληγῆισιν ἀμοιβαίοιο σιδήρου.
καὶ παλάμας ὤρεξε· νεοσφαγέων δὲ δοκεύειν
ὠτειλὰς μελέων ἐπεδείκνυε γείτονι κούρηι.
παρθενικὴ δ’ ὀλόλυξε φιλοθρήνοις ἐν ὀνείροις,
ὡς ἴδεν ἕλκεα τόσσα καρήατος, ὡς ἴδε δειλὴ
λύθρον ἐρευθομένοιο νεόρρυτον ἀνθερεῶνος·
καὶ σκιόεις γενέτης ἔπος ἔννεπε πενθάδι κούρηι·
“ἔγρεο, δειλαίη, καὶ δίζεο σεῖο τοκῆα·
ἔγρεο, καὶ μεθύοντας ἐμοὺς μάστευε φονῆας·
εἰμὶ τεὸς γενέτης βαρυώδυνος, ὃν χάριν οἴνου
ἀγρονόμοι δασπλῆτες ἐδηλήσαντο σιδήρωι.
ὦ τέκος, ὀλβίζω σε· σὺ γὰρ κταμένοιο τοκῆος
οὐ καναχὴν ἤκουσας ἀρασσομένοιο καρήνου,
οὐ πολιὴν ἐνόησας ἐρευθομένην ὑπὸ λύθρωι,
οὐ νέκυν ἀρτιδάικτον ἐπισπαίροντα κονίηι,
πατροφόνους κορύνας οὐκ ἔδρακες· ἀλλά σε δαίμων
ἔκτοθι πατρὸς ἔρυκε, τεὴν δ’ ἐφύλαξεν ὀπωπήν,
μὴ μόρον ἀθρήσειε δαϊζομένου γενετῆρος.
αἵματι πορφύροντας ἐμοὺς σκοπίαζε χιτῶνας·
χθιζὰ γὰρ οἰνωθέντες ἀμοιβαίοισι κυπέλλοις
ἀγρονόμοι βλύζοντες ἀήθεος ἰκμάδα Βάκχου
ἀμφ’ ἐμὲ κυκλώσαντο· δαϊζόμενος δὲ σιδήρωι
μηλονόμους ἐκάλεσσα, καὶ οὐκ ἤκουσαν ἰωήν·
μούνη δ’ ὑστερόφωνος ἐμὸν κτύπον ἔκλυεν Ἠχὼ
θρήνοις ἀντιτύποισι τεὸν στενάχουσα τοκῆα.
οὐκέτι κουφίζουσα καλαύροπα μεσσόθεν ὕλης
εἰς νομὸν ἀνθεμόεντα καὶ εἰς λειμῶνας ἱκάνεις,
σὴν ἀγέλην βόσκουσα σὺν ἀγραύλου παρακοίτηι·
οὐκέτι δενδροκόμοιο τεῆς ψαύουσα μακέλλης
κῆπον ἐς εὐώδινα φέρεις ἀμαρήιον ὕδωρ·
ἀλλὰ μελιρραθάμιγγος ἐμῆς ἀκόρητος ὀπώρης
κλαῖε τεὸν γενέτην με δεδουπότα· καί δὲ νοήσω
ὀρφανικὴν ζώουσαν ἀπειρήτην ὑμεναίων.”
ὣς φαμένη πτερόεσσα παρέδραμεν ὄψις ὀνείρου.
κούρη δ’ ἐγρομένη ῥοδέας ἤμυξε παρειάς,
πενθαλέοις δ’ ὀνύχεσσιν ἀκαμπέας ἔξεσε μαζούς,
καὶ δολιχῆς προθέλυμνον ἀνέσπασε βότρυν ἐθείρης·
καὶ βόας ἀθρήσασα παρισταμένους ἔτι πέτρηι
παρθένος ἀχνυμένη κινυρῆι βρυχήσατο φωνῆι·
“πῆι νέκυς Ἰκαρίοιο, φίλαι φθέγξασθε κολῶναι·
πότμον ἐμοῦ γενετῆρος ἐθήμονες εἴπατε ταῦροι·
πατρὸς ἐμοῦ κταμένοιο τίνες γεγάασι φονῆες;
πῆι μοι ἐμὸς γενέτης γλυκὺς οἴχεται; ἦ ῥα διδάσκων
γείτονα καλλιφύτοιο νέους ὄρπηκας ὀπώρης
πλάζεται ἀγρονόμοισι παρήμενος, ἤ τινι βούτηι
δενδροκόμωι παρέμιμνε συνέστιος εἰλαπινάζων;
εἴπατε μυρομένηι, καὶ τλήσομαι, εἰσόκεν ἔλθηι.

ἵξεται ἀστερόφοιτον ἐς οὐρανόν, ἡμετέρης δὲ
Πληιάδος ἑπταπόροιο φανήσεται ἐγγύθι Μαίης.
τί πλέον ἤθελεν ἄλλο φιλαίτερον ἢ χθονὶ λάμπειν
αἰθέρα ναιετάουσα μετὰ Κρήτην Ἀριάδνη;
ἀλλὰ σὺ κάτθεο θύρσον, ἔα δ' ἀνέμοισιν Ἐνυώ,
καὶ βρέτας αὐτοτέλεστον ἐπιχθονίης Ἀριάδνης,
οὐρανίης στήριξον ὅπη βρέτας ἵσταται Ἥρης.
μὴ πόλιν ἐκπέρσειας, ὅπηι σέθεν αἷμα τοκήων,
ὑμετέρης δὲ γέραιρε βοοκραίρου πέδον Ἰοῦς
εὐνήσας σέο θύρσον· Ἀχαιιάδας δὲ γυναῖκας
αἰνήσεις μετόπισθεν, ἐπεὶ ταυρώπιδος Ἥρης
βωμὸν ἀναστήσουσι καὶ εὐθαλάμου σέο νύμφης."
τοῖον ἔπος κατέλεξε, καὶ ἵππιον Ἄργος ἐάσας
εἰς πόλον αὖτις ἵκανεν, ἐπ' ἀμφοτέροισι κεράσσας
θεσμὸν ὁμοφροσύνης καὶ Περσέι καὶ Διονύσωι.
οὐδὲ μὲν αὐτόθι μίμνεν ἐπὶ χρόνον Ἀργολὶς Ἥρη·
ἀλλὰ μεταστρέψασα νόθην βροτοειδέα μορφὴν
θέσκελον εἶδος ἔχουσα πάλιν νόστησεν Ὀλύμπωι.
Ἰναχίηι δὲ φάλαγγι γέρων ἀγόρευε Μελάμπους
Λυγκέος ἀρχεγόνοιο θεουδέος αἷμα Πελασγοῦ·
"μαντιπόλωι πείθεσθε καὶ οἴνοπι σείσατε Βάκχωι,
σείσατε χάλκεα ῥόπτρα καὶ Εὔια τύμπανα Ῥείης,
Ἰναχίην μὴ πᾶσαν ἀιστώσειε γενέθλην,
μὴ μετὰ νήπια τέκνα καὶ ἡβητῆρας ὀλέσσηι,
μὴ τεκέων μετὰ πότμον ἀποκτείνειε γυναῖκας·
L1[O] ἀλλὰ θυηπολίην θεοτερπέα δέξατε Βάκχωι
𝔹 καὶ Διί, καὶ Περσῆι χορεύσατε καὶ Διονύσωι."
ὣς εἰπὼν παρέπεισεν· ἀολλίζοντο δὲ λαοὶ
Βάκχωι νυκτιχόρευτον ἀνακρούοντες ἀοιδήν,
καὶ τελετὰς στήσαντο· θεοκλήτωι δὲ χορείηι
ῥόπτρα μὲν ἐπλατάγησεν, ἐπεκροτέοντο δὲ ταρσοί,
καὶ δαΐδες σελάγιζον· ὁμηγερέες δὲ πολῖται
μυστιπόλωι χρίοντο παρήια λευκάδι γύψωι·
τύμπανα δ' ἐπλατάγησεν, ἀρασσομένοιο δὲ χαλκοῦ
δίκτυπος ἔβρεμε δοῦπος· ἐφοινίσσοντο δὲ βωμοὶ
σφαζομένων στοιχηδὸν ἐπασσυτέρων ἀπὸ ταύρων,
κτείνετο δ' ἄσπετα μῆλα· καὶ ἀνέρες αἴθοπι βωμῶι
Βάκχον ἐμειλίξαντο καὶ ἱλάσκοντο γυναῖκες·
καὶ μέλος ἠερόφοιτον ἐπέκτυπε θῆλυς ἰωὴ
κῶμον ἀμειβομένη ζωάγριον, Ἰναχίδες δὲ
47.741 ◆ Μαινάδες ἐρρίψαντο λαθίφρονα λύσσαν ἀήταις.
1.1 Εἰπέ, θεά, Κρονίδαο διάκτορον αἴθοπος αὐγῆς,
νυμφιδίωι σπινθῆρι μογοστόκον ἄσθμα κεραυνοῦ,
καὶ στεροπὴν Σεμέλης θαλαμηπόλον· εἰπὲ δὲ φύτλην
Βάκχου δισσοτόκοιο, τὸν ἐκ πυρὸς ὑγρὸν ἀείρας
Ζεὺς βρέφος ἡμιτέλεστον ἀμαιεύτοιο τεκούσης,
30 φειδομέναις παλάμηισι τομὴν μηροῖο χαράξας,
ἄρσενι γαστρὶ λόχευσε, πατὴρ καὶ πότνια μήτηρ,
εὖ εἰδὼς τόκον ἄλλον, ἐπεὶ γονόεντι καρήνωι,
1.9 ἄσπορον ὄγκον ἄπιστον ἔχων ἐγκύμονι κόρσηι,
τεύχεσιν ἀστράπτουσαν ἀνηκόντιζεν Ἀθήνην.

σὸν πλόον ἐκ Νάξοιο μετήγαγον ἅρπαγες αὖραι,
εἰπέ μοι εἰρομένηι, καὶ ἐς Αἴολον αὐτίκα βαίνω
μεμφομένη φθονεροῖσι καὶ οὐχ ὁσίοισιν ἀήταις·
εἰ δέ με τὴν λιπόπατριν ἐρημάδι πάρθετο Νάξωι,
καὶ σέθεν ἀγνώσσοντος ἀμείλιχος ἔπλεε ναύτης,
ἤλιτεν εἰς Θησῆα καὶ εἰς Θέμιν, εἰς Ἀριάδνην·
μηκέτι ναυτίλος οὗτος ἴδοι ποτὲ πομπὸν ἀήτην,
μηδέ μιν ἀσταθέεσσι συνιππεύοντα θυέλλαις
ἵλαος ἀθρήσειε γαληναῖος Μελικέρτης·
ἀλλὰ Νότος πνεύσειεν, ὅτε χρέος ἐστὶ Βορῆος·
Εὖρον ἴδοι Ζεφύρου κεχρημένος· εἰαρινοὶ δὲ
ποντοπόροις ὅτε πᾶσιν ἐπιπνείουσιν ἀῆται,
χειμερίηι τότε μοῦνος ὁμιλήσειε θαλάσσηι.
ἤλιτε ναυτίλος οὗτος ἀθέσμιος· ἀλλὰ καὶ αὐτὴ
ἀασάμην ποθέουσα σαόφρονος ἀστὸν Ἀθήνης.
αἴθέ μιν οὐκ ἐπόθησα δυσίμερος· εἰς Παφίην γὰρ
ὁππόσον ἱμερόεις, τόσον ἄγριος ἔπλετο Θησεύς·
οὐ τάδε μοι κατέλεξεν ἐμὸν μίτον εἰσέτι πάλλων·
οὐ τάδε μοι κατέλεξε παρ' ἡμετέρωι λαβυρίνθωι.
αἴθέ μιν ἔκτανε ταῦρος ἀμείλιχος· ἴσχεο, φωνή,
ἀφροσύνης, μὴ κτεῖνε νέον γλυκύν· ὤμοι Ἐρώτων·
Θησεὺς ἔπλεε μοῦνος ἐς εὐώδινας Ἀθήνας.
οἶδα, πόθεν με λέλοιπε· μιῆς τάχα παρθενικάων
σύμπλοον ἔσχεν ἔρωτα, καὶ ἐν Μαραθῶνι χορεύει
εἰς ἑτέρης γάμον ἄλλον, ἐγὼ δ' ἔτι Νάξον ὁδεύω.
παστὸς ἐμὸς πέλε Νάξος, ἐπίκλοπε νυμφίε Θησεῦ· L1[O]
ὤλεσα καὶ γενέτην καὶ νυμφίον· ὤμοι Ἐρώτων· 𝔹
οὐχ ὁρόω Μίνωα, καὶ οὐ Θησῆα δοκεύω·
Κνωσσὸν ἐμὴν προλέλοιπα, τεὰς δ' οὐκ εἶδον Ἀθήνας·
πατρὸς ἐνοσφίσθην καὶ πατρίδος· ἆ μέγα δειλή,
ἔδνον ἐμῆς φιλότητος ὕδωρ ἁλός· εἰς τίνα φεύγω;
τίς θεὸς ἁρπάξει με καὶ εἰς Μαραθῶνα κομίσσει
Κύπριδι καὶ Θησῆι δικαζομένην Ἀριάδνην;
τίς με λαβὼν κομίσειε δι' οἴδματος; αἴθε καὶ αὐτὴ
ἡμετέρης μίτον ἄλλον ἴδω πομπῆα κελεύθου·
τοῖον ἔχειν ἐθέλω καὶ ἐγὼ μίτον, ὥς κεν ἀλύξω
Αἰγαίης ἁλὸς οἶδμα καὶ εἰς Μαραθῶνα περήσω,
ὄφρα περιπτύξω σε, καὶ εἰ στυγέεις Ἀριάδνην,
ὄφρα περιπτύξω σε τὸν ὁρκαπάτην παρακοίτην.
δέξό με σῶν λεχέων θαλαμηπόλον, ἢν ἐθελήσηις·
καὶ στορέσω σέο λέκτρα {...} μετὰ Κρήτην Ἀριάδνη,
οἷά τε ληισθεῖσα· καὶ ὀλβίστηι σέο νύμφηι
τλήσομαι, ὡς θεράπαινα, πολύκροτον ἱστὸν ὑφαίνειν
καὶ φθονεροῖς ὤμοισιν ἀήθεα κάλπιν ἀείρειν,
καὶ γλυκερῶι Θησῆι φέρειν ἐπιδόρπιον ὕδωρ·
μοῦνον ἴδω Θησῆα· καὶ ἡμετέρη ποτὲ μήτηρ
ἀγρονόμοις θήτευε, καὶ αὐχένα κάμψε νομῆι,
βοσκομένωι δ' ὀάριζεν ἀφωνήτωι τινὶ ταύρωι,
καὶ βοῒ ταῦρον ἔτικτε· μελιζομένου δὲ βοτῆρος
πηκτίδος οὐ πόθον ἔσχεν, ὅσον μυκηθμὸν ἀκούειν. 47.400

οὐ μὲν ἐγὼ ψαύσαιμι καλαύροπος, οὐ παρὰ φάτνηι
στήσομαι· ἡμετέρης δὲ παρέσσομαι ἐγγὺς ἀνάσσης
φθεγγομένωι Θησῆι, καὶ οὐ μυκηθμὸν ἀκούσω·
καὶ τεὸν ἱμερόεντα γάμων ὑμέναιον ἀείσω·
ζῆλον ὑποκλέπτουσα νεοζυγέος σέο νύμφης.
στῆσον Ναξιάδεσσι παρ' ἠιόσι ποντοπορεύων,
στῆσον ἐμοὶ σέο νῆα· τί, ναυτίλε, καὶ σὺ χαλέπτεις;
ὣς ἄρα καὶ σὺ πέλεις Μαραθώνιος· εἰ μὲν ἱκάνεις
εἰς ἐρατὴν σέο γαῖαν, ὅπηι δόμος ἐστὶν Ἐρώτων,
δέξό με δειλαίην, ἵνα Κέκροπος ἄστυ νοήσω·
εἰ δέ με καλλείψεις καί, ἀμείλιχε, ποντοπορεύεις,
εἰπὲ τεῶι Θησῆι κινυρομένην Ἀριάδνην,
μεμφομένην ἀτέλεστον ἐπίκλοπον ὅρκον Ἐρώτων.
οἶδα, πόθεν Θησῆος ὑπόσχεσιν ἠπεροπῆος
θῆκεν Ἔρως βαρύμηνις ἀνήνυτον· ἀντὶ γὰρ Ἥρης,
ἣν Ζυγίην καλέουσιν, ἀπειρογάμοιο θεαίνης
ὤμοσεν ἀχράντοιο γαμήλιον ὅρκον Ἀθήνης·
Παλλάδος ὅρκον ὄμοσσε· τί Παλλάδι καὶ Κυθερείηι;"
τοῖα κινυρομένης ἐπετέρπετο Βάκχος ἀκούων·
Κεκροπίην δ' ἐνόησε καὶ οὔνομα Θησέος ἔγνω
καὶ στόλον ἐκ Κρήτης ἀπατήλιον· ἄγχι δὲ κούρης
ἔνθεον εἶδος ἔχων ἀμαρύσσετο· παρθενικὴν δὲ
φέρτερον εἰς πόθον ἄλλον ἐμάστιε κέντορι κεστῶι
θοῦρος Ἔρως περίφοιτος, ὅπως Μινωίδα κούρην
πειθομένην ζεύξειε κασιγνήτωι Διονύσωι.
καὶ κινυρὴν δυσέρωτα παρηγορέων Ἀριάδνην
τοῖον ἔπος φάτο Βάκχος ἑῆι φρενοθελγέι φωνῆι·
"παρθένε, τί στενάχεις ἀπατήλιον ἀστὸν Ἀθήνης;
μνῆστιν ἔα Θησῆος· ἔχεις Διόνυσον ἀκοίτην,
ἀντὶ μινυνθαδίου πόσιν ἄφθιτον· εἰ δέ σε τέρπει
ἥλικος ἠιθέου βρότεον δέμας, οὔ ποτε Θησεὺς
εἰς ἀρετὴν καὶ κάλλος ἐριδμαίνει Διονύσωι.
ἀλλ' ἐρέεις· 'ναετῆρα πεδοσκαφέος λαβυρίνθου
δισσοφυῆ φοίνιξεν ὁμόζυγον ἀνέρα ταύρωι·'
οἶδας ἀοσσητῆρα τεὸν μίτον· οὐ γὰρ ἀγῶνα
εὗρεν ἀεθλεύειν κορυνηφόρος ἀστὸς Ἀθήνης,
εἰ μὴ θῆλυς ἄμυνε ῥοδόχροος· οὔ σε διδάξω
καὶ Παφίην καὶ Ἔρωτα καὶ ἠλακάτην Ἀριάδνης.
αἰθέρος οὐκ ἐρέεις ὅτι μείζονές εἰσιν Ἀθῆναι·
οὐ Διὶ παμμεδέοντι πανείκελος ἔπλετο Μίνως,
σὸς γενέτης· οὐ Κνωσσὸς ὁμοιιός ἐστιν Ὀλύμπωι.
οὐδὲ μάτην στόλος οὗτος ἐμῆς ἀπεβήσατο Νάξου,
ἀλλὰ Πόθος σε φύλαξεν ἀρειοτέροις ὑμεναίοις·
ὀλβίη, ὅττι λιποῦσα χερείονα Θησέος εὐνὴν
δέμνιον ἱμερόεντος ἐσαθρήσεις Διονύσου.
τί πλέον ἤθελες εὖχος ὑπέρτερον; ἀμφότερον γὰρ
οὐρανὸν οἶκον ἔχεις, ἑκυρὸς δέ σοί ἐστι Κρονίων.
οὔ σοι Κασσιέπεια δυνήσεται ἰσοφαρίζειν
παιδὸς ἑῆς διὰ κόσμον Ὀλύμπιον· αἰθερίους γὰρ
δεσμοὺς Ἀνδρομέδηι καὶ ἐν ἄστρασιν ὤπασε Περσεύς·
ἢν δ' ἐθέληις, ἐπίβηθι τεῆς πάλιν ὀψὲ Σερίφου.
ἢν δὲ τεῆι χρυσέηι μεγαλίζεαι ἀμφὶ γενέθληι,
οὐτιδανὴν συνάεθλον ἔχε χρυσῆν Ἀφροδίτην."
ὣς εἰπὼν προμάχιζεν· ἐπεστρατόωντο δὲ Βάκχαι,
καὶ Σάτυροι πολέμιζον. ὑπὲρ Βρομίου δὲ καρήνου
αἰθύσσων πτερὰ κοῦφα μετάρσιος ἵπτατο Περσεύς·
ὑψώσας δ' Ἰόβακχος ἑὸν δέμας, αἰθέρι γείτων
ἄπτερος ὑψικέλευθος ἀείρετο μείζονι ταρσῶι
ἱπταμένου Περσῆος ὑπέρτερος, ἐπταπόρωι δὲ
αἰθέρι χεῖρα πέλασσε, καὶ ὡμίλησεν Ὀλύμπωι,
καὶ νεφέλας ἔθλιψε· φόβωι δ' ἐλελίζετο Περσεὺς
δεξιτερὴν ἀκίχητον ὀπιπεύων Διονύσου
ἠελίου ψαύουσαν, ἐφαπτομένην δὲ σελήνης.
ἀλλὰ λιπὼν Διόνυσον ἐμάρνατο θυιάσι Βάκχαις·
καὶ παλάμηι δονέων θανατηφόρον ὄμμα Μεδούσης
λαϊνέην ποίησε κορυσσομένην Ἀριάδνην.
καὶ πλέον ἔβρεμε Βάκχος ἰδὼν πετρώδεα νύμφην·
καί νύ κεν Ἄργος ἔπερσε καὶ ἐπρήνιξε Μυκήνας
καὶ Δαναῶν ἤμησεν ὕλην στίχα, καί νύ κεν αὐτὴν
μαρναμένην ἄγνωστον ἀνούτατον οὔτασεν Ἥρην
μάντιος ἀντιτύποιο νόθηι βροτοειδέι μορφῆι,
καί νύ κεν ὠκυπέδιλος ὑπὲρ μόρον ἔφθιτο Περσεύς,
εἰ μή μιν κατόπισθε φανεὶς πτερόεντι πεδίλωι
χρυσείης πλοκαμῖδος ἑλὼν ἀνεσείρασεν Ἑρμῆς,
καί μιν ἀλεξικάκωι φιλίωι μειλίξατο μύθωι·
"Ζηνὸς γνήσιον αἷμα, νόθος ζηλήμονος Ἥρης,
οἶσθα μέν, ὥς σε σάωσα Διιπετέων ἀπὸ πυρσῶν,
καί σε Λάμου ποταμοῖο θυγατράσιν ὤπασα Νύμφαις
εἰσέτι κουρίζοντα, πάλιν δέ σε χερσὶν ἀείρων
εἰς δόμον ὑμετέρης κουροτρόφον ἤγαγον Ἰνοῦς·
καὶ σὺ τεῶι ῥυτῆρι φέρων χάριν υἱέι Μαίης,
γνωτέ, μάχην εὔνησον ὁμόγνιον· ἀμφότεροι γὰρ
Περσεὺς καὶ Διόνυσος ἑνὸς βλάστημα τοκῆος·
μὴ στρατὸν Ἀργείων, μὴ μέμφεο Περσέος ἅρπην·
οὐ γὰρ ἑκὼν ἐς Ἄρηα κορύσσεται· ἀλλά μιν Ἥρη
ὥπλισε, μαντιπόλου δὲ Μελάμποδος εἴδει μορφῆς
μάρναται ἀμφαδίην· σὺ δὲ χάζεο δῆριν ἐάσας,
μή σοι ἐπιβρίζειε πάλιν δυσμήχανος Ἥρη.
ἀλλ' ἐρέεις ἀλόχοιο τεῆς μόρον· εὐκλέι πότμωι
μαρναμένη τέθνηκε, σὺ δὲ φθιμένην Ἀριάδνην
ὤφελες ὀλβίζειν, ὅτι τηλίκον εὗρε φονῆα
οὐρανίης γεγαῶτα καὶ οὐ βροτέης ἀπὸ φύτλης,
κήτεος ἀμητῆρα καὶ ἱπποτόκοιο Μεδούσης.
οὐ λίνα Μοιράων ἐπιπείθεται· οὐρανίου γὰρ
κάτθανεν Ἠλέκτρη Διὸς εὐνέτις, ᾤχετο δ' αὐτὴ
τῶι Διὶ νυμφευθεῖσα κασιγνήτη σέο Κάδμου
Εὐρώπη μετὰ λέκτρον Ὀλύμπιον, ὑμετέρη δὲ
εἰσέτι γαστρὶ φέρουσα τεὸν τόκον ὤλετο μήτηρ·
οὐ Σεμέλη πρὸ μόροιο πύλας ἐπέρησεν Ὀλύμπου,
ἀλλ' ὅτε πότμον ἔδεκτο. καὶ ὀλλυμένη σέο νύμφη

ἠνίδε φοινίσσοντα θεμείλια παρθενεῶνος,
Nonnus λείψανα κεῖνα φέροντα ῥυηφενέος νιφετοῖο.
ἀλλὰ φύγε κλυτὸν Ἄργος, ἐπεὶ μενεδήιος Ἥρη
ἔλλαχεν ἔδρανα ταῦτα τεῆς ὀλέτειρα τεκούσης,
μή σε τὸν οἰστρήσαντα καὶ οἰστρηθέντα τελέσσηι,
μή σε πάλιν μανίηι τεθοωμένον ὀψὲ νοήσω.”
ὣς εἰπὼν προμάχιζεν· ἀνεπτοίησε δὲ Βάκχας
Ἄρεα θωρήξασα καὶ ἀμήτηρα Μεδούσης
Ἥρη πανδαμάτειρα· καταιθύσσουσα δὲ Βάκχου
ἀστεροπῆς μίμημα, θεόσσυτον ἀλλόμενον πῦρ,
ῥῖψε κατὰ Βρομίοιο σελασφόρον αἴθοπα λόγχην.
καὶ γελόων Διόνυσος ἀμείβετο. θυιάδι φωνῆι·
“οὐ τόσον ἀστράπτουσαν ἔχεις ἀσίδηρον ἀκωκήν·
οὐ δύνασαι κλονέειν με, καὶ εἰ λάχες ἔμπυρον αἰχμήν·
οὐδέ με πημαίνει στεροπὴ Διός· ἡμιτελῆ γὰρ
νήπιον εἰσέτι Βάκχον ἐχυτλώσαντο κεραυνοὶ
ἀφλεγὲς ἆσθμα χέοντες ἀδηλήτωι Διονύσωι.
καὶ σὺ μέγα φρονέων δρεπανηφόρε παύεο Περσεῦ·
Γοργόνος οὐ μόθος οὗτος ὀλιζόνος, οὐ μία νύμφη
Ἀνδρομέδη βαρύδεσμος ἀέθλιον· ἀλλὰ Λυαίωι
δῆριν ἄγεις, ὃς Ζηνὸς ἔχει γένος, ὧι ποτε μούνωι
Ῥείη μαζὸν ὄρεξε φερέσβιον, ὅν ποτε πυρσῶι
ἀστεροπῆς γαμίης μαιώσατο μειλιχίη φλόξ,
ὃν δύσις, ὃν θάμβησεν Ἑωσφόρος, ὧι στίχες Ἰνδῶν
εἴκαθον, ὃν τρομέων καὶ Δηριάδης καὶ Ὀρόντης
L2[O] ἠλιβάτων ἀπέλεθρον ἔχων ἴνδαλμα Γιγάντων
𝔹 ἤριπεν, ὧι θρασὺς Ἄλπος ὑπώκλασεν, υἱὸς Ἀρούρης,
ἀγχινεφὲς περίμετρον ἔχων δέμας, ὧι γόνυ κάμπτει
λαὸς Ἄραψ, Σικελὸς δὲ μελίζεται εἰσέτι ναύτης
Τυρσηνῶν νόθον εἶδος ἁλίδρομον, ὧν ποτε μορφὴν
ἀνδρομέην ἤμειψα μετάτροπον, ἀντὶ δὲ φωτῶν
ἰχθύες ὀρχηστῆρες ἐπισκαίρουσι θαλάσσηι.
Θήβης δ’ ἑπταπύλου γόον ἔκλυες· οὔ σε διδάξω
αἰνομανῆ Πενθῆα καὶ ὠλεσίτεκνον Ἀγαύην·
φήμης δ’ οὐ χατέεις ἢ μάρτυρος, ὅττι Λυαίου
πειρήθη τεὸν Ἄργος, Ἀχαιιάδες δὲ καὶ αὐταὶ
σφωιτέρας ὠδῖνας ἔτι στενάχουσι γυναῖκες.
ἀλλά, φίλος, πολέμιζε, καὶ αἰχμάζοντα κορύμβοις
αἰνήσεις τάχα Βάκχον, ὅτι πτερὰ σεῖο πεδίλων
ὄψεαι ἀρραγέεσσιν ἐμοῖς εἴκοντα κοθόρνοις·
◆ οὔ ποτε Βασσαρίδων σκεδάσεις μόθον, οὔ ποτε λήξω
πέμπων οἴνοπα θύρσον, ἕως τεὸν Ἄργεϊ δείξω
ἔγχεϊ κισσήεντι πεπαρμένον ἀνθερεῶνα
καὶ δρέπανον πετάλοις νικώμενον· οὔ σε σαώσει
Ζεὺς ἐμός, οὐ γλαυκῶπις ὁμόγνιος, οὐ σέθεν Ἥρη,
καὶ μάλα περ κοτέουσα μενεπτολέμωι Διονύσωι·
ἀλλὰ κατακτείνω σε, καὶ αὐχήεσσα Μυκήνη
ὄψεται ἀμηθέντα τὸν ἀμήτηρα Μεδούσης·
ἤ σε περισφίγξας ἐνὶ λάρνακι μείζονι δεσμῶι
πλωτὸν ἀκοντίζω σε τὸ δεύτερον ἠθάδι πόντωι·

249 (142C) ἀλλά σοι ἀστερόεν τελέσω στέφος, ὥς κεν ἀκούσηις
εὐνέτις αἰγλήεσσα φιλοστεφάνου Διονύσου.”
εἶπε παρηγορέων· καὶ ἐπάλλετο χάρματι κούρη
μνῆστιν ὅλην Θησῆος ἀπορρίψασα θαλάσσηι,
οὐρανίου μνηστῆρος ὑποσχεσίην ὑμεναίων
δεξαμένη. καὶ παστὸν Ἔρως ἐπεκόσμεε Βάκχωι·
καὶ χορὸς ἐσμαράγησε γαμήλιος· ἀμφὶ δὲ παστῶι
ἄνθεα πάντα τέθηλε· καὶ εἰαρινοῖσι πετήλοις
Νάξον ἐκυκλώσαντο χορίτιδες Ὀρχομενοῖο·
καὶ θαλάμους ἐλίγαινεν Ἀμαδρυάς, ἀμφὶ δὲ πηγαῖς
Νηιὰς ἀκρήδεμνος ἀσάμβαλος ἤινεσε Νύμφη
δαίμονι βοτρυόεντι συναπτομένην Ἀριάδνην·
Ὀρτυγίη δ’ ὀλόλυζε, πολισσούχοιο δὲ Φοίβου
γνωτῶι νυμφίον ὕμνον ἀνακρούουσα Λυαίωι
εἰς χορὸν ἐσκίρτησε καὶ ἀστυφέλικτος ἐοῦσα.
πορφυρέοις δὲ ῥόδοισι περίτροχον ἄνθος ἐρέπτων
μάντις Ἔρως πυρόεις στέφος ἔπλεκε, σύγχροον ἄστρων,
οὐρανίου Στεφάνοιο προάγγελον· ἀμφὶ δὲ νύμφης
Ναξιάδος σκίρτησε γαμοστόλος ἐσμὸς Ἐρώτων.
καὶ ζυγίοις θαλάμοισιν ὁμιλήσας ὑμεναίοις
Χρυσοπάτωρ πολύπαιδα γονὴν ἔσπειρεν ἀκοίτης.
καὶ δολιχὴν πολιοῖο χρόνου στροφάλιγγα κυλίνδων
μητέρος εὐώδινος ἑῆς ἐμνήσατο Ῥείης·
καὶ Χαρίτων πλήθουσαν ἀμεμφέα Νάξον ἐάσας
Ἑλλάδος ἄστεα πάντα μετήιεν· ἱπποβότου δὲ
Ἄργεος ἐγγὺς ἵκανε, καὶ εἰ λάχεν Ἴναχον Ἥρη. L2[O]
οἱ δέ μιν οὐκ ἐδέχοντο, χοροπλεκέας δὲ γυναῖκας 𝔹
καὶ Σατύρους ἐδίωκον, ἀπηρνήσαντο δὲ θύρσους,
μή ποτε δηλήσαιτο Πελασγικὸν ἔδρανον Ἥρη
ζηλήμων, βαρύμηνις ἐπιβρίθουσα Λυαίωι·
Σειληνοὺς δὲ γέροντας ἐρήτυον. ἀχνύμενος δὲ
7 (5C) Ἰναχίδας Διόνυσος ὅλας οἴστρησε γυναῖκας·
μυκηθμῶι δ’ ἀλάλαζον Ἀχαιίδες· ἀντομένοις δὲ
ἔχραον ἐν τριόδοισιν· ἐπὶ σφετέροισι δὲ δειλαὶ
ἀρτιτόκοις βρεφέεσσιν ἐπωξύνοντο μαχαίρας,
ὧν ἡ μὲν ξίφος εἷλκε καὶ ἔκτανεν υἱέα μήτηρ,
ἄλλη δὲ τριέτηρον ἀπηλοίησε γενέθλην,
καί τις ἀνηκόντιζεν ἐς ἠέρα κοῦρον ἀλήτην
7 εἰσέτι μαστεύοντα φίλον γλάγος· ὀλλυμένων δὲ
Ἴναχος ἀρτιτόκων βρεφέων ἐπεμαίνετο πότμωι·
μήτηρ δ’ ἔκτανεν υἷα, καὶ οὐ πόθος ἔπλετο μαζῶν
παιδοκόμων, οὐ μνῆστις ἀναγκαίου τοκετοῖο·
Ἀστερίων δ’, ὅθι πολλὰ θαλύσια μείζονος ἥβης
ἠιθέων κείροντο λιπότριχος ἄνθεα κόρσης,
αὐτοὺς παῖδας ἔδεκτο καὶ οὐκέτι βόστρυχα χαίτης.
καί τις ἰδών τινα λάτριν ἐπερχομένοιο Λυαίου
τοῖον ἔπος κατέλεξε Πελασγίδος ἀστὸς ἀρούρης·
“οὗτος ὁ βότρυν ἔχων, διφυὲς γένος, ἄξιον Ἥρης Nonnus
Ἄργος ἔχει Περσῆα καὶ οὐ χατέει Διονύσου·
ἄλλον ἔχω Διὸς υἷα καὶ οὐ Βάκχοιο χατίζω.

ποσσὶ πολυσκάρθμοισι πατεῖ Διόνυσος ὀπώρην·
ἴχνεσιν ὑψιπόροισιν ἐμὸς γόνος ἠέρα τέμνει.
μὴ κισσῶι δρεπάνην ἰσάζετε· καὶ γὰρ ἀρείων
Βάκχου θυρσοφόρου δρεπανηφόρος ἔπλετο Περσεύς·
εἰ στρατὸν Ἰνδὸν ἔπεφνεν, ἀέθλιον ἶσον ἐνίψω
Γοργοφόνωι Περσῆι καὶ Ἰνδοφόνωι Διονύσωι.
εἰ δὲ πολυκλύστοιο παρ' Ἑσπέριον κλίμα πόντου
ὁλκάδα λαϊνέην Τυρσηνίδα πῆξε θαλάσσηι,
κῆτος ὅλον περίμετρον ἐμὸς πετρώσατο Περσεύς.
εἰ δὲ τεὸς Διόνυσος ἐρημονόμωι παρὰ πόντωι
ὑπναλέην ἐσάωσεν ἐπ' ἠιόνων Ἀριάδνην,
δεσμοὺς Ἀνδρομέδης πτερόεις ἀνελύσατο Περσεύς,
ἄξιον ἕδνον ἔχων πετρώδεα θῆρα θαλάσσης·
οὔ πως Ἀνδρομέδην Παφίης χάριν, οὔ ποτε Περσεὺς
Θησέος ἱμείρουσαν ἑὴν ἐρρύσατο νύμφην·
ἀλλὰ σαοφρονέοντα γάμον λάχεν. ὡς Σεμέλην δέ,
οὐ Δανάην πυρόεντες ἐτεφρώσαντο κεραυνοί·
ἀλλὰ πατὴρ Περσῆος Ὀλύμπιος ὄμβρος Ἐρώτων
χρύσεος εἰς γάμον ἦλθε, καὶ οὐ φλογόεις παρακοίτης.
οὐκ ἄγαμαί ποτε τοῦτον ἐγὼ πρόμον· ἐν παλάμηι γὰρ
ποῖον ἔχει δόρυ θοῦρον Ἀρήιον; ἴσχεο, Περσεῦ·
Γοργοφόνωι δρεπάνηι μὴ μάρναο θήλεϊ κισσῶι·
μὴ σέο χεῖρα μίαινε γυναικείοισι κοθόρνοις·
μὴ κυνέην Ἀίδαο τεοῖς κροτάφοισι τινάξῃς
στέμματος ἀμπελόεντος ἐναντίον· ἢν δ' ἐθελήσῃς,
Ἀνδρομέδην θώρηξον ἀθωρήκτωι Διονύσωι.
χάζεό μοι, Διόνυσε, καὶ ἵππιον Ἄργος ἐάσας
Θήβης ἑπταπύλοιο πάλιν βάκχευε γυναῖκας·
κτεῖνε νέον Πενθῆα· τί Περσέι καὶ Διονύσωι;
Ἴναχον ὠκυρέεθρον ἀναίνεο· καί σε δεχέσθω
Θήβης Ἀονίης ποταμὸς βραδύς· οὔ σε διδάξω
Ἀσωπὸν βαρύγουνον ἔτι ζείοντα κεραυνῶι."
τοῖον ἔπος κατέλεξεν ἐπεγγελόων Διονύσωι.
Ἀργείην δὲ φάλαγγα Πελασγιὰς ὥπλισεν Ἥρη·
μαντιπόλωι δ' ἤικτο Μελάμποδι· χωομένη δὲ
Γοργοφόνωι Περσῆι μαχήμονα ῥήξατο φωνήν·
"οὐρανίης βλάστημα γονῆς, κορυθαιόλε Περσεῦ,
σὴν δρεπάνην ἀνάειρε, μὴ ἀπτολέμωι τινὶ θύρσωι
ἀδρανέες τεὸν Ἄργος ἀιστώσωσι γυναῖκες·
μὴ τρομέοις ἕνα μοῦνον ὄφιν ζωστῆρα κομάων,
ὅττι δαφοινήεσσα τεὴ θηροκτόνος ἅρπη
λήϊα τοσσατίων ὀφίων ἤμησε Μεδούσης·
Βασσαρίδων δὲ φάλαγγι κορύσσεο· χαλκορόφου δὲ
μνώεο παρθενεῶνος, ὅπηι Δανάης διὰ κόλπου
χρύσεον ὄμβρον ἔχευε γαμοκλόπον ὑέτιος Ζεύς,
μὴ Δανάη μετὰ λέκτρα, μετὰ χρυσέους ὑμεναίους
οὐτιδανῶι γόνυ δοῦλον ὑπογνάμψειε Λυαίωι·
δεῖξον, ὅτι Κρονίωνος ἐτήτυμον αἷμα κομίζεις,
δεῖξον, ὅτι χρύσειον ἔχεις γένος, οὐρανίου δὲ
λέκτρα τεοῦ κήρυξον ἐχεκτεάνου νιφετοῖο.

καὶ Σατύροις πολέμιζε· κορυσσομένωι δὲ Λυαίωι
φοίνιον ὄμμα τίταινε δρακοντοκόμοιο Μεδούσης,
καὶ μετὰ πικρὸν ἄνακτα πολυκλύστοιο Σερίφου
λαΐνεον νέον ἄλλον ἐσαθρήσω Πολυδέκτην.
σὺν σοὶ πανδαμάτειρα κορύσσεται Ἀργολὶς Ἥρη
μητρυιὴ Βρομίοιο· προασπίζων δὲ Μυκήνης
σὴν δρεπάνην κούφιζε σαόπτολιν, ὄφρα νοήσω
ἑσπομένην Περσῆι δορικτήτην Ἀριάδνην·
κτεῖνε βοοκραίρων Σατύρων στίχα· Βασσαρίδων δὲ
ὄμματι Γοργείωι βροτέην μετάμειψον ὀπωπὴν
εἰς βρέτας αὐτοτέλεστον ὁμοίιον· ἀντιτύπωι δὲ
κάλλεϊ πετρήεντι τεὰς κόσμησον ἀγυιάς,
Ἰναχίαις ἀγορῆισιν ἀγάλματα ποικίλα τεύχων.
τί τρομέεις Διόνυσον, ὃν οὐ Διὸς ἤροσαν εὐναί;
εἰπέ, τί σοι ῥέξειε; μετάρσιον ἠεροφοίτην
πεζὸς ὑπὲρ δαπέδοιο πότε πτερόεντα κιχήσει;"
ἔννεπε θαρσύνουσα· καὶ εἰς μόθον ἔπτατο Περσεύς.
καὶ ναέτας καλέουσα Πελασγιὰς ἔβρεμε σάλπιγξ,
ὧν ὁ μὲν αἰχμητῆρος ἐκούφισε Λυγκέος αἰχμήν,
ὃς δὲ παλαιοτέροιο Φορωνέος, ὃς δὲ Πελασγοῦ,
ἄλλος ἀνηέρταζεν Ἀβαντίδα χειρὶ βοείην
καὶ μελίην Προίτοιο, καὶ Ἀκρισίοιο φαρέτρην
ἄλλος ἀνὴρ κούφιζεν, ὁ δὲ θρασὺς εἰς μόθον ἔστη
ἆορ ἔχων Δαναοῖο, τό πέρ ποτε γυμνὸν ἀείρων
θυγατέρας θώρηξεν ἐς ἀνδροφόνους ὑμεναίους,
ἄλλος ἑὴν κρατέων πέλεκυν μέγαν, ὃν παρὰ βωμῶι
Ἴναχος ἀστυόχοιο θυηπόλος ἔνθεος Ἥρης
ἵστατο κουφίζων βοέων τμητῆρα μετώπων.
καὶ στρατὸς ἐγρεκύδοιμος ἀερσιπόδων ὑπὲρ ἵππων
ἔδραμε μαρναμένου μετὰ Περσέος· ὃς δὲ παρέστη
τρηχαλέοις στομάτεσσι μάχης ἀλαλαγμὸν ἰάλλων,
πεζὸς ἀνήρ, καὶ τόξα συνήρμοσε κυκλάδι νευρῆι,
καὶ γλαφυρὴν ἤειρεν ὑπὲρ νώτοιο φαρέτρην·
καὶ πρόμος Ἀργείων δρεπανηφόρος ἔπλετο Περσεύς,
καὶ πόδας ἠερίοισιν ἐπεσφήκωσε πεδίλοις,
καὶ κεφαλὴν κούφιζεν ἀθηήτοιο Μεδούσης.
λυσικόμους δ' Ἰόβακχος ἑὰς ἐκόρυσσε γυναῖκας
καὶ Σατύρους κερόεντας· ἐβακχεύθη δὲ κυδοιμῶι
ἠερίην πτερόεντος ἰδὼν προμάχοιο πορείην·
χειρὶ δὲ θύρσον ἄειρεν, ἑοῦ προβλῆτα προσώπου
κουφίζων ἀδάμαντα, Διὸς πετρούμενον ὄμβρωι
λᾶαν, ἀλεξητῆρα λιθογλήνοιο Μεδούσης,
ὄφρα φύγηι σέλας ἐχθρὸν ἀθηήτοιο προσώπου.
Βασσαρίδων δὲ φάλαγγας ἰδὼν καὶ θύσθλα Λυαίου,
φρικαλέον γελόων κορυθαιόλος ἔννεπε Περσεύς·
"ἡδὺς ὁ θύρσον ἔχων, χλοερὸν βέλος, εἰς ἐμὲ βαίνων
οὐτιδανοῖς πετάλοισι κορύσσεαι, Ἄρεα παίζων·
εἰ Διὸς ἔλλαχες αἷμα, τεὴν ἀνάφαινε γενέθλην·
εἰ ποταμοῦ χρύσειον ἔχεις Πακτώλιον ὕδωρ,
χρυσὸν ἔχω γενετῆρα, πατὴρ δ' ἐμὸς ὑέτιος Ζεύς·

κινυμένοις βλεφάροισιν; ἐρωμανὲς ὄμμα τιταίνων
Nonnus τίς γαμίοις ὀάροισι παραπλάζει φρένας ἄρκτου
εἰς Παφίην, ἐς Ἔρωτα; τίς ὡμίλησε λεαίνηι;
τίς δρυὶ μῦθον ἔλεξε; τίς ἄπνοον ἤγαγε πέτρην;
τίς κρανέην παρέπεισε, καὶ εἰς γάμον ἤγαγε πέτρην;
ποῖος ἀνὴρ θέλξειεν ἀκηλήτου νόον Αὔρης;
ποῖος ἀνὴρ θέλξειεν; ἀμιτροχίτωνι δὲ κούρηι
τίς γάμον ἢ φιλότητος ἀρηγόνα κεστὸν ἐνίψηι;
τίς γλυκὺ κέντρον Ἔρωτος ἢ οὔνομα Κυπρογενείης;
μᾶλλον Ἀθηναίη τάχα πείσεται· οὐδέ με φεύγει
Ἄρτεμις ἀπτοίητος, ὅσον φιλοπάρθενος Αὔρη.
αἴθε φίλοις στομάτεσσιν ἔπος τόδε μοῦνον ἐνίψηι·
'Βάκχε, μάτην ποθέεις, μὴ δίζεο παρθένον Αὔρην.'"
ἔννεπεν ἀνθεμόεντος ἔσω λειμῶνος ὁδεύων
εἰαρινοῖς ἀνέμοισι, καὶ εὐόδμωι παρὰ μύρτωι
ἡδὺ μεσημβρίζων πόδας εὔνασεν, ἀμφὶ δὲ δένδρωι
κέκλιτο συρίζουσαν ἔχων Ζεφυρήιον αὔρην
καὶ καμάτωι καὶ ἔρωτι κατάσχετος· ἑζομένωι δὲ
ἥλικος αὐτομέλαθρος ὑπερκύψασα κορύμβου
παρθένος ἀκρήδεμνος Ἁμαδρυὰς ἔννεπε Νύμφη,
Κύπριδι πιστὰ φέρουσα καὶ ἱμερόεντι Λυαίωι·
"οὐ δύναταί ποτε Βάκχος ἄγειν ἐπὶ δέμνιον Αὔρην,
εἰ μή μιν βαρύδεσμον ἀλυκτοπέδηισι πεδήσηι,
δεσμοῖς Κυπριδίοισι πόδας καὶ χεῖρας ἑλίξας,
ἠέ μιν ὑπνώουσαν ὑποζεύξας ὑμεναίοις
L1[O] παρθενικῆς ἀνάεδνον ὑποκλέψειε κορείην."
𝔸 ὣς φαμένη παλίνορσος ὁμήλικι κεύθετο θάμνωι
◆ δυσαμένη δρυόεντα πάλιν δόμον· αὐτὰρ ὁ κάμνων
Βάκχος ἐρωτοτόκοισι νόον πόμπευεν ὀνείροις.
ψυχὴ δ' ἠνεμόφοιτος ἀποφθιμένης Ἀριάδνης,
νήδυμον ὑπνώοντι παρισταμένη Διονύσωι,
ζηλήμων μετὰ πότμον ὀνειρείωι φάτο μύθωι· 1
"ἀμνήμων Διόνυσε τεῶν προτέρων ὑμεναίων,
Αὔρης ζῆλος ἔχει σε, καὶ οὐκ ἀλέγεις Ἀριάδνης·
ὤμοι ἐμοῦ Θησῆος, ὃν ἥρπασε πικρὸς ἀήτης,
ὤμοι ἐμοῦ Θησῆος, ὃν ἔλλαχεν ἀνέρα Φαίδρη.
οὐ τάχα μοι πέπρωτο φυγεῖν ψεύδορκον ἀκοίτην,
εἰ γλυκὺς ὑπναλέην μὲ λίπεν νέος, ἀντὶ δὲ κείνου
νυμφεύθην δυσέρωτι καὶ ἠπεροπῆν Λυαίωι. 1
ὤμοι, ὅτ' οὐ βροτὸν ἔσχον ἐγὼ ταχύποτμον ἀκοίτην,
καί κεν ἐρωμανέοντι κορυσσομένη Διονύσωι
Λημνιάδων γενόμην καὶ ἐγὼ μία θηλυτεράων.
ἀλλὰ πολυσπερέων γαμίων ἐπιβήτορα λέκτρων,
νυμφίον ὁρκαπάτην, μετὰ Θησέα καὶ σὲ καλέσσω·
εἰ δέ σε δῶρον Ἔρωτος ἀπαιτίζει σέο νύμφη,
δέξό μοι ἠλακάτην, φιλοτήσιον ἕδνον Ἐρώτων,
ὄφρα πόρηις, ἀθέμιστε, φιλοσκοπέλωι σέο νύμφηι
δῶρα τεῆς ἀλόχου Μινωίδος, ὄφρά τις εἴπηι·
'δῶκε μίτον Θησῆι καὶ ἠλακάτην Διονύσωι.'
καὶ σὺ κατὰ Κρονίωνα λέχος μετὰ λέκτρον ἀμείβων

48

◆ row of last line.
simile or **omen** **crux**

Consensus lines presented in order;
none reordered, removed or bracketed.

ARGUMENT

In the forty-eighth, seek the blood of the giants, and look out for Pallene and the son of sleeping Aura.

NONNUS
DIONYSIACA
BOOK 48

PREVIEW BOOK 2

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek
copy text: Ludwich (Teubner 1909)
typeface: Sea Hand Press 20

This UNRESTRICTED INTERLEAVABLE LAYOUT of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

EPICPOEM.ORG 978 lines 3.0
𝔸 3L 1 - 550
𝔹 3L 551 - 978

PRINT 2-SIDED: 281 to 292

Αὐταρ ὁ πορδαλίων ἐποχημένος ἄντυγι δίφρου
Θρηικίηι περίφοιτος ἐκώμασε Βάκχος ἀρούρηι,
ἵππιον ἀρχεγόνοιο Φορωνέος οὖδας ἐάσας.
οὐδὲ χόλον πρήυνε παλίγκοτον Ἰναχὶς Ἥρη
Ἄργεος οἰστρηθέντος, Ἀχαιιάδων δὲ γυναικῶν
λύσσης μνῆστιν ἔχουσα πάλιν θωρήσσετο Βάκχωι.
καὶ δολίας ἀνέφαινε λιτὰς παμμήτορι Γαίηι,
ἔργα Διὸς βοόωσα καὶ ἠνορέην Διονύσου
Γηγενέων ὀλέσαντος ἀμετρήτων νέφος Ἰνδῶν·
καὶ Σεμέλης ὅτε παῖδα φερέσβιος ἔκλυε μήτηρ
Ἰνδώιην ταχύποτμον ἀιστώσαντα γενέθλην,
μνησαμένη τεκέων πλέον ἔστενεν· ἀμφὶ δὲ Βάκχωι
αὐτογόνων θώρηξεν ὀρίδρομα φῦλα Γιγάντων,
ὑψιλόφους ἕο παῖδας ἀνοιστρήσασα κυδοιμῶι·
"παῖδες ἐμοί, μάρνασθε κορυμβοφόρωι Διονύσωι
ἠλιβάτοις σκοπέλοισιν, ἐμῆς δ' ὀλετῆρα γενέθλης
Ἰνδοφόνον Διὸς υἷα κιχήσατε· μηδὲ νοήσω
σὺν Διὶ κοιρανέοντα νόθον σκηπτοῦχον Ὀλύμπου.
δήσατε, δήσατε Βάκχον, ὅπως θαλαμηπόλος εἴη,
ὁππότε Πορφυρίωνι χαρίζομαι εἰς γάμον Ἥβην
καὶ Χθονίωι Κυθέρειαν, ὅτε γλαυκῶπιν ἀείσω
εὐνέτιν Ἐγκελάδοιο καὶ Ἄρτεμιν Ἀλκυονῆος·
ἄξατέ μοι Διόνυσον, ἵνα Κρονίωνα χαλέψω
δουλοσύνην ὁρόωντα δορικτήτοιο Λυαίου·
ἠέ μιν οὐτάζοντες ἀλοιητῆρι σιδήρωι
κτείνατέ μοι Ζαγρῆι πανείκελον, ὄφρά τις εἴπηι
ἢ θεὸς ἢ μερόπων τις, ὅτι Κρονίδαο γενέθλη
Γαῖα χολωομένη διδύμους θώρηξε φονῆας,
πρεσβυτέρους Τιτῆνας ἐπὶ προτέρωι Διονύσωι,
ὁπλοτέρους δὲ Γίγαντας ἐπ' ὀψιγόνωι Διονύσωι."
ὣς φαμένη στίχα πᾶσαν ἀνεπτοίησε Γιγάντων.
Γηγενέων δὲ φάλαγγες ἐπεστρατόωντο κυδοιμῶι·
ὃς μὲν ἔχων Νυσαῖον ἐδέθλιον, ὃς δὲ σιδήρωι
ὑψινεφῆ κενεῶνα χαραδρήεντα κολάψας,
αἰχμάζων σκοπέλοισιν ἐθωρήχθη Διονύσωι·
ὃς δὲ λόφον πετραῖον ἁλικρήπιδος ἀρούρης,
ἄλλος ἁλιζώνοιο διαρρήξας ῥάχιν ἰσθμοῦ
εἰς ἐνοπὴν ἔσπευδεν. ἀμετρήτοισι δ' ἀγοστοῖς
Πήλιον ὑψικάρηνον ἀνηκόντιζε Πελωρεὺς
γυμνώσας Φιλύρης γλαφυρὸν δόμον· ἁρπαμένου δὲ
ἀσκεπέος σκοπέλοιο γέρων ἐλελίζετο Χείρων,
ἀνδροφυὴς ἀτέλεστος ὁμήλικι σύμπλοκος ἵππωι.
ἡμερίδων δὲ κόρυμβον ἔχων ὀλετῆρα Γιγάντων
Βάκχος ἀερσιλόφοιο κατέτρεχεν Ἀλκυονῆος,
οὐ δόρυ θοῦρον ἔχων, οὐ φοίνιον ἆορ ἀείρων,
ἀλλὰ πολυσπερέας παλάμας ἐδάιξε Γιγάντων,
αἰχμάζων ἕλικεσσι· φιλακρήτωι δὲ πετήλωι
φρικτὰ πεδοτρεφέων ἐδαΐζετο φῦλα δρακόντων·
τυπτομένων δὲ Γίγαντος ἐχιδνοκόμων κεφαλάων
αὐχένες ἀμηθέντες ἐπωρχήσαντο κονίηι.

καὶ Φρυγίης ἐπέβαινεν. ὁμοζήλωι δὲ πορείηι
παρθένος Ἀδρήστεια μετήιε δύσμαχον Αὔρην,
γρῦπας ἀμιλλητῆρας ὑποζεύξασα χαλινῶι·
καὶ ταχινὴ πεφόρητο δι' ἠέρος ὀξέι δίφρωι,
καὶ δρόμον ἐστήριξεν ὑπὲρ Σιπύλοιο καρήνων
Ταντάλιδος προπάροιθε λιθογλήνοιο προσώπου,
πτηνῶν τετραπόδων σκολιοὺς σφίγγουσα χαλινούς.
Αὔρης δ' ἐγγὺς ἵκανεν ἀγήνορος· ὑψίνοον δὲ
αὐχένα δειλαίης ὀφιώδεϊ τύψεν ἱμάσθληι,
καί μιν ἀνεστυφέλιξε δίκης τροχοειδέν κύκλωι,
καὶ νόον ἄφρονα κάμψεν ἀκαμπέος· ἀμφὶ δὲ μίτρην
παρθενικῆς ἐλέλιζεν ἐχιδνήεσσαν ἱμάσθλην
Ἀργολὶς Ἀδρήστεια· χαριζομένη δὲ θεαίνηι,
καὶ μάλα περ κοτέοντι κασιγνήτωι Διονύσωι,
ὥπλισεν ἄλλον ἔρωτα, καὶ εἰ πέλε νῆις Ἐρώτων,
Παλλήνης μετὰ λέκτρα, μετὰ φθιμένην Ἀριάδνην,
τὴν μὲν λειπομένην ἐνὶ πατρίδι, τὴν δ' ἐνὶ γαίηι
ἀλλοτρίηι πετραῖον, Ἀχαιίδος ὡς βρέτας Ἥρης,
καὶ Βερόης πολὺ μᾶλλον ἀνηνύστων περὶ λέκτρων.
καὶ Νέμεσις πεπότητο νιφοβλήτωι παρὰ Ταύρωι,
εἰσόκε Κύδνον ἵκανε τὸ δεύτερον. ἀμφὶ δὲ κούρηι
ἡδυμόλωι Διόνυσον Ἔρως οἴστρησεν ὀιστῶι,
καὶ πτερὰ κυκλώσας ἐπεβήσατο κοῦφος Ὀλύμπου.
καὶ θεὸς οὐρεσίφοιτος ἱμάσσετο μείζονι πυρσῶι·
οὐ γὰρ ἔην ἐλάχεια παραίφασις· οὐ τότε κούρης
ἐλπίδα Κυπριδίην, οὐ φάρμακον εἶχεν Ἐρώτων·
ἀλλά μιν ἔφλεγε μᾶλλον Ἔρως θελξίφρονι πυρσῶι
θυιάδος ὀψιτέλεστον ἀπειθέος εἰς γάμον Αὔρης.
καὶ μογέων ἔκρυπτεν ἑὸν πόθον, οὐδ' ἐνὶ λόχμαις
Κυπριδίοις ὀάροισιν ὁμίλεεν ἐγγύθεν Αὔρης,
μή μιν ἀλυσκάζειε. τί κύντερον, ἢ ὅτε μοῦνοι
ἀνέρες ἱμείρουσι, καὶ οὐ ποθέουσι γυναῖκες;
καὶ μέθεπε πραπίδεσσι πεπηγμένον ἰὸν Ἐρώτων,
παρθένος εἰ δρόμον εἶχε κυνοσσόον ἔνδοθι λόχμης·
Κυπριδίοις δ' ἀνέμοισιν ἀειρομένοιο χιτῶνος
μηρὸν ὀπιπεύων θηλύνετο Βάκχος ἀλήτης.
ὀψὲ δὲ παφλάζοντι πόθωι δεδονημένος Αὔρης
Βάκχος ἀμηχανέων ἔπος ἴαχε λυσσάδι φωνῆι·
"Πανὸς ἐγὼ δυσέρωτος ἔχω τύπον, ὅττί με φεύγει
παρθένος ἠνεμόφοιτος, ἐρημονόμωι δὲ πεδίλωι
πλάζεται ἀστήρικτος ἀθηήτου πλέον Ἠχοῦς.
ὄλβιε, Πάν, Βρομίοιο πολὺ πλέον, ὅττι ματεύων
φάρμακον εὗρες ἔρωτος ἐνὶ φρενοθελγέι φωνῆι·
σὺν κτύπον ὑστερόφωνος ἀμείβεται ἄστατος Ἠχὼ
φθεγγομένη λάλον ἦχον ὁμοίιον· αἴθε καὶ αὐτὴ
ἐκ στομάτων ἕνα μῦθον ἀνήρυγε παρθένος Αὔρη.
οὗτος ἔρως οὐ πᾶσιν ὁμοίιος· οὐδὲ γὰρ αὐτὴ
παρθενικαῖς ἑτέρηισιν ὁμότροπον ἦθος ἀέξει.
ποῖον ἐμῆς ὀδύνης πέλε φάρμακον; ἦ ῥά ἑ θέλξω
νεύματι Κυπριδίωι; πότε που, πότε θέλγεται Αὔρη

253 (145C) Nonnus

χερσὶ ποθοβλήτοισι τεῶν ἐδράξατο πέπλων,
σκορπίον ἄλλον ἄεξε τεῆς ποινήτορα μίτρης·
εἰ δὲ πάλιν θρασὺς Ὦτος ἢ αὐχήεις Ἐφιάλτης
συζυγίην μενέαινε τεῶν ἀκίχητον Ἐρώτων,
κτεῖνον ἀνυμφεύτοιο τεῆς μνηστῆρα κορείης·
εἰ δὲ γυνὴ πολύτεκνος ἀνιάζει σέο Λητώ,
ἄλλη λαϊνέη Νιόβη κλαύσειε γενέθλην·
τίς φθόνος, εἰ λίθον ἄλλον ὑπὲρ Σιπύλοιο τελέσσω;
μὴ δὲ πατὴρ διὰ λέκτρα μετὰ γλαυκῶπιν ὀρίνει;
μὴ τεὸν Ἑρμάωνι γάμον κατένευσε Κρονίων,
οἷα καὶ Ἡφαίστωι καθαρῆς ὑμέναιον Ἀθήνης;
εἰ δὲ γυνὴ κλονέει σε, τεὴν ἅτε μητέρα Λητώ,
ἔσσομαι ἀχνυμένης τιμήορος ἰοχεαίρης."
οὔ πω μῦθος ἔληγεν· ἀλεξικάκωι δὲ θεαίνηι
τοῖον ἔπος φθαμένη σκυλακοτρόφος ἴαχε κούρη·
"παρθένε πανδαμάτειρα, κυβερνήτειρα γενέθλης,
οὐ Ζεύς, οὐ Νιόβη με, καὶ οὐ θρασὺς Ὦτος ὀρίνει·
οὐ Τιτυὸς βαθύπεπλον ἐμὴν ἀνεσείρασε Λητώ·
οὐ νέος Ὠρίων με βιάζεται, υἱὸς Ἀρούρης·
ἀλλά με κερτομέουσα βαρύστομος ὀξέι μύθωι
ἤκαχε Ληλάντοιο πάις, δυσπάρθενος Αὔρη·
ἀλλὰ τί σοι τάδε πάντα διίξομαι; αἰδέομαι γὰρ
αἶσχος ἐμῶν μελέων ἐνέπειν καὶ ὀνείδεα μαζῶν·
μητρὶ δ' ἐμῆι πάθον ἄλγος ὁμοίιον· ἀμφότερον γὰρ
ἐν Φρυγίηι Νιόβη **διδυμητόκον** ἤκαχε Λητώ,
L2[O] καὶ πάλιν ἐν Φρυγίηι με θεημάχος ἤκαχεν Αὔρη·
𝔸 ἀλλ' ἡ μὲν νόθον εἶδος ἀμειψαμένη πόρε ποινήν,
✦ Ταντάλὶς αἰνοτόκεια, καὶ εἰσέτι δάκρυα λείβει
ὄμμασι πετραίοισιν· ἀνιηθεῖσα δὲ μούνη
αἶσχος ἔχω νήποινον, ἐπεὶ φιλοπάρθενος Αὔρη
δάκρυσιν οὐ λίθον εἶχε λελουμένον, οὐκ ἴδε πηγὴν
μῶμον ἀπαγγέλλουσαν ἀφειδέος ἀνθερεῶνος. 3 (2C)
ἀλλὰ σὺ κυδαίνουσα τεὴν Τιτηνίδα φύτλην
δὸς μετὰ μητρώιην ἑτέρην χάριν, ὄφρα νοήσω
λαϊνέης ἀτίνακτον ἀμειβομένης δέμας Αὔρης·
μηδὲ τεὴν ἔμφυλον ὀδυρομένην λίπε κούρην,
μή μοι ἐπεγγελόωσαν ἴδω πάλιν ἄτροπον Αὔρην,
ἠέ μιν οἰστρήσειε τεὴ χαλκήλατος ἅρπη."
ὣς φαμένην θάρσυνε θεὰ καὶ ἀμείβετο μύθωι· 3
"Λητώιη φυγόδεμνε, κυνοσσόε, σύγγονε Φοίβου,
οὐ μὲν ἐμῶι δρεπάνωι Τιτηνίδα παῖδα δαμάσσω,
οὐδέ μιν ἐν Φρυγίηι τελέσω πετρώδεα νύμφην,
Τιτήνων γεγαυῖα παλαίτατον αἷμα καὶ αὐτή,
μή ποτέ μοι μέμψαιτο πατὴρ Λήλαντος ἀκούων·
ἓν δέ σοι, ἰοχέαιρα, χαρίζομαι· ἀγρότις Αὔρη
παρθενικὴν ἤλεγξε, καὶ οὐκέτι παρθένος ἔσται·
καί μιν ἐσαθρήσειας ὀρεσσιχύτου διὰ κόλπου
δάκρυσι πηγαίοισιν ὀδυρομένην ἔτι μίτρην."
εἶπε παρηγορέουσα· καὶ οὔρεα κάλλιπε κούρη
Ἄρτεμις ἑζομένη κεμάδων τετράζυγι δίφρωι,

Nonnus

κτείνετο δ' ἄσπετα φῦλα· δαϊζομένων δὲ Γιγάντων
αἵματος ἀενάου ποταμοὶ ῥέον, ἀρτιχύτοις δὲ
πορφυρέοις ῥοθίοισιν ἐφοινίσσοντο χαράδραι.
Γηγενέων δὲ φάλαγγες ἐβακχεύοντο δρακόντων
βόστρυχα δειμαίνοντες ἐχιδνοκόμον Διονύσου.
καὶ πυρὶ μάρνατο Βάκχος, ἐς ἠέρα δαλὸν ἰάλλων
ἀντιβίων ὀλετῆρα· δι' ὑψιπόρου δὲ κελεύθου
Βακχιὰς αὐτοέλικτος ἐπέτρεχεν ἁλλομένη φλόξ,
γυιοβόρωι σπινθῆρι καταΐσσουσα Γιγάντων·
καί τις ἀπειλητῆρι φέρων σέλας ἀνθερεῶνι
ἡμιδαὴς σύριζε δράκων πυριθαλπέι λαιμῶι,
καπνὸν ἀποπτύων, οὐ λοίγιον ἰὸν ἰάλλων.
καὶ κλόνος ἄσπετος ἦεν· ἐπ' ἀντιβίων δὲ καρήνων
Βάκχος ἀνηιώρητο μαχήμονα δαλὸν ἀείρων,
καὶ χθονίωι πρηστῆρι δέμας θέρμαινε Γιγάντων
ἀντίτυπον μίμημα Διοβλήτοιο κεραυνοῦ·
καὶ δαΐδες σελάγιζον· ἐπ' Ἐγκελάδου δὲ καρήνωι
ἠέρα θερμαίνων ἐλελίζετο πυρσὸς ἀλήτης·
ἀλλά μιν οὐκ ἐδάμασσε, καὶ οὐ χθονίου πυρὸς ἀτμῶι
Ἐγκέλαδος γόνυ κάμψεν, ἐπεὶ πεφύλακτο κεραυνῶι.
Ἀλκυονεὺς δ' ἀπέλεθρος ἐπεσκίρτησε Λυαίωι
Θρηικίοις σκοπέλοις κεκορυθμένος· ἀμφὶ δὲ Βάκχωι
ὑψινεφῆ κούφιζε ῥάχιν δυσχείμονος Αἵμου
εἰς σκυπὸν ἀχρήιστον, ἀνουτήτου Διονύσου·
καὶ σκοπιὴν ἔρριψεν· ἐφαπτόμεναι δὲ Λυαίου
νεβρίδος ἀρρήκτοιο διεσχίζοντο κολῶναι· L2[O]
Ἠμαθίης δὲ κάρηνα νέος γύμνωσε Τυφωεὺς 𝔸
ὑψιφανής, προτέρωι πανομοίιος, ὅς ποτε πολλοὺς
ῥωγαλέους κενεῶνας ἐκούφισε μητρὸς ἀρούρης,
πετραίοις βελέεσσι καταιχμάζων Διονύσου.
καί τινος ἀσπαίροντος ἐπὶ χθονὸς ἆορ ἐρύσσας
Βάκχος ἄναξ κεκόρυστο Γιγαντείοισι καρήνοις,
ἰοβόλων πλοκάμων ὀφιώδεα λήια κείρων·
καὶ στρατὸν **αὐτοτέλεστον** ἀτευχέι χειρὶ δαΐζων
μάρνατο λυσσήεις, χλοερῶν ἐπιβήτορα δένδρων
κισσὸν ἔχων τανύφυλλον, ἀκοντιστῆρα Γιγάντων.
καί νύ κε πάντας ἔπεφνεν ἑῶι ῥηξήνορι θύρσωι,
ἀλλὰ παλινδίνητος ἑκὼν ἀνεχάζετο χάρμης,
δυσμενέας ζώοντας ἑῶι γενετῆρι φυλάσσων.
καί νύ κεν εἰς Φρυγίην ταχὺς ἔδραμεν ὠκέι ταρσῶι,
ἀλλά μὲν ἄλλος ἄεθλος ἐρήτυεν, ὄφρα θανόντων
τοσσατίων ἕνα φῶτα κατακτείνειε φονῆα
Παλλήνης γενέτην θανατηφόρον, ὅς ποτε κούρης
οἶστρον ἔχων ἀθέμιστον ἁμαρτιγάμων ὑμεναίων
συζυγίην ἀνέκοπτεν, ἀμετρήτους δὲ δαΐζων
μελλογάμους μνηστῆρας ἀπέθρισεν, ὧν ὑπὸ λύθρωι
κτεινομένων καναχηδὸν ἐφοινίσσοντο παλαῖστραι,
εἰσόκε Βάκχος ἵκανε Δίκης πρόμος· ἀγχιγάμου δὲ
Παλλήνης δυσέρωτι παριστάμενος γενετῆρι
ῥιγεδανῆς ὑμέναιον ἀτάσθαλον ἤτεε κούρης,

ποικίλα δ’ ὤρεγε δῶρα· καὶ αἰτίζοντι Λυαίωι 254 (146C)
φρικτὸς ἀνὴρ κήρυξε παλαισμοσύνην ὑμεναίων·
καί μιν ἄγων ἐπέβησε κακοξείνοιο παλαίστρης,
ὁππόθι τολμήεσσα δορυσσόος ἵστατο κούρη
νυμφιδίην ὤμοισιν ἐλαφρίζουσα βοείην.
καὶ τότε Κύπρις ἔην ἐναγώνιος· ἦν δ’ ἐνὶ μέσσωι
γυμνὸς Ἔρως καὶ στέμμα γαμήλιον ὤρεγε Βάκχωι,
ἦν δὲ παλαισμοσύνη νυμφοστόλος· ἀργυφέωι δὲ
ἁβρὸν ἀνεχλαίνωσεν ἑὸν δέμας εἵματι Πειθὼ
νίκην μελλογάμοιο προθεσπίζουσα Λυαίου.
καὶ βριαρῶν μελέων ἀπεδύσατο φάρεα κούρη,
καὶ δόρυ θοῦρον ἔθηκε γαμήλιον, ἁβροτέρη δὲ
Σιθονὶς ἀκρήδεμνος ἀσάμβαλος ἵστατο κούρη,
θηλυφανής, ἀσίδηρος, ἐρευθιόωντι δὲ δεσμῶι
ἀκλινέων τροχόεσσαν ἴτυν μιτρώσατο μαζῶν·
καὶ δέμας ἀσκεπὲς ἦεν, ἀμετρήτων δὲ κομάων
ἀπλεκέες πλοκαμῖδες ἐπέρρεον αὐχένι κούρης,
καὶ κνήμας ἀνέφαινε καὶ ἀσκεπέων πτύχα μηρῶν
γυμνῆς φαινομένης ἐπιγουνίδος· ἀμφὶ δὲ μηροῖς
ἥρμοσε λευκὸν ὕφασμα, γυναικείης σκέπας αἰδοῦς·
καὶ χρόα πιαλέωι πεπαλαγμένον εἶχεν ἐλαίωι
καὶ παλάμας πολὺ μᾶλλον, ὅπως ἀλύτων ἀπὸ χειρῶν
ὑγρὸν ὀλισθήσειε πιεζομένη χρόα κούρη.
καὶ βλοσυροῖς στομάτεσσιν ἀπειλήσασα Λυαίωι
νυμφοκόμωι μνηστῆρι παρίστατο, διχθάδιον δὲ
L2[I] αὐχένι δεσμὸν ἔβαλλεν ὁμόζυγι πήχεος ὁλκῶι·
𝔸 ἀλλὰ παλινδίνητον ἑὴν ἀνελύσατο δειρὴν
◆ Βάκχος ἀπορρίψας ἁπαλόχροα δάκτυλα κούρης,
δεσμοῖς θηλυτέροισι περίπλοκον αὐχένα σείων·
καὶ διδύμας στεφανηδὸν ἐπ’ ἰξύι χεῖρας ἑλίξας
Παλλήνην ἐτίναξε ποδῶν ἑτεραλκέι παλμῶι·
καὶ ῥοδέης παλάμης ἐδράξατο, Κυπριδίην δὲ 4 (3C)
εἶχε παραιφασίην χιονώδεα χεῖρα πιέζων·
οὐδὲ τόσον μενέαινεν ἐπὶ χθονὶ παῖδα κυλίνδειν,
ὅσσον ἐπιψαύειν ἁπαλοῦ χροός, ἡδέι μόχθωι
τερπόμενος· καὶ ἔκαμνε δολοπλόκον ἆσθμα τιταίνων
ὡς βροτός, ἀμβολίηι δὲ θελήμονι κάλλιπε νίκην.
Παλλήνη δ’ ἐρόεσσα πάλης τεχνήμονι παλμῶι
θηλυτέραις παλάμῃσι δέμας κούφιζε Λυαίου· 4
οὐδὲ μὲν ἤερταζε, τόσον βάρος, ἀλλὰ καμοῦσα
ἄρσενα γυῖα λέλοιπεν ἀκινήτου Διονύσου.
καὶ θεὸς ἀντιτύπωι περιδέσμιον ἅμματι χειρῶν
παρθενικὴν ἐρόεσσαν ἑλών, ἅτε θύρσον ἀείρων,
δόχμιον ἀμφιέλικτον ἐκούφισεν ὑψόθεν ὤμον·
χειρὶ δὲ φειδομένηι βριαρὴν ἀπεσείσατο κούρην,
Παλλήνην δ’ ἀτίνακτον ὅλην ἐτανύσσατο γαίηι·
καὶ δολίοις βλεφάροισιν ἑὴν ἐλέλιζεν ὀπωπήν,
κούρης ἁβροκόμου κεκονιμένα γυῖα δοκεύων
καὶ πλοκάμους ῥυπόωντας ἀκηδέστοιο καρήνου.
ἀλλὰ παλινδίνητος ἀναΐξασα κονίης

“Ἄρτεμι, μοῦνον ἔχεις φιλοπάρθενον οὔνομα κούρης,
θῆλυν ἔχεις Παφίης, οὐκ ἄρσενα μαζὸν Ἀθήνης,
ὅττι διὰ στέρνων κεχαλασμένον ἄντυγα θηλῆς
καὶ ῥοδέους σπινθῆρας ὀιστεύουσι παρειαί·
ἀλλὰ δέμας μεθέπουσα ποθοβλήτοιο θεαίνης
καὶ σὺ γάμων βασίλευε σὺν ἁβροκόμωι Κυθερείηι,
δεξαμένη θαλάμοις τινὰ νυμφίον· ἢν δ’ ἐθελήσῃς,
Ἑρμείηι παρίαυε καὶ Ἄρεϊ, λεῖψον Ἀθήνην·
ἢν δ’ ἐθέλῃς, ἀνάειρε βέλος καὶ τόξον Ἐρώτων,
εἰ μεθέπεις θρασὺν οἶστρον ὀιστοκόμοιο φαρέτρης.
ἵληκοι τεὸν εἶδος· ἐγὼ σέο μᾶλλον ἀρείων·
δέρκεο, πῶς μεθέπω βριαρὸν δέμας· ἠνίδε μορφὴν
ἄρσενα καὶ Ζεφύροιο θοώτερον ἴχνιον Αὔρης·
δέρκεο, πῶς σφριγόωσι βραχίονες· ἠνίδε μαζοὺς
ὄμφακας οἰδαένοντας ἀθήλεας· ἦ τάχα φαίης,
ὅττι τεοὶ γλαγόεσσαν ἀναβλύζουσιν ἐέρσην·
πῶς παλάμην μεθέπεις ἁπαλόχροα; πῶς σέο μαζοὶ
οὔ τινα κύκλον ἔχουσι περίτροχον, οἷά πὲρ Αὔρης,
αὐτόματοι κήρυκες ἀσυλήτοιο κορείης;”
ἔννεπε κερτομέουσα· κατηφιόωσα δὲ σιγῆι
σύννομος οἰδαίνοντι χόλωι κυμαίνετο δαίμων,
καὶ φονίους σπινθῆρας ἀνηκόντιζον ὀπωπαί·
ἐκ προχοῆς δ’ ἀνέπαλτο, πάλιν δ’ ἔνδυνε χιτῶνα,
καὶ καθαραῖς λαγόνεσσι τὸ δεύτερον ἥρμοσε μίτρην
ἀχνυμένη. Νέμεσιν δὲ μετήιεν· εὗρε δὲ κούρην
ὑψινεφῆ παρὰ Ταῦρον, ὅπηι παρὰ γείτονι Κύδνωι L2[I]
παῦσε Τυφαονίης ὑψαύχενα κόμπον ἀπειλῆς· 𝔸
καὶ τροχὸς αὐτοκύλιστος ἔην παρὰ ποσσὶν ἀνάσσης
σημαίνων, ὅτι πάντας ἀγήνορας εἰς πέδον ἕλκει
ὑψόθεν εἰλυφόωσα δίκης ποινήτορι κύκλωι,
δαίμων πανδαμάτειρα, βίου στρωφῶσα πορείην·
ἀμφὶ δέ οἱ πεπότητο παρὰ θρόνον ὄρνις ἀλάστωρ,
γρὺψ πτερόεις, πισύρων δὲ ποδῶν κουφίζετο παλμῶι
δαίμονος ἱπταμένης αὐτάγγελος, ὅττι καὶ αὐτὴ
τέτραχα μοιρηθέντα διέρχεται ἕδρανα κόσμου·
ἀνέρας ὑψιλόφους ἀλύτωι σφίγγουσα χαλινῶι,
ἀντίτυπον μίμημα, καὶ ὡς κακότητος ἱμάσθλῃ,
ὡς τροχὸν αὐτοκύλιστον, ἀγήνορα φῶτα κυλίνδει.
ἔγνω δ’ ὡς ἐνόησε θεὰ χλοάοντι προσώπωι
Ἄρτεμιν ἀχνυμένην φονίης πλήθουσαν ἀπειλῆς,
καί μεν ἀνειρομένη φιλίωι μειλίξατο μύθωι·
“σὸν χόλον, ἰοχέαιρα, τεαὶ βοόωσιν ὀπωπαί·
Ἄρτεμι, τίς κλονέει σε θεημάχος υἱὸς Ἀρούρης;
τίς πάλιν ἐβλάστησεν ὑπὲρ δαπέδοιο Τυφωεύς;
μὴ Τιτυὸς παλίνορσος ἐρωμανὲς ὄμμα τιταίνων
εἵματος ἀψαύστοιο τεῆς ἔψαυσε τεκούσης;
Ἄρτεμι, πῆι σέο τόξα καὶ Ἀπόλλωνος ὀιστοί;
τίς πάλιν Ὠρίων σε βιάζεται; εἰσέτι κεῖται
κεῖνος, ὃς ὑμετέροιο τάλας ἔψαυσε χιτῶνος,
μητρὸς ἔσω λαγόνων νέκυς ἄπνοος· εἰ δέ τις ἀνὴρ

Nonnus

εἶπεν ὁμοῦ κοτέουσα φυτῶι καὶ Ἔρωτι καὶ Ὕπνωι.
καί ποτε θηρεύουσα κατ' οὔρεα δεσπότις ἄγρης
καύματος αἰθαλόεντος ἱμασσομένη χρόα πυρσῶι
Ἄρτεμις ἔντυε δίφρον, ὅπως ἅμα Νηίσι Νύμφαις
θερμὸν ὀρεσσιχύτοισι δέμας ψύξειε λοετροῖς,
ἡνίκα μέσσον ἔην φλογερὸν θέρος, ἡνίκα πάλλων
καρχαλέης πυρόεντα μεσημβρινὸν ἦχον ἱμάσθλης
Ἠέλιος σελάγιζε λεοντείων ἐπὶ νώτων.
καὶ κεμάδας ζυγίοισι συνεκλήισσε λεπάδνοις
Ἄρτεμις οὐρεσίφοιτος· ἐπεμβαίνουσα δὲ δίφρου
λάζετο καὶ μάστιγα καὶ ἡνία παρθένος Αὔρη,
καὶ κεραὴν ἤλαυνε θυελλήεσσαν ἀπήνην.
ἀενάου δὲ θύγατρες ἀνάμπυκες Ὠκεανοῖο
δμωίδες ἐρρώοντο συνήλυδες ἰοχεαίρηι,
ὧν ἡ μὲν ταχύγουνος ἔην προκέλευθος ἀνάσσης,
ἄλλη δ' ἰσοκέλευθος ἀναστείλασα χιτῶνα
ἐγγὺς ἔην, ἑτέρη δὲ τανυκνήμιδος ἀπήνης
ἁπτομένη πείρινθος ὁμόδρομον εἶχε πορείην.
καὶ σέλας ἰοχέαιρα διαυγάζουσα προσώπου
ἀμφιπόλων ἤστραψεν ὑπέρτερος, ὡς ὅτε δίφρωι
αἰθερίωι πέμπουσα φιλαγρύπνων φλόγα πυρσῶν
ἀννεφέλους ἀκτῖνας ὀιστεύουσα Σελήνη
πλησιφαὴς ἀνέτελλε πυριτρεφέων μέσον ἄστρων,
οὐρανίην στίχα πᾶσαν ἀμαλδύνουσα προσώπωι·
τῆι σέλας ἶσον ἔχουσα διέτρεχεν Ἄρτεμις ὕλην,
L3[O] εἰσόκε χῶρον ἵκανεν, ὅπηι κελάδοντι ῥεέθρωι
𝔸 Σαγγαρίου ποταμοῖο Διιπετὲς ἔλπεται ὕδωρ.
◆ Αὔρη δ' ἀμφιέλισσαν ἑὴν ἀνέκοψεν ἱμάσθλην,
καὶ κεμάδας χρυσέοισιν ἀνακρούουσα χαλινοῖς
ἀμφὶ ῥοὰς ἔστησε φεραυγέα δίφρον ἀνάσσης·
καὶ θεὸς ἐκ δίφροιο κατέδραμεν· ἐκ δέ οἱ ὤμων
τόξα μὲν Οὖπις ἔδεκτο, καὶ ἰοδόκην Ἑκαέργη,
Ὠκεανοῦ δὲ θύγατρες ἐύπλοκα δίκτυα θήρης·
καὶ κύνας {...} ἐνδρομέδας δὲ ποδῶν ἀνελύσατο Λοξώ.
ἡ δὲ μεσημβρίζουσα σέβας φιλοπάρθενον αἰδοῦς
ἐν προχοαῖς ἐφύλαξε, διερπύζουσα ῥοάων
ἴχνεσι φειδομένοισι, καὶ ἐκ ποδὸς ἄχρι καρήνου
ἀμφιπερισφίγγουσα πόδας διδυμάονι μηρῶι
ἀκροβαφῆ κατὰ βαιὸν ἀναστείλασα χιτῶνα,
κρυπτόμενον μετρηδὸν ὅλον δέμας ἔκλυσε κούρη.
λοξὰ δὲ παπταίνουσα δι' ὕδατος εὔσκοχος Αὔρη
τολμηροῖς βλεφάροισιν ἀναιδήτοιο προσώπου
ἁγνὸν ἀθηήτοιο δέμας διεμέτρεε κούρης,
θέσκελον εἰσορόωσα σαόφρονος εἶδος ἀνάσσης·
καὶ πόδας ἁπλώσασα τιταινομένων παλαμάων
δαίμονι νηχομένηι συνενήχετο παρθένος Αὔρη.
ἡμιφανὴς δ' ἀτέλεστος ἔσω ποταμηίδος ὄχθης
ἰκμαλέας ῥαθάμιγγας ἀποσμήξασα κομάων
Ἄρτεμις ἀγροτέρη· σχεδόθεν δέ οἱ ἀγρότις Αὔρη
μαζοὺς ἀμφαφόωσα θεημάχον ἴαχε φωνήν·

255 (147C) ὄρθιος ἐστήριξε τὸ δεύτερον ἴχνια κούρη·
καὶ τρυχαλῆι Διόνυσος ἀφειδέι γούνατος ὁρμῆι Nonnus
γαστέρα Παλλήνης κρατέων ἑτεραλκέι παλμῶι
παρθενικὴν μενέαινεν ὑπὲρ δαπέδοιο κυλίνδειν,
καὶ παλάμας μετέθηκεν ἐπὶ πλευροῖσιν ἑλίξας
αὐχένα κυρτώσας ἐπικάρσιον, ἀμφὶ δὲ νώτωι
μεσσατίωι κύκλωσεν ὀπίστερα δάκτυλα κάμψας,
ἢ σφυρὸν ἢ κνήμην δεδοκημένος ἢ γόνυ μάρψειν.
καὶ θεὸς αὐτοκύλιστος ἑκούσιος ἤριπε γαίηι
οὐτιδανῆι παλάμηι νικώμενος· ἱμερόεν δὲ
φάρμακον ἔσχεν ἔρωτος, ἐνὶ γλυκερῆι δὲ κονίηι
κουφίζων ἐρόεις ἐπὶ νηδύι φόρτον Ἐρώτων
ὕπτιος αὐτὸς ἔμιμνε, καὶ οὐκ ἀπεσείσατο κούρην,
ἀλλά μιν ἐσφήκωσε πόθου φρενοθελγέι δεσμῶι.
ἡ δὲ ταχυστροφάλιγγι ποδῶν νωμήτορι παλμῶι
ἴχνιον ἠιώρησεν, ἐρωμανέος δὲ Λυαίου
ἄρσενα λύσατο χεῖρα· θεὸς δ' ὑπ' ὀλίζονι ῥιπῆι
γυῖα μεταστρέψας ῥοδέην ἐτανύσσατο κούρην
ἐν δαπέδωι στορέσας· καὶ ἐπὶ χθονὶ κέκλιτο κούρη
χεῖρας ἐφαπλώσασα· τιταινομένης δ' ἐπὶ πέζηι
εὐπαλάμωι σφήκωσεν ὁμόζυγον αὐχένα δεσμῶι.
ὠκυτέροις δὲ πόδεσσι πατὴρ κατὰ μέσσον ὀρούσας
ἀθλεύειν ἐθέλουσαν ἑὴν ἀνεσείρασε κούρην,
καὶ γαμίην ἀνέκοψεν ἀεθλοσύνην ὑμεναίων
νίκην ἱμερόεσσαν ἐπιτρέψας Διονύσωι,
μή μεν ἀποκτείνειεν ἔχων ἀστεμφέι δεσμῶι. L3[O]
καὶ Διὸς αἰνήσαντος ἀεθλοφόρον μετὰ νίκην 𝔸
γνωτὸν Ἔρως ἔστεψε γάμων πομπῆι κορύμβωι
ἱμερτὴν τελέσαντα παλαισμοσύνην ὑμεναίων.
καὶ πέλε τοῖος ἄεθλος ὁμοίιος, ὡς ὅτε κούρην
χρυσοφαῆ προπάροιθε γαμήλια δῶρα κυλίνδων
5 (4C) Ἱππομένης νίκησεν ἐπειγομένην Ἀταλάντην.
ἀλλ' ὅτε νυμφοκόμοιο πάλης ἐτέλεσσεν ἀγῶνα
Βάκχος, ἔτι στάζων γαμίους ἱδρῶτας ἀέθλων
Σιθόνα μὲν πρήνιξε τετυμμένον ὀξέι θύρσωι,
μνηστήρων ὀλετῆρα, κυλινδομένου δὲ κονίηι
κούρηι θύρσον ἔδωκε μιαιφόνον ἕδνον Ἐρώτων.
καὶ γάμος ἦν πολύυμνος· ἀσιγήτωι δ' ἐνὶ παστῶι
Σειληνοὶ κελάδησαν, ἐπωρχήσαντο δὲ Βάκχαι,
καὶ Σάτυροι μεθύοντες ἀνέπλεκον ὕμνον Ἐρώτων
συζυγίην μέλποντες ἀεθλοφόρων ὑμεναίων·
Νηρεΐδων δὲ φάλαγγες ὑπὸ σφυρὰ γείτονος ἰσθμοῦ
νυμφιδίηι Διόνυσον ἐμιτρώσαντο χορείηι,
καὶ μέλος ἐφθέγξαντο, παρὰ Θρήικι δὲ πόντωι
ξεινοδόκος Βρομίοιο γέρων ὠρχήσατο Νηρεύς,
καὶ γαμίηι Γαλάτεια περισκαίρουσα θαλάσσηι
Παλλήνην ἐλίγαινε συναπτομένην Διονύσωι,
καὶ Θέτις ἐσκίρτησε, καὶ εἰ πέλε νῆις Ἐρώτων,
καὶ γαμίην ἔστεψεν ἁλιζώνου ῥάχιν ἰσθμοῦ
Παλλήνης ὑμέναιον ἀνευάζων Μελικέρτης·

καί τις Ἀμαδρυάδων φλογερῆι παρὰ γείτονι Λήμνωι 256 (148C)
νυμφιδίην Θρήισσαν Ἀθωιὰς ἥψατο πεύκην.
καὶ φιλίοις ὀάροισι παρηγορέων ἕο νύμφην
μυρομένην γενετῆρα φιλεύιος εἶπεν ἀκοίτης·
“παρθένε, μὴ στενάχιζε τεὸν δυσέρωτα τοκῆα·
παρθένε, μὴ στενάχιζε τεῆς μνηστῆρα κορείης·
τίς γενέτης ἔσπειρε καὶ εἰς γάμον ἤγαγε κούρην;
σὸν κενεὸν λίπε πένθος, ὅτι κταμένοιο τοκῆος,
Σιθόνος ὑμετέροιο, Δίκη γελόωσα χορεύει,
χερσὶ δὲ παρθενίηισι γαμήλιον ἁψαμένη πῦρ,
ἡ γάμον ἀγνώσσουσα, τεὸν γάμον εἰσέτι μέλπει,
Οἰνόμαον πάλιν ἄλλον ὀπιπεύουσα θανόντα·
Οἰνόμαος μὲν ὄλωλε, καταφθιμένου δὲ τοκῆος
τέρπεται Ἱπποδάμεια σὺν ἀρτιγάμωι παρακοίτηι.
καὶ σὺ τεοῦ γενέταο πόθους ῥίψασα θυέλλαις
τέρπεο βοτρυόεντι συναπτομένη παρακοίτηι,
μῶμον ἀλευομένη πατρώιον· οὔ σε διδάξω
Σιθόνος ἐχθρὸν ἔρωτα καὶ ἀμβολίην ὑμεναίων,
ὃς φονίηι παλάμηι γαμβροκτόνον ἔγχος ἀείρων
γηραλέην δε τέλεσσεν, ἀπειρήτην Ἀφροδίτης,
συζυγίην δ᾽ ἐκέδασσεν ἀνυμφεύτων σέο λέκτρων.
μνηστήρων σκοπίαζε σεσηπότα λείψανα νεκρῶν,
οὓς Παφίη κόσμησε καὶ ἔκτανε θοῦρις Ἐρινύς·
ἠνίδε κεῖνα κάρηνα θαλύσια σεῖο μελάθρων,
λύθρον ἔτι στάζοντα κακοξείνων ὑμεναίων.
L3[I] Σιθόνος οὐ μεθέπεις χθόνιον γένος· οὐράνιος δὲ
𝔸 πείθομαι ὥς σε λόχευσε τεὸς Θρηίκιος Ἄρης.
◆ πείθομαι, ὡς Κυθέρεια τεὴν ὤδινε γενέθλην·
καὶ σὺ τεῶν διδύμων ἀπεμάξαο θεσμὰ τοκήων,
Ἄρεος ἦθος ἔχουσα καὶ ἀγλαΐην Ἀφροδίτης·
πείθομαι, ὥς σε φύτευσεν ἄναξ ἐναγώνιος Ἑρμῆς
ἁβρὰ τελεσσιγάμοιο μολὼν ἐπὶ δέμνια Πειθοῦς,
καί σε παλαισμοσύνην ἐδιδάξατο πομπὸν Ἐρώτων.” 6 (5C)
εἶπε παρηγορέων ἀχέων πανήονι μύθωι,
μυρομένης δ᾽ εὔνησεν ἐπήρατα δάκρυα κούρης.
καὶ γαμίης δήθυνεν ἐπὶ χρόνον ἐγγύθι νύμφης
τερπόμενος φιλότητι νεοζυγέων ὑμεναίων.
Παλλήνης δὲ μέλαθρα λιπὼν καὶ Θρήικα Βορῆα
Ῥείης εἰς δόμον ἦλθεν, ὅπηι Φρυγίηι παρὰ πέζηι 6
δαίμονος εὐώδινος ἔσαν Κυβεληίδες αὐλαί.
ἐνθάδε θηρεύουσα παρὰ σφυρὰ Δίνδυμα πέτρης
Ῥυνδακὶς οὐρεσίφοιτος ἀέξετο παρθένος Αὔρη,
εἰσέτι νῆις Ἔρωτος, ὁμόδρομος ἰοχεαέρης,
ἀπτολέμων φεύγουσα νοήματα παρθενικάων,
Ἄρτεμις ὁπλοτέρη Ληλαντιάς, ἥν ποτε Τιτὴν
νυμφεύσας Περίβοιαν ἀπόσπορον Ὠκεανοῖο
πρεσβυγενὴς Λήλαντος ἀελλόπον ἤροσε κούρην,
Nonnus κούρην ἀντιάνειραν, ἀπειρήτην Ἀφροδίτης.
ἡ μὲν ἀνεβλάστησεν ὑπέρτερος ἥλικος ἥβης,
ἱμερτὴ ῥοδόπηχυς, ἀεὶ χαίρουσα κολώναις·
πολλάκι δ᾽ ἀγρώσσουσα κατέτρεχε λυσσάδος ἄρκτου,
καὶ δόρυ θοῦρον ἔπεμπε καταιχμάζουσα λεαίνης,
οὐ κεμάδας κτείνουσα καὶ οὐ βάλλουσα λαγωούς·
ἀλλὰ δαφοινήεσσαν ἐλαφρίζουσα φαρέτρην
ὠμοβόρων τόξευεν ὀρίδρομα φῦλα λεόντων
θηροφόνοις βελέεσσιν· ἐπωνυμίηι δὲ καὶ ἔργωι
ὀξύτατον δρόμον εἶχεν ὀρειάσι σύνδρομος αὔραις.
καί ποτε διψαλέοιο πυραυγέι καύματος ὥρηι
παρθένος ὑπνώουσα πόνων ἀμπαύετο θήρης·
καὶ δέμας ἁπλώσασα Κυβηλίδος ὑψόθι ποίης
κρᾶτα παρακλίνασα σαόφρονος ἕρνεϊ δάφνης
εὗδε μεσημβρίζουσα, καὶ ἐσσομένων ὑμεναίων
ἱμερτὴν ἐνόησε προμάντιος ὄψιν ὀνείρου,
ὅττι θεὸς πυρόεις τανύσας βέλος αἴθοπι νευρῆι
θοῦρος Ἔρως τόξευε λαγωβόλος ἔνδοθι λόχμης,
οὐτιδανοῖς βελέεσσιν ὀιστεύων στίχα θηρῶν·
παιδὶ δὲ θηρεύοντι συνέμπορος υἱέι Μύρρης
Κύπρις ἔην γελόωσα· καὶ ἵστατο παρθένος Αὔρη,
Ἀρτέμιδος μετὰ τόξον ἀήθεος ὑψόθεν ὤμου
ἀγρευτῆρος Ἔρωτος ἐλαφρίζουσα φαρέτρην·
αὐτὰρ ὁ θῆρας ἔπεφνεν, ἕως ἐκορέσσατο νευρῆς
βάλλων πορδαλίων βλοσυρὸν στόμα καὶ γένυν ἄρκτου,
ζωγρήσας δὲ λέαιναν ἑῶι πανθελγέι κεστῶι
θῆρα πιεζομένην φιλοπαίγμονι δεῖξε τεκούσηι·
παρθενικὴ δ᾽ ἐδόκησε κατὰ κνέφας, ὅττι καὶ αὐτὴν
πῆχυν ἐπικλίνουσαν Ἀδώνιδι καὶ Κυθερείηι L3[I]
μάργος Ἔρως ἐρέθιζεν, ὑπογνάμπτων Ἀφροδίτηι 𝔸
ληιδίης γόνυ δοῦλον ὑπερφιάλοιο λεαίνης,
τοῖον ἔπος βοόων· ‘στεφανηφόρε μῆτερ Ἐρώτων,
αὐχένα σοι κλίνουσαν ἄγω φιλοπάρθενον Αὔρην·
ἀλλά, ποθοβλήτοιο χορίτιδες Ὀρχομενοῖο,
στέψατε κεστὸν ἱμάντα γαμοστόλον, ὅττι μενοινὴν
τοσσατίην νίκησεν ἀνικήτοιο λεαίνης.’
τοῖον ἔπος μαντῶιον ὀρεστιὰς ἔδρακεν Αὔρη·
οὐδὲ μάτην πρὸς Ἔρωτας ἔην ὄναρ, ὅττι καὶ αὐτοὶ
εἰς λίνον ἄνδρα φέρουσι καὶ ἀγρώσσουσι γυναῖκα.
κούρη δ᾽ ἐγρομένη πινυτόφρονι μαίνετο δάφνηι,
καὶ Παφίηι καὶ Ἔρωτι μαχέσσατο, καὶ πλέον Ὕπνωι
χώσατο τολμήεντι, καὶ ἠπείλησεν Ὀνείρωι,
καὶ πετάλοις νεμέσιζε καὶ ἀφθόγγωι φάτο φωνῆι·
οὐ νέμεσις παρὰ μύρτον ὀνείρατα ταῦτα νοῆσαι,
“Δάφνη, τί κλονέεις με; τί Κύπριδι καὶ σέο δένδρωι;
ἀασάμην εὕδουσα τεοὺς ὑπὸ γείτονας ὄζους
σὸν φυτὸν ἐλπομένη φιλοπάρθενον, ὑμετέρης δὲ
φήμης οὐκ ἐτύχησα καὶ ἐλπίδος· ὢς ἄρα, Δάφνη,
σὸν δέμας ἀλλάξασα τεὸν νόον εὗρες ἀμεῖψαι;
μὴ γαμίηι μετὰ πότμον ὑποδρήσσεις Ἀφροδίτηι;
οὐ πινυτῆς τόδε δένδρον, ἀπ᾽ ἀρτιγάμοιο δὲ νύμφης; Nonnus
μαχλάδος οὗτος ὄνειρος ἐπάξιος· ἦ ῥά σε Πειθώ,
ἦ ῥά σε χειρὶ φύτευσε τεὸς δαφναῖος Ἀπόλλων;”

Καλλιστοῦς λάχε λέκτρον ἐς Ἄρτεμιν εἶδος ἀμείψας. 257
Nonnus ἵξομαι εἰς ἁλὸς οἶδμα· τί μοι γάμος; ἀλλ' ἐνὶ πόντωι
Ἀστερίην ἐδίωκε γυναιμανέων ἐνοσίχθον.
αἴθε λάχον πτερὰ κοῦφα· δι' ὑψιπόρου δὲ κελεύθου
ἠερίοις ἀνέμοισι συνέμπορον οἶμον ὁδεύσω·
ἀλλὰ τάχα πτερύγων κενεὸς δρόμος, ὅττι Τυφωεὺς
ἠλιβάτοις παλάμηισιν ἐπιψαύει νεφελάων.
εἰ δὲ γάμοις ἀδίκοις με βιήσεται, εἶδος ἀμείψω,
μίξομαι ὀρνίθεσσι, καὶ ἱπταμένη φιλομήλην
καὶ ῥόδον ἀγγέλλουσα καὶ ἀνθεμόεσσαν ἐέρσην
ἔσσομαι εἰαρινοῖο φίλη Ζεφύροιο χελιδών,
φθεγγομένη λάλος ὄρνις ὑπωροφίης μέλος ἠχοῦς,
ὀρχηθμῶι πτερόεντι περισκαίρουσα καλιήν.
Πρόκνη, πικρὰ παθοῦσα, σὺ μὲν σέο πενθάδι μολπῆι
υἱέα δακρύσειας, ἐγὼ δ' ἐμὰ λέκτρα γοήσω.
Ζεῦ ἄνα, μὴ τελέσηις με χελιδόνα, μή με διώξηι
καὶ Τηρεὺς πτερόεις κεχολωμένος, οἷα Τυφωεύς.
ἀήρ, οὔρεα, πόντος ἀνέμβατος· ἔνδοθι γαίης
κρύπτομαι· ἀλλὰ Γίγαντος ἐχιδναίων ἀπὸ ταρσῶν
ἰοβόλοι δύνουσιν ὑπὸ χθόνα φωλάδες ὕδραι.
εἴην ὑγρὸν ὕδωρ ἐπιδήμιον, οἷα Κομαιθὼ
πατρώιωι κεράσασα νεόρρυτα χεύματα Κύδνωι·
οὐκ ἐθέλω παρὰ μῦθον, ὅτι προχοῆισι συνάψω
παρθενικῆς δυσέρωτος ἐμὸν φιλοπάρθενον ὕδωρ.
πῆι δὲ φύγω; Τυφῶνι μιγήσομαι; ἀλλὰ λοχεύσω
L1[O] ἀλλοφυῆ πολύμορφον ὁμοίιον υἷα τοκῆι."
𝔹 εἴην δένδρεον ἄλλο, καὶ ἐκ δρυὸς εἰς δρύας ἔλθω
οὔνομα παιδὸς ἔχουσα σαόφρονος· ἀντὶ δὲ Δάφνης
μὴ Μύρρης ἀθέμιστον ἐπώνυμον ἔρνος ἀκούσω.
ναί, λίτομαι, παρὰ χεῦμα γοήμονος Ἠριδανοῖο
εἴην Ἡλιάδων καὶ ἐγὼ μία· πυκνὰ δὲ πέμψω
ἐκ βλεφάρων ἤλεκτρα, φιλοθρήνοις δὲ κορύμβοις 7
γείτονος αἰγείροιο περίπλοκα φύλλα πετάσσω
δάκρυσιν ἀφνειοῖσιν ἐμὴν στενάχουσα κορείην·
οὐ γὰρ ἐγὼ Φαέθοντα κινύρομαι. ἵλαθι, δάφνη,
αἰδέομαι φυτὸν ἄλλο μετὰ προτέρης φυτὸν ὕλης.
ἔσσομαι, ὡς Νιόβη, καὶ ἐγὼ λίθος, ὄφρα καὶ αὐτὴν
λαϊνέην στενάχουσαν ἐποικτείρωσιν ὁδῖται·
ἀλλὰ κακογλώσσοιο τί μοι τύπος; ἵλαθι, Λητώ· 7
ἐρρέτω αἰνοτόκοιο θεημάχον οὔνομα Νύμφης.
ἣ μὲν ἔφη· Φαέθων δὲ πόλον δινωτὸν ἐάσας
εἰς δύσιν ἔτραπε δίφρον· ἀναθρώισκουσα δὲ γαίης
ὑψιτενὴς ἅτε κῶνος ἐς ἠέρα σιγαλέη Νὺξ
οὐρανὸν ἀστερόεντι διεχλαίνωσε χιτῶνι,
αἰθέρα δαιδάλλουσα· καὶ ἀννεφέλωι παρὰ Νείλωι
ἀθάνατοι πλάζοντο, παρ' ὀφρυόεντι δὲ Ταύρωι
Ζεὺς Κρονίδης ἀνέμιμνεν ἐγερσιμόθου φάος Ἠοῦς.
νὺξ μὲν ἔην· φρουραὶ δὲ περὶ στίχες ἦσαν Ὀλύμπου
ἑπτὰ περὶ ζώνηισι, καὶ οἷά περ ὑψόθι πύργων
ἔννυχον ἦν ἀλάλαγμα, βοὴ δ' ἑτερόθροος ἄστρων 287
ἀμφιλαφὴς πεφόρητο, καὶ ἀξονίης κτύπον ἠχοῦς

ἔργα γυναιμανέος μιμήσαο σεῖο τοκῆος,
οἶστρον ἔχων ἀκόρητον ἀμοιβαίης Ἀφροδίτης· Nonnus
Σιθονίης ἀλόχοιο νεοζυγέων ὑμεναίων,
Παλλήνης, γάμον οἶδα, καὶ Ἀλθαίης ὑμεναίους·
σιγήσω φιλότητα Κορωνίδος, ἧς ἀπὸ λέκτρων
τρεῖς Χάριτες γεγάασιν ὁμόζυγες· ἀλλά, Μυκῆναι,
πότμον ἐμὸν φθέγξασθε καὶ ἄγριον ὄμμα Μεδούσης,
καὶ φθονερῆς ἐς ἔρωτα βιαζομένης Ἀριάδνης,
ἠιόνες Νάξοιο, βοήσατε· 'νυμφίε Θησεῦ,
Μινώιη καλέει σε χολωομένη Διονύσωι.'
ἀλλὰ τί Κεκροπίης μιμνήσκομαι; εἰς Παφίην γὰρ
μέμφομαι ἀμφοτέροις, καὶ Θησέι καὶ Διονύσωι."
ὣς φαμένη σκιόεντι πανείκελος ἔσσυτο καπνῶι.
καὶ θρασὺς ἔγρετο Βάκχος ἀποσκεδάσας πτερὸν Ὕπνου,
μυρομένην δ' ὤικτειρεν ὀνειρείην Ἀριάδνην.
καὶ δόλον ἀλλοπρόσαλλον ἐδίζετο πομπὸν Ἐρώτων·
νύμφης δ' Ἀστακίδος προτέρων ἐμνήσατο λέκτρων,
πῶς ἐρατὴν δολόεντι ποτῶι νυμφεύσατο κούρην
ὕπνον ἔχων πομπῆα μεθυσφαλέων ὑμεναίων.
ὄφρα μὲν ἤθελε Βάκχος ἐπεντύνειν δόλον εὐνῆς,
τόφρα δὲ φοιταλέη Ληλαντιὰς ἔδραμε κούρη
πίδακα μαστεύουσα, κατάσχετος αἴθοπι δίψηι.
οὐδὲ λάθεν Διόνυσον ὀρίδρομος ἄστατος Αὔρη
διψαλέη· ταχινὸς δὲ θορὼν ἐπὶ πυθμένα πέτρης
θύρσωι γαῖαν ἄρασσε· διχαζομένη δὲ κολώνη
αὐτομάτην ὤδινε μέθην εὐώδει μαζῶι L1[O]
χεύματι πορφύροντι· χαριζόμεναι δὲ Λυαίωι 𝔹
δμωίδες Ἠελίοιο **κατέγραφον** ἄνθεσιν Ὧραι
πίδακος ἄκρα μέτωπα, καὶ εὐόδμοισιν ἀήταις
ἀρτιφύτου λειμῶνος ἱμάσσετο νήδυμος ἀήρ·
εἶχε δὲ Ναρκίσσοιο φερώνυμα φύλλα κορύμβων
ἠιθέου χαρίεντος, ὃν εὐπετάλωι παρὰ Λάτμωι
νυμφίος Ἐνδυμίων κεραῆς ἔσπειρε Σελήνης,
ὃς πάρος ἠεροπῆος ἐύχροος εἴδει κωφῶι
εἰς τύπον αὐτοτέλεστον ἰδὼν μορφούμενον ὕδωρ
κάτθανε, παπταίνων σκιοειδέα φάσματα μορφῆς·
καὶ φυτὸν ἔμπνοον εἶχεν Ἀμυκλαίης ὑακίνθου·
εἰαρινῶν ἐλίγαινον ἀηδόνες ὑψόθι φύλλων.
ἱπτάμεναι δ' ἀγεληδὸν ἐπ' ἀνθεμόεντι κορύμβωι
κεῖθι, δὲ διψώουσα μεσημβριὰς ἔτρεχεν Αὔρη,
ἀμφὶ δέ οἱ βλεφάροισιν Ἔρως κατέχευεν ὀμίχλην.
εἴ ποθι διφώουσα Διὸς χύσιν ἤ τινα πηγὴν
ἢ ῥόον ἀθρήσειεν ὀρεσσιχύτου ποταμοῖο·
ἀλλ ὅτε Βακχείην ἀπατήλιον ἔδρακε πηγήν,
δὴ τότε οἱ βλεφάρων σκιόεν νέφος ἤλασε Πειθὼ
τοῖον ἔπος βοόωσα γάμου πρωτάγγελον Αὔρηι·
"παρθενική, μόλε δεῦρο, τελεσσιγάμοιο δὲ πηγῆς
εἰς στόμα δέξο ῥέεθρα, καὶ εἰς σέο κόλπον ἀκοίτην."
κούρη δ' ἄσμενος εἶδε· παραπροχυθεῖσα δὲ πηγῆι
χείλεσιν οἰγομένοισιν ἀνήφυσεν ἰκμάδα Βάκχου.

παρθενικὴ δὲ πιοῦσα τόσην ἐφθέγξατο φωνήν·
“Νηιάδες, τί τὸ θαῦμα; πόθεν πέλε νήδυμον ὕδωρ;
τίς ποτὸν ἔβλυσε τοῦτο; τίς οὐρανίη τέκε γαστήρ;
ἔμπης τοῦτο πιοῦσα ποτὶ δρόμον οὐκέτι βαίνω·
ἀλλὰ πόδες βαρύθουσι, καὶ ἡδέι θέλγομαι ὕπνωι,
καὶ σφαλερὸν στομάτων ἁπαλόθροον ἦχον ἰάλλω.”
εἶπε καὶ ἀστήρικτον ἑοῦ ποδὸς εἶχε πορείην·
ἤιε δ’ ἔνθα καὶ ἔνθα πολυπλανέεσσιν ἐρωαῖς
πυκνὰ περὶ κροτάφοισι τινασσομένοιο καρήνου·
καὶ κεφαλὴν ἔκλινεν ἐρειδομένην σχεδὸν ὤμωι·
εὗδε δ’ ὑπὲρ δαπέδοιο τανυπτόρθωι παρὰ δένδρωι
παρθενίην ἀφύλακτον ἐπιτρέψασα χαμεύνηι.
καὶ πυρόεις βαρύγουνον Ἔρως δεδοκημένος Αὔρην
οὐρανόθεν κατέπαλτο, γαληναίωι δὲ προσώπωι
μειδιόων ἀγόρευεν, ὁμοφρονέων Διονύσωι·
“ἀγρώσσεις, Διόνυσε· μένει δέ σε παρθένος Αὔρη.”
ὣς εἰπὼν ἐς Ὄλυμπον ἐπείγετο, καὶ πτερὰ πάλλων
εἰαρινοῖς πετάλοισιν ἐχάζετο, τοῦτο χαράξας·
‘νυμφίε, λέκτρα τέλεσσον, ἕως ἔτι παρθένος εὕδει·
σιγῆι ἐφ’ ἡμείων, μὴ παρθένον ὕπνος ἐάσηι.’
καί μιν ἰδὼν Ἰόβακχος ἐπ’ ἀστρώτοιο χαμεύνης
νυμφιδίου Ληθαῖον ἀμεργομένην πτερὸν Ὕπνου,
ἄψοφος ἀκροτάτοισιν ἀσάμβαλος ἴχνεσιν ἕρπων
κωφὸν ἀφωνήτοιο μετήιε δέμνιον Αὔρης·
χειρὶ δὲ φειδομένηι γλαφυρὴν ἀπέθηκε φαρέτρην
παρθενικῆς, καὶ τόξα κατέκρυφε κοιλάδι πέτρηι,
μή μιν ὀιστεύσειε τιναξαμένη πτερὸν Ὕπνου·
καὶ δεσμοῖς ἀλύτοισι πόδας σφηκώσατο κούρης,
καὶ παλάμαις ἑλικηδὸν ἐπεσφρηγίσσατο σειρήν,
μή μιν ἀλυσκάζειεν· ἐπιστορέσας δὲ κονίηι
παρθενικὴν βαρύυπνον ἑτοιμοτάτηι Ἀφροδίτηι
Αὔρης ὑπναλέης γαμίην ἔκλεψεν ὀπώρην.
καὶ πόσις ἦν ἀνάεδνος· ὑπὲρ δαπέδοιο δὲ δειλὴ
οἰνοβαρὴς ἀτίνακτος ἐνυμφεύθη Διονύσωι·
καὶ σκιεραῖς πτερύγεσσι περισφίγγων δέμας Αὔρης
Ὕπνος ἔην Βάκχοιο γαμοστόλος, ὅττι καὶ αὐτὸς
πειρήθη Παφίης, καὶ ὁμόζυγός ἐστι Σελήνης,
καὶ νυχίης φιλότητος ὁμόστολός ἐστιν Ἐρώτων·
καὶ γάμος ὡς ὄναρ ἔσκε. πολυσκάρθμωι δὲ χορείηι
εἰς χορὸν αὐτοέλικτον ἀνεσκίρτησε κολώνη,
ἡμιφανὴς δ’ ἐδόνησεν Ἀμαδρυὰς ἥλικα πεύκην·
μούνη δ’ ἦν ἀχόρευτος ἐν οὔρεσι παρθένος Ἠχώ,
αἰδομένη δ’ ἀκίχητος ἐκεύθετο πυθμένι πέτρης,
μὴ γάμον ἀθρήσειε γυναιμανέος Διονύσου.
καὶ τελέσας ὑμέναιον ἀδουπήτων ἐπὶ λέκτρων
νυμφίος ἀμπελόεις, πεφυλαγμένον ἴχνος ἀείρας,
νύμφης μὲν κύσε χεῖλος ἐπήρατον, ἀκλινέας δὲ
λῦσε πόδας καὶ χεῖρας, ἀπὸ σκοπέλου δὲ φαρέτρην
χειρὶ λαβὼν καὶ τόξα πάλιν παρακάτθετο νύμφηι.
καὶ Σατύρων σχεδὸν ἦλθεν ἔτι πνείων ὑμεναίων,

καὶ σκόπελοι ῥίπτοντο· χαραδραίοις δὲ ῥεέθροις
ἠερόθεν πίπτοντες ἐνεκρύπτοντο θαλάσσηι,
ὕδατα χερσώσαντες· ἀπὸ χθονίων δὲ βελέμνων
αὐτοπαγῆ ῥιζοῦτο νεηγενέων σφυρὰ νήσων.
δένδρεα δ’ αὐτόπρεμνα μετωχλίσθησαν ἀρούρης,
καὶ δαπέδωι πέσε καρπὸς ἀώριος, ἀρτιθαλὴς δὲ
κῆπος ἀιστώθη, ῥοδόεις δ’ ἀμαθύνετο λειμών·
καὶ Ζέφυρος δεδόνητο κυλινδομένων κυπαρίσσων
αὐχμηροῖς πετάλοισι· φιλοθρήνοισι δὲ μολπαῖς
αἴλινα Φοῖβος ἄειδε δαϊζομένων ὑακίνθων,
πλέξας πένθιμον ὕμνον, Ἀμυκλαίων δὲ κορύμβων
κοπτομένηι πολὺ μᾶλλον ἐπέστενε γείτονι δάφνηι·
κεκλιμένην δ’ ὤρθωσεν ἑὴν πίτυν ἀχνύμενος Πάν·
καί, Μορίης μνησθεῖσα, φερέπτολιν Ἀτθίδα νύμφην
τεμνομένηι γλαυκῶπις ἐπεστονάχιξεν ἐλαίηι·
καὶ Παφίη δάκρυσε κονιομένης ἀνεμώνης,
πυκνὰ δὲ μυρομένη καλύκων εὐώδεα χαίτην
βόστρυχον ἁβρὸν ἔτιλλε κονιομένου ῥοδεῶνος·
καὶ στάχυν ἡμιτέλεστον ὀλωλότα μύρετο Δηώ,
μηκέτι κῶμον ἄγουσα θαλύσιον· Ἁδρυάδες δὲ
ἥλικες ὠδύροντο λιπόσκια δένδρεα Νύμφαι.
καί τις ἐυπτόρθοιο διχαζομένοιο κορύμβου
σύγχρονος ἀκρήδεμνος Ἁμαδρυὰς ἄνθορε δάφνης,
ἐκ πίτυος δὲ φυγοῦσα βατῶι ποδὶ παρθένος ἄλλη
ἀγχιφανὴς ἀγόρευε μετήλυδι γείτονι Νύμφηι·
“δαφναίη φυγόδεμνος Ἁμαδρυάς, εἷς δρόμος ἔστω
ἀμφοτέραις, μὴ Φοῖβον ἴδηις, μὴ Πᾶνα νοήσω.
ὑλοτόμοι, τάδε δένδρα παρέλθετε, μὴ φυτὰ Δάφνης
τέμνετε δειλαίης τετιμημένα· φείδεο, τέκτων,
ὁλκάδα μὴ τελέσηις πιτυώδεα δούρατα τέμνων,
μὴ ῥοθίων ψαύσειε θαλασσαίης Ἀφροδίτης.
ναί, δρυτόμος, πυμάτην πόρε μοι χάριν, ἀντὶ κορύμβων
κόπτέ με σοῖς πελέκεσσι, καὶ ἡμετέρου διὰ μαζοῦ
πῆξον ἀνυμφεύτοιο σαόφρονα χαλκὸν Ἀθήνης,
ὄφρα θάνω πρὸ γάμοιο καὶ Ἄιδι παρθένος ἔλθω,
εἰσέτι νῆις Ἔρωτος, ἅ περ Πίτυς, οἷά τε Δάφνη.”
ὣς φαμένη πετάλοισι νόθην ποιήσατο μίτρην,
καὶ χλοερῶι ζωστῆρι κατέσκεπεν ἄντυγα μαζοῦ
αἰδομένη, καὶ μηρὸν ἐπεσφηκώσατο μηρῶι·
ἡ δέ μιν εἰσορόωσα κατηφέα ῥήξατο φωνήν·
“παρθενίης ἔμφυλον ἔχω φόβον, ὅττι καὶ αὐτὴ
ἐκ Δάφνης γεγαυῖα διώκομαι, οἷά τε Δάφνη.
πῆι δὲ φύγω; σκοπέλους ὑποδύσομαι; ἀλλὰ κολώνας
ῥιπτομένας ἐς Ὄλυμπον ἐτεφρώσαντο κεραυνοί,
καὶ τρομέω σέο Πᾶνα δυσίμερον, ὅς μὲ χαλέψει,
ὡς Πίτυν, ὡς Σύριγγα· διωκομένη δὲ καὶ αὐτὴ
ἄλλη δευτερόφωνος ὀρίδρομος ἔσσομαι Ἠχώ.
οὐκέτι ταῦτα κόρυμβα μετέρχομαι, ὑψιφανῆ δὲ
οὔρεα ναιετάω μετὰ δένδρεον, ἦχι καὶ αὐτὴ
Ἄρτεμις ἀγρώσσει φιλοπάρθενος· ἀλλὰ Κρονίων

οἶστρον ἑλὼν πολέμοιο κατέδραμεν εἰς μυχὸν ἄντρου,
βροντὴν δ᾽ ἠνεμόφοιτον ἐδίζετο φοιτάδι λύσσηι
καὶ στεροπὴν ἀκίχητον, ἐρευνητῆρι δὲ ταρσῶι
ζαφλεγὲς ἁρπαμένοιο σέλας μάστευε κεραυνοῦ,
καὶ κενεὸν σπέος εὗρε. δολοφραδέας δὲ μενοινὰς
ὀψὲ μαθὼν Κρονίδαο καὶ αἰόλα δήνεα Κάδμου
αἰχμάζων σκοπέλοισιν ἐπεσκίρτησεν Ὀλύμπωι.
καὶ ποδὸς ἀγκύλον ἴχνος ἄγων ὀφιώδεϊ ταρσῶι
ἰὸν ἀκοντιστῆρος ἀπέπτυεν ἀνθερεῶνος·
ὑψιλόφου δὲ Γίγαντος ἐχιδναίῃσιν ἐθείραις
πίδακας ὀμβρήσαντος ἐκυμαίνοντο χαράδραι·
καί οἱ ἐπαΐσσοντι βαθυνομένην χθονὸς ἕδρην
ἀκλινέος δαπέδοιο Κίλιξ ἐλελίζετο πυθμὴν
ποσσὶ δρακοντείοισι, πολυσφαράγωι δὲ κυδοιμῶι
Ταυρείου λοφόεντος ἀρασσομένου κενεῶνος
γείτονες ὠρχήσαντο φόβωι Παμφυλίδες ὄχθαι,
καὶ χθόνιαι σήραγγες ἐβόμβεον, ἔτρεμον ἄκραι
ἠιόνες, σείοντο μυχοί, καὶ ὀλίσθανον ἀκταὶ
λυομένης ψαμάθοιο ποδῶν ἐνοσίχθονι παλμῶι.
οὐ νομός, οὐ τότε θῆρες ἀπήμονες· ὠμοβόροι γὰρ
ἄρκτοι ἐδαιτρεύοντο Τυφαονίοιο προσώπου
ἀρκτώιαις γενύεσσι, λεοντείων δὲ καρήνων
γλαυκὰ δασυστέρνων ἐλαφύσσετο γυῖα λεόντων
χάσμασιν ἰσοτύποισιν, ἐχιδνήεντι δὲ λαιμῶι
ψυχρὰ πεδοτρεφέων ἐδαΐζετο νῶτα δρακόντων,
ἠερίους δ᾽ ὄρνιθας ἐδαίνυτο γείτονι λαιμῶι
ἱπταμένους ἀβάτοιο δι᾽ αἰθέρος, ἀγχιφανῆ δὲ
αἰετὸν ἤσθιε μᾶλλον, ἐπεὶ Διὸς ὄρνις ἀκούει·
ἤσθιε βοῦν ἀροτῆρα, καὶ οὐκ ᾤκτειρε δοκεύων
αἱμοβαφῆ ζυγίωι κεχαραγμένον αὐχένα δεσμῶι.
καὶ ποταμοὺς ἐκόνισσε πιὼν ἐπιδόρπιον ὕδωρ,
Νηιάδων δὲ φάλαγγας ἀπεστυφέλιξεν ἐναύλων·
καὶ βυθίη στείχουσα βατὸν ῥόον ἅλματι πεζῶι
ἀβρέκτοις μελέεσσιν ἀσάμβαλος ἵστατο Νύμφη
Νηιὰς ὑγροκέλευθος, ἁμιλλητῆρι δὲ ταρσῶι
κούρης παλλομένης παρὰ διψάδα πέζαν ἐναύλων
σφίγγετο πηλώεντι πεπηγότα γούνατα δεσμῶι.
μαινομένου δὲ Γίγαντος ἰδὼν πολύμορφον ὀπωπὴν
ταρβαλέος σύριγγα γέρων ἀπεσείσατο ποιμὴν
νόσφι φυγών· ὀρόων δὲ πολυσπερὲς ἔθνος ἀγοστῶν
αἰπόλος ἀστήρικτον ἐπέτρεπεν αὐλὸν ἀέλλαις·
οὐ σπόρον ἀμφεκάλυψε πέδωι ταλαεργὸς ἀροτρεὺς
ῥαίνων ἀρτιχάρακτον ὀπισθοβόλωι χθόνα καρπῶι,
οὐδὲ Τυφαονίης παλάμης νωμήτορι παλμῶι
αὔλακα τεμνομένην ἐνοσίχθονι τάμνε σιδήρωι,
ἀλλὰ βόας μεθέηκε, Γιγαντείωι δὲ βελέμνωι
σχιζομένης κενεῶνες ἐγυμνώθησαν ἀρούρης.
καὶ διερὴν φλέβα λῦσαν, ἀνοιγομένου δὲ βερέθρου
χεύμασι πηγαίοισιν ἀνέβλυε νέρτερος αὐλῶν,
ἀσκεπέος δαπέδοιο χέων ὑποκόλπιον ὕδωρ·

ὑπναλέης ἀνέμοισιν ἐσπιτρέψας λέχος Αὔρης.
νύμφη δ᾽ ἐκ φιλότητος ἀνέδραμε· λυσιμελῆ δὲ
ὕπνον ἀκηρύκτων ἀπεσείσατο μάρτυν Ἐρώτων·
θάμβει δ᾽ εἰσορόωσα σαόφρονος ἔκτοθι μίτρης
στήθεα γυμνωθέντα καὶ ἀσκεπέος πτύχα μηροῦ
καὶ γαμίηι ῥαθάμιγγι περιστιχθέντα χιτῶνα,
ἁρπαμένην ἀνάεδνον ἀπαγγέλλοντα κορείην,
μαίνετο παπταίνουσα· καὶ ἥρμοσε κυκλάδα μίτρην
στέρνα πάλιν σκιόωσα, καὶ ἠθάδος ἰκμάδα μαζοῦ
παρθενίωι ζωστῆρι μάτην ἐσφίγγετο δεσμῶι.
ἀχνυμένη δ᾽ ὀλόλυζε, κατάσχετος ἅλματι λύσσης·
ἀγρονόμους δ᾽ ἐδίωξε, καὶ εὐπετάλου σχεδὸν ὄχθης
τινυμένη δολόεντα πόσιν ποινήτορι θεσμῶι
μηλονόμους ἐδάιξεν· ἀμειλίκτωι δὲ σιδήρωι
βουκόλον ἔκτανε μᾶλλον, ἐπεὶ μάθε νυμφίον Ἠοῦς,
Τιθωνὸν χαρίεντα, δυσίμερον ἀνέρα βούτην,
ὅττι βοῶν ἀγέλαις μεμελημένον ἔσχε καὶ αὐτὴ
Λάτμιον Ἐνδυμέωνα βοῶν ἐλάτειρα Σελήνη·
ἔκλυε καὶ Φρυγίοιο, τὸν ἔκτανε παρθένος ἄλλη,
Ὕμνου πικρὸν ἔρωτα, ποθοβλήτοιο νομῆος·
αἰπόλον ἔκτανε μᾶλλον, ὅλον χορὸν ἔκτανεν αἰγῶν
αἰνοπαθής, ὅτι Πᾶνα δυσίμερον ἔδρακε κούρη
ἰσοφυῆ μεθέποντα δασύτριχος αἰγὸς ὀπωπήν·
ἔλπετο γὰρ μάλα τοῦτο, πόθωι δεδονημένος Ἠχοῦς
ὅττί μιν ὑπναλέην ἐβιήσατο μηλονόμος Πάν·
γειοπόνους δ᾽ ἐδάμασσε πολὺ πλέον, ὅττι καὶ αὐτοὶ
Κύπριδι θητεύουσιν, ἐπεὶ πέλε γηπόνος ἀνήρ,
Ἰασίων, Δήμητρος ἀμαλλοτόκου παρακοίτης·
ἔκτανε δ᾽ ἀγρευτῆρα παλαιοτέρωι τινὶ μύθωι
πειθομένη· Κέφαλον γάρ, ἀμήτορος ἀστὸν Ἀθήνης,
ἔκλυε θηρητῆρα ῥοδοστεφέος πόσιν Ἠοῦς·
Βακχείης δ᾽ ἐδάιξεν ὑποδρηστῆρας ὀπώρης,
ὅττι φιλακρήτοιο μέθης βλύζοντες ἐέρσην
οἰνοβαρεῖς δυσέρωτες ὀπάονές εἰσι Λυαίου·
οὔ πω γὰρ δεδάηκε δολοφροσύνην Διονύσου
καὶ ποτὸν ἠπεροπῆα φιλακρήτου Κυθερείης,
ἀλλὰ φιλοσκοπέλων καλύβας ἐκένωσε νομήων
αἵματι φοινήεντι περιρραίνουσα κολώνας.
καὶ νόον αἰθύσσουσα, κατάσχετος ἅλματι λύσσης,
Κύπριδος εἰς δόμον ἦλθεν· ἀπειλητῆρα δὲ κεστοῦ
λυσαμένη ζωστῆρα νεοκλώστοιο χιτῶνος
ἁβρὸν ἀνικήτοιο δέμας μάστιζε θεαίνης·
καὶ βρέτας ἁρπάξασα τελεσσιγάμου Κυθερείης
Σαγγαρίου σχεδὸν ἦλθε, κυλινδομένην δὲ ῥεέθροις
γυμναῖς Νηιάδεσσι πόρεν γυμνὴν Ἀφροδίτην.
καὶ μετὰ θεῖον ἄγαλμα καὶ αὐτοέλικτον ἱμάσθλην
δείκελον ἁβρὸν Ἔρωτος ἀπηκόντιζε κονίηι·
καὶ κενεὸν λίπε δῶμα Κυβηλίδος ἀφρογενείης.
φοιταλέη δ᾽ ἀκίχητος ἐθήμονα δύσατο λόχμην,
καὶ σταλίκων ἔψαυσε, πάλιν δ᾽ ἐμνήσατο θήρης·

καὶ διεροῖς βλεφάροισιν ἑὴν στενάχιζε κορείην,
ὀξὺ δὲ κωκύουσα τόσην ἐφθέγξατο φωνήν·
"τίς θεὸς ἡμετέρης ἀνελύσατο δεσμὰ κορείης;
εἰ μὲν ἐμὲ κνώσσουσαν ἐρημονόμων ἐπὶ λέκτρων
εἶδος ὑποκλέπτων ἐβιήσατο μητίετα Ζεύς,
οὐδὲ καὶ ἡμετέρην ᾐδέσσατο γείτονα Ῥείην,
ἀγροτέρους μετὰ θῆρας ὀιστεύσω πόλον ἄστρων·
εἰ δέ μοι ὑπναλέῃ παρελέξατο Φοῖβος Ἀπόλλων,
πέρσω πασιμέλουσαν ὅλην πετρώδεα Πυθώ·
εἰ δὲ λέχος σύλησεν ἐμὸν Κυλλήνιος Ἑρμῆς,
Ἀρκαδίην προθέλυμνον ἐμοῖς βελέεσσιν ὀλέσσω,
καὶ τελέσω θεράπαιναν ἐμὴν χρυσάμπυκα Πειθώ·
εἰ δὲ δόλοις γαμίοισιν ὀνειρείων ὑμεναίων
ἀπροϊδὴς Διόνυσος ἐμὴν σύλησε κορείην,
ἵξομαι, ἧχι πέλει Κυβέλης δόμος, ὑψιλόφου δὲ
οἰστρομανῆ Διόνυσον ἀπὸ Τμώλοιο διώξω·
καὶ φονίην ὤμοισιν ἐπικρεμάσασα φαρέτρην
εἰς Πάφον, εἰς Φρυγίην θωρήξομαι· ἀμφοτέροις γὰρ
τόξον ἐμὸν τανύσω, καὶ Κύπριδι καὶ Διονύσῳ.
σοὶ πλέον, ἰοχέαιρα, χολώομαι, ὅττι με, κούρη,
οὐ κτάνες ὑπναλέην ἔτι παρθένον, οὐδὲ καὶ αὐτῷ
σοῖς καθαροῖς βελέεσσιν ἐθωρήχθης παρακοίτῃ."
ἔννεπε, καὶ τρομέουσαν ἑὴν ἀνεσείρασε φωνὴν
δάκρυσι νικηθεῖσα. τελεσσιγάμου δὲ Λυαίου
παιδοτόχου πλησθεῖσα γονῆς δυσπάρθενος Αὔρη
διπλόον ὄγκον ἄειρε· γυνὴ δ' ἐπεμήνατο φόρτῳ
ἄσχετα βακχευθεῖσα γονῆς, δυσπάρθενος Αὔρη
ἢ σπόρος αὐτολόχευτος ἢ ἀνέρος ἐξ ὑμεναίων
ἠὲ θεοῦ δολίοιο· Διὸς δ' ἐμνήσατο νύμφης,
Πλουτοῦς αἰνοτόκου Βερεκυντίδος, ἧς ἀπὸ λέκτρων
Τάνταλος ἐβλάστησε. καὶ ἤθελε γαστέρα τέμνειν,
ὄφρα δαϊζομένης ἀπὸ νηδύος ἄφρονι λύσσῃ
ἄτροφον ἡμιτέλεστον ἀιστώσειε γενέθλην.
καὶ ξίφος ἠέρταζε, διὰ στέρνοιο δὲ γυμνοῦ
δεξιτερῇ μενέαινεν ἀφειδέι φάσγανον ἕλκειν.
πολλάκι δ' ἀρτιτόκοιο μετήιεν ἄντρα λεαίνης,
ὥς κεν ὀλισθήσειε θελήμονος εἰς λίνα Μοίρης·
ἀλλά μὲν οὐρεσίφοιτος ὑπέκφυγε ταρβαλέη θήρ,
μή μὲν ἀποκτείνειε, μυχῷ δ' ἐκρύπτετο πέτρης
σκύμνον ἐρημαίῃσιν ἐπιτρέψασα χαμεύναις.
πολλάκι δ' οἰδαλέοιο γυναικείου διὰ κόλπου
αὐτοφόνος μενέαινεν ἑκούσιον ἆορ ἐλάσσαι,
ὄφρά κεν αὐτοδάικτος ὀνείδεα γαστρὸς ἀλύξῃ
καὶ στόμα τερπομένης φιλοκέρτομον ἰοχεαίρης·
καὶ νοέειν μενέαινεν ἑὸν πόσιν, ὄφρα καὶ αὐτὴ
υἱέα δαιτρεύσειεν ἀναινομένῳ παρακοίτῃ,
αὐτὴ παιδοφόνος καὶ ὁμευνέτις, ὄφρά τις εἴπῃ·
'Πρόκνη παιδολέτειρα νέη πέλε δύσγαμος Αὔρη.'
καί μιν ὀπιπεύουσα νέων ἐγκύμονα παίδων
Ἄρτεμις ἐγγὺς ἵκανεν ἑῷ γελόωντι προσώπῳ,
κοῦρον ἀνηέξησε. λαβὼν δέ μιν ὑψόθι δίφρου
νήπιον εἰσέτι Βάκχον ἐπώνυμον υἷα τοκῆος
Ἀτθίδι μυστιπόλῳ παρακάτθετο Βάκχος Ἀθήνῃ,
Εὔια παππάζοντα· θεὰ δέ μιν ἔνδοθι νηοῦ
Παλλὰς ἀνυμφεύτῳ θεοδέγμονι δέξατο κόλπῳ·
παιδὶ δὲ μαζὸν ὄρεξε, τὸν ἔσπασε μοῦνος Ἐρεχθεύς,
αὐτοχύτῳ στάζοντα νόθον γλάγος ὄμφακι μαζῷ.
καί μιν Ἐλευσινίῃσι θεὰ παρακάτθετο Βάκχαις·
ἀμφὶ δὲ κοῦρον Ἴακχον ἐκυκλώσαντο χορείῃ
νύμφαι κισσοφόροι Μαραθωνίδες, ἀρτιτόκῳ δὲ
δαίμονι νυκτιχόρευτον ἐκούφισαν Ἀτθίδα πεύκην·
καὶ θεὸν ἱλάσκοντο μεθ' υἱέα Περσεφονείης,
καὶ Σεμέλης μετὰ παῖδα, θυηπολίας δὲ Λυαίῳ
ὀψιγόνῳ στήσαντο καὶ ἀρχεγόνῳ Διονύσῳ,
καὶ τριτάτῳ νέον ὕμνον ἐπεσμαράγησαν Ἰάκχῳ.
καὶ τελεταῖς τρισσῇσιν ἐβακχεύθησαν Ἀθῆναι·
καὶ χορὸν ὀψιτέλεστον ἀνεκρούσαντο πολῖται
Ζαγρέα κυδαίνοντες ἅμα Βρομίῳ καὶ Ἰάκχῳ.
οὐδὲ Κυδωναίων ἐπελήσατο Βάκχος Ἐρώτων,
ἀλλὰ καὶ ὀλλυμένης προτέρης ἐμνήσατο νύμφης·
καὶ Στέφανον περίκυκλον ἀποιχομένης Ἀριάδνης
μάρτυν ἑῆς φιλότητος ἀνεστήριξεν Ὀλύμπῳ,
ἄγγελον οὐ λήγοντα φιλοστεφάνων ὑμεναίων.
καὶ θεὸς ἀμπελόεις πατρώιον αἰθέρα βαίνων
πατρὶ σὺν εὐώδινι μιῆς ἔψαυσε τραπέζης,
καὶ βροτέην μετὰ δαῖτα, μετὰ προτέρην χύσιν οἴνου
οὐράνιον πίε νέκταρ ἀρειοτέροισι κυπέλλοις,
σύνθρονος Ἀπόλλωνι, συνέστιος υἱέι Μαίης.

Ὣς ὁ μὲν αὐτόθι μίμνε παρὰ σφυρὰ φορβάδος ὕλης
ἀκροπόρῳ σύριγγι μετάτροπα χείλεα σύρων,
Κάδμος Ἀγηνορίδης νόθος αἰπόλος· ἀπροϊδὴς δὲ
Ζεὺς Κρονίδης ἀκίχητος ὑπὸ σπέος ἄψοφος ἕρπων
χεῖρας ἑὰς ἐκόρυσσε τὸ δεύτερον ἤθαδι πυρσῷ.
καὶ νέφος ἔσκεπε Κάδμον ἀθηήτῳ παρὰ πέτρῃ,
μὴ δόλον ἠπεροπῆα μαθὼν καὶ φῶρα κεραυνοῦ
λάθριον ὑστερόμητις ἀποκτείνειε Τυφωεὺς
βουκόλον ἀλλοπρόσαλλον· ὁ δὲ πλέον ἡδέι κέντρῳ
ἤθελεν εἰσαΐειν φρενοθελγέα ῥυθμὸν ἀοιδῆς.
ὡς δ' ὅτε τις Σειρῆνος ἐπίκλοπον ὕμνον ἀκούων
εἰς μόρον αὐτοκέλευστον ἀώριος εἵλκετο ναύτης,
θελγόμενος μελέεσσι, καὶ οὐκέτι κῦμα χαράσσων
γλαυκὸν ἀκυμάντοισιν ὕδωρ λεύκαινεν ἐρετμοῖς,
ἀλλὰ λιγυφθόγγοιο πεσὼν ἐπὶ δίκτυα Μοίρης
τέρπετο πηδαλίοιο λελασμένος, ἄστρον ἐάσας
Πλειάδος ἑπταπόροιο καὶ ἄντυγα κυκλάδος Ἄρκτου·
ὣς ὅ γε κερδαλέης δεδονημένος ἄσθμασι μολπῆς
πηκτίδος ἡδὺ βέλεμνον ἐδέξατο πομπὸν ὀλέθρου.
ἀλλὰ καλυπτομένου νεφέων σκιοειδέι μίτρῃ
ἔμπνοος εὐκελάδοιο δόναξ σίγησε νομῆος,
ἁρμονίην δ' ἀνέκοψεν. ἀερσιπότης δὲ Τυφωεὺς

θῶες, ἐμοὶ τέρπεσθε· παρ' ἡμετέρηι δὲ χαμεύνηι
Nonnus πόρδαλιν ἀπτοίητον ἐπισκαίροντα νοήσω·
ἄξατε σύννομον ἄρκτον ἀταρβέα· παιδοτόκον γὰρ
Αὔρης χαλκοχίτωνες ἐθηλύνθησαν ὀιστοί.
αἰδέομαι μεθέπειν μετὰ παρθένον οὔνομα νύμφης,
μὴ βριαρὸν τεκέεσσιν ἐμόν ποτε μαζὸν ὀπάσσω·
μὴ παλάμηι θλίψοιμι νόθον γάλα, μηδ' ἐνὶ λόχμαις
θηροφόνος γεγαυῖα γυνὴ φιλότεκνος ἀκούσω."
ἔννεπε· καὶ διδύμους παῖδας χείρεσσι λαβοῦσα
θῆκεν ὑπὸ σπήλυγγι λεχώια δεῖπνα λεαίνης·
ἀλλὰ Διωνύσοιο νέην εὔπαιδα γενέθλην,
πόρδαλις ὠμοβόροισι δέμας λιχμῶσα γενείοις,
ἔμφρονα θυμὸν ἔχουσα σοφῶι μαιώσατο μαζῶι·
θαμβαλέοι δὲ δράκοντες ἐκυκλώσαντο λοχείην
ἰοβόλοις στομάτεσσιν, ἐπεὶ νέα τέκνα φυλάσσων
μειλιχίους καὶ θῆρας ἐθήκατο νυμφίος Αὔρης.
καὶ ποδὶ φοιταλέωι Ληλαντιὰς ἄνθορε κούρη
ἄγριον ἦθος ἔχουσα δασυστέρνοιο λεαίνης,
ἠερίαις δ' ἀκίχητος ἀνηκόντιζεν ἀέλλαις
θηρείων ἕνα παῖδα διαρπάξασα γενείων·
καὶ πάις ἀρτιλόχευτος ἐνὶ στφοφάλιγγι κονίης,
ἠερόθεν προκάρηνος ἐπωλίσθησεν ἀρούρηι·
καί μιν ἀφαρπάξασα φίλωι τυμβεύσατο λαιμῶι,
δαινυμένη φίλα δεῖπνα. καὶ ἀστόργοιο τεκούσης
ταρβαλέη τέκος ἄλλο λεχωίδος ἥρπασεν Αὔρης
L3[O] παρθένος ἰοχέαιρα, διαστείχουσα δὲ λόχμην
𝔹 παιδοκόμωι κούφιζεν ἀήθεϊ κοῦρον ἀγοστῶι.
◆ καὶ Βρομίου μετὰ λέκτρα, μετὰ στροφάλιγγα λοχείης
μῶμον ἀλυσκάζουσα γαμήλιον ἀγρότις Αὔρη,
ἀρχαίης μεθέπουσα σέβας φιλοπάρθενον αἰδοῦς,
Σαγγαρίου σχεδὸν ἦλθεν· ὀπισθοτόνωι δ' ἅμα τόξωι
εἰς προχοὰς ἀκόμιστον ἑὴν ἔρριψε φαρέτρην,
καὶ βυθίωι προκάρηνος ἐπεσκίρτησε ῥεέθρωι
ὄμμασιν αἰδομένοισιν ἀναινομένη φάος Ἠοῦς,
καὶ ῥοθίοις ποταμοῖο καλύπτετο· τὴν δὲ Κρονίων
εἰς κρήνην μετάμειψεν· ὀρεσσιχύτοιο δὲ πηγῆς
μαζοὶ κρουνὸς ἔην, προχοὴ δέμας, ἄνθεα χαῖται,
καὶ κέρας ἔπλετο τόξον ἐυκραίρου ποταμοῖο
ταυροφυές, καὶ σχοῖνος ἀμειβομένη πέλε νευρή,
καὶ δόνακες γεγαῶτες ἐπερροίζησαν ὀιστοί,
καὶ βυθὸν ἰλυόεντα διεσσυμένη ποταμοῖο
εἰς γλαφυρὸν κευθμῶνα χυτὴ κελάρυζε φαρέτρη.
καὶ χόλον ἰοχέαιρα κατεύνασεν· ἀμφὶ δὲ λόχμηι
ἴχνια μαστεύουσα φιλοσκοπέλοιο Λυαίου
ἤιεν, ἀρτιλόχευτον ἀειρομένη βρέφος Αὔρης,
πήχεϊ κουφίζουσα νόθον βάρος· αἰδομένη δὲ
ὤπασεν ἄρσενα παῖδα κασιγνήτωι Διονύσωι.
Νικαίηι δ' ἑὸν υἷα πατὴρ πόρε, μαιάδι νύμφηι·
ἡ δέ μιν ἠέρταζε, καὶ ἀκροτάτης ἀπὸ θηλῆς
παιδοκόμων θλίβουσα φερέσβιον ἰκμάδα μαζῶν

261 (149C) δειλαίην δ' ἐρέθιζε, καὶ ἀστόργωι φάτο φωνῆι·
"Ὕπνον ἴδον, Παφίης θαλαμηπόλον, εἶδον Ἐρώτων Nonnus
ξανθῆς νυμφιδίης ἀπατήλια χεύματα πηγῆς,
ἧχι ποτῶι δολόεντι νεήνιδες ἥλικα μίτρην
ἅρπαγι παρθενίης γαμίωι λύουσιν ὀνείρωι·
εἶδον ἐγὼ κλέτας, εἶδον, ὅπηι ζυγίηι παρὰ πέτρηι
ἀπροϊδὴς δολόεντι γυνὴ νυμφεύεται ὕπνωι·
Κύπριδος εἶδον ὄρος φιλοτήσιον, ἧχι γυναικῶν
παρθενίην κλέπτοντες ἀλυσχάζουσιν ἀκοῖται.
εἰπέ, γύναι φυγόδεμνε, τί σήμερον ἠρέμα βαίνεις;
ἢ πρὶν ἀελλήεσσα, πόθεν βαρύγουνος ὁδεύεις;
νυμφεύθης ἀέκουσα, καὶ οὐ τεὸν οἶδας ἀκοίτην·
οὐ δύνασαι κρύπτειν κρύφιον γάμον· οἰδαλέοι γὰρ
σὸν πόσιν ἀγγέλλουσι νεογλαγέες σέο μαζοί.
εἰπὲ δέ μοι, βαρύυπνε, συοκτόνε, παρθένε, νύμφη,
πῶς μεθέπεις χλοάουσαν ἐρευθαλέην σέο μορφήν;
τίς σέο λέκτρα μίηνε; τίς ἥρπασε σεῖο κορείην;
ξανθαὶ Νηιάδες, μὴ κρύψατε νυμφίον Αὔρης.
οἶδα, γύναι βαρύφορτε, τεὸν λαθραῖον ἀκοίτην·
σὸς γάμος οὔ με λέληθε, καὶ εἰ κρύπτειν μενεαίνεις,
σὺς πόσις οὔ με λέληθε· βαρυνομένη δέμας ὕπνωι
εὐνέτις ἀστυφέλικτος ἐνυμφεύθης Διονύσωι.
ἀλλὰ τεὸν λίπε τόξον· ἀναινομένη δὲ φαρέτρην
ὄργια μυστιπόλευε γυναιμανέος σέο Βάκχου,
τύμπανα χειρὶ φέρουσα καὶ εὐκεράων θρόον αὐλῶν.
πρὸς δὲ τεῆς λίτομαί σε τελεσσιγάμοιο χαμεύνης, L3[O]
ποῖά σοι ὤπασεν ἕδνα τεὸς Διόνυσος ἀκοίτης; 𝔹
μή σοι νεβρίδα δῶκε, τεῆς αὐτάγγελον εὐνῆς;
μή σοι χάλκεα ῥόπτρα τεῶν πόρε παίγνια παίδων;
πείθομαι, ὡς πόρε θύρσον, ἀκοντιστῆρα λεόντων·
καὶ τάχα κύμβαλα δῶκε, τά περ δονέουσι τιθῆναι
11 (6C) φάρμακα νηπιάχοισι φιλοθρήνων ὀδυνάων."
ἔννεπε κερτομέουσα· καὶ ἔμπαλιν ὤιχετο δαίμων,
θῆρας ὀιστεύουσα τὸ δεύτερον, ἀχνυμένη δὲ
ἠερίοις ἀνέμοισιν ἑὰς μεθέηκε μερίμνας.
κούρη δ' οὐρεσίφοιτος ἀμάρτυρος ὑψόθι πέτρης
ὀξὺ βέλος μεθέπουσα δυηπαθέος τοκετοῖο
φρικαλέον βρύχημα λεχωίδος εἶχε λεαίνης·
11 πέτραι δ' ἀντιάχησαν· ἐρισμαράγοιο δὲ κούρης
φθόγγον ἀμειβομένη μυκήσατο δύσθροος Ἠχώ.
καὶ παλάμας, ἅτε πῶμα, περισφίγξασα λοχείηι
κλεῖε θοὴν ὠδῖνα πεπαινομένου τοκετοῖο,
καὶ τόκον ἀρτιτέλεστον ἐρήτυεν· ἐχθομένην γὰρ
Ἄρτεμιν οὐ μενέαινεν ἐπ' ὠδίνεσσι καλέσσαι·
Ἡραίας δὲ θύγατρας ἀναίνετο, μή ποτε Βάκχου
μητρυιῆς ἅτε παῖδες ἐπιβρίσωσι λοχείηι.
κούρη δ' ἀσχαλόωσα κατηφέα ῥῆξεν ἰωήν,
νυσσομένη κέντροισιν ἀπειρώδινος ἀνάγκης·
οὕτως ἰοχέαιραν ἴδω καὶ θοῦριν Ἀθήνην,
οὕτως ἀμφοτέρας ἐγκύμονας ὄφρα νοήσω·

Ἄρτεμιν ὠδίνουσαν ἐλέγξατε, μαιάδες Ὧραι,
μαρτυρίηι τοκετοῖο, καὶ εἴπατε Τριτογενείηι·
'παρθενικὴ γλαυκῶπι, νεητόκε μῆτερ ἀμήτωρ.'
οὕτω ξυνὰ παθοῦσαν ἴδω φιλοπάρθενον Ἠχὼ
Πανὶ παρευνηθεῖσαν ἢ ἀρχεκάκωι Διονύσωι.
Ἄρτεμι, καὶ σὺ τεκοῦσα παραίφασις ἔσσεαι Αὔρης,
θῆλυ γάλα στάζουσα λεχώιον ἄρσενι μαζῶι."
εἶπεν ὀδυρομένη βαρυώδυνα κέντρα λοχείης.
καὶ τόκον ἰοχέαιρα κατέσχεθε, παιδοτόκωι δὲ
νύμφηι μόχθον ὄπασσεν ἐρυκομένου τοκετοῖο.
καὶ τελετῆς Νίκαια κυβερνήτειρα Λυαίου
μόχθον ὀπιπεύουσα καὶ αἴσχεα λυσσάδος Αὔρης
τοίην κρυπταδίην οἰκτίρμονα ῥήξατο φωνήν·
"Αὔρη ξυνὰ παθοῦσα, κινύρεο καὶ σὺ κορείην·
γαστρὶ δὲ φόρτον ἔχουσα δυηπαθέος τοκετοῖο
τέτλαθί μοι μετὰ λέκτρον ἔχειν καὶ κέντρα λοχείης,
τέτλαθι καὶ βρεφέεσσιν ἀήθεα μαζὸν ὀρέξαι.
καὶ σὺ πόθεν πίες οἶνον, ἐμῆς συλήτορα μίτρης;
καὶ σὺ πόθεν πίες οἶνον, ἕως πέλες ἔγκυος, Αὔρη;
καὶ σὺ πάθες, φυγόδεμνε, τά περ πάθον· ἀλλὰ καὶ αὐτὴ
μέμφεο νυμφοκόμων ἀπατήλιον ὕπνον Ἐρώτων.
εἷς δόλος ἀμφοτέραις γάμον ἥρμοσεν, εἷς πόσις Αὔρης
παρθενικὴν Νίκαιαν ἐθήκατο μητέρα παίδων·
οὐκέτι τόξον ἔχω θηροκτόνον, οὐκέτι νευρήν,
ὡς πάρος, αὖ ἐρύω καὶ ἐγὼ βέλος· εἰμὶ δὲ δειλὴ
L3[I] ἱστοπόνος θήλεια, καὶ οὐκέτι θοῦρις Ἀμαζών."
𝔹 ἔννεπεν οἰκτείρουσα τελεσσιγόνου πόνον Αὔρης,
◆ οἷά τὸ πειρηθεῖσα τόκου μογεροῖο καὶ αὐτή.
Λητώιη δ' ἀίουσα βαρυφθόγγου κτύπον Αὔρης
ἤλυθεν αὐχήεσσα τὸ δεύτερον ἐγγύθι νύμφης·
τειρομένην δ' ἐρέθιζε καὶ ἴαχε κέντορι μύθωι·
"παρθένε, τίς σε τέλεσσε λεχωίδα μητέρα παίδων;
ἢ γάμον ἀγνώσσουσα πόθεν γλάγος ἔλλαχε μαζοῦ;
οὐκ ἴδον, οὐ πυθόμην, ὅτι παρθένος υἷα λοχεύει.
ἦ ῥα φύσιν μετάμειψε πατὴρ ἐμός; ἦ ῥα γυναῖκες
νόσφι γάμου τίκτουσι; σὺ γάρ, φιλοπάρθενε κούρη,
ὠδίνεις νέα τέκνα, καὶ εἰ στυγέεις Ἀφροδίτην.
ἦ ῥα κυβερνήτειραν ἀναγκαίου τοκετοῖο
Ἄρτεμιν οὐ καλέουσι λεχωίδες, ὅττι σὺ μούνη
εἰς τόκον ἀγροτέρης οὐ δεύεαι ἰοχεαίρης;
οὐδὲ τεὸν Διόνυσον ἀμαιεύτων ἀπὸ κόλπων
ἔδρακεν Εἰλείθυια, τεῆς ἐλάτειρα γενέθλης·
ἀλλά μιν ἡμιτέλεστον ἐμαιώσαντο κεραυνοί.
μὴ κοτέηις, ὅτι παῖδας ἐνὶ σκοπέλοισι λοχεύεις·
ἡ σκοπέλων βασίλεια τόκου πειρήσατο, Ῥείη·
τίς νέμεσίς ποτε τοῦτο; κατ' οὔρεα τέκνα λοχεύεις,
ὡς δάμαρ οὐρεσίφοιτος ὀρεσσινόμου Διονύσου."
ἔννεπε· καὶ κοτέουσα λεχωιὰς ἄχνυτο νύμφη
Ἄρτεμιν αἰδομένη καὶ ἐν ἄλγεσιν. ἆ μέγα δειλή,
ἐγγὺς ἔην τοκετοῖο καὶ ἤθελε παρθένος εἶναι.

262 (150C)
καὶ βρέφος εἰς φάος ἦλθε θοώτερον· Ἀρτέμιδος γὰρ
φθεγγομένης ἔτι μῦθον ἀκοντιστῆρα λοχείης
διπλόος αὐτοκέλευστος ἐμαιώθη τόκος Αὔρης
λυομένης ὠδῖνος, ὅθεν διδύμων ἀπὸ παίδων
Δίνδυμον ὑψικάρηνον ὄρος κικλήσκετο Ῥείης.
καὶ θεὸς ἀθρήσασα νέην εὔπαιδα γενέθλην
τοῖον ἔπος παλίνορσος ἀμοιβαίηι φάτο φωνῆι·
"μαῖα, γυνὴ μονιή, διδυμητόκε δύσγαμε νύμφη,
υἱάσι μαζὸν ὄρεξον ἀήθεα, παρθένε μῆτερ·
παππάζει σέο κοῦρος ἀπαιτίζων σὲ τοκῆα·
εἰπὲ δὲ σοῖς τεκέεσσι τεὸν λαθραῖον ἀκοίτην.
Ἄρτεμις οὐ γάμον οἶδε, καὶ οὐ τρέφεν υἱέα μαζῶι·
σὸν λέχος οὔρεα ταῦτα, καὶ ἠθάδος ἀντὶ χιτῶνος
σπάργανα σῶν βρεφέων πολυδαίδαλα δέρματα νεβρῶν."
εἶπε, καὶ ὠκυπέδιλος ἐδύσατο δάσκιον ὕλην.
καὶ καλέσας Νίκαιαν ἑὴν Κυβεληίδα νύμφην,
μεμφομένην ἔτι λέκτρα λεχωίδα δείκνυεν Αὔρην
μειδιόων Διόνυσος· ἐρημονόμοιο δὲ κούρης
ἀρτιγάμοις ἀγόρευεν ἐπαυχήσας ὑμεναίοις·
"ἄρτι μόγις, Νίκαια, παραίφασιν εὗρες Ἐρώτων·
ἄρτι πάλιν Διόνυσος ἐπίκλοπον ἤνυσεν εὐνήν,
παρθενικῆς δ' ἑτέρης γάμον ἥρπασεν· ἐν δὲ κολώναις
ἡ πρὶν ἀλυσκάζουσα καὶ οὔνομα μοῦνον Ἐρώτων
σοῖς θαλάμοις τύπον ἶσον ὀρεστιὰς ἔδρακεν Αὔρη.
οὐ μούνη γλυκὺν ὕπνον ἐδέξαο πομπὸν Ἐρώτων,
οὐ μούνη πίες οἶνον ἐπίκλοπον ἅρπαγα μίτρης· L3[I]
ἀλλὰ νέης ἄγνωστος ἀνοιγομένης ἀπὸ πηγῆς 𝔹
νυμφοκόμος πάλιν οἶνος ἀνέβλυε, καὶ πίεν Αὔρη.
ἀλλὰ βέλος δεδαυῖαν ἀναγκαίου τοκετοῖο,
πρὸς Τελετῆς λίτομαί σε, χοροπλεκέος σέο κούρης,
σπεῦσον ἀερτάζειν ἐμὸν υἱέα, μή μὲν ὀλέσσηι
12 (7C)
τολμηραῖς παλάμηισιν ἐμὴ δυσμήχανος Αὔρη·
οἶδα γάρ, ὡς διδύμων βρεφέων ἕνα παῖδα δαμάσσει
ἄσχετα λυσσώουσα· σὺ δὲ χραίσμησον Ἰάκχωι·
ἔσσο φύλαξ ὠδῖνος ἀρείονος, ὄφρά κεν εἴη
σὴ Τελετὴ θεράπαινα καὶ υἱέι, καὶ γενετῆρι."
ὣς εἰπὼν παλίνορσος ἐχάζετο Βάκχος ἀγήνωρ,
κυδιόων Φρυγίοισιν ἐπ' ἀμφοτέροις ὑμεναίοις
12
πρεσβυτέρης ἀλόχοιο καὶ ὁπλοτέρης περὶ νύμφης.
καὶ βαρὺ πένθος ἔχουσα τελεσσιτόκωι παρὰ πέτρηι,
παῖδας ἐλαφρίζουσα, λεχωιὰς ἴαχε μήτηρ·
"ἠερόθεν γάμος οὗτος· ἐμὸν γόνον ἠέρι ῥίψω·
νυμφεύθην ἀνέμοισι καὶ οὐ βροτέην ἴδον εὐνήν,
Αὔρης δ' εἰς ὑμέναιον ἐπώνυμοι ἤλυθον αὖραι·
καὶ λοχίας ἐχέτωσαν ἐμὰς ὠδῖνας ἀῆται.
ἔρρετέ μοι, νέα τέκνα δολορραφέος γενετῆρος,
ὑμέας οὐκ ἐλόχευσα· τί μοι κακὰ θηλυτεράων;
ἀμφαδὸν ἄρτι, λέοντες, ἐλεύθεροι εἰς νομὸν ὕλης
ἔλθετε θαρσήεντες, ὅτ' οὐκέτι μάρναται Αὔρη·
καὶ σκυλάκων ἑλίκωπες ἀρείονές ἐστε λαγωοί·